C εἰς μίαν ἡγεμονίαν ἔμφρονα συντάξας τὸ πλῆθος, οὗτος ἐστὶν ὁ θεῖος, καὶ ἰδιώτης, καὶ βασιλεύς· μᾶλλον δὲ βασιλεύς, ὅτι τὴν ἀρετὴν ὅσῳ ἔθνεσιν ὅλοις κοινοῦται, καὶ τῶν ἑνὸς ἀγαθῶν πολλοὶ ἐπαυρίσκονται ἄνθρωποι. τούτῳ γὰρ ἀνάγκη τὸ ἔνδοθεν ἀστασίαστον διάγειν, καὶ μέχρι προσώπου γαλήνην ἔνθεον· καὶ ἔστιν οὐ φοβερόν, ἀλλ' αἰδέσιμον θέαμα, ἐν αἰδοῖ ἀκύμονι διαθέσει, φίλοις μέν, ταυτὸν δὲ εἰπεῖν ἀγαθοῖς, ἐκπλήττον, τοῖς δὲ ἐχθροῖς τε καὶ πονηροῖς καταπλήττον. μετάνοια δὲ οὐκ ἐμβατεύει τῇ τούτου ψυχῇ. πράττει γὰρ ὅ, τι ἂν πράττῃ, δεδογμένα πᾶσι τοῖς μέρεσι τῆς ψυχῆς πράττων, τῷ πάντα πρὸς μίαν ἀρχὴν * κεκοσμῆσθαι, καὶ μὴ ἀπαξιοῦσαι μέρη τε εἶναι, καὶ εἰς ἓν τὸ ὅλον συννεῦσαι. *κ. κεκοσμῆσθαι.* ὅστις δὲ διοικίζει τὴν προσβολὴν τῶν μερῶν τούτων, ἐνδοὺς αὐτοῖς εἰς ἐνέργειαν πολλοῖς εἶναι, ἄλλο μέρος ἄλλῃ ἀναπείθει τὸ ζῷον, τοῦτον ὄψει, νῦν μὲν ὑψοῦ τὴν γνώμην, νῦν δὲ ὕπτιον παρειμένον, νῦν μὲν ὁρμῇ,

κ. πολλαχῆ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νῦν δὲ φυγῇ, καὶ λύπαις, καὶ ἡδοναῖς, καὶ ἀτόποις ὀρέξεσιν· ὁμολογεῖ δὲ οὐδέποτε οὐδ' ἴσος αὐτὸς ἑαυτῷ. A

Καὶ μανθάνω μὲν οἷα δρᾶν μέλλω κακά·
Θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων.

ἔφη τίς, ἐπιγνοὺς τὴν ἑτερότητα καὶ διχόνοιαν τῶν ἴσων δυνάμεων. τοῦτό τι πρῶτον καὶ σφόδρα βασιλικὸν αὐτὸν ἑαυτοῦ βασιλεύειν, τὸν νοῦν ἐπιστήσαντα τῷ συνοίκῳ θηρίῳ, καὶ μὴ κρατεῖν ἀξιοῦντα πολλάκις μυρίων ἀνθρώπων, ἔπειτα αὐτὸν δοῦλον εἶναι δεσποινῶν αἰσχίστων, ἡδονῆς, καὶ λύπης, B καὶ ὅσοι σύγγονοι θῆρες ἐνδιαιτῶνται τῷ ζώῳ. ἐντεῦθεν δὲ ἤδη πρὸ ἑαυτοῦ προϊὼν ὁ βασιλεὺς πρώτοις ἐντεύξεται τοῖς πέλας τε καὶ φίλοις, μεθ' ὧν συνεστώτων περὶ τῶν ὅλων βουλεύσεται. τούτους προσερεῖ φίλους, οὐ καταειρωνευόμενος τοῦ ὀνόματος, οὐδὲ ὥσπερ οἱ κολάζοντες τὸ τραχὺ καὶ προσάπτοντες τῆς δεσποτείας, ἔργῳ φιλανθρωποτέρῳ τῆς ἀληθείας ὀνόματι. τί γὰρ κτῆμα βασιλικὸν οὕτως, ὥσπερ ὁ συνὼν φίλος; τίς εὐτυχίας κοινωνὸς ἡδίων; τίς δὲ διενεγκεῖν χείρω τύχης ῥοπὴν ἀσφαλέστερος; τίς ἀδολώτερος εἰς C ἔπαινον; τίς εἰς πλήττουσαν νουθεσίαν ἀλυπότερος; εὐγνώμονος δὲ βασιλέως ποῖον ἐπιδηλότερον τῷ πλήθει τεκμήριον, ἢ εἰ φαίνοιτο ζηλωτοὺς ποιῶν ἀεὶ τοὺς συνόντας; οὕτω γὰρ καὶ τοῖς πόρρωθεν ἐραστὸς ἂν εἴη, καὶ γένοιτο ἂν ἀγαθοῖς εὐχὴ τεύξασθαι φιλίας βασιλικῆς, ὧν τἀναντία τοῖς τυράννοις ὑπάρχει, δι' οὓς ἡ κομψὴ παροιμία, πόρρω Διός τε καὶ κεραυνοῦ, διὰ τοὺς ἐπιβούλως τοῖς συνοῦσι χρωμένους, ἀδεέστερον εἶναι λέγουσα τὴν μετ' ἀπραγμοσύνης ἀσφάλειαν, τῶν ἐν ἐπιφανεῖ βίῳ κινδύνων. οὐ γὰρ D ἔφθασέ τις μακαρισθῆναι τῆς τοῦ τυράννου φιλίας, καὶ ἠλεήθη τῆς ἔχθρας· ἀλλ' ὅγε βασιλεὺς οἶδεν, ὡς τὸ μὲν αὔταρκες ἐν θεῷ, καὶ ἀρχαία θεὸς οὐσία τῶν ἀρχομένων ὑπερκειμένη· ἀνθρώπῳ δὲ ἀνθρώπων ἄρχοντι πολλῶν καὶ ὁμοίων, οὐκ αὐτάρκης ἡ φύσις εἰς ἁπάντων ἔργων περινόησιν. ἰώμενος οὖν τὴν τῆς φύσεως ἔνδειαν, συνοικειοῦται τοῖς φίλοις, τὴν δύναμιν ἑαυτοῦ πολυπλασιάζων. οὕτω γὰρ τοῖς ἁπάντων μὲν ὀφθαλμοῖς ὄψεται·

modo fuga, doloribus, voluptatibus, absurdísque cupiditatibus perturbatum, nec vnquam sui ipsius ille similis est,

Nec me latet quæ mox facienda sint mala
Sed ira nostra est consilio omni fortior,

dicebat aliquis, qui æqualium facultatum diuersitatem, ac dissidium agnoscebat. Istud profectò primarium, ac summè regium est, suiipsius esse regem, mentémque domesticæ belluæ, quasi moderatricem præficere, neque cum infinitis propemodum hominibus dominari velis ipsum turpissimis dominis seruire, voluptati, dolori, & quæcumque his affines belluæ suum in animali domicilium habent. Hinc à seipso progrediens Rex cum propinquioribus primum, & amicis conuersabitur, quibuscum vna coeuntibus de summa rerum consilium capiet. Hos amicos appellabit ille, non id nominis dissimulanter vsurpans, neque perinde agens, vt qui molestam & inuidiosam dominationem longè reipsa & factis humaniori, quam veriori appellatione molliunt. Nam quæ vlla rege dignior possessio, quam amici consortium? Quis secundarum rerum particeps iucundior? Quis in aduersis fortunæ casibus tolerandis stabilior? Quis in laudando syncerior? Quis in acriter obiurgando minus molestus? Probi autem, ac benigni regis quódnam euidentius populo argumentum, quam si beatos eos faciat quorum familiaritate vtitur? hoc enim pacto etiam lōginquioribus amabilem sese præstabit bonísque id in voto erit regis amicitiam sibi demereri posse. Quorum contraria omnia tyrannis suppetunt, propter quos scitum id Prouerbium inualuit, Procul Ioue, & fulmine: quod eorum causa, qui cum familiaribus suis insidiose versantur, multò tutiorem esse docet otiosam cum securitate vitam, quam ea omnia pericula quæ in illustri vitę statu reperiuntur. Simul enim atque ob tyrāni gratiam beatus aliquis prædicari cœpit, mox in eiusdem offensionem incurrens miseratione dignus existimatur. Rex autem id exploratū habet, Deum quidem sibi sufficere, & antiquam eam esse naturam quæ supra id omne, quod subditum est, assurgit. Homini verò multis atque eiusdem conditionis hominibus imperanti ad cuiuslibet rei animaduersionem propriam naturam satis superque non esse. Hunc igitur naturæ defectum supplens amicos in eiusdem naturæ communionem adsciscit vim quodammodo suam multiplicans, ita enim fiet, vt & omnium oculis videat,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

& omnium auribus audiat, omniumque animis in vnum consentientibus consilium capiat. Verùm cauendum præsertim idque totis animi viribus, aut etiam si fieri potest vniuersa ad hoc regiarum aularum arma comparanda sunt, ne amicitiæ personam extrinsecus circumfusa incautis obrepat adulatio. Sola quippe hæc ne quicquam vigilantibus satellitibus imperium deprædatur: nisi enim penitus arceatur in ima vsque conclauia sensim penetrat, regumque nobilissimam partem, animam nimirum, adoritur. Quandoquidem propensum in amicos studium non minima regis virtus est. Hoc Cyro illi eximio, ac præstanti viro, hoc Agesilao præ cæteris regibus tam apud Græcos, quàm Barbaros immortalem nominis gloriam comparauit. Quæ igitur agenda fuerint perspecta habebit, certúmque inter amicos consilium capiet. Vt autem opus ipsum consequatur plurimarum manuum auxilio opus est. Vnde paulatim nostra procedens oratio regem è Palatio eductum post amicos militibus, secundis quasi amicis, conciliat, atque in campum descendere iubet, vt hominum, armorum, equorúmque recognitionem faciat. Ibi & cum equite equitabit, & cum pedite decurret, & cum armato armatus incedet, & cum Cetrato Cetra exercebitur, & cum leuis armaturæ militibus iaculabitur, vnumquemque operum communione in viuam societatem, amicitiámque pelliciens, vt ne ergâ eos dissimulator, aut cauillator sit, dum commilitones vocabit, sed in concione verba facientem cognoscant, testentúrque reipsa nomen istud ab eo comprobari. Inuitus fortasse, atque ægrè id audias, quod tibi à nobis labor iungatur. Verum mihi crede regium corpus minimè labore tentatur. Quisquis enim palam laborem capessit nequaquam labore vincitur, Rege autem corpus exercente, atque in statiuis & sub dio agente, & in armis ætatem conterente omnes vbiuis homines, quasi in Theatro spectatores sunt. Siquidem præsentium oculos in sese conuertit, neque aliò quisquam intueri sustinet, rege in conspectu hominum aliquid moliente, omniúmque auribus decantata principis gesta personant. Atque eiusmodi consuetudo, qua Imperator non rarò spectandum se militibus præbet, ad excitandam in militum animis sui beneuolentiam eámque firmissimam præcipuam vim habet.

A ταῖς ἁπάντων δὲ ἀκοαῖς ἀκούσεται, καὶ ταῖς
ἁπάντων γνώμαις εἰς ἓν ἰούσαις βουλεύσεται.
παραφυλακτέον μέντοι, καὶ μάλα ὅλῃ τῇ
γνώμῃ, καὶ εἴ γε δυνάμεθα ἅπασι τοῖς ἐν
ταῖς αὐλαῖς ὅπλοις ἐπὶ τούτῳ χρῆσθαι, μὴ
λάθῃ παραδῦσα κολακεία, τὸ φιλίας πρό-
σωπον περικειμένη. ὑπὸ μόνης γέ τοι ταύ-
της, καὶ ἀγρυπνούντων τῶν δορυφόρων, λῃ-
στεύεται βασιλεία. εἰσφέρεται γὰρ, ἂν μὴ
καὶ πάνυ ἐρόκηται, μάλα ἐνδοτέρω τῶν τα-
μιείων, καὶ ἐπιχειρεῖ τῷ κυριωτάτῳ τῶν
βασιλέων αὐτῇ τῇ ψυχῇ· ἐπεὶ τό γε φιλέ-
B ταιρον οὐχ ἥκιστα ἀρετὴ βασιλέως. τοῦτο γέ
τοι καὶ Κῦρον τὸν πάνυ καὶ Ἀγησίλαον ὀνο-
μαστοτάτους βασιλέων ἐν Ἕλλησι καὶ βαρ-
βάροις ἐποίησε. γνώσεται μὲν δὴ τὰ ποιη-
τέα, καὶ γνώμην ἐν τοῖς φίλοις κυρώσει·
ἵνα δὲ ἔργα γένηται, χειρῶν αὐτῷ δεῖ πολ-
λῶν· ὁ δὲ λόγος βαδίζων ἐξάγει τὸν βασι-
λέα τῶν βασιλείων, καὶ μετὰ τοὺς φίλους τοῖς
στρατιώταις δίδωσι, δευτέροις δὴ τούτοις φί-
λοις, καὶ καταβιβάσας εἰς τὸ πεδίον, ἐξέ-
τασιν ἀνδρῶν καὶ ὅπλων καὶ ἵππων ποιεῖ,
ἔνθα καὶ ἱππεῖ συνιππεύσει. καὶ πεζῷ συν-
C θεύσεται, καὶ συνοπλιτεύσει τῷ ὁπλίτῃ,
καὶ τῷ πελταστῇ συμπελτασθήσεται, καὶ
συνακοντιεῖ τῷ γυμνήτῃ, τῇ κοινωνίᾳ τῶν
ἔργων εἰς ἔμψυχον ἑταιρείαν ἕκαστον προσα-
γόμενος, ἵνα μηδὲ πρὸς τούτους εἴρων ᾖ,
συστρατιώτας καλῶν, ἀλλὰ δημηγοροῦντα
ἐπιγινώσκωσιν αὐτὸν, καὶ μαρτυρῶσιν ὡς ἐκ
τῶν ἔργων ἄρα τὸ ὄνομα λέγεται. δυσχεραί-
νεις ἴσως ὅτι σοι πόνον ἐπιτάττομεν· ἀλλ' ἐμοὶ
σὺ πείθου, βασιλικοῦ σώματος ἐλάχιστα
πόνος ἅπτεται. ὅστις γὰρ οὐ λανθάνει πονῶν,
D τοῦτον ἥκιστα πόνος νικᾷ· βασιλέως δὲ σωμα-
σκοῦντος καὶ θυραυλοῦντος, καὶ ὅπλοις ἐν-
νεάζοντος, οἱ πανταχοῦ δῆμοι θεαταί εἰσι.
τῶν τε γὰρ παρόντων ἐπιστρέφει τὰ ὄμμα-
τα, καὶ οὐδεὶς ἀλλαχόσε βλέπειν ἀνέχεται,
βασιλέως ἐν ἀπόπτῳ τι δρῶντος, καὶ τῶν
ἁπάντων ἐνηχεῖ τὰ ὦτα πᾶν ἔργον βασιλέως
ᾠδὴ γινόμενον. δύναται δὲ ὁ συνεθισμὸς
οὗτος, τῷ μὴ ἀσύνηθες εἶναι τὸν βασιλέα θέαμα
στρατιώταις, εὔνοιάν τε αὐτοῦ, καὶ μάλα ἐρρω-
μένην δημιουργεῖν τῶν στρατιωτῶν ταῖς ψυχαῖς.
καὶ τίς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A καὶ τίς ἐχυρωτέρα βασιλεία τῆς ἔρωτι τετειχισμένης; τίς δὲ ἰδιώτης καὶ μικρὰ πράττων ἀδεέστερός τε καὶ ἀνεπιβουλευτότερος ἐκείνου βασιλέως οὐχ ὃν δεδίασιν, ἀλλ' ὑπὲρ οὗ δεδίασιν οἱ ὑπήκοοι; τὸ δή τι στρατιωτικὸν τοῦτο φῦλον, ἁπλοϊκόν τέ ἐστι καὶ γενναῖον, καὶ ὑπὸ συνηθείας ἁλώσιμον· καὶ Πλάτων φύλακάς τε καλεῖ τὸ μαχητικὸν γένος, καὶ κυνὶ μάλιστα προσεικάζει, θείῳ γνώσει καὶ ἀγνοίᾳ κρίνοντι τό, τε φίλιον καὶ τὸ πολέμιον. τί δ' ἂν αἴσχιον γένοιτο βασιλέως, ὃν διὰ τοὺς ζωγράφους ἐπιγινώσκουσιν οἱ προπολεμοῦντες. ἐνήσεται δὲ οὐ μόνον τοῦτο τῆς πυκνῆς ἐπιμιξίας, B τὸ καθάπερ ἓν σῶμα συμφυὲς τὸ στράτευμα περικεῖσθαι, ἀλλὰ καὶ πολλὰ τῶν τοῖσδε χρόνοις γινομένων, τὰ μέν ἐστι μέρη τῶν πολεμικῶν ἔργων· τὰ δέ ἐστι στρατηγίας προτέλεια καὶ παρασκευαί τινες, ἃ πρὸς τὰ μείζω τε καὶ σπουδαῖα διεγείρει. οὐ γάρ τοι σμικρὸν ἐν χρείᾳ ὄρθρος, ὀνομάσαι μὲν στρατηγόν, ὀνομάσαι δὲ ὑποστράτηγον, καὶ ἰλάρχην, καὶ ταγματάρχην, καὶ σημαιοφόρον εἰ τύχοι, καὶ τινας τῶν πρεσβυτικῶν σὺν ἐπιγνώσει καλέσαι τε καὶ προτρέψαι, τοὺς ἐν τέλει λέγω καθ' ἕκαστον C ἱππικόν τε καὶ πεζικὸν σύστημα. Ὅμηρος μὲν γάρ τινα τῶν θεῶν παραστήσας τῇ μάχῃ τῶν Ἀχαιῶν, πληγῇ σκήπτρου φησὶν αὐτοὺς πιμπλάναι τοὺς νέους

--- μένεος κρατεροῖο·

Μᾶλλον ἐφορμᾶσθαι πολεμίζειν, ἠδὲ μάχεσθαι,
Καὶ μηδὲ τὼ πόδε μηδὲ τὼ χεῖρε ἀτρέμας ἔχειν ἀνέχεσθαι. τὸ γὰρ

Μαιμώωσι δ' ἔνερθε πόδες, καὶ χεῖρες ὕπερθεν.

ἄλλο γ' οὖν ἐστιν αὐτοκέλευστοι περὶ τὰ ἔργα τῆς μάχης· ἐμοὶ δὲ ταὐτὸ τοῦτο ἂν ποιῆσαι καὶ βασιλεὺς ὀνόμασι καλέσας, καὶ τὸν ἀπερισάλπιστόν τε ἂν εἰς φιλοτιμίαν ἐγεῖραι, καὶ D τὸν ἀγωνιστὴν ἂν ἐπιθῆξαι. πᾶς γὰρ ἐθέλει πονεῖν ὑπὸ μάρτυρι βασιλεῖ, ὅ, τε ποιητὴς οὕτως ἔοικε κρίνειν πάμμεγα ὄφελος εἶναι βασιλεῖ καὶ εἰρηνικῷ καὶ πολεμικῷ· ὃς αὐτό που τοῦτο πρῶτον κατανοήσας, ὅτι πλείστην ἔχει ῥοπὴν εἰς εὐψυχίαν ἀνδρῶν τὸ μηδὲ τοῖς ἀγελαίοις ἀγνοεῖσθαι τῷ βασιλεῖ, οὐκ ὀνόματι μόνον καλοῦντα τοὺς στρατιώτας πεποίηκεν Ἀγαμέμνονα,

Ecquod verò tutius Imperium est, quã illud, quod amore, & charitate munitur? Quisnam priuatus, quantumuis mediocri conditione, securior, aut ab insidiis tutior, quam rex ille, quem non metuunt, sed cui metuunt subditi. Militaris profectò ista natio simplex, & ingenua est & consuetudine facilè capitur: Et Plato ipse militare genus custodes appellat, caniq; præsertim æquiparat, quod quidem animal amicos, atq; inimicos cognitione, & ignoratione discernit. Quid verò indignius eo Imperatore, quem propter solos pictores cognitum habent imperij propugnatores? Neque verò id solum emolumenti ex frequenti ea consuetudine hauriet, quod exercitum tanquam vnum eiusdem naturæ corpus circumfusum habeat, verumetiam pleraque quæ eo tempore aguntur alia ad rei bellicæ exercitationem conducunt, alia velut Imperatorij muneris initiationes, ac præparationes quædam sunt, quæ ad maiora, & seria animum excitare solent. Nec enim minimum est belli tempore ducem exercitus, aut legatum nominare, aut turmarium, aut agminis præfectum, aut vexillarium, si necesse fuerit, aut ex veteranis notos aliquos appellare, atque adhortari: Eos, inquam, qui in vnoquoque tam equestri quàm pedestri ordine in honore sunt & dignitate constituti. Homerus enim quendam ex Diis Græcorum certamini præsenté inducens sceptri percussione ab ipso Iuuenes ait impletos,

--- *Robore forti.*

Ita vt eorum animi

Maiori pugnæ furerent, & martis amore,

Neque eorum pedes, manúsve quietem sustinere possent. Nam hoc,

Pes infra, supraq́ manus iam sponte cientur

nihil aliud est quàm sponte sua ad pugnæ certamen gestiunt. Ego verò idem planè facturum Imperatorem iudico, si nominatim suos appellet, & vel eum qui classici clangore non mouebitur ad gloriæ studium inflammaturum, vel bellicosum militem ad prælium instigaturum. Nemo enim est, qui non coram rege strenuè laborem velit suscipere. Atque ita poëta sensisse videtur, tam pacificum, quàm bellicosum regem incredibilem inde vtilitatem percipere, qui hoc ipsum primum animaduertens, ad militum strenuitatem plurimum momenti habere si ne gregarij quidem milites Imperatori sint ignoti, Agamemnonem inducit non modò nominatim suos vocantem,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

sed & fratrem admonentem, vt præter eiusmodi appellationem addito insuper parentis nomine, & à maiorib. vnumquemq; compellet, omnibúsq; honorem deferat, nec grandiores spiritus ducat. Nam honorē deferre idem est ac laudare, si quidpiam ab aliquo aut rectè, aut feliciter cōfectum meminisset. Vide vt Homerus regem popularis hominis laudatorē faciat: Et quísnam sanguini pepercerit qui se à rege audierit commēdatum? Iam hoc igitur ex eo tibi commodum suppetet, quod frequenter cum militib. verseris. Eorum verò præterea mores, vitámq; perspicies, ac id intelliges, quis cuiq; ordo in quauis occasione conueniat. Etenim hoc ipsum insuper cōsidera. Bellorum Imperator artifex est, vti sutor calceamentorum. Et is ergo ridiculus est, si suæ artis instrumenta nesciat, & rex ipse quónam pacto militibus peritè, velut instrumentis vtetur, nisi ea ipsa cognoscat? Verùm cum eo hactenus peruentum sit, si quod in iis sermonibus communissimum est ad præsentem huius orationis materiam demittatur, forsitan à scopo non aberrabimus:

Quis scit an ipse animum moueam tibi numine dextro?
Consilium est hominis non aspernabile veri.

Ita ergo sentio: nihil olim aliud tantam Romano Imperio perniciem attulisse, quātam in Imperatore prope Scenicus ornatus, cultúsq; corporis, quem perinde vt qui sacris operantur in occulto habere solent. Tum etiam quòd Barbarico atq; insolenti more quæ ad vos attinent spectantibus exponantur. Quandoquidem quod inane ac specie tenus est, cum rei veritate esse non potest. Non est tamen quod id à me dictum molestè feras: Nec enim istud tua culpa commissum, sed eorum, qui primi morbi illius authores extiterunt, pestémque eam summo in pretio studióque habitam temporum successioni tradiderunt. Quamobrem seuerior illa grauitas, idipsúmq; quod metuitis, ne si vos sæpius spectandos præbeatis nimium sitis hominibus vestris familiares, vos domo penitus clausos, & à vobipsis quasi obsessos detinet, vt paucissima & videatis, & audiatis, à quibus rerum agēdarum prudentia colligitur, corporísq; duntaxat voluptatibus indulgeatis, & iis præsertim, quæ sunt præ cæteris materiæ immersæ, quas cùm tangendi, tum gustandi sensus suppeditat, ac marini Pulmonis vitam haud dissimilem agatis. Quandiu ergo humanam

A ἀλλ' ἔστιν αὐτῷ καὶ τὸν ἀδελφὸν νουθετεῖ πρὸς
τῇ προσηγορίᾳ πατρόθεν καὶ ἐκ γονέων ἄνω-
θεν ὀνομάζειν ἄνδρα ἕκαστον, καὶ πάντας κυδαί-
νειν μηδὲ μεγαλίζεσθαι. τὸ δὲ κυδαίνειν δὲ
αὖ, τοῦ λέγειν ἐστίν, εἴ τῳ τι ἀγαθὸν ἢ πρα-
χθὲν ἢ εὐτυχηθὲν συνηπίσατο. ὁρᾷς Ὅμη-
ρον; ἐγκωμιαστὴν ποιεῖ τὸν βασιλέα δημότου.
καὶ τίς οὐκ ἂν αἵματος ἀφειδήσειε, βασιλέως
αὐτὸν ἐπαινέσοντος; καὶ τοῦτο οὖν ἥξει σοι
τἀγαθὸν ἀπὸ τοῦ θαμὰ ὁμιλεῖν στρατιώταις, καὶ
πρὸς εἰδήσεις αὐτῶν ἤθη καὶ βίους, καὶ τίς ἑκά-
B στῳ τάξις ἐν καιροῖς ἑκάστοις προσήκουσα. θέα
γὰρ δὴ καὶ τόδε. τεχνίτης ἐστὶν ὁ βασιλεὺς πο-
λέμων, ὥσπερ ὁ σκυτοτόμος ὑποδημάτων. ἐ-
κεῖνός τε οὖν γελοῖος, ὅταν ἀγνοῇ τῆς τέχνης
τὰ ὄργανα, ὅ, τε βασιλεὺς πῶς ἐπιστήσεται
χρῆσθαι στρατιώταις ὀργάνοις ἃ μὴ γινώσκει·
ἀλλ' ἐνταῦθα γενόμενος, εἰ τὸ κοινὸν τῶν λό-
γων εἰς τὴν παροῦσαν τῶν λόγων ὕλην κα-
ταβιβάσαιμι, τάχα ἂν οὐκ ἀπὸ σκοποῦ βά-
λοιμι·

Τίς δ' οἶδ' εἴ κέν τι σὺν δαίμονι θυμὸν
ὀρίνω
C Παρειπών, ἀγαθὴ δὲ παραίφασις ἀνδρὸς
ἀληθοῦς.

Φημὶ γὰρ οὐδὲν οὕτως ἔμπροσθεν ἄλλο
χεῖρω ποιῆσαι τὰ Ῥωμαίων, ὡς τὴν περὶ
τὸ βασιλικὸν σῶμα σκηνὴν καὶ θεραπείαν,
ἣν ὥσπερ ἱερουργοῦντες ὑμῖν ἐν ἀπορρή-
τῳ ποιοῦνται, καὶ τὸ βαρβαρικῶς ἐκ-
τεθεῖσθαι τὰ καθ' ὑμᾶς· ὡς οὐ φιλεῖ
συγγίνεσθαι φαντασία τε καὶ ἀλήθεια. ἀλ-
λὰ σύ γε μὴ δυσχεράνῃς, ὡς τοῦτό γε
οὐκ ἔστι σόν, ἀλλὰ τῶν ἀρξάντων τῆς νό-
σου, καὶ παραδόντων τῇ διαδοχῇ τοῦ χρό-
D νου ζηλούμενον τὸ κακόν. τοιγαροῦν ἡ σε-
μνότης αὕτη, καὶ τὸ δεδιέναι μὴ ἐξαν-
θρωπισθεῖτε συνήθεις γενόμενοι θέαμα, κα-
τακλείστους ποιεῖ πολιορκουμένους ὑφ' ἑαυ-
τῶν, ἐλάχιστα μὲν ὁρῶντας, ἐλάχιστα δὲ
ἀκούοντας, ἀφ' ὧν πρακτικὴ φρόνησις συ-
ναθροίζεται, μόνας ἡδομένους τὰς τοῦ σώ-
ματος ἡδονάς, καὶ τούτων γε τὰς ὑλικω-
τάτας, ὅσας ἁφή τε καὶ γεῦσις πορίζου-
σι, βίον ζῶντας θαλαττίου πνεύμονος.
ἕως οὖν ἀπαξιοῦτε τὸν ἄνθρωπον,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὐδὲ τῆς ἀνθρώπου τυγχάνετε τελειότητος. καὶ γὰρ οἷς σύνεστε "περὶ δίαιταν τε καὶ ἄλλως, καὶ οἷς ἔστιν εἰς τὰ βασίλεια πάροδος ἀδεέστερον, ἢ στρατηγοῖς τε καὶ λοχαγοῖς, τούτοις οὓς χαίροντας ἄρα παρασκευάζεσθε, τοὺς μικροκεφάλους τε καὶ ὀλιγογνώμονας, οὓς ἡ φύσις ἀμυδρώσασα παρεχάραξε, καθάπερ ἀδικοῦντες οἱ τραπεζῖται "τὸ νόμισμα. καὶ γὰρ βασιλεῖ δῶρον ἀπόπληκτος ἄνθρωπος, καὶ μεῖζον ὅσον ἀποπληκτότερος· οὗτοι γελασείοντες ἐν ταὐτῷ, καὶ κλαυσείοντες ἀτελῶς, καὶ σχήμασι καὶ ψόφοις καὶ ἅπασιν ὅσοις" οἷοί τε βωμολοχοῦντες συνδιαφθείρουσιν ὑμῖν τὸν χρόνον, καὶ τῆς ψυχῆς τὴν ἀχλύν, ἣν ἐκ τοῦ μὴ φύσει ζῆν ἔχετε, κακῷ μείζονι παραμυθοῦνται. τούτων τὰ κολοβὰ διανοήματα, καὶ ῥήματα ταῖς ἀκοαῖς ὑμῶν ἐναρμόζεται μᾶλλον, ἢ νοῦς ἐκ φιλοσοφίας ἐν γλώττῃ περιτρανῷ τε καὶ στρογγύλῃ. ὃ δὲ τῆς θαυμαστῆς οἰκουρίας ἀπολελαύκατε, τοῦ δήμου τὸ μὲν φρόνιμον ὑποπτεύοντες, καὶ πρὸς ἐκείνους ἀποσεμνυνόμενοι, τὸ δὲ ἀνόητον εἰσαγόμενοι, καὶ πρὸς ἐκείνους ἀπογυμνούμενοι, ἔδει μὲν εἰδέναι καλῶς, ὅτι ταῖς αὐταῖς παρασκευαῖς ἕκαστον αὔξεται καὶ συγκροτεῖται. ἀλλ' ἂν ἐπιδράμῃς τῷ νῷ τὴν ὅποι ποτὲ τῆς γῆς ἐκταθεῖσαν ἀρχήν, εἴτε τῶν Παρθυαίων, εἴτε τῶν Μακεδόνων, εἴτε τὴν Περσῶν, εἴτε τὴν παλαιτάτων Μήδων, εἴτε τὴν ἐν ᾗ ζῶμεν, ἄνδρες δημοτικοί τε καὶ στρατιῶται, καὶ τὰ πολλὰ συνθυραυλοῦντές τε καὶ χαμευνοῦντες ἐν ταῖς φάλαγξι, καὶ οὔτε μειονεκτοῦντες πόνων, οὔτε πλεονεκτοῦντες ἡδονῶν, ἑκάστην ἐπικράτειαν ἐπὶ μέγα προήγαγον, δι' ἐπιμελείας ἄνθρωποι κτώμενοι τἀγαθά, καὶ γενόμενοι ζηλωτοί, χαλεπῶς ἂν ἔτι τὴν τάξιν τηροῖεν ἄνευ φρονήσεως. ἔοικε γὰρ εὐτυχία φορτίον εἶναι μολίβδου περιβριθέστερον. περιτρέπει γοῦν τὸν ἀναθέμενον, ἣν μὴ πάνυ ῥωμαλέος ὢν τύχῃ. ψυχῆς δὲ ῥώμην ὑπισχνεῖται μὲν φύσις, τελειοῖ δὲ ἄσκησις, εἰς ἥν σε βασιλεῦ προτρέπει φιλοσοφία φυλαττομένη γενέσθαι τὸ ἐκ λόγου συμβαῖνον. τοῖς γὰρ ἐναντίοις τῶν συνιστάντων ἕκαστον φθείρεται. καὶ οὐκ ἀξιῶ παραβαθῆναι τῷ βασιλεῖ Ῥωμαίων τὰ πάτρια· πάτρια δὲ ἡγοῦ Ῥωμαίων, οὐ τὰ χθὲς καὶ πρῴην εἰς ἐκδεδιῃτημένην ἤδη παρελθόντα τὴν πολιτείαν,

γρ. περὶ.

γρ. τὰ νομίσματα.

γρ. οἷς π.

A côditionem aspernamini ne hominis quidem perfectionem attingitis: Nam ij, quorum in quotidiano victu aliisve in rebus consortium adsciscitis, exiguo capite iuxta, & mente, quos natura deerrans adulteratos edidit, vti numismata mēsarij corrumpere ac deprauare solent: itavt regi munus sit stolidus homuncio, eóq; acceptius, quo stolidior est: ij eodem tempore imperfectè & ridere, & flere gestientes, indecoris gesticulationibus, strepitibus, aliisque quibus possunt scurrilitatibus vnà vobiscum perperam tempus absumunt, B mentisq; caliginem, quam ex eo contrahitis, quod secundùm naturam nequaquam viuitis, grauioris mali solatio demulcent: horum mutili nec perfecti animi sensus, verbáq; auribus vestris multò accommodatiora sunt, quàm sententia aliqua ex Philosophia deprompta, & diserto, ac volubili ore pronunciata. Quod autem ad eam vtilitatem spectat, quæ ex egregia illa, domesticáque custodia vobis accidit, dum ex populo eos quidem, qui mente præditi sunt, suspectos habetis, atq; iis superbè vos, & cum ostentatione venditatis, stulti verò duntaxat, rudésque admittuntur, C quibus vos palàm manifestos exponitis, id probè intellexisse oporteret, iisdem artibus vnumquodque augeri quibus conflatum est. Sed si animo percurras quouis terrarum propagata Imperia, siue Parthorum, siue Macedonū, siue nostrum illud in quo degimus, homines populares, & militares, qui sæpius in media acie sub dio agerent, humiq; dormirent, neque minus laboris, plus voluptatis ferrent, cuiusque ditionis fines latissimè protulerunt, homines, inquam, singulari cum diligentia bona comparantes, quiq; cùm ad summam beatitudinem peruenissent ægrè hunc ordinem sine prudentia tenuissent. D Felicitas enim onus quoddam esse videtur plumbo grauius. Eum ergo subuertit, ac deprimit, qui id humeris imposuerit, nisi planè sit robustus. Animi autem robur vt natura repromittit, sic assidua exercitatione perficitur. Ad quod tete, Imperator, Philosophia hortatur, id ne eueniat cauens quod ex oratione cōsequitur. Vnumquodque enim contrariis opibus, quàm quibus constitutum est, destruitur. Non ego patria instituta Romanorum Imperatori censeo esse infringenda, verùm ea patria instituta existimes, non quæ heri, aut nudiustertius in luxu, ac delitiis deprauatum rempublicam irrepserunt,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

sed quæ cùm seruarent imperium sibi compararunt. Quòd si mihi non credis; Age verò per illud, quod regibus præest, numen (tu verò ad patienter audiendum enitere, mordax enim sermo est) quonam tempore Romanas res melius sese habuisse putas? Num ex quo purpurati, & inaurati estis, lapillósque ex montibus, & Barbaro mari quæsitos alios redimitis, alios subligatis, alios cingitis, alios appenditis, alios fibulatis: aliis insidetis? Quocirca in spectaculum euasistis mira varietate, ac colorum diuersitate distinctum, Pauonum instar Homericam imprecationem in vosipsos trahentes, lapideam scilicet tunicam. Vobis autem non illa quidem tunica satis est; non enim Consulatum gerentibus in Senatorum concilium aditus patet, quando hi aut magistratus designant, aut aliam quamlibet ob rem consederunt, nisi eiusmodi insuper amictu sitis obuoluti. Itaque nimirum vos homines suspiciunt quibus intueri licet, quasi solos Senatorum beatos, solos Senatorum onus sustinentes; quin & onere hoc exultatis. Quemadmodum si quis aureis vinculis constrictus, arctiúsque pretiosissimis compedibus, malum ipsum non sentiret, neque quod in carcerem conijceretur, miserè secum agi crederet, calamitatis magnificentia deceptus; nihilo tamē facilius mouebitur quam hi qui cippo lignorum omnium vilissimo vinciuntur. Imò verò neque pauimentum ipsum vobis tolerabile est, neq; si in nudo solo inambuletis, sed spargenda aurosa terra, quam ex vlterioribus continentibus vehicula vobis, & actuariæ naues aduehunt. Nec aspernandus eorum est exercitus, qui fossitium hunc puluerem respergunt. Non enim regium id ducitis, nisi vel ipso calceamentorum corio delitias ostentetis. Num igitur melius nunc vobiscum agitur à quo hæ circa reges ceremoniæ institui cœperunt, latibulisq; vos lacertarum in modum continetis, ægrè, si fortè ad Solis splendorem prodeuntium, ne vos homines esse homines ipsi deprehendant? An potiùs tunc cum exercitibus præficiebantur homines in propatulo vitam agentes, Sole adusti, reliquóque in victu sine vllo artificio simplices, non Dithyrambicum, ac Tragicum tumorem spirantes, sed Laconicis pileis tecti, quos in statuis pueri spectantes derident, quosque senior plebs felices fuisse non putat, imò verò si vobiscum conferātur planè infelices?

A ἀλλ' ἐν οἷς ὄντες ἐκτήσαντο τὴν ἀρχήν. ἐπεὶ φέρε πρὸς τοῦ βασιλείου θεοῦ· καί μοι πειρῶ διαμεῖναι· θυμοδακὴς γὰρ ὁ μῦθος· πότε κάλλιον ἔχειν ἡγῇ τὰ Ῥωμαίων πράγματα. ἀφ' οὗ περιπόρφυροί τε ἐστὲ καὶ περίχρυσοι, καὶ λίθους ἐξ ὀρῶν τε καὶ θαλάττης βαρβάρων, τοὺς μὲν ἀναδεῖσθε, τοὺς δὲ ὑποδεῖσθε, τοὺς δὲ περίκεισθε, τοὺς δὲ ἐξαρτᾶσθε, τοὺς δὲ περονᾶσθε, τοῖς δὲ " ἐφιζάνετε; τοιγαροῦν ἀπετελέσθητε θέαμα ποικιλώτατον καὶ πάγχρουν, ὥσπερ οἱ ταὧ, τὴν Ὁμηρικὴν ἀρὰν ἐφ' ἑαυτοὺς ἕλκοντες, τὸν χιτῶνα τὸν λάϊνον. ὑμῖν δὲ οὐδὲ χιτὼν οὗτος ἀπόχρεων. οὐ γὰρ " εἰσιτητὸν εἰς τὴν ὁμότιμον τὸ βουλευτήριον, ἡνίκα ἂν τὴν ἐπώνυμον ἀρχὴν ἄρχητε, οὔτε ἀρχαιρεσιαζόντων, οὔτε ἐπ' ἄλλῳ τῳ " συνεδριαζόντων, ἣν μὴ καὶ πέπλον τοιοῦτον ἐγκορδυλίσησθε. καὶ δῆτα ἀποβλέπεσθε ὑπὸ τῶν ἀνθρώπων, οἷς θέμις ὁρᾶν, ὡς μόνοι τὴν βουλὴν εὐδαίμονες, μόνοι τὴν βουλὴν ἀχθοφοροῦντες. ἀλλὰ καὶ γάνυσθε τῷ φορτίῳ, καθάπερ εἴ τις χρυσῷ δεθεὶς, καὶ μᾶλλον πολυταλάντοις ταῖς πέδαις, ἔπειτα μηδὲ ἐπαΐοι τοῦ κακοῦ, μηδὲ ἡγοῖτο σχέτλια πάσχειν εἰς δεσμώτας τελῶν, ἠπατημένος τῇ πολυτελείᾳ τῆς συμφορᾶς. ἀλλ' " οὔγε μᾶλλον κινήσεται τὴν ἐν τῇ ποδοκάκῃ τοῦ φαυλοτάτου τῶν ξύλων. ὑμῖν δὲ οὐδὲ τοὔδαφός ἐστιν ἀνεκτόν, εἰ μὴ ἂν ἐμπεριπατήσητε κατὰ φύσιν ἐχούσῃ τῇ γῇ· ἀλλὰ δεῖ τὴν χρυσῖτιν ἐπιφορεῖν, ἣν ἐκ τῆς πέραν ἠπείρου ὑμῖν ἀπῆναί τε καὶ ὁλκάδες διακομίζουσι, καὶ στρατιά τις ἐστὶν οὐ φαύλη τῶν τὸ χῶμα ῥαινόντων. οὐ γὰρ βασιλικὸν ἡγεῖσθε, μὴ οὐχὶ καὶ τοῖς σκύτεσι τῶν ὑποδημάτων τρυφᾶν. νῦν οὖν ἄρ' ἄμεινον πράττετε, ἀφ' οὗ περὶ τοὺς βασιλέας

D ἡ τελετὴ συνέστη, καὶ θαλαμεύεσθε καθάπερ αἱ σαῦραι, μόλις εἴ πη πρὸς τὴν εἵλην ἐκκύψασαι, μὴ φωραθεῖτε ὑπὸ τῶν ἀνθρώπων ὄντες ἄνθρωποι· ἢ τόθ' ἡνίκα ἐξηγοῦντο τῶν στρατευμάτων ἄνδρες ἐν μέσῳ ζῶντες, μελάνες ὑφ' ἡλίῳ, καὶ τὰ ἄλλα ἀφελεῖς τε καὶ αὐτοσχεδίως ἔχοντες, ἀλλ' οὐ διθυραμβώδως καὶ τραγικῶς, ἐν πίλοις Λακωνικοῖς, οὓς ἐν ταῖς εἰκόσι θεώμενα γελᾷ τὰ μειράκια, καὶ οὐδὲ ὁ γέρων δῆμος εὐτυχεῖς ἡγοῦνται γεγονέναι, πρὸς δὲ ὑμᾶς ἐξεταζομένους καὶ παντάπασι κακοδαίμονας;

γ. ἐφιζάνετε
γ. εἰσιτητὸν
γ. συνεδριαζόντων
γ. οὐδὲ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γρ. ἐπιτειχίζοντες.

A ἀλλ' ἐκεῖνοί γε οὐκ ἀποτειχίζοντες τὴν οἰκίαν, εἶργον οὔτε τοὺς Ἀσιανούς, οὔτε τοὺς Εὐρωπαίους βαρβάρους, ἀλλ' οἷς ἐποίουν, ἐκείνους ἐνουθέτουν τὴν σφετέραν ἀποτειχίζειν, θαμὰ διαβαίνοντες τὸν Εὐφράτην ἐπὶ τοὺς Παρθυαίους, τὸν δὲ Ἴστρον ἐπὶ τὸν Γέτην τε καὶ Μασσαγέτην. οἱ δὲ νῦν ἕτερα ἀντὶ τούτων ὀνόματα θέμενοι, ἕτεροι δὲ αὐτῶν καὶ τὰ πρόσωπα τέχνῃ παραποιήσαντες, ἵνα δὴ δοκοίη γένος ἄλλο νέον τε καὶ ἀλλόκοτον ἐκφῦσαι τῆς γῆς, δεδίττονται ὑμᾶς ἀντιδιαβαίνοντες, καὶ μισθὸν εἰρήνης ἀξιοῦσι πράττεσθαι,

γρ. περιποιήσαντες.

B —ἢν μὴ σύ γε δύσεαι ἀλκήν.

ἀλλ' ἀφείσθω μὲν εἰ δοκεῖ τὰ παλαιὰ πρὸς τὰ νῦν ἐξετάζειν, ἵνα δὴ μὴ δοκοίημεν ἐν σχήματι παραινέσεως ὀνειδίζειν, δηλοῦντες, ὡς ὅσον ἐπέδωκεν εἰς σχῆμα σοβαρὸν τὰ βασιλέως τοσοῦτον ἀληθείας ἀφῄρηται. οἱ δ' ὥσπερ ἐν τῇ καθ' ὑμᾶς ποικιλίᾳ γενόμενος ὁ λόγος ἐφιλοχώρησε, νέμοι τινὰ μοῖραν ἑαυτοῦ καὶ τῇ πάλαι τῶν βασιλέων, εἴτε ἀγροικίαν καλοῦμεν αὐτήν, εἴτε λιτότητα βούλεσθε, καλῶς ἂν ἀλλήλαις ἀντιπαρεκδύοιντο πολυτέλεια C καὶ εὐτέλεια, καὶ γυμνὰς ἂν οὕτω θεώμενος, ἐρασθείης ἀληθινοῦ βασιλέως κάλλους, ἀφεὶς τὸ φαινόμενόν τε καὶ ἐπιποίητον. οὐκοῦν ἐκείνην μὲν ἀπὸ τῶν χρημάτων τὸ πλέον ἐγράφομεν· ταύτην δὲ οὐκ ἔστιν ἀπὸ τούτων, ἀλλαχόθεν δὲ λαβεῖν· οὐ γάρ ἐστιν αὐτῇ περιττά, μὴ πραγματευομένῃ περὶ αὐτά· τὰ δὲ ἤθη μᾶλλον εἰκόνες ἂν αὐτῆς εἶεν. καί τοι καὶ ἔργον εὐθὺς συμπεπλεχότα τῶν κατὰ φύσιν ἐχόντων βίων ταῖς προβολαῖς. ἑνὸς οὖν ἄξιον ἐπιμνησθῆναι βασιλέως, καὶ ἤθους, καὶ ἔργου. καὶ γὰρ ἀπόχρη ἂν ὁτιοῦν πάντα συνεφελκύσασθαι.

γρ. προσβολαῖς.

D λέγεται δή τινα τῶν οὐ λίαν ἀρχαίων, ἀλλ' ὧν ἂν εἴδειεν καὶ τῶν γερόντων οἱ πάπποι, εἰ μὴ νέοι τοὺς παῖδας ἐτέκνωσαν, ἀπὸ δὲ νέων τῶν παίδων ἐγένοντο πάπποι· λέγεται δή τινα ἐκείνων στρατείαν μὲν ἄγειν ἐπὶ τὸν Ἀρσακίδην εἰς Ῥωμαίους ὑβρίσαντα· ἐπεὶ δὲ πρὸς ταῖς ὑπερβολαῖς τῶν Ἀρμενίων γενέσθαι, πρὶν ἐπιχειρῆσαι τῇ πολεμίᾳ, δεῖπνον τε αὐτὸν ἐρασθῆναι, καὶ ἐπιτάξαι τῇ στρατιᾷ τοῖς ἀπὸ τῶν σκευοφόρων ἀγαθοῖς χρῆσθαι, ὡς ἐγγύθεν ἐπισιτιουμένοις ἂν δέῃ· ἐδείκνυε δὲ ἄρα τοὺς Παρθυαίων ἀγρούς·

Atqui illi ipsi minimè intersepta domo neque Asiaticos, neque Europæos Barbaros arcebãt, sed iis rebus, quas agebant, suos illis fines admonebãt esse muniendos, cùm sæpissimè aut aduersùs Parthos profecti Euphratẽ, aut aduersùs Getas, ac Massagetas Istrũ traijcerent. Nunc illi alia pro his sibi nomina imponẽtes, nonnulli & vultũ artificio quodã immutantes, vt nouum, ac immane genus terrã editũ videantur, terrorẽ animis nostris inijciũt aduers⁹ nos vicissim flumẽ traijcientes, pacisq; mercedẽ auferre postulãt, *--ni fortia robora sumas.* Verùm mittamus, si libet, eam priscorum temporum cum præsentibus collationem, ne in adhortationis specie probrosè incessere videamur, idipsum declarantes, quantum imperatoribus superbi, atq; arrogantis cultûs accessit, tantumdem decessisse veritatis. Si verò, quemadmodum ad eam quæ in vobis est varietatem progressa diutiùs in eo nostra immorata est oratio, ita aliquam sui partem pristinæ illi Imperatorum, siue rusticitati malimus siue simplicitati, tribuat, non incommodè profusio, ac frugalitas oppositæ sibi inuicem emerserint. Eóq; pacto nuda hæc ambo considerans misso fucato illo, atq; adscititio, verũ ac germanum regis decorem amplectere. Quamobrem illam quidem opibus maxima ex parte circũscripsimus, huius autem non ex eo, sed aliunde petenda cognitio est. Neq; enim superuacuis opibus prædita est, cùm in earum conquisitione nequaquam occupetur, sed ipsius imagines in moribus potiùs, vitáque positæ fuerint. Quãquam & opus ipsum statim vnà cum eius vitæ, quæ naturæ cõsentanea est, productione consequatur. Operæpretium est igitur vnius Imperatoris morum, operisq; fecisse mentionem. Quodlibet enim ad omnia secum trahenda satis superq; erit. Imperatorem olim quendam extitisse ferunt, haud ita vetustũ, sed quem huius tẽporis senum aui facile cognoscere potuerũt, nisi & ipsi iuuenes liberos susceperint, & à iunioribus liberis aui postmodùm facti sint. Ferunt, inquam, illorum quendam aduersùs Persas ad vindicandum, illatam ab his Romanis iniuriã cum exercitu profectum, cùm ad extrema Armeniorum iuga peruasisset, priusquam in hostile solum incurreret, cibum sumere cupientẽ, exercitui vt ex impedimentorũ sarcinis promptis viaticis vescerẽtur, imperasse, vtpote è vicino, si opus fuerit, victum comparaturis; Ostendebat autem Parthorum agros;

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

quæ cùm agerent interim Portorum legatos adfuisse, qui se quidem existimarent regiis primùm proceribus occursuros, eorúmque rursùs clientibus & admissionalibus, adeóque fore, vt nonnisi multis posteà diebus ab Imperatore legatis ius diceretur. Verùm sub id forte tempus accidisse, vt Imperator cœnaret. Nec enim eiusmodi tunc erat satellitum stipatio, selectus ex ipso exercitu alter exercitus, iuuenes omnes, omnes staturæ procerioris, flauescente, ac exquisitiùs ornata cæsarie,

Vnguentisque caput semper, vultúmque peruncti.

Scuta ex auro, lanceásque portantes, ex quibus, quoties occurrunt, regem conijcimus, vti opinor ex præeuntibus radiis Solem: sed vniuersa acies proprium munus obiens circa Imperatorem, atque imperium satellitum officio fungebatur. Illi autem simplici, nec affectato cultu corporis, non penes ornatum, sed penes animum, imperatoriam dignitatem habebant, internísque dotibus multitudinem antecellebant; exterius autem Gregariorum mihil dissimiles videbantur quo in habitu deprehensum à legatis Carinum aiunt: Purpurea vestis humi per herbam iacebat, cibus autem erat pridianum ex pisis elixis pulmentum, inque his frusta quædam, & inueterata porcinarum carnium salsamenta. Eos ergo cùm vidisset neque surrexisse, neque quicquam mutasse fertur, sed è vestigio vocatis dixisse, se quidem illos scire ad sese venire, se enim Carinum esse, iuueníque regi vt eadem die renunciarent iubere, ni saperet omnem ipsorum saltum, campúmque omnem intra lunare spatium Carini capite fore nudiorem, simúlque dicentem detracto pileo caput ostendisse nihilo galea adiacente villosius: Ac si quidem esurirent, vt manum vnà in ollam immitterent permissurum, sin minus, iubere se eadem hora discedere, & quasi iam finito legationis tempore extra Romanum vallum esse. Hæc cùm populo, hostiúmque principi renunciata essent, quæ & vidissent, & audissent, quod verisimile erat futurum, horrorem, metúmque omnibus iniectum, si cum eiusmodi hostibus dimicandum sit, quorum rex neque

A ἐν τούτῳ δὲ ὄντων, πρεσβείαν ἐκ τῶν πολεμίων ἀφῖχθαι· καὶ οἴεσθαι μὲν ἤκουσαν περιεντεύξεσθαι τοῖς βασιλεῖ παραδυναστεύουσι· καὶ τούτων γε αὖ πελάταις τισὶ καὶ εἰσαγγελεῦσιν, ὡς εἰς ἡμέραν πολλοστὴν ἀπ' ἐκείνης τοῦ βασιλέως τῇ πρεσβείᾳ χρηματιοῦντος· συνενεχθῆναι δὲ κατ' αὐτὸ πως τὸν βασιλέα θεάσασθαι δειπνοῦντα. οὐ γὰρ ἦν πω τὸ τῶν δορυφόρων τοιοῦτον, ἀπὸ τῆς στρατιᾶς στρατιά τις ἔκκριτος, νέοι πάντες, πάντες εὐμήκεις, τὰς κόμας ξανθοί τε καὶ περίεργοι,

B Αἰεὶ δὲ λιπαροὶ κεφαλὰς, καὶ καλὰ πρόσωπα.

χρυσάσπιδες καὶ χρυσολόγχαι οἷς ὅταν ποτὲ ὀφθῶσι, τὸν βασιλέα σημαινόμεθα, καθάπερ οἶμαι ταῖς προδιωκούσαις αὐγαῖς τὸν ἥλιον· ἀλλὰ πᾶσα φάλαγξ τὸ οἰκεῖον ποιοῦσα, δορυφόροι ἦν τοῦ βασιλέως τε καὶ τῆς βασιλείας· οἱ δὲ ἁπλῶς ἑαυτῶν εἶχον, οὐκ ἀπὸ τῆς σκευῆς, ἀλλ' ἀπὸ τῆς ψυχῆς βασιλεῖς ὄντες, καὶ τὰ ἔνδον τοῦ πλήθους διέφερον· τὰ δὲ ἐκτὸς, ὅμοιοι τοῖς ἀγελαίοις ἐφαίνοντο· ὥσπερ ἐν οἷς τινά φασι τὸν Καρῖνον ὑπὸ τῆς πρεσβείας ὀφθῆναι φοινικοβαφὴς χιτὼν, καὶ ἐπὶ τῆς πόας ἐκέκλιτο. C τὸ δὲ δεῖπνον ἦν, πίσινον ἕωλον ἔτνος, καὶ ἐν αὐτῷ τεμμάχια ἄττα ταρίχη κρεῶν ὑείων ἀπολελαυκότα τοῦ χρόνου. ἰδόντα δὲ αὐτὸν, οὔτε ἀναθορεῖν, οὔτε μεταποιῆσαί τι λέγεται. καλέσαντα δὲ αὐτόθεν τοὺς ἄνδρας, εἰδέναι τὰ φάναι παρ' αὐτὸν ἥκοντας. αὐτὸς γὰρ εἶναι Καρῖνος, καὶ κελεύειν ἀπαγγεῖλαι τῷ νέῳ βασιλεῖ τήμερον εἰ μὴ σωφρονήσοι, προσδέχεσθαι πᾶν μὲν ἄλσος αὐτῶν, πᾶν δὲ πεδίον ἐν μιᾷ σελήνῃ, ψιλότερον ἔσεσθαι τῆς Καρίνου κεφαλῆς· ἅμα δὲ λέγοντά φασιν ἐκδῦναι τοῦ πίλου δεικνῦντα τὴν κεφαλὴν, οὐδέν τι δασυτέραν παρακειμένου τοῦ κράνους. D καὶ εἰ μὲν πεινῶεν, ἐφεῖναι συνεμβαλεῖν τῇ λύτρᾳ· μὴ δεομένους δὲ, κελεύει αὐθωρεὶ ἀπαλλάττεσθαι, καὶ ἔξω τοῦ Ῥωμαϊκοῦ χάρακος εἶναι, ὡς τῆς πρεσβείας αὐτοῖς τέλος εὑρούσης. λέγεται τοίνυν καὶ τούτων ἀνενεχθέντων ἐπὶ τὸ πλῆθος, καὶ τὸν ἡγεμόνα τῶν πολεμίων, ὧν τε εἶδον ὧν τε ἤκουσαν, ὅπερ εἰκὸς ἦν συμβῆναι, φρίκην καὶ δέος ἐπιπεσεῖν ἅπασιν, εἰ πρὸς ἄνδρας μαχοῦνται τοιούτους, ὧν ὁ βασιλεὺς, οὐ-

τε βασιλεὺς ὤν, οὔτε φαλακρὸς αἰσχύνεται, καὶ χύτρας παραθέμενος συνδείπνους καλεῖ. ἀφικέσθαι δὲ τὸν βασιλέα τὸν ἀλαζόνα κατορρωδήσαντα, πάντα εἴκειν ἕτοιμον ὄντα, τὸν ἐν Τιάρᾳ καὶ Κάνδυϊ, τῷ μετὰ χιτῶνος φαύλων ἐρίων καὶ πίλου. ἕτερον δὲ τούτου νεώτερον ἀκούεις οἶμαι· καὶ γὰρ οὐδὲ εἰκὸς ἀνήκοόν τινα εἶναι βασιλέως ἑαυτὸν ἐπιδόντος εἴσω τῆς πολεμίας γενέσθαι ἐν χρείᾳ κατασκοπῆς, μιμησαμένου σχῆμα πρεσβείας. λειτουργεῖν τε γὰρ ἦν τότε, τὸ πόλεών τε καὶ στρατευμάτων ἡγεῖσθαι, καὶ ἐξώμνυντό γε πολλοὶ τὴν τοιαύτην ἀρχήν. εἷς δέ τις αὐτῶν καὶ ἐννεάσας τῷ βασιλεύειν, ἀπειπὼν πρὸς τοὺς πόνους ἑκὼν ἰδιώτης ἐγήρα· ἐπεὶ καὶ τοὔνομα αὐτό σοι δείξω τοῦ βασιλέως ὄψιμον, ἐκλιπὲς Ῥωμαίοις γενόμενον ἀφ' οὗ Ταρκυνίους ὁ δῆμος ἐξήλασεν. ἀπὸ τούτου γὰρ ἡμεῖς μὲν ὑμᾶς ἀξιοῦμεν καὶ καλοῦμεν βασιλέας, καὶ γράφομεν οὕτως· ὑμεῖς δὲ εἴτε εἰδότες, εἴτε μή, συνηθείᾳ δὲ συγχωροῦντες, τὸν ὄγκον τῆς προσηγορίας ἀναδυομένοις ἐοίκατε. οὔκουν οὔτε πρὸς πόλιν, οὔτε πρὸς ἰδιώτην, οὔτε πρὸς ὕπαρχον γράφοντες. οὔτε πρὸς ἄρχοντα βάρβαρον ἐκαλλωπίσασθέ ποτε τῷ βασιλέως ὀνόματι· ἀλλ' αὐτοκράτορες εἶναι ποιεῖσθε· ὁ δὲ αὐτοκράτωρ, ὄνομα στρατηγίας ἐστὶ πάντα ποιεῖν ὑποσιώσης. καὶ Ἰφικράτης καὶ Περικλῆς ἔπλεον Ἀθήνηθεν αὐτοκράτορες στρατηγοί, καὶ οὐκ ἐλύπει τοὔνομα τὸν δῆμον τὸν ἀδυνάστευτον, ἀλλ' αὐτὸς ἐχειροτόνει τὴν στρατηγίαν νόμιμον οὖσαν. Ἀθήνησι μὲν οὖν καὶ βασιλεύς τις καλούμενος μικρὰ ἔπραττε καὶ ὑπεύθυνος ἦν, εἰς τοὔνομα τοῦ δήμου οἶμαι παίζοντος· ἅτε ὄντες ἀκρατῶς ἐλεύθεροι. ἀλλ' ὅγε αὐτοκράτωρ αὐτοῖς οὔτε μόναρχος ἦν, καὶ σπουδαῖον ἦν καὶ πρᾶγμα, καὶ ὄνομα. πῶς οὖν οὐ σαφὲς τοῦτο τεκμήριον τῆς σώφρονος ἐν τῇ Ῥωμαίων πολιτείᾳ προαιρέσεως, ὅτι καί τοι μοναρχία προδήλως ἀποτελεσθεῖσα, μίσει τῶν τυραννίδος κακῶν διευλαβεῖται καὶ φειδομένως ἅπτεται τοῦ βασιλέως ὀνόματος; μοναρχίαν γὰρ διαβάλλει μὲν τυραννίς, ζηλωτὴν δὲ ποιεῖ βασιλεία, καὶ Πλάτων αὐτὴν θεῖον ἀγαθὸν ἐν ἀνθρώποις καλεῖ· ὁ δὲ

γρ. βασιλείας.

regem se esse, neq; caluum pudori habeat, olláq; insuper apposita compransores inuitet, móxque superbum regem territum accessisse, nihil non cedere paratum, cum qui Tiara, & Candye ornabatur, ei cui ex vilissimis lanis amictus, pileúsque essent. Aliud eo recentius accepisse te aliquando puto. Neque enim cuiquam credibile est inauditum eum esse Imperatorem, qui sese intra hostium fines committens sub specie legationis exploratoris vicem præstiturum receperat. Tunc enim publicum munus capessere idem erat ac ciuitatum, exercituúmque esse ducem, plurimíque ideò eiusmodi imperium detrectabant. Ac vnus ex iis cùm adolescentiam imperando contriuisset, laboribus defatigatus vltrò priuatus consenuit. Alioqui & seriùs tibi ipsum Regis nomen vsurpatum indicabo, quod ab eo est tempore Romanis prætermissum, à quo Tarquinios populus ciuitate profligauit. Nos enim ex illo regis nomine vos & dignamur, & appellamus, prorsúsque ita scribimus: vos autem siue scientes siue inscientes, consuetudinique id tribuentes, appellationis huius inuidiam declinare velle videmini: neque ergo ad ciuitatem, neque ad priuatum, neque ad prouinciæ Præfectum scribentes, neque ad Barbarum principem regium istud nomen gloriosè vnquam affectastis. Sed Imperatores vos ducitis: Imperator autem Ducatus militaris nomen est, qui agenda omnia suscepit. Ita Iphicrates & Pericles Athenis Imperatores Duces nauigabant: Neque liberum populum nomen illud offendebat, sed ipse legitimam hanc belli perfecturam suffragiis comprobabat. Cæterùm Athenis magistratus quidam regis nomine tenuis erat, reddendísque rationibus obnoxius Plebe, vt credibile est, id nominis per ludibrium vsurpante, vtpote qui mera libertate fruerentur. Imperator verò neque Monarcha erat, & serium quippiam cùm re, tum nomine habebatur. Quomodo ergo non euidens illud est in Romana Republica animi moderatioris argumentum, quando illa, etiamsi manifestè in Monarchiam desciuerit, eorum nihilominus malorum odio, quæ Tyrannidem consectantur, cautè, religioséque regium nomen sibi vendicat? Quippe Monarchiam tyrannis inuisam reddit, & Regia dignitas amabilem efficit, eámque Plato diuinum inter homines bonum appellat. Idem

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

autem ipse quod diuinæ sortis est particeps omni fastu docet, arrogantiáque vacare oportere. Neque enim Deus quasi in Scena seipsum ostentans, aut prodigiis, monstrisve editis, sed tacita quadam via gradatim contendens iustè humanas res moderatur, iisque omnibus adesse paratus, quæ natura sunt ad participandum idonea. Hoc modo regem sentio commune omnibus bonum, nec insolentem esse debere. Tyranni enim etsi præstigiis quibusdam fucum facere soleant, delitescántque, & terrorem dum apparent, incutiant, non est tamen quod illis inuideamus, si vera maiestate destituti ad simulationem confugiant. Nam qui nihil sani, aut integri habet, & hoc ipsum intelligit, quî fieri potest vt non lucem fugiat, quo sui contemptum deuitet? At solem hactenus nemo despexit; quanquam quid est quod frequentiùs videatur? Proinde rex, si verum se esse, nec alter conuinci posse confidat, omnibus maximè sit expositus; Nihilo enim minus, imò verò magis admirabilis, gratúsque futurus est. Etenim claudum illum regem, quem toto opere Xenophon commendauit, neq; ij, quos ipse duceret, neq; quorum regiones peragraret, neq; aduersùs quos tenderet contemptui habuerunt, etsi in qualibet ciuitate ad publica maximè loca diuerteret, vbi quicquid ageret omnium erat oculis expositum, si quis videndi Spartanorum ducis desiderio teneretur. Verùm ille paruo exercitu in Asiam penetrans hominem eum, quem innumeræ nationes tanquam Deum adorabant, propemodùm Imperio deturbauit. Cúmque domesticis Magistratibus reuocantibus, quæ de Asia susceperat consi[illegible] perturbata essent, victorias de Græ[illegible] quamplurimas abstulit, ab eóq; solo homine in certamine victus est, à quo præ cæteris omnibus æquum erat Agesilaum superari, si de frugalitate contendisset. Epaminondas is erat, qui quoties ad conuiuium à ciuitatibus vocaretur, ad easdem ventitans (nec enim alia ratione crimini apud magistratus suspicionem effugisset) acre acetum potabat: ne, inquit, Epaminondas domestici victus obliuionem capiat. Attico verò adolescente eius ensis capulum irridente quod ex vilissimo ligno rude, & inelaboratum esset: Atqui, inquit, dum pugnabimus capuli quidem periculum non facies, ferrum autem non pœnitendum tibi videbitur. Quòd si impe-

A αὐτὸς οὗτος, ὁ θείας μετειληχὼς μοίρας, ἀξιοῖ πάντη ἄτυφον εἶναι· οὐ γὰρ σκηνοβατῶν, οὐδὲ τερατουργῶν ὁ Θεός, ἀλλὰ δι' ἀψόφου βαίνων κελεύθου, κατὰ δίκην τὰ θνητὰ ἄγει, πάντῃ τε ἁπανταχοῦ παρεστάναι τῷ πεφυκότι μετέχειν ἕτοιμος. οὕτως ἀξιῶ τὸν βασιλέα κοινὸν ἀγαθὸν καὶ ἄτυφον εἶναι. τύραννοι δὲ εἰ θαυματοποιοῦσι κρυπτόμενοί τε καὶ σὺν ἐκπλήξει φαινόμενοι, φθόνος οὐδεὶς χήτει σεμνότητος ἀληθινῆς ἐπὶ προσποίησιν καταφεύγειν. τὸν γὰρ οὐδὲν ὑγιὲς ὄν- γρ. ἔχοντα
B τα, καὶ εἰδότα γε τοῦτο τίς μηχανὴ μὴ οὐχὶ φεύγειν τὸ ἐμφανές, φεύγοντα καταφρόνησιν. ἀλλ' ἡλίου τε μέχρι τήμερον οὐδείς που καταπεφρόνηκε· καίτοι τί συνηθέστερον θέαμα; καὶ βασιλεὺς εἰ τεθάρρηκεν ἀληθινὸς ὤν, καὶ οὐκ ἐλεγχθησόμενος, ἔστω κοινότατος. οὐδὲν γὰρ ἧττον, εἰ μὴ καὶ μᾶλλον ἀγαθὸς ἔσται. οὐδὲ τοῦ χωλοῦ βασιλέως, ὃν ἐπαινεῖ Ξενοφῶν ἐν ὅλῳ τῷ συγγράμματι, κατεγέλων οὔτε οἷς ἦγεν, οὔτε δι' ὧν ἦγεν, οὔτε ἐφ' οὓς ἐπορεύετο· καίτοι κατέλυεν οὗτος ἑκάστης πόλεως ἐν τοῖς δη-
C μοσιωτάτοις χωρίοις, ἐν ᾧ πάντα ποιῶν καταφανέστατος ἦν, οἷς ἐπιμελὲς τὸν ἡγεμόνα τῆς Σπάρτης ὁρᾶν· ἀλλ' οὗτος εἰς τὴν Ἀσίαν τε διαβὰς ὀλίγῳ στρατεύματι, τὸν προσκυνούμενον ἄνθρωπον ὑπὸ τῶν ἀκατονομάστων ἐθνῶν, ἐγγὺς ἦλθεν ἀποβιβάσαι τῆς ἀρχῆς· τοῦ μὲν γὰρ φρονήματος ἀπεβίβασε· καὶ ἐπεὶ τῶν οἴκοι τελῶν καλούντων τὰς ἐν Ἀσίᾳ πράξεις ἀφῄρητο, νίκας Ἑλληνικὰς ᾑρεῖτο πολλάς, ὑπὸ μόνου τε τῶν ἀνθρώπων ἡττᾶτο μαχόμενος, ὑφ' οὗ κρατηθῆναι μόνου τῶν ἁπάντων εἰκὸς Ἀγησίλαον, καὶ
D ὑπὲρ εὐτελείας ἀγωνιζόμενον. Ἐπαμινώνδας ἦν οὗτος, ὃν στεφανοῦσαι μὲν αἱ πόλεις ἐκάλουν εὐωχησόμενον, ὁ δὲ φοιτῶν αὐταῖς· οὐ γὰρ ἦν ἄλλως ποιοῦντα, μὴ οὐκ αἰτίαν ἔχειν τὸν ἐν ἀξιώματι· δριμέος ὄξους ἀπέπιεν, ἵνα, φησί, τῆς οἴκοι διαίτης Ἐπαμινώνδας μὴ ἐπιλάθοιτο. νεανίσκου δὲ Ἀττικοῦ τῆς μαχαίρας αὐτοῦ τὴν κώπην ἐπισκώψαντος, ὅτι ξύλου τε φαύλου καὶ ἀκατέργαστος ἦν, οὐκοῦν ὅταν, ἔφη, μαχώμεθα, τῆς μὲν κώπης οὐ πειράσῃ, τὸν σίδηρον δὲ οὐκ ἐνέσται σοι μέμψασθαι. εἰ δὲ

βασιλικὸν μὲν τὸ ἄρχειν, ἄρχει δὲ ὁποίων δεῖ κρατεῖ, ἐξ ὧν οἱ κρατεῖν εἰδότες ἐπιτηδευμάτων καὶ βίων, ὁρῶμεν ὡς οὐκ ἀπὸ τῶν ἐκφύλων τε καὶ σοβαρῶν, ἀλλ' ἀπὸ τῶν μετρίων τε καὶ σωφρόνων πάντα ἐκ πάντων συναιρεῖται, βασιλείας ἐξοριστέον εἶναι τῦφον καὶ πολυτέλειαν, ὡς οὐ μετὸν αὐτῇ τῶν ἀλλοτρίων· καὶ ὁ λόγος ἐκ τούτου προῆκται. ἐπαναγαγόμενοι δὲ ἡμεῖς τε τὸν λόγον εἰς τὴν οἰκείαν ἀρχὴν, σύ τε ἐς τὸ ἀρχαῖον πρᾶγμα τὸν βασιλέα. ἀνάγκη γὰρ κεκολασμένων τῶν βίων, καὶ σωφροσύνης ἐπανελθούσης, συνεπανελθεῖν μὲν αὐτῇ τὰ παλαιὰ καλὰ, τῶν δὲ ἐκ τῆς ἐναντίας μερίδος ἀντιμεταστᾶσιν πάντων γενέσθαι. καὶ σὺ βασιλεῦ τῆς ἐπαναγωγῆς τῶν ἀγαθῶν ἄρξαιο, καὶ ἀποδείξῃς ἡμῖν λειτουργὸν τῆς βασιλείας. καὶ γὰρ ἐν οἷς ἐσμὲν οὐκ ἔτι οἷα χωρῆσαι ῥαθυμίᾳ, οὐδὲ πόρρω βῆναι. νῦν γὰρ πάντες ἐπὶ ξυροῦ ἵστανται ἀκμῆς, καὶ δεῖ Θεοῦ καὶ βασιλέως ἐπὶ τὰ πράγματα, τὴν ὠδινομένην χρόνιον ἤδη συχνὸν τῆς Ῥωμαίων ἀρχῆς τὴν εἱμαρμένην περιαιρήσοντες, ἣν ἅμα συνάπτων τὸ ἑξῆς τοῦ λόγου, καὶ τὸν βασιλέα δημιουργῶν, ὃν ἐνήργμην ἄγαλμα πάγκαλον ἱστάναι, δείξω γε σαφῶς ἐγγὺς οὖσαν, ἣν μὴ σοφή τε καὶ ἰσχυρὰ βασιλεία κωλύοι· καὶ ἵνα ὁ κωλύων αὐτὸς ᾖς, ἐκ τῶν ἐνόντων συμπαλαμήσομαι. Θεὸς δὲ ἀγαθοῖς ἀεί τε καὶ πάντως παραστάτης, καὶ ἵλεως. πόθεν οὖν ἀπολιπόντες τὰ κοινῇ διαπλαττόμενα, τῷ πλαττομένῳ παρὰ τοῦ λόγου βασιλεῖ γνώμῃ προεληλύθαμεν εἰς τὰ καθεστῶτα; ἠξίου φιλοσοφία τὸν βασιλέα θαμὰ ὁμιλεῖν στρατιώταις, ἀλλὰ μὴ θαλαμεύεσθαι· τὴν γὰρ εὔνοιαν, ἣ μόνη καὶ μάλιστα βασιλέως ἐστὶν ἰσχυρὸν φυλακτήριον, ἐδίδασκεν ἀπὸ τῆς ὁσημέραι συνηθείας ἀθροίζεσθαι. ποδαποῖς οὖν τὸ γένος οὖσι τοῖς στρατιώταις φιλόσοφος ἐραστὴς ὢν βασιλέως, ἀξιοῖ καὶ παιδεύειν τὸ σῶμα καὶ συναυλίζεσθαι; ἢ δηλονότι τοιούτοις, οὓς ἀγροὶ καὶ πόλεις, καὶ καθάπαξ ἡ βασιλευομένη γῆ, δίδωσι προμάχους, καὶ καταλέγει φύλακας τῇ πολιτείᾳ τε καὶ τοῖς νόμοις, ὑφ' ὧν ἐτράφησαν

A tate quidem regium est, imperat autem iis qui in subditos tales, quales esse decet, dominatum exercet, ex eodem studiorum viuendiq; genere, quo ij vtuntur, qui dominandi peritiam habent, facilè intelligimus, quandoquidem non Barbari, aut arrogantis, sed modesti, ac temperantis beneficio omnia modis omnibus in vnum contrahuntur, fastum omnem, luxúmque imperio exterminandum esse, vt cui nihil cum eo, quod alienum est, commune esse debeat: atq; inde primùm deducta Oratio est. Iam verò & ipsa à nobis ad suum principium oratio, & ad veterem illam disciplinam imperatoria à te dignitas reuocetur. B Necesse si quidem est emendata, castigatáque vita, ac reduce temperantia vnà cum eâ non modò pristina ornamenta restitui, verumetiam eorum, quæ ab aduersa parte sunt, omnium esse mutationem. Tu verò Imperator reuocandæ felicitatis author sis, nobísq; Imperatorem imperij rursum administratorem præbeas. Nam ea in quibus versamur non ampliùs ignauia procedere, vlteriúsve progredi possunt. Nunc enim omnes sunt in summa nouaculæ acie collocati, Deóque, & Imperatore ad Republica opus est, qui Romani imperij fatum istud rescindat, quod iampridem C conceptum, & in lucem edendum est, quódque ego, vnà & reliquum orationis adtexens, ac regem effingens, quem velut præstantissimum quoddam simulachrum erecturus inchoaueram, iamiam instare manifestis indiciis euincam, nisi sapienti illud fortique imperio prohibeatur. Et vt ipse sis, qui prohibeas quantum in me situm erit allaborabo. Deus autem bonis viris perpetuò, planéque opitulator, ac propitius est. Vnde ergo missis iis quæ vniuersè informabantur, ex eius regis occasione quem nostra mente, animóque effinxit oratio ad præsentem re- D rum statum deuenimus? Regi cum militibus sæpiùs seruandum, non domi sese continendum esse Philosophia præcipiebat. Beneuolentiam enim, quæ sola firmissimum est regis præsidium, ex quotidiana consuetudine colligi ostendebat. Cuiusmodi igitur cum militibus regis amator Philosophus corpus ipsum & exercere iubet, & iisdem in statiuis agere? Cum iis videlicet, quos agri, & ciuitates, & vt vno verbo dicam, vniuersa terra imperio subdita pugnatores suppeditat, diligitque reipublicæ legúmque custodes, à quibus & educationem,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

& institutionem acceperunt: ij namque sunt, qui canibus à Platone comparantur. Sed neque à Pastore inter canes Lupi collocandi sunt, etsi catuli olim sublati cicurati esse videantur, alioqui malè ipsis gregem concrediderit: vbi enim aliquam in canibus imbecillitatem, aut ignauiam esse senserint, statim in illos, & gregem & Pastores sæuient. Neque à legislatore danda arma sunt iis, qui in ipsius legibus nati, aut instituti non fuerunt. Non enim ab eiusmodi hominibus vllum habet beneuolentiæ pignus, quando aut audacis, aut futura præscientis est numerosam iuuentutem alienis institutis educatam, s[...] moribus vtentem, quæ ad bellum spectant in regione exercentem cùm videat, nequaquam formidare. Aut enim illos necesse est sapientes esse credamus, aut si probè de ea re desperemus, Tantali lapidem putemus tenuissimis funibus supra rempublicam esse suspensum. Tunc enim primùm inuadent, cùm suosipsos conatus ex animi sententia successuros existimabunt. Huius vtique rei aliquot iam præludia, ac velitationes fiunt, nonnullæq; cum tumore inflammātur imperij, vt corporis partes, quo cùm quæ aliena sunt in eiusdem sani temperamenti concordiam coalescere nequeunt. Alienum autem omne vt à corporibus, ita à ciuitatibus excerni oportere tam medici, quàm Imperatores dixerunt. At neque contrarias illis vires opponere, & perinde ac si illæ nostræ essent vacationem à militia postulantibus indulgere, cæterósque qui in regione sunt aliis rebus occupari permittere, quid aliud quàm hominum ad interitum festinantium est? Cùm potiùs quàm arma gerere hîc Scythas permittamus, petendi sint ab amica Agricultura qui ipsam tueantur homines, ac tantisper ij centuriandi sint, dum & Philosopho è Schola, & operario è quæstuario artificio, & è vænalium foro eo qui ibidem versatur excitato, ignauæque fucorum instar plebi, quæ præ otij abundantia in Theatris perpetuò degit tandem seriò agendum persuaserimus, priusquàm à risu ad gemitum transeant: adeò vt neque melior neque deterior vllus pudor impediat, quominus propriæ à Romanis vires comparentur. Etenim in familia iuxta ac in rebuspublicis protectio, defensióque penes mares est, penes fœminas autem eorum, quæ intra ædes sunt,

A τε καὶ ἐπαιδεύθησαν· οὗτοι γάρ εἰσιν, οὓς καὶ κυσὶν ὁ Πλάτων εἴκαζεν. ἀλλ' οὔτε τῷ ποιμένι μετὰ κυνῶν τοὺς λύκους τακτέον, κἂν σκύμνοι ποτὲ ἀναιρεθέντες τιθασεύεσθαι δόξωσιν, ἢ κακῶς αὐτοῖς πιστεύσει τὴν ποίμνην· ἴσθι γάρ τινα ταῖς κυσὶν ἀσθένειαν ἢ ῥαθυμίαν ἐνιδόντες, αὐταῖς τε καὶ ποίμνῃ καὶ ποιμέσιν ἐπιχειρήσουσιν· οὔτε τῷ νομοθέτῃ δοτέον ὅπλα τοῖς οὐ τεχθεῖσί τε καὶ τραφεῖσιν ἐν τοῖς αὐτοῦ νόμοις. οὐ γὰρ ἔχει παρὰ τῶν τοιούτων οὐδὲν εὐνοίας ἐνέχυρον. ὡς ἔστιν ἀνδρὸς θαρσαλέου, ἢ B μάντεως, νεότητα πολλὴν ἑτερότροφον, ἤθεσιν ἰδίοις χρωμένην ἐν τῇ χώρᾳ τὰ πολέμια μελετῶσαν ὁρῶντα μὴ δεδιέναι· δεῖ γὰρ ἤτοι πάντας αὐτοὺς πιστεῦσαι φιλοσοφεῖν, ἢ τούτου καλῶς ἀπογνόντας οἴεσθαι τὸν Ταντάλου λίθον ὑπὲρ τῆς πολιτείας λεπτοῖς καλῳδίοις ἠρτῆσθαι, ὡς τότε πρῶτον ἐπιχειρήσουσιν, ὅτε πρῶτον αὐτοῖς οἰήσονται προχωρήσειν τὴν πεῖραν. τούτου μὲν οὖν καὶ ἀκροβολισμοί τινες ἤδη γίνονται, καὶ φλεγμαίνει μέρη" τινὰ τῆς ἀρχῆς (γρ. συχνά.) ὥσπερ σώματος, οὐ δυναμένων αὐτῷ συγκραθῆναι τῶν ἀλλοτρίων εἰς ἁρμονίαν ὑγιεινήν. C ἐκκρίναι δὲ δεῖν τἀλλότριον, ἀπό τε σωμάτων καὶ πόλεων, ἰατρῶν τε καὶ στρατηγῶν παῖδες ἂν εἴποιεν. τὸ δὲ μήτε ἀντίπαλον αὐτοῖς κατασκευάζεσθαι δύναμιν, καὶ ὡς ἐκείνης οἰκείας οὔσης, ἀστρατείαν τε διδόναι πολλοῖς αἰτοῦσι, καὶ πρὸς ἄλλοις ἔχειν ἀφιέναι τοὺς ἐν τῇ χώρᾳ, τί ἄλλο ἢ σπευδόντων ἐστὶν εἰς ὄλεθρον ἀνθρώπων; δέον πρὸ τοῦ Σκύθας δεῦρο σιδηροφοροῦντας ἀνέχεσθαι, παρά τε τῆς φίλης γεωργίας ἄνδρας αἰτῆσαι τοὺς μαχεσομένους ὑπὲρ αὐτῆς, καὶ καταλέγειν εἰς τοσοῦτον, ἐν ᾧ δὴ καὶ τὸν φιλόσοφον ἀπὸ τοῦ φροντιστηρίου, D καὶ τὸν χειροτέχνην ἀπὸ τοῦ βαναυσείου ἀναστήσαντες, καὶ ἀπὸ τοῦ πωλητηρίου τὸν ὄντα πρὸς τούτῳ, τόν τε κηφῆνα δῆμον, ὃς ὑπὸ τῆς πολλῆς σχολῆς ἐγκαταβιοῖ τοῖς θεάτροις, πείσομέν ποτε καὶ σπουδάσαι πρὶν ἀπὸ τοῦ γελᾶν ἐπὶ τὸ κλαίειν ἀφίκωνται, μήτε τῆς χείρονος αἰδοῦς, μήτε τῆς ἀμείνονος ἐμποδὼν οὔσης τῷ τὴν ἰσχὺν Ῥωμαίοις οἰκείαν γενέσθαι. τέτακται γὰρ ὥσπερ ἐν οἴκῳ καὶ πολιτείαις ὁμοίως, τὸ μὲν ὑπερασπίζον" κατὰ τὸ ἄρρεν, τὸ (γρ. θεός.) δὲ εἰς τὴν ἐπιμέλειαν ἐστραμμένον τῶν εἴσω

γρ. πρός.

A " κατὰ τὸ θῆλυ· πῶς οὖν ἀνεκτὸν παρ' ἡμῖν ἀλλότριον εἶναι τὸ ἄρρεν; πῶς δὲ οὐκ αἴσχιον παραχωρῆσαι τὴν ἀνδροτάτην ἀρχὴν ἑτέροις τῆς ἐν πολέμῳ φιλοτιμίας; ἀλλ' ἔγωγε εἰ νίκας ὑπὲρ ἡμῶν νικῷεν πολλάς, αἰσχυνοίμην ἂν ὠφελούμενος· ἐκεῖνο μέντοι

Γινώσκω φρονέω τε ---

καὶ γὰρ ἐλλιπές ἐστιν ἄτολμος τοῦ νοῦν ἔχοντος· ὡς ὅταν τὰ λεγόμενα ταῦτα τὸ ἄρρεν τε καὶ τὸ θῆλυ, μήτε ἀδελφὰ τυγχάνῃ, μήτε ἄλλως ὁμογενῆ, μικρὰ πρόφασις ἀρκέσει τοῖς ὡπλισμένοις τῶν ἀστυπολούντων δεσπότας ἀξιοῦν B εἶναι· καὶ μαχήσονταί ποτε ἀπόλεμοι πρὸς τοὺς ἠσκημένους τὸν ἐν ὅπλοις ἀγῶνα. πρὶν οὖν εἰς τοῦτο ἥκειν, ἐφ' ὃ πρόεισιν, ἤδη " ἀνακτητέον ἡμῖν τὰ Ῥωμαίων φρονήματα, καὶ συνεθιστέον αὐτουργεῖν τὰς νίκας, μηδὲ κοινωνίας ἀνεχομένους, ἀλλ' ἀπαξιοῦντας ἐν ἁπάσῃ τάξει τὸ βάρβαρον. ἀρχῶν δὲ δὴ καὶ πρῶτον ἀπεληλάσθων, καὶ τῶν ἐν βουλευτηρίῳ γερῶν ἀποκεκόφθων, οἷς ὑπῆρξεν αἰσχύνη τὰ παρὰ Ῥωμαίοις πάλαι καὶ δοκοῦντα καὶ ὄντα σεμνότατα· ἐπεὶ νῦν γε καὶ τὴν βουλαίαν Θέμιν αὐτὴν C καὶ Θεὸν οἶμαι τὸν στράτιον ἐγκαλύπτεσθαι, ὅταν ὁ σισυροφόρος ἄνθρωπος ἐξηγῆται χλαμύδας ἐχόντων, καὶ ὅταν ἀποδύς τις ὅπερ ἐνῆπτο κώδιον, περιβάλληται τήβεννον, καὶ τοῖς Ῥωμαίων τέλεσι συμφροντίζῃ περὶ τῶν καθεστώτων, προεδρίαν ἔχων παρ' αὐτόν που τὸν ὕπατον, νομίμων ἀνδρῶν ὀπίσω θακούντων. ἀλλ' οὗτοί γε μικρὸν τοῦ βουλευτηρίου προκύψαντες, αὖθις ἐν τοῖς κωδίοις εἰσί, καὶ ὅταν τοῖς ὀπαδοῖς συγγένωνται, τῆς τηβέννου καταγελῶσι, μεθ' ἧς οὐκ εἶναι φασὶ ξιφουλκίας εὐμοιρίας. θαυμάζω δ' ἔγωγε πολλαχῇ τε ἄλλῃ, καὶ οὐχ ἥκιστα D ταύτῃ, τὴν ἀτοπίαν ἡμῶν. ἅπας γὰρ οἶκος ὁ καὶ κατὰ μικρὸν εὖ πράττων Σκυθικὸν ἔχει τὸν δοῦλον, καὶ ὁ τραπεζοποιός, καὶ ὁ περὶ τὸν ἰπνόν, καὶ ὁ Ἀμφορεαφόρος, Σκύθης ἐστὶν ἑκάστῳ· τῶν τε ἀκολούθων οἱ τοὺς χθαμαλοὺς σκιμποδίσκους ὀκλαδίας ἐπὶ τῶν ὤμων ἀνατιθέμενοι, ἐφ' ᾧ τοῖς ἐωνημένοις ἐν ταῖς ἀγυιαῖς εἶναι καθίζεσθαι, Σκύθαι πάντες εἰσίν, ἄνωθεν ἀποδεδειγμένου τοῦ γένους ἐπιτηδείου τε καὶ ἀξιωτάτου δουλεύειν Ῥωμαίοις· τὸ δὲ τοὺς ξανθοὺς τούτους καὶ κομῶντας Εὐβοϊκῶς,

γρ. συγκρατεῖται.

cura atque sollicitudo. Quomodo ergo apud nos alienos esse mares tolerabile est? aut quomodo non turpius est, viris florentissimum Imperium, aliis bellica gloria, ac contentione cedere? Me verò si victorias nobis plurimas reportarent, puderet mihi ab iis vlla in re esse commodatum. At illud,

Sentio, & agnosco,----

(Est enim omnibus iis qui mente præditi sunt exploratum) quandocúmque hæc ipsa quæ dicuntur mas, & fœmina neque germana, neque alias cognata fuerint, minima occasione ad id opus esse, vt armati ciuibus dominari velint; imbellésque aliquando cùm exercitatis in armorum certamine manum conserturos. Itaque antequàm eò res veniat, quò iam processit, recuperandi Romanis animi sunt, paulatimque victoriis per sese administrandis assuefaciendi, ita vt neque illorum consortium ferant, & quicquid Barbari est ab omni penitus ordine remoueant. Proinde à magistratibus primùm arceantur, & à Senatoriis honoribus excludantur, quibus pridem pudori fuerunt quæ sunt apud Romanos, & esse videntur honestissima. Quando nunc & consiliariam ipsam Themidem, & belli præsidem Deum arbitror præ pudore occultari, quoties Barbarico renone indutus homo chlamydatos ad bellum ducit, aut quoties aliquis scortea, qua amiciebatur, penula deposita, togam induit, & cum Romanis Magistratibus primùm à Consule subsellium habens, legitimisque viris post eum sedentibus, de rerum statu deliberat. Illi autem paululum curia egressi rursum pelliceas vestes sumunt, togámque vbi inter comites fuerint, derident, quâ cum felicem stringendi ensis peritiam esse negant. Ego verò cùm in multis aliis, tum in eo maximè stoliditatem nostram demiror. Quælibet enim domus quantumcúmque felix Scythicum seruum habet, estque vnicuique & structor, & furnarius, & Amphorarius genere Scytha: Nec non inter pedisequos qui depressiores grabatulos, & plicatiles succollant, vt his etiam in via domini insidere possint, Scythæ omnes sunt, quasi iam olim à maioribus generi huic sit à natura tributum, vt Romanorum seruitio accommodatissimum ac dignissimum esset. Iam verò flauos illos, & Euboico more co-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

matos apud eosdem homines priuatim quidem seruos esse, publicè verò magistratus cùm insolens sit, tum in hoc spectaculo præ cæteris admirabile est. Ac nisi ita se res habeat, nescio quódnam sit illud quod Ænigma vocetur. Atque in Gallia quidem Crixus & Spartac. s arma cum infamia gerentes vt theatro Populi Romani piaculo essent, dum fugitiui aduersus leges maleuolo animo sunt, seruile dictum bellum excitarunt, quod tunc temporis Romanis calamitosissimum accidit, contra quos & Consulibus, & Imperatoribus, & Pompeij fortuna opus fuit, cum ipsa tantùm non ciuitas funditus sublata esset. Quanquam qui cum Spartaco, & Crixo vnà defecerunt, neque eiusdem cum illis, neque secum inuicem nationis erant, sed ipsa fortunæ communio occasionem nacta mutuum in his animorum consensum efficiebat. Natura enim, vt opinor, serui omnes, dum victoriæ compotes fore sperant, dominorum hostes sunt. Num igitur ita sese nostræ res habent? An potiùs luculentior multò à nobis malorum materies alitur: Nam neque duo duntaxat, neque infames inter nos sunt seditionis authores, sed amplissimi, & execrandi ac cum mancipiis nostris necessitudine coniuncti duces eos habent qui summa sunt & apud ipsos, & apud nos authoritate,

Nostro istud vitio.---

Horum, simul libuerit, præter eos quos habent, seruos quoque nostros milites fore tibi persuadeto, eosdémque petulantes, atq; audaces, qui se sceleratissimis factis libertate satiabunt. Quare destruẽda vobis ista munitio est, externáque morbi occasio prohibenda, priusquàm subocculta illa fractura dehiscens indicium edat, priusquàm hostilis inquilinorum animus euidentius innotescat. Incipientia vtique mala superantur, progressa confirmantur. Repurganda autem Imperatori primùm castra sunt, vt in frumenti aceruo fieri solet, è quo zea excernitur, cæteráque quæ boni, ac genuini seminis exitio adnascuntur. Quòd si non ampliùs facilia tibi ista consulere videor, non id animaduertis apud quorum te hominum Imperatorem quanam de gente sermonem instituam? quam scilicet Romani anteà debellarunt, ex quo nominis ipsorum fama inter homines

A παρὰ τοῖς αὐτοῖς ἀνθρώποις ἰδίᾳ μὲν οἰκέτας εἶναι, δημοσίᾳ δὲ ἄρχοντας, ἀηθὲς ὂν τῆς θέας γένοιτο ἂν τὸ παραδοξότατον, καὶ εἰ μὴ τοῦτό ἐστιν, οὐκ ἂν εἰδείην ὁποῖον ἂν εἴη τὸ καλούμενον αἴνιγμα. ἐν Γαλλίᾳ μὲν οὖν Κρίξος καὶ Σπάρτακος ὁπλοφοροῦντες ἀδόξως, ἵνα θεάτρῳ γένοιντο τοῦ δήμου Ῥωμαίων καθάρσια, ἐπειδὴ δραπετεύσαντες τοῖς νόμοις ἐμνησικάκησαν, τὸν οἰκετικὸν κληθέντα πόλεμον συνεστήσαντο, βαρυσυμφορώτατον ἐν τοῖς μάλιστα τῶν τότε Ῥωμαίων γενόμενοι· ἐφ' οὓς ὑπάτων καὶ στρατηγῶν καὶ τῆς Πομπηΐου τύχης ἐδέησεν

B αὐτοῖς, ἐγγὺς ἐλθούσης τῆς πόλεως ἀναρπασθῆναι τῆς γῆς. καί τοί γε οἱ Σπαρτάκῳ καὶ Κρίξῳ συναποστάντες, οὔτε ἐκείνοις, οὔτε ἀλλήλοις ἦσαν ὁμόφυλοι, ἀλλ' ἡ κοινωνία τῆς τόχης ἐπειλημμένη προφάσεως, ὁμογνώμονας ἐποίει. φύσει γὰρ ἅπαν, οἶμαι, πολέμιον ἐστὶν ἐλπίσῃ κρατήσειν τοῦ κυρίου τὸ δοῦλον. ἆρ' οὖν ὁμοίως ἔχει καὶ παρ' ἡμῖν, ἢ τῷ παντὶ μεγαλφότερον ταῖς ὑποθέσεις τῶν ἀτόπων ἐκτρέφομεν; οὔτε γὰρ δύο ἐστόν, οὔτε ἄτιμοι παρ' ἡμῖν οἱ στάσεως ἄρξαντες, ἀλλὰ στρατεύματα

C μεγάλα καὶ παλαμναῖα, καὶ συγγενῆ τῶν παρ' ἡμῖν δούλων εἰς τὴν Ῥωμαίων ἡγεμονίαν εἰσερρυηκότα κακῇ μοίρᾳ, περιέχεται στρατηγοὺς μάλα ἐν ἀξιώματι παρὰ σφίσιν αὐτοῖς καὶ παρ' ἡμῖν Ἡμετέρᾳ κακίῃ---

Τούτων ὅταν ἐθέλωσι πρὸς οἷς ἔχουσι, καὶ τοὺς οἰκέτας ἡγοῦ στρατιώτας εἶναι μάλα ἰταμοὺς καὶ θρασεῖς, ἔργοις ἀνοσιωτέροις τῆς αὐτονομίας ἐμφορησομένους. καθαιρετέον οὖν ὑμῖν τὸν ἐπιτειχισμόν, καὶ τὴν ἔξωθεν αἰτίαν ἐξαιρετέον τῆς νόσου, πρὶν ἐπισημῆναι καὶ τὸ ῥῆγμα τὸ ὕπουλον· πρὶν ἐλεγχθῆναι

D τὴν τῶν ἐνοικούντων δυσμένειαν. ἀρχόμενά τοι κρατεῖται τὰ κακά, κρατύνεται δὲ προϊόντα· καθαρτέον δὲ τῷ βασιλεῖ τὸ στρατόπεδον, ὥσπερ θημῶνα πυρῶν, οὗ ζειαί τε ἐκκρίνομεν, καὶ ὅσα παραβλαστάνει, λύμη τῷ γενναίῳ τε καὶ γνησίῳ σπέρματι. εἰ δέ σοι δοκῶ τὰ μηκέτι ῥᾴδια συμβουλεύειν, οὐκ ἐννενόηκας, ἀνδρῶν ὁποίων μὲν ὄντι σοὶ βασιλεῖ, περὶ δὲ ἔθνους ὁποίου τοὺς λόγους ποιοῦμαι; οὗ Ῥωμαῖοι μὲν περιεγένοντο, ἀφ' οὗ καὶ τοὔνομα αὐτῶν εἰς ἀνθρώπους ἠκούσθη

ἠκούσθη καὶ κρατοῦσιν ἁπάντων, οἷς ξυμμίξειαν, καὶ χειρὶ καὶ γνώμῃ, καὶ τὴν γῆν ἐπῆλθον, * ὡς Ὅμηρος φησὶ τοὺς Θεούς.

γρ. ὥσπερ

Ἀνθρώπων ὕβριν τε καὶ εὐνομίαν ἐφέποντες· Σκύθας δὲ τούτοις Ἡρόδοτός τε φησί, καὶ ἡμεῖς ὁρῶμεν, κατεχομένους ὑπὸ νόσου πάντας δειλίας. οὗτοι γάρ εἰσιν ἀφ' ὧν οἱ πανταχοῦ δοῦλοι, οἱ μηδέποτε γῆς ἐγκρατεῖς, δι' οὓς ἡ Σκυθῶν ἐρημία παροιμίασται, φεύγοντες ἀεὶ τὴν οἰκείαν· οὓς ἐξ ἠθῶν τῶν σφετέρων, φασὶν οἱ τὰ παλαιὰ παραδόντες, Κιμμέριοί τε ἀνέστησαν πρότερον, καὶ αὖθις ἕτεροι, καὶ αἱ γυναῖκές ποτε, καὶ οἱ πατέρες ὑμῶν, καὶ ὁ Μακεδών, ὑφ' ὧν τῶν μὲν εἰς τοὺς εἴσω, τῶν δὲ εἰς τοὺς ἔξω παρεχώρησαν. καὶ οὐ παύονταί γε, ἕως ἂν ὦσι τοῖς καταντικρὺ παρὰ τῶν ἐλαυνόντων ἀντιδιδόμενοι· ἀλλ' ὅταν ἐμπέσωσιν ἄφνω τοῖς οὐ προσδεχομένοις, ἐπὶ χρόνον ταράττουσιν, ὥσπερ Ἀσσυρίους πάλαι, καὶ Μήδους, καὶ Παλαιστίνους, καὶ τὸ νῦν δὴ τοῦτο παρ' ἡμᾶς οὐ πολεμησείοντες ἦλθον, ἀλλ' ἱκετεύσοντες, ἐπεὶ πάλιν ἀνέστησαν. μαλακωτέροις δὲ ἐντυχόντες οὐ τοῖς ὅπλοις Ῥωμαίων, ἀλλὰ τοῖς ἤθεσιν, ὥσπερ ἴσως ἔδει πρὸς ἱκέτας, γένος ἀμαθὲς τὸ εἰκὸς ἀπεδίδου, καὶ ἐθρασύνετο, καὶ ἠγνωμόνει τὴν εὐεργεσίαν, ὑπὸ σοῦ πατρὶ τῷ σῷ δίκας ἐπ' αὐτοὺς ὡπλισμένῳ διδόντες, αὖθις ἦσαν οἰκτροί, καὶ ἱκέται σὺν γυναιξὶν ἐκάθιζον. ὁ δὲ τῷ πολέμῳ νικῶν, ἐλέῳ παρὰ πλεῖστον ἡττᾶτο, καὶ ἀνίστη τῆς ἱκετείας, καὶ συμμάχους ἐποίει, καὶ πολιτείας ἠξίου, καὶ μετεδίδου γερῶν, καὶ γῆς τι ἐδάσατο τοῖς παλαμναίοις Ῥωμαϊκῆς, ἀνὴρ τῷ μεγαλόφρονι καὶ γενναίῳ τῆς φύσεως ἐπὶ τὸ πρᾶον χρησάμενος. ἀλλ' ἀρετῆς γε τὸ βάρβαρον οὐ ξυνίησιν. ἀρξάμενοι γὰρ ἐκεῖθεν, τὸ μέχρι τοῦδε καταγελῶσιν ἡμῶν, εἰδότες ὧν τε ἦσαν ἄξιοι παρ' ἡμῶν, ὧν τε ἠξιώθησαν· τὸ, τε κλέος τούτων γείτοσιν αὐτῶν ἤδη τὴν ἐφ' ἡμᾶς ὡδοποίησε, καὶ τινὲς ἐκφοιτῶσιν ἱπποτοξόται ξένοι παρὰ τοὺς ῥᾳδίους ἀνθρώπους, φιλοφροσύνην αἰτοῦντες, παράδειγμα ἐκείνους τοὺς χείρους ποιούμενοι, καὶ προβαίνειν ἔοικε τὸ κακόν,

A propagata est, omnésque & manu, & consilio vincunt, quibus cum bellum gerunt, nec non & terram peragrarunt, vt Homerus Deos ait,

Iura obseruantes hominum, simul impia facta.

Scythas contra illos Herodotus ait, nósque videmus eodem omnes morbo timiditatis tentari: ij enim sunt, ex quibus vbique mancipia deliguntur, qui nihil vsquam terræ possident, propter quos Scytharum solitudo in Prouerbium abiit, qui natale semper solum fugiunt, quos sedibus suis (vt tradunt ij qui res antiquas memoriæ prodiderunt) Cimmerij primum exegerunt,
B móxque & alij, ac mulieres nonnunquam, & Maiores nostri, & Macedonum rex, quorum ab his quidem in eos populos, qui trans ipsorum regionem sunt, ab illis verò in eos qui cis erant, pulsi, recesserunt. Nec prius fugiendi modum faciunt, quàm ab iis qui vtrinque propellunt, in eos qui ex aduerso sunt, protrudantur, sed cùm incautos facta impressione obruerint, aliquandiu perturbant, vt Assyrios olim, & Medos, & Palæstinos. Et nunc ad nos non bellum inferre cupientes, sed supplices venerunt, quando iterum sedibus suis sunt profligati. In Romanos autem incidentes
C non armis molliores sed moribus, quales fortè ergâ supplices esse consentaneum erat, rudis atque imperita hominum natio mox quod verisimile esset præstare, insolentius sese habere, beneficium maleficio compensare. Quibus de causis cùm parenti tuo aduersus eos cum armis profecto pœnas dependissent, confestim miseri, ac supplices cum vxoribus considebant. Ille verò bello victor misericordia longè inferior erat: supplices itaque surgere iussos in belli societatem, ac ciuitatis recepit, magistratuúmque participes fecit, terræque nonnihil insuper istis Romanæ reipublicæ pestibus assignauit, vir indolis magnifi-
D centiam & generositatem ad mansuetudinem, clementiámque conuertens. Verùm virtutem minimè id quod Barbarum est intelligit. Inde enim exorsi in hunc vsque diem nos derident, sibiipsis eorum conscij, tam quæ de nobis meriti essent, quàm quibus sunt à nobis affecti. Eius rei fama finitimis quoque illorum aditum ad nos patefecit. Et ex peregrinis equestres aliquot sagittarij relicta patria ad homines nimium faciles proficiscuntur, comiter ac benignè excipi sese postulantes, atque in exemplum sibi nequiores illos proponentes. Ita vt ad eam quam vulgus vocat,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

persuasionem cum necessitate coniunctam malum ipsum progredi videatur: Philosophiæ enim non multum de nominibus pugnandum, quæ administram animi sensibus operam requirit, vel si eam ex ima; fæce populi ad res explicandas dilucidam, ac consentaneam corrogare necesse sit. Quomodo ergô non difficillimum est recuperata nominis gloria,

Inde canes fatis expellere tristibus actos?

Sed si me audias id ipsum quod operosum est facillimum apparebit, auctis militaribus numeris, eorumdémque beneficio & spiritibus: nec non propriis exercitibus conflatis id Imperio adiicias, quod iampridem decessit. illud nempe Homerus, præstantissimis viris quasi eximium attribuit

Ingens esse solet diuini Principis ira,

Animo itaque aduersus eos homines opus est, ac vel ex imperio terram colent, quemadmodum Lacedæmoniis olim Messenij positis armis seruierunt, aut eadem via fugam arripient, iisque qui trans fluuium habitant renuntiabunt, non eandem amplius in Romanis humanitatem inesse. Sed eorum ducem esse generosum quendam adolescentem,

Acrem hominem, immeritum vel qui culpauerit vltro.

Verùm missa hæc faciamus. Hæc porrò educatio, institutióque bellicosi principis est, deinceps verò de pacifico rege disseramus. Ac bellicosus quidem omnium maxime pacificus fuerit: Soli enim illi pacem colere licet, qui lacessentes vlcisci, ac malè afficere potest. Eúmque regem dixerim omni ex parte rebus ad pacem attinentibus instructum esse, qui cùm iniuriam inferre nolit, propulsandæ iniuriæ facultatem sibi comparauit: bello quippe, nisi ipse gerere possit, ab alio premetur. Atque cùm bello pax felicior sit, quoniam pacis causa bellum instituitur (finis autem iis, quæ sui causa sunt, merito anteponendus est) consulto sane fecerit, si se toti Imperij corpori, quod bifariam tribuitur, in armatum & inermem populum, vicissim vtrique parti dediderit, ac post milites ciuitatibus populísque sui copiam faciat, quibus militum opera agriculturæ & reipublicæ; securitatem conciliauimus: ita verò sui copiam faciet, vt quascumque potest non modò nationes, sed &

A εἰς τὴν καλουμένην ὑπὸ τῶν πολλῶν πειθανάγκην. φιλοσοφίᾳ γὰρ οὐ διενεκτέον ὑπὲρ τῶν ὀνομάτων, ὑπηρεσίαν τῇ διανοίᾳ ζητούσῃ, κἂν χαμόθεν αὐτὴν εἰς τὰ πράγματα συμπορίζηται τρανήν τε καὶ ἐφαρμόζουσαν. πῶς οὖν οὐ χαλεπὸν ἀναμαχεσαμένοις τὸ κλέος,

Ἐξελάαν ἔνθενδε κύνας κηρεσσιφορήτους.

ἢν ἀκούῃς ἐμοῦ, τὸ χαλεπὸν τοῦτο τὸ πάντων εὐμάρειαν ἔχον φανεῖται, αὐξηθέντων ἡμῖν τῶν καταλόγων· τοῖς δὲ καταλόγοις τῶν φρονημά-B των, καὶ γινομένων οἰκείων τῶν συνταγμάτων, προσθεὶς τῇ βασιλείᾳ τὸ γινόμενον ἀπ' αὐτῆς ἐλλιπές· καὶ Ὅμηρος αὐτὸ καθιέρωσε τοῖς ἀρίστοις·

Θυμὸς δὴ μέγας ἐστὶ διοτρεφέων βασιλήων.

Θυμοῦ οὖν ἐπὶ τοὺς ἄνδρας δεῖ, καὶ ἢ γεωργήσουσιν ἐξ ἐπιτάγματος, ὥσπερ πάλαι Λακεδαιμονίοις Μεσσήνιοι τὰ ὅπλα καταβαλόντες εἱλώτευον· ἢ φεύξονται τὴν αὐτὴν ὁδὸν αὖθις τοῖς πέραν τοῦ ποταμοῦ διαγγέλλοντες, ὡς οὐκ ἔνεστιν ἔτι παρὰ Ῥωμαίοις τὰ μείλιχα. ἀλλ' ἐξηγεῖταί τις αὐτῶν, νέος τε καὶ γεν-C ναῖος

Δεινὸς ἀνήρ, τάχα κεν καὶ ἀναίτιον αἰτιόῳτο.

εἶεν. αὕτη μὲν τροφὴ καὶ παιδεία βασιλέως πολεμικοῦ· τὸν δὲ εἰρηνικὸν ἑξῆς πολυπραγμονῶμεν. εἴη μὲν ὁ πολεμικὸς πάντως μᾶλλον εἰρηνικός. μόνῳ γὰρ ἔξεστιν εἰρήνην ἄγειν τῷ δυναμένῳ τὸν ἀδικοῦντα κακῶσαι, καὶ φαίην ἂν ἐγὼ βασιλέα τοῦτον, πάντα ἐκ πάντων τὰ εἰς εἰρήνην συγκεχορηγῆσθαι, ὅστις οὐκ ἐθέλων ἀδικεῖν, τοῦ μὴ ἀδικεῖσθαι πεπόρισται δύναμιν. πολεμήσεται γάρ, εἰ μὴ D πολεμήσει. ἔστι μὲν εἰρήνη πολέμου μακαριώτερον, ὅτι καὶ διὰ τὴν εἰρήνην τὰ τοῦ πολέμου παρασκευάζεται. τέλος οὖν ὂν τῶν δι' αὐτὸ δικαίως ἂν προτιμῷτο. καλῶς οὖν ἔχει τῷ σώματι τῆς ἡγεμονίας διχῇ διαιρεθέντι κατὰ τὸν ὄχλον τὸν ὡπλισμένον καὶ ἄοπλον, ἀνὰ μέρος ἑαυτὸν ἑκατέρῳ διδόναι, καὶ συνεῖναι μετὰ τοὺς μαχίμους ταῖς πόλεσι καὶ τοῖς δήμοις, οἷς διὰ τῶν μαχίμων ἄδειαν γεωργίας καὶ πολιτείας ἐπορισάμεθα. συνέσται δὲ τοῖς μὲν ἐπιφοιτῶν ὅσοις οἷόν τε τῶν ἐθνῶν, καὶ ὅσαις οἷόν τε τῶν πό-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λεων· εἰς ἃς δὲ μὴ ἀφικνεῖται τοῦ ἀρχομένου, A καὶ τούτου δὴ ἐπιμελεῖται τῷ πεφηνότι δυνατῷ καὶ καλλίστῳ τῶν τρόπων. τὸ δὲ χρῆμα τῶν πρεσβειῶν, ἄλλως τε ἱερόν, καὶ διὰ τοῦ παντὸς ἄξιον, αἷς ὁμιλῶν βασιλεύς, οὐδέν τι μεῖον εἴσεται τῶν ἀγχοῦ τὰ πόρρω, οὐδὲ ὄψεως αἰσθήσει τὴν ὑπὲρ τῆς ἀρχῆς προμήθειαν ὁριεῖται. ἀλλὰ καὶ ἐγερεῖ τὸ πεπτωκὸς οὐκ ἰδών, καὶ ἐπιδώσει τοῖς ἀπορουμένοις τῶν δήμων, καὶ αἰτήσει λειτουργιῶν τοὺς πάλαι λειτουργίαις πονοῦντας, καὶ ὑπανιχνούμενον ἐκρήξει, καὶ ὄντα ἀνελεῖ πόλεμον, καί τι ἄλλο προδιοικήσεται. B ταῦτα παρὰ τῶν πρεσβειῶν ἕξει δίκην Θεοῦ,

Πάντ' ἐφορᾷν καὶ πάντ' ἐπακούειν.

civitates perlustret; quas autem adire non potest, quoad poterit quàm optima ratione prospiciat. Cæterum legationes cùm alioqui sacrum quidpiam sint, tum hîc præsertim maximi faciendæ sunt, quarum consuetudine Rex non minùs quæ dissita, quàm quæ proxima sunt, intelliget, neque videndi sensu imperij sollicitudinem circumscribet. Verùm & id quod collapsum est, etiamsi non viderit, restaurabit, & in egestate laborantes populos largitionem faciet, & publicis sumptibus iamdudum vexatis publica mu-era remittet, bella siue imminentia occupabit, siue indicta iam, & conflata rescindet, aliúdve quippiam insuper procurabit. Hæc legatorum beneficio Dei instar poterit,

Cuncta audire, & cernere cuncta.

αἷς εὐπρόσοδος ἔστω καὶ πατὴρ ὡς ἤπιος, τοῦτο μὲν ἤδη καὶ γείτοσι καὶ μὴ γείτοσιν. Ὁμήρου γὰρ αὐτὸ καθάπαξ περὶ τοῦ κατ' αὐτὸν εἰρηνικοῦ βασιλέως ἤκουσα λέγοντος. καὶ πρῶτόν γε ἐπιτετάχθων οἱ στρατιῶται φείδεσθαί τε καὶ ἥκιστα λυπηροὶ γίνεσθαι τοῖς ἀστυπόλοις τε C καὶ ἀγροδιαίτοις, μεμνημένοι πόνων, οὓς δι' αὐτοὺς ἀνείλοντο. ἵνα γὰρ σώζηται τὰ πόλεών τε καὶ γῆς ἀγαθά, βασιλεύς τε προπολεμεῖ, καὶ καταλέγει τοὺς πολεμήσοντας. ὅστις οὖν ἐμοῦ τὸν μὲν ἀλλόφυλον ἐχθρὸν ἀπερύκει, αὐτὸς δὲ οὐ τὰ μέτρια μοι χρῆται, οὗτος οὐδέν μοι δοκεῖ διαφέρειν κυνὸς δι' αὐτὸ τοῦτο τοὺς λύκους ὡς πορρωτάτω διώκοντος, ἵνα αὐτὸς ἐπὶ σχολῆς κεραΐζῃ τὴν ποίμνην, δέον ἀπέχειν τῆς φυλακῆς τὸν μισθὸν τοῦ γάλακτος ἐμφορούμενον. ἀκριβὴς οὖν εἰρήνη, πεπαιδεῦσθαι τοὺς στρατιώτας τοῖς ἀόπλοις ὡς ἀδελφοῖς χρῆσθαι, μόνα φερο- D μένοις ὅσα ἐτάχθησαν· οὐδὲ τὸ τρύχειν εἰσφοραῖς τὰς πόλεις βασιλικόν. ἀγαθῷ γὰρ ὄντι ποῦ καὶ δεῖ χρημάτων πολλῶν, οὔτε χαυνότητι γνώμης εἰς ἔργα δαπανηρὰ καθιέντι, καὶ ἀντὶ σώφρονος χρείας ἀλαζόνα φιλοτιμίαν πρεσβεύοντι, οὔτε μειρακιώδει γνώμῃ καταχαριζομένῳ ταῖς ἐπὶ σκηνῆς παιδιαῖς τοὺς τῶν σπουδαίων ἱδρῶτας· ἀλλ' οὐδὲ εἰς ἀνάγκην ἀφικνουμένῳ συχνῶν πολέμων, οὓς ὁ Λάκων φησὶν οὐ τεταγμένα σιτεῖσθαι. ἀνεπιβούλευτον γὰρ καὶ ἀνεπιχείρητον ὁ λόγος ἐποίει τὸν ἀγαθόν.

Quibus accessu facilem se præbeat, sitque Pater ceu mitis, & talem se nullo discrimine tam erga finitimos, quàm non finitimos præstet. Ab Homero enim de eo quem pacificum faciebat rege semel id dictum accepimus. Primum ergo militibus imperandum vt ciuibus, & rusticis parcant, miniméque molesti sint, eorum laborum memores, quos ipsorum gratia susceperunt. Nam vt ciuitatis terræque commoda tueatur, Rex & propugnat, & milites conscribit. Quare qui peregrinum quidem à me hostem propulsat, ipse autem moderatè mecum non agit, is à cane mihi non differre videtur, qui lupos propterea longissime abigit, vt per otium gregem commodè dilaniare possit, cùm potius in custodiæ mercedem eum lacte satiari oporteat. Quapropter accurata pax est, milites ita comparatos esse, vt inermi plebe tanquam fratribus vti velint, solisque iis, quæ præfinita sunt, stipendiis contenti sint. Neque tributis ciuitates exhaurire regium est: bono enim principi vbinam tantis pecuniis opus est? cùm neque insolenti animi fastu sumptuosa opera moliatur, nec temperati vsus loco inanem, atque ambitiosam magnificentiam affectet, neque iuuenili consilio in Scenicos ludos gnauorum hominum labores perperam consumat, sed nec plurimorum bellorum necessitate cogatur, quæ non de mensis vesci Laco olim quidam dicebat. Ab insidiis enim, & inuasione securũ eum qui bonus sit nostra faciebat oratio.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Quamobrem si ad ea contrahatur quæ necessaria sunt, superuacuis nihil opus erit, eorúmque minime molestus exactor esse potest: cùm de residuis quidem quæ necessaria sunt remittet, quæ verò pro cujusque facultatibus conferuntur, æqui boníque consulet. Rex autem pecuniæ appetens multo est institore turpior: hic enim familiæ egestati subuenit: in illo verò animi nequitia omni prorsus excusatione caret. Atque ego sæpenumero vnamquamque animi perturbationem mecum ipse reputans, qualésnam sibi deditos homines efficiat, priuatos adeò ipsos, quæstuariam illam nationem dico, mihi videor animaduertere præ cæteris ignobiles atque improbos, planéque illiberales esse, in eáque sola repub. quæ intestinis dissidiis laborat non penitus infamem locum obtinere. Quiquidem primi sui contemnendi authores fuerunt, quoniam circa id quod præcipuum, & infimum est, in contraria naturæ consilia deflexerunt: hæc enim corpus animæ obsequio subiecit, externa ad corporis vsum reuocauit, posteriori verò secundas partes dedit: at illi animam & corpus ei quod tertium est subiungunt. Sese igitur ipsos aspernantes, principémque animæ partem in seruitutem redigentes, quid est quod illi magnum honestúmve moliri, aut deliberare queant? Quos ego formicis ignobiliores, atque insipientiores pronuntians veritatis causa non erubescam: illæ enim vitæ necessitate quæstum metiuntur, hi vitam quæstu, lucríque necessitate censent esse metiendam. Procul igitur à se, & à subditis exitiosam hanc pestem amoliatur, vt princeps bonis bonus imperet, virtutísque contrà æmulationem inducat, in qua ipse rex & certator, & certaminis arbiter esse debet. Etenim turpe est (inquit aliquis) iaculandi pugnandíque solum certamina esse publica, imò etiam coronam ab iis qui ita vicerint reportari, temperantiæ autem, virtutísque nulla esse. Quocirca verisimile, vel potius verisimili certius, omninóque necessarium est, si eo modo affectum regem ciuitates sequantur, vetustissimam illam, auream inquam, ac celeberrimam vitam instituturas, & vt nullum in malis studium posituras, ita in bonis, potissimúmque pietate operam collocaturas: ad quā dux ipse rex erit, cu-

A συνεσταλμένων οὖν αὐτῷ τῶν ἐφ' ἃ δεῖ, πε-
ριττῶν οὐδὲν δεῖ· τούτων ἔξεστι γίνεσθαι πο-
ριστὴν ἀλυπότατον. τὰ μὲν ἀναγκαῖα τῶν ἐλ-
λειμμάτων ἀνιέντα· τὰ δὲ σύμμετρα ταῖς
τῶν εἰσφερόντων δυνάμεσιν ἀγαπῶντα. βα-
σιλεὺς δὲ ἐρασιχρήματος, αἴσχιων καπή-
λου. ὁ μὲν γὰρ ἔνδειαν οἴκου παραμυθεῖ-
ται, τῷ δὲ ἀπαραφάσιστος ἡ κακία τῆς γνώ-
μης. ἔγωγέ τοι θαμὰ ἐπισκοπούμενος ἕκα-
στα τῶν παθῶν, ὁποίους ἡμῖν τοὺς προεστη-
κότας ἄνδρας παρέχεται, καθεῖδον ἐμοὶ δοκῶ
καὶ τοὺς ἰδιώτας, τὸ χρηματιστικὸν τοῦτο φῦ-
B λον, ὡς ἁπάντων μᾶλλον ἀγεννές τε ἐστὶ καὶ
κακόηθες, καὶ ἀκριβῶς ἀνελεύθερον, ἐν μό-
νῃ τε αὖ τῇ νοσούσῃ πολιτείᾳ χώραν εὑρί-
σκοι τινὰ οὐ παντάπασιν ἄτιμον· οἵ γε καὶ
φθάσαντες ὑφ' αὑτῶν αὐτοὶ καταφρονηθῆσαν,
ὅτι τῷ βουλήματι τῆς φύσεως ἀντικειμένως
διενοήθησαν περὶ τὸ πρῶτον καὶ πολλοστόν· ἐ-
πεὶ τὸ μὲν σῶμα συνέταξεν εἰς ὑπηρε-
σίαν ψυχῆς· τὰ δὲ ἐκτὸς εἰς χρείαν σώ-
ματος. τῷ δὲ ὑστέρῳ δέδωκε δεύτερα· οἱ δὲ
καὶ σῶμα καὶ ψυχὴν τῷ τρίτῳ συνά-
πτουσι· σφᾶς οὖν αὐτοὺς ἀτιμάσαντες, καὶ
C τὸ ἐν αὑτοῖς ἡγούμενον δοῦλον ποιήσαντες,
τί ἂν ἔτι οὗτοι μέγα καὶ σεμνὸν ἢ πρά-
ξαιεν, ἢ βουλεύσαιεν; οὐκ ἐγὼ καὶ μυρμή-
κων ἀγεννεστέρους ἀποφηνάμενος, καὶ μᾶλλον
ὀλιγογνώμονας, οὐκ αἰσχυνοῦμαι τὴν ἀλή-
θειαν. οἱ μὲν γὰρ χρείᾳ ζωῆς μετροῦσι τὸν
πόρον· οἱ δὲ τὴν ζωὴν μετρεῖν ἀξιοῦσι τῇ
χρείᾳ τοῦ πόρου. ἐλατέον οὖν αὐτοῦ τε καὶ
τῶν ἀρχομένων τὴν χαλεπὴν ταύτην κῆ-
ρα, ἵν' ἀγαθὸς ἀγαθῶν ἄρχῃ, καὶ ζῆλον
ἀρετῆς ἀντεισενεκτέον, ἧς αὐτὸς βασιλεὺς καὶ
D ἀγωνιστὴς καὶ ἀγωνοθέτης γινέσθω. καὶ γὰρ αἰ-
σχρὸν, ἔφη τις, διακοντίζεσθαι μὲν δημοσίᾳ
καὶ διαπληκτίζεσθαι, καὶ στεφάνους εἶναι τοῖς
ταῦτα νικῶσι, μὴ διασωφρονίζεσθαι δὲ μη-
δένα, μηδὲ διαρετίζεσθαι. εἰκὸς δή που, μᾶλ-
λον δὲ πλέον εἰκότος, καὶ ἀνάγκη δὲ πᾶσα,
τοιαύτῃ διαθέσει βασιλέως ἑπομένας τὰς πό-
λεις βίον βιοτεῦσαι τὸν πάλαι, τὸν χρυσοῦν,
τὸν ὑμνούμενον, ἀσχολίαν ἐχούσας κακῶν, σχο-
λὴν δὲ ἀγαθῶν, καὶ προστάτης τῆς εὐσεβείας
εἰς ἣν ἡγεμὼν αὐτὸς ἔσται βασιλεὺς, ἁπάντων

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀρχὴν καὶ μείονος ἔργου καὶ μείζονος θεόθεν αἰτῶν. ὡς ἔστι δή που παντὸς σεμνότερον θέαμά τε καὶ ἄκουσμα, βασιλεὺς ἐν τῷ δήμῳ τὼ χεῖρε αἴρων καὶ προσκυνῶν τὸν κοινὸν ἑαυτοῦ τε καὶ τοῦ δήμου βασιλέα· λόγον τε ἔχει καὶ τὸ θεῖον γαννύσκεσθαι κυδαινόμενον βασιλέως εὐσεβοῦς θεραπείᾳ, καὶ ἀρρήτοις συναφαῖς τὸν τοιοῦτον οἰκειοῦσθαι. κἀντεῦθεν οὖν παρὰ τὸ θεοφιλὴς εἶναι, φιλάνθρωπός ἐστι παντὸς μᾶλλον, οἵου τυγχάνει τοῦ βασιλέως, τοιοῦτος τοῖς βασιλευομένοις φαινόμενος. ἀλλ' ἐν τούτῳ τί οὐκ ἂν εἰκὸς τῶν δεόντων πρᾶξαι; καί μοι πάλιν ὁ λόγος ἐπὶ τὰ μικρῷ πρόσθεν ἀνακάμπτει. χαρακτῆρα βασιλείας εὐεργεσίαν ἐτιθέμεθα, τὸν δωρητικὸν πάλιν τῶν ἀγαθῶν, τὸν ἵλεων, τὰς ὁμωνυμίας ἀναπεμπαζόμενοι τοῦ Θεοῦ. αὐτά τε οὖν ταῦτα καὶ ὅσα μετὰ τούτων ἐλέγετο, πρὶν ἐπαγγείλασθαι πλάττειν τὸν ἐν τῷ λόγῳ βασιλέα, συντετάχθω νῦν εἰς μέρη, καὶ πληρούτω τὸ ἄγαλμα. ὧν δή που κεφάλαιον ἦν, ὅτι παρεκτικὸς ὢν ἀγαθῶν, οὐ καμεῖται τοῦτο ποιῶν, οὐ μᾶλλον ἢ τὰς ἀκτῖνας ὁ ἥλιος φυτοῖς καὶ ζώοις δωρούμενος. οὐ γὰρ πόνος αὐτῷ καταλάμπειν, ἐν οὐσίᾳ τὸ λαμπρὸν ἔχοντι, καὶ πηγῇ φωτὸς ὄντι. αὐτός τε οὖν ἑαυτὸν ἐμβιβάσας τῷ τοιῷδε τῆς ζωῆς εἴδει, δι' ἑαυτοῦ κοσμήσει πᾶν, εἰς ὅσον ἐφικνεῖται τοῦ ἀρχομένου, καὶ τοὺς ἀγχοῦ τῆς καθέδρας, οἳ μόνου μὲν αὐτοῦ δευτερεύουσι, τῶν δὲ ἄλλων πρωτεύουσι, τῷ βασιλικῷ τῆς ψυχῆς κόσμῳ συντάξει, ὠφελητικοὺς ἀνθρώπων ὄντας πρὸς μέτρον ἕκαστον τῆς νεμηθείσης δυνάμεως. καὶ πρόεισι μὲν ἐπὶ πλεῖον οὕτω τὴν πρώτην ἡ ἐπιμέλεια τῶν ἀνθρώπων, πλειόνων αὐτὴν διὰ χειρὸς ἐχόντων. ἀλλά τοι δεῖ καὶ ὑπαρχείους ἁρμοστὰς ἐκπέμπειν, ἐν ἀρχῆς μεγέθει τοσῷδε. τὸ δὲ μετὰ τοῦτο, τοὺς ἐπὶ τῆς δίκης ἄρχοντας φιλοκρινητέον, ὡς ἔστιν αὕτη θεία καὶ μεγαλομερὴς ἡ πρόνοια. ἕκαστον μὲν γὰρ τόπον καὶ ἄνδρα, καὶ ἀμφισβήτησιν ἐθέλειν εἰδέναι, πολλῆς γε τῆς ἐκπεριΐξεως, καὶ οὐδ' ἂν Διονύσιος ἤρκεσεν ὁ νήσου μιᾶς, καὶ οὐδὲ ὅλης ταύτης ἀρχὴν καταστησάμενος, * ἐπιμελεῖσθαι.

γρ. ἐπιμελήσασθαι.

A iuscumq; siue maioris, siue minoris operis auspicium à Deo supplex postulans. Nimirum nihil videri, aut audiri potest honestius eo Rege, qui in populo manus attollens, communem suiipsius populique principem adorat. Nec à ratione alienum est diuinum quoque numen religiosi principis cultu, reuerentiáque gaudere, cúmque arcana quadam necessitudine sibi conciliare. Hinc ergo quoniam Deo gratus est ad humanitatem item cõpositus erit, talémque se subditis præbebit, qualem ipse principem experitur: in quo quid non eorum quæ ad vitæ vsum
B accommodata sunt expectandum est? Ac mihi rursum ad ea quæ paulò ante dicebamus regressa festinat oratio. Regis signum notámque penes beneficentiam constituimus, vnáque in eo posuimus, vt & bonorum munificus largitor & propitius esset, communésque cùm Deo illius appellationes in memoriam reduximus. Hæc igitur ipsa, & quæ cum his antè dicta sunt, quàm regem hac Oratione informandum reciperemus, nunc per partes digerantur, nostrúmque istud simulacrum impleant. Quorum summa breuiter hæc erat, eiusmodi principem cum in
C bonis conferendis liberalitate sit animi præditus, tum nihilo magis ea re defatigatum iri, quàm Solem suos in stirpes atque animantia radios effundentem: Nec enim lucere ei laboriosum est, vtpotè cuius in natura splendor & fons ipse luminis continetur. Itaque à se ipso in id vitæ genus introductus cuncta per sese moderabitur, quatenus id quod subditum est prouidentia eius assequetur. Assessores verò suos, qui ab eo solo secundi, inter reliquos primas tenent, regia animi moderatione componet, iuuandorum hominum pro rata quemque
D concessæ facultatis portione studiosos. Atque quamprimum vlterius hominum cura progreditur, quo pluribus commissa fuerit; At verò præterea in tanta imperij magnitudine exterarum Prouinciarum Præfecti dimittendi sunt. Deinceps autem iuri dicundo Magistratuum delectus faciendus est, quia diuina hæc est, magnificáque prouidentia. Nam singula loca, hominésque, aut controuersias velle cognoscere maximæ vsquequaque discursionis est: neque Dionysius ipse cum vnius, nec integræ quidem insulæ imperium constituisset eidem administrandæ par esse potuit

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Verùm paucorum curatorum interuentu plurimorum hominum curam licet suscipere. Hanc diuinam, ac generalem Prouidentiam appellarunt, quam in solidis, ac constitutis moribus manentem, & in minimas etiam partes incumbentem, ne minimæ quidem partes effugiunt. Eandem ad res gerendas diuinum numen adhibēs, non ipsum quidem quæ in his inferioribus sunt minuta quæque persequitur, sed natura tanquam manu vtitur, suo constanter in statu manens, & bonorum ad extremum vsque causa est, causarum scilicet omnium ipse causa. Eo modo Regi vniuersorum cura capessenda est: habeat ille quàm fieri potest iustissimos, atque optimos Rectores, in quos Imperium diuidat: paucos enim facilius, quàm multos cognoscet, eosdémque facilius rectè secúsve administrantes sentiet. Virtutis porrò, non diuitiarum, vt nunc assolet, inita ratione, magistratuum delectus habeatur. Quandoquidem medicis corpus committimus non qui ditissimi, sed quicunq; demum suæ artis peritissimi sint. Magistratus verò præ diuite multò magis is eligendus est, qui regendorum hominum peritia valet, quoniam plura ob id ipsum peius meliúsve constituta ne sint periclitantur. Quid enim si quis ex hoc ipso, quod improbus esset, diuitias congessit, num ab eo æquum est magistratum geri, nec ab eo qui sit quidem pauper, sed legum tamen, iustitiæque cultor, qui ob idipsum quod iustus est paupertate laborans pudore non afficitur? Atqui ille sanè quomodocúmque diues Magistratum pecuniis mercatus cuiusmodi sit ęqui distributor idoneus nesciat: videtur enim (vt ita dicam) non facile is iniustitiam odio prosecuturus, nedum pecunias contempturus, aut Prætorium minime venalium iudiciorum forum redditurus. Si quidem credibile non est eum sublato vultu toruis ac rigidis oculis aurum ex aduerso intueri posse; contra verò verecundia motum iri, nonnihilque remissurum, ac demum auide amplexurum esse, cui eo ipso gratiã habet, quod parte aliqua diuitiarum reipub. administrationem permutarit, & tãquam aliquid aliud ciuitates conduxerit. Nouit ergo se eius beneficio in honore esse, sublimique in solio sedere, non modò à numerosa alia plebe, sed & à lautioribus iustis, ac pauperib. magnifice circumspectum. Tu verò fac vt virtutis aliquid in pretio habeatur, quamuis sit cũ egestate coniunctũ,

A ἐπιμελητὴν δὲ δι' ὀλίγων ἐστὶ τῶν πολλῶν
φροντίσαι. ταύτην ἐκαλέσαμεν θεοπρεπῆ τε
καὶ καθολικὴν κηδεμονίαν, ἣν ἐν ἀθρόῳ
μένουσαν ἤδη καὶ συγκατιοῦσαν ἐπὶ τὰ τυ-
χόντα τῶν μερῶν, οὐδὲ τὰ τυχόντα δια-
πέφευγε τῶν μερῶν. ταύτῃ χρώμενος ὁ
Θεός, οὐκ αὐτὸς ἐκλειτουργεῖ τῶν δεῦρο
τὰ ἕκαστα, ἀλλὰ χρῆται χειρὶ τῇ φύσει,
μένων ἐν ἤθει τῷ αὐτοῦ, καὶ ἔστιν αἴτιος μέ-
χρις ἐσχάτου τῶν ἀγαθῶν, τῶν αἰτίων γινό-
μενος αἴτιος. βασιλεῖ ταύτῃ μιμητέον τῶν
ὅλων τὴν ἐπιμέλειαν. διανεμέτω τὴν ἀρ-
B χὴν ὡς δυνατὸν ἐπιστάταις δικαιοτάτοις τε
καὶ ἀρίστοις. καὶ γὰρ ῥᾷον ὀλίγους ἢ πολ-
λοὺς γνώσεται· καὶ ῥᾷον ὀλίγων ἁμαρτανόν-
των ἢ κατορθούντων αἰσθήσεται. ἀριστίνδην
οὖν, ἀλλὰ μὴ πλουτίνδην, ὥσπερ νῦν ἡ
τῶν ἀρξόντων αἵρεσις γινέσθω· ἐπεὶ καὶ ἰα-
τροῖς τὸ σῶμα ἐπιτρέπομεν, οὐ τοῖς πλου-
σιωτάτοις, ἀλλ' οἵτινες ἂν ὦσι τῆς τέχνης
ἐπηβολώτατοι· ἄρχοντα δὲ δὴ καὶ μᾶλλον
ἀνθαιρετέον τοῦ πλουσίου τὸν ἔχοντα τὴν ἀρ-
χικὴν ἐπιστήμην, ὅτι πλείω περὶ αὐτὸν
κινδυνεύεται χεῖρον ἢ βέλτιον κεῖσθαι. τί
C γάρ, εἴ τις παρ' αὐτὸ τὸ κακὸς εἶναι
πλοῦτον συνείλοχεν, ἆρα ἄξιον ἄρχειν αὐ-
τόν; ἀλλὰ μὴ τὸν πένητα μέν, νόμιμον δὲ
ἄνδρα καὶ δίκαιον, ὃς δι' αὐτὸ τοῦτο τὸ δί-
καιος εἶναι πενίᾳ συνοικῶν οὐκ αἰσχύνεται; ἀλλ'
ἐκεῖνος μὲν ὁ πλουτῶν ὁπωσοῦν, ἐωνημένος δὲ
τὴν ἀρχήν, οὐκ ἂν εἰδείη ὁποῖος ἂν γένοιτο
νεμετὴς τοῦ δικαίου. φαίνεται γάρ, ὡς οὕτως
εἰπεῖν, οὐ ῥᾷστα ὁ τοιοῦτος ἀδικίαν μισῆσαι· σχο-
λῇ δ' ἂν ὑπεριδεῖν χρημάτων, ἀλλ' οὐκ ἀπο-
δεῖξαι τὸ ἀρχεῖον, δικῶν πωλητήριον· ὡς οὐκ
D εἰκός γε αὐτὸν διαράμενον βλοσυροῖς ὀφ-
θαλμοῖς ἀντιβλέψαι χρυσίῳ· τοὐναντίον μὲν
αἰδεσθῆναί τε καὶ ἐνδοῦναι καὶ τελευτῶντα
περιπτύξασθαι, ᾧ καὶ κατ' αὐτὸ τοῦτο χάριν
οἶδεν, ὅτι ἄρα πλούτου μοίρας τὴν πολιτείαν
ἠλλάξατο, καὶ ὥσπερ ἄλλο τι τὰς πόλεις με-
μίσθωται. οἶδεν οὖν ὅτι διὰ τοῦτο σεμνός τε
ἐστὶ καὶ ὑψοῦ κάθηται, περιβλεπόμενος ὑ-
πὸ πολλοῦ τε ἄλλου λεώ, καὶ τῶν εὖ ἡ-
κόντων δικαίων τε καὶ πενήτων. ἀλλὰ σύ τι
ποίει ἀρετῆς ζηλωτὸν κἂν πενίᾳ συνῇ,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A μὴ λανθανέτω σε φρόνησις ἀνδρὸς καὶ δικαιοσύνη, καὶ ὁ λοιπὸς ἑσμὸς τῶν ψυχικῶν ἀγαθῶν ἐσθῆτι φαύλῃ κρυπτόμενος· ἀλλ' ἕλκειν τε αὐτὸν ἐν μέσῳ, καὶ ἀξιοῦν δημοσιεῦσαι τὴν ἀρετήν, ἣν οὐκ ἄξιον οἰκουρεῖν, ἀλλ' ὕπαιθρον εἶναι καὶ ἐναγώνιον. εὖ γὰρ ἴσθι, σὺ μὲν ἐκείνους ἐν τῷ παραυτίκα κηρύξεις· ὁ δὲ ἀνακεκηρυγμένος αὐτὸς ἔσῃ διὰ παντός, δεῖγμα δοὺς τῇ διαδοχῇ τοῦ χρόνου βασιλείας εὐδαίμονος. κἂν οὕτω ποιήσῃς, ταχὺ πολλοὺς ὄψει πλοῦτον εἰργασμένον αἰσχυνομένους, καὶ ἄλλους ἐγκαλλωπιζομένους εὐθαιρέτῳ πτωχείᾳ· B καὶ μεταπεσοῦνται τοῖς ἀνθρώποις αἱ νῦν περὶ αὐτὸν ὑπολήψεις, τὸ πλοῦτον ἐξευρεῖν ὄνειδος εἶναι· καὶ ἐν σεμνότητος μοίρᾳ πενίαν τηρῆσαι. ὡς πολλῶν ὄντων ἃ δέδωκεν ὁ Θεὸς βασιλείᾳ ζηλωτὰ καὶ μακάρια, οὐδενὸς ἧττον, εἰ μὴ καὶ πάντων μᾶλλον ἀγασθείη τις ἂν αὐτῆς, καὶ ὑμνήσειε τὴν ἐν ταῖς ψυχαῖς τῶν ἀρχομένων ἰσχύν, ὅτι μετατίθησι βασιλεὺς δόξαν ἤθους ἐγκεκαυμένην ἔθει παλαιῷ, καὶ τρυφῇ τῇ προτέρῃ, τῷ φαίνεσθαι τἀναντία τιμῶν καὶ περὶ πλείστου ποιούμενος· C ὅτῳ γὰρ βασιλεὺς χαίρει, τοῦτ' εὐθὺς αὔξειν ἀνάγκη, καὶ ὑπὸ πλείστων ἐπιτηδεύεσθαι. ἀλλ' ἐνταῦθα τοῦ λόγου γενόμενος, ἐθέλω τι καὶ ὑπὲρ τῶν αὐτὸς ἐμαυτοῦ παιδικῶν εὔξασθαι. ἐρασθείης ὦ βασιλεῦ φιλοσοφίας καὶ παιδείας ἀληθινῆς. ἀνάγκη γὰρ ἐκ τῶν εἰρημένων συνεραστάς σοι γενέσθαι πολλούς, ὧν τι καὶ ὄφελος· ἐπεὶ νῦν γε ὡς ἠμέληται, κίνδυνος ἀποσβῆναι, καὶ μετὰ μικρὸν οὐδ' ἐμπύρευμα λείπεσθαι βουλομένοις ἐναῦσαι. ἆρ' οὖν ὑπὲρ φιλοσοφίας ηὔγμαι τανῦν; ἢ τῇ μὲν οὐδὲν μεῖον κἂν ἀποικῇ τῶν ἀνθρώπων; D ἑστίαν γὰρ ἔχει παρὰ τῷ Θεῷ, περὶ ὃν καὶ δεῦρο οὖσα τὰ πολλὰ πραγματεύεται, καὶ ὅταν αὐτὴν μὴ χωρῇ κατιοῦσαν ὁ χθόνιος χῶρος, μένει παρὰ τῷ πατρί, πρὸς ἡμᾶς ἐνδίκως ἂν εἰποῦσα,

nec te prudentia lateat hominis, aut iuſtitia, reliquáque animi bonorum multitudo ſub vili abiectáque veſte deliteſcens, quin potius in medium producas, dignúmque cenſeas qui virtutem omnium oculis ſubijciat, quam quidem domi ſegnem contineri nefas ſit, ſed ſub dio agere, atque inter certamina verſari oporteat. Sic enim habeto, illos quidem à te in præſentia collaudatum iri, te verò eum fore perpetuò, cuius nomen hóc præconio celebretur, à quo felicioris imperij ſpecimen temporum ſucceſſioni fuerit commendatum. Quod ſi ita feceris, multos ſtatim videbis, quos partarum diuitiarum pudeat, alios etiam qui voluntariæ mendicitatis nomine ſibi placeant: ex eóque quod probroſa ſit diuitiarum conquiſitio, paupertas verò honeſtiſſimo in loco habeatur, inueterata iam de illis inter homines opinio dilabetur. Nam cùm plurima ſint à Deo regiæ dignitati præſtabilia beatáque conceſſa, tum non minus, imò multo magis cæteris omnibus vim eam mirabitur quiſpiam, & prædicabit, quam in ſubditorum animis præcipuam habet: propterea quod rex quamlibet ingenij opinionem veteri conſuetudine, ac antecedentibus deliciis inuſtam tunc nullo negotio mutat, cùm id quod contrarium eſt in pretio habere, maximíque facere videtur. Quocumque enim rex gaudet, hoc ſubinde inualeſcere, ſtudioſéque ab pleriſque affectari neceſſe eſt. Verùm cùm eò hactenus orationis peruenerim, libet nonnulla in Philoſophiæ gratiam vota concipere. Te ô Imperator Philoſophiæ amor capiat, ſyncerioriſque diſciplinæ. Neceſſe enim erit ex iis, quos ante dixi, riuales tibi eſſe multos, quiquidem aliquo in honore ac pretio ſint: quando in præſentia, vt neglectui habetur, periculum eſt ne penitus extinguatur, adeóque ne fomentum quidem iis, qui eam accendere voluerint, vllum amplius relinquatur. Num igitur pro Philoſophia vota à me modò concepta ſunt? An potius ei quidem nihilo deterius futurum eſt, etiam ſi ex hominum conſortio ſecedat. Suum enim apud Deum domicilium habet, circa quem etiam dum hîc verſatur maximam operæ partem collocat, ac quoties delapſam terreſtris ſedes non recipit, apud patrem manet, meritò id ad nos vſurpans.

ɜ -- οὔτι με ταύτης
Χρεὼ τιμῆς· φρονέω δὲ τετιμῆσθαι Διὸς αἴσῃ·

-----Non mihi veſtra
Eſt opus, ipſa Iouis ſolo me dignor honore

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Humanæ autem res ea præsente, aut absente siue deteriores, siue meliores, omninóque felices, aut infelices sunt: pro his ergo vnà & pro Philosophia vota concepimus. Faxit Deus vt eius voti cópos euadam quod cum Plato nũcupasset minimè est assecutus. Videam à te Philosophiam cum Imperio coniunctam: neque amplius de regno disserentem me quisquam audiet. Sed enim tacendi nunc tempus est, quoniam hoc vno sum omnia cõplexus: quod si contigerit, dedi quod ab initio contendebam, Oratione quidem ipse regis simulacrum ostensurum me pollicitus. Verè enim sermo rei vmbra quædam est: à te verò vicissim idipsum animatum, ac vitale repetebam. Breui vtique posthac videbo, regísque mihi opus ipsum exhibebis, nisi extra tuas aures sermones isti nostri versentur, sed influant potius, atque in interiores animi recessus subeant. Neque verò sine aliquo numinis afflatu, ad eam cohortationem impulsam esse Philosophiam puto, Deo videlicet hac in parte ministrantem, qui, vt coniici nullo negotio potest, in amplificandas res tuas studiosius incumbat. Ego verò non immeritò primus ex meorum seminum fœtu emolumentum aliquod percepero, si qualem te Imperatorem fingo, talem aliquando experiar, cùm de iis quæ ciuitates flagitant vltro citróque sermonem communicabo.

A τὰ δὲ ἀνθρώπινα πράγματα παρούσης τε αὐτῆς καὶ ἀπούσης, χείρω καὶ βελτίω καὶ παντελῶς εὐδαίμονα γίνεται. ὑπὲρ τούτων οὖν καὶ ὑπὲρ φιλοσοφίας ηὔγμαι. καὶ εἴη γε τυχεῖν τῆς εὐχῆς, ἣν Πλάτων εὐξάμενος οὐκ εὐτύχησεν. ἴδοιμί σε τῇ βασιλείᾳ προσειληφότα φιλοσοφίαν, καὶ οὐκ ἔτι ἄν μου πρόσω τις λέγοντός τι περὶ βασιλείας ἀκούσεται· ἀλλ' ὥρα γὰρ ἤδη σιγᾶν, ὡς ἐνὶ τούτῳ πάντα συνείρηκα· κἂν γένηται τοῦτο, δέδωκά σοι ὅπερ ἀρχόμενος B ᾔτησα, λόγῳ μὲν αὐτὸς ὑποσχόμενος ἀνδριάντα βασιλέως σοι δεῖξαι. καὶ γάρ ἐστι λόγος ὄντως ἔργου σκιή· παρὰ σοῦ δὲ αὐτὸν αἰτήσειν ἔμβιον ἀπολαβεῖν καὶ κινούμενον· καὶ ὄψομαί γε οὐκ εἰς μακράν, καὶ ἀποδώσεις μοι τοῦ βασιλέως τὸ ἔργον, εἰ μὴ θυραυλήσουσιν οἱ λόγοι περὶ τὰ ὦτα, ἀλλ' εἰσρυήσονταί τε καὶ τοῖς μυχοῖς τῆς ψυχῆς ἐνδιαιτήσονται. οὐ μὴν ἀθεεὶ πείθομαι τὴν φιλοσοφίαν ἐπὶ τὴν παραίνεσιν ἐξωρμῆσθαι, σὺν σπουδῇ τοῦ θεοῦ προθυ- C μουμένου τὰ σὰ αὔξειν, ὡς εἰκάσαι ῥᾴδιον. ἐγὼ δὴ ἂν δίκαιος εἴην ἀπολαῦσαι πρῶτος τῶν ἐμαυτοῦ σπερμάτων τῆς βλάστης, οἷόν σε πλάττω βασιλέα, τοιούτου πειρώμενος, ὅταν περὶ ὧν αἰτοῦσιν αἱ πόλεις, παρέχω λόγον καὶ δέχωμαι.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A

ΕΚ ΤΩΝ ΦΙΛΟΣΤΡΑΤΟΥ, ΠΕΡΙ ΔΙΩΝΟΣ.

ΔΙΩΝΑ δὲ τὸν Προυσαῖον, οὐκ οἶδ᾽ ὅ,τι χρὴ προσειπεῖν, διὰ τὴν ἐς πάντα ἀρετήν. Ἀμαλθείας γὰρ κέρας ἦν, τὸ τοῦ λόγου, ξυγκείμενος μὲν τὴν ἄριστα εἰρημένων τοῖς ἀρίστοις, βλέπων δὲ πρὸς τὴν Δημοσθένους ἠχὼ, καὶ Πλάτωνος, ᾗ καθάπερ αἱ μαγάδες τοῖς ὀργάνοις προσηχεῖ ὁ Δίων τὸ ἑαυτοῦ ἴδιον ξὺν ἀφελείᾳ ἐπεστραμμένη. ἀρίστη δὲ ἐν τοῖς Δίωνος λόγοις καὶ ἡ τοῦ ἤθους κρᾶσις. ὑβριζούσαις τε γὰρ πόλεσι πλεῖστα ἐπιπλήξας, οὐ φιλολοίδορος, οὐδὲ ἀηδὴς ἔδοξεν, ἀλλ᾽ οἷον ἵππων ὕβριν χαλινῷ καταρτύων μᾶλλον ἢ μάστιγι· πόλεών τε εὐνομουμένων ἐς ἐπαίνους καταστὰς, οὐκ ἐπαίρειν αὐτὰς ἔδοξεν, ἀλλ᾽ ἐπιστρέφειν μᾶλλον ὡς ἀπολουμένας, εἰ μεταβάλοιντο. ἦν δὲ αὐτῷ καὶ τὸ τῆς ἄλλης φιλοσοφίας ἦθος οὐ κοινὸν, οὐδ᾽ εἰρωνίζον, καὶ ἐμβριθῶς μὲν ἐγκείμενον, κεχρωσμένον δὲ οἷον ἡδύσματι, τῇ πραότητι. ὡς δὲ καὶ ἱστορίαν ἱκανὸς ἦν συγγράφειν, δηλοῖ τὰ Γετικά. καὶ γὰρ δὴ καὶ ἐς Γέτας ἦλθεν ὁπότε ἠλᾶτο. τὸν δὲ Εὐβοέα, καὶ τὸν τοῦ Ψιττακοῦ ἔπαινον, καὶ ὁπόσα οὐχ ὑπὲρ μεγάλων ἐσπούδασται τῷ Δίωνι, μὴ μικρὰ ἡγώμεθα, ἀλλὰ σοφιστικά. σοφιστοῦ γὰρ τὸ καὶ ὑπὲρ τοιούτων σπουδάζειν. γενόμενος δὲ κατὰ χρόνους, οὓς Ἀπολλώνιός τε ὁ Τυανεὺς, καὶ Εὐφράτης ὁ Τύριος ἐφιλοσόφουν, ἀμφοτέροις μὲν ἐπιτηδείως εἶχε, καί τοι διαφερομένοις πρὸς ἀλλήλους, ἔξω τοῦ φιλοσοφίας ἤθους. τὴν δὲ ἐς τὰ Γετικὰ ἔθνη πρόσοδον τοῦ ἀνδρὸς, φυγὴν μὲν οὐκ ἀξιῶ ὀνομάζειν, ἐπεὶ μὴ προσετάχθη αὐτῷ φυγεῖν, οὐδὲ ἀποδημίαν· ἐπὶ τοῦ φανεροῦ ἐξέστη, κλέπτων ἑαυτὸν ὀφθαλμῶν τε, καὶ ὤτων, καὶ ἄλλα ἐν ἄλλῃ γῇ πράττων, δέει τῶν κατὰ τὴν Ῥώμην τυραννίδα, ὑφ᾽ ὧν ἠλαύνετο φιλοσοφία πᾶσα.

DE DIONE EX PHILOSTRATO.

Dio verò Prusæus quonam potissimum nomine sit appellandus nescio ob singularem eius in omnibus rebus dexteritatem: fuit enim (quod aiūt) Amaltheæ cornu; ac quod ad dicendi quidem attinet facultatem cum eloquentissimis quibúsque cōparandus: Platonis enim ac Demosthenis dicendi morē imitatus est, cui quidē in proprio eloquēdi genere candore quodā, ac contorta simplicitate respondet, nō minus quā musicis instrumentis assonant sonorū retinacula. Optima verò, ac laudatissima est in Dionis orationib: affectuū temperatio. Quoties enim impotentes, ac insolentes respub. increpat, neq; contumeliosus, neq; importunus videtur, sed perinde earū, ac equorū ferociā fræno potius, quā flagello cōpescere. Sin ad optimis legib. institutas ciuitates laudandas se conferat, non tā erigere, aut ad superbiā excitare, quā continere videtur, quasi citius interituras, si aliū in statum degenerauerint. Sed & reliquo quoq; philosophandi instituto fuit nō omnib. exposito aut simulatorio, sed eiusmodi vt grauitate quadā instaret, nō secus ac cōdimēto insita sibi humanitate tēperata. Quā porrò historiæ scribēdæ aptus fuerit, argumēto sūt ab eo scripta Getica: Getas enim tūc cū errādo circumiret, peruenit. Quod autē ad Euboicum, & Psittaci encomiū attinet, cæteráq; quæ de minus seriis reb. sunt à Dione conscripta, ne quis leuia hæc aut parua cēseat, sed sophistæ potius proposito accōmodata. Sophistæ si quidē ea quoq; studiose tractāda sūt. Atq; cū in ea tēpora incidisset, quibus Apollonius Tyaneus, & Euphrates Tyrius philosophiā profiterētur, vtroq; familiariter vsus est, præterquā in philosophiæ ratione, cū ij à se inuicē dissiderent: nec verò illius ad Getas profectionē exilium fuisse crediderim, cū Imperatoris iussu nō fuerit deportatus, neq; itē peregrinationē, quando is ex hominū cōsuetudine penitus submotus est, seséque omniū oculis, atq; auribus subduxit, alia in aliis regionibus agēs, quod Romanorum tyrannidē pertimesceret, à qua omnis erat expulsa philosophia.

B C D +

Cæterum cùm aut serendis arboribus aut fodiendo solo, aut hauriendæ ad balnea aut hortos aquæ, aut aliis eiusmodi victus gratia operam suam locaret, studiorum interim nequaquam securus fuit, sed duobus libellis per totum illud tempus sese sustentauit: hi erant Platonis Phædon, & Demosthenis oratio de falsa legatione. Tandem cùm in castra ventitaret, in quibus laboribus atteri solebat, ac milites animaduerteret ob Traiani cædem nouas res molientes, non id negligendum sibi duxit, tanta præsertim consternatione ac perturbatione suborta, sed in sublimem aram nudus ex improuiso insiliens, orationem hunc in modum exorsus est,

Deposuit laceras vestes astutus Vlysses.

Quæ cùm dixisset, palámque fecisset, se non mendicum, aut eiusmodi hominem, qualem ij existimauerant, sed Dionem se esse sapientem, acerrime in Tyrannum inuectus est, milítésque docuit consultius agendum, ac Romanis morem gerendum. Etenim vis ea hominis ad persuadendum fuit, vt eos quoque, qui Græcas literas accuratè non callerent, suauissimè demulceret. Sane Traianus imperator Romæ illum in aureum currum assumens, quo inuecti imperatores de confectis bellis triũphabant, sæpissimè ad Dionem conuersus. Quidnam (aiebat) dicas nescio: te verò ego non minus quàm meipsum diligo. Porrò inter ea quæ in Dionis orationibus artificiosa, & sophistica reperiuntur, præcipuæ sunt rerum in loquendo expressæ similitudines, quibus quamuis frequenter vtatur, at efficax validúsque est, & rerum, quas sibi proponit, naturæ haud dissimilis.

A φυτεύων δὲ, καὶ σκάπτων, καὶ ἐπαντλῶν βαλανείοις, καὶ κήποις, καὶ πολλὰ τοιαῦτα ὑπὲρ τροφῆς ἐργαζόμενος, οὐδὲ τοῦ σπουδάζειν ἠμέλει, ἀλλ' ἀπὸ δυοῖν βιβλίοιν ἑαυτὸν ξυνεῖχε· ταυτὶ δ' ἤστην ὅ, τε Φαίδων ὁ τοῦ Πλάτωνος, καὶ Δημοσθένης ὁ κατὰ τῆς πρεσβείας. θαμίζων δὲ ἐς στρατόπεδα, ἐν οἷσπερ εἰώθει τρύχεσθαι, καὶ τοὺς στρατιώτας ὁρῶν ἐς νεώτερα ὁρμῶντας ἐπὶ Δομετιανῷ ἀπεσφαγμένῳ, οὐκ ἐφείσατο, ἀταξίαν ἰδὼν ἐκραγεῖσαν, ἀλλὰ γυμνὸς ἀναπηδήσας ἐπὶ βωμὸν ὑψηλὸν, ἤρξατο
B τοῦ λόγου ὧδε,

Αὐτὰρ ὁ γυμνώθη ῥακέων πολύμητις Ὀδυσσεύς·

καὶ εἰπὼν ταῦτα, καὶ δηλώσας ἑαυτὸν ὅτι μὴ πτωχὸς, μηδ' ὃν ᾤοντο, Δίων δὲ εἴη ὁ σοφὸς, ἐπὶ μὲν τὴν κατηγορίαν τοῦ τυράννου πολὺς ἔπνευσε, τοὺς δὲ στρατιώτας ἐδίδαξεν ἄμεινον φρονεῖν τὰ δοκοῦντα Ῥωμαίοις πράττοντας. καὶ γὰρ καὶ ἡ πειθὼ τοῦ ἀνδρὸς, οἵα καταθέλξαι καὶ τοὺς μὴ τὰ Ἑλλήνων ἀκριβοῦντας. Τραϊα-
C νὸς γοῦν ὁ αὐτοκράτωρ ἀναθέμενος αὐτὸν ἐπὶ τῆς Ῥώμης ἐς τὴν χρυσῆν ἅμαξαν, ἐφ' ἧς οἱ βασιλεῖς τὰς ἐκ τῶν πολέμων πομπὰς πομπεύουσιν, ἔλεγε θαμὰ ἐπιστρεφόμενος πρὸς τὸν Δίωνα, τί μὲν λέγεις οὐκ οἶδα· φιλῶ δέ σε ὡς ἐμαυτόν. σοφιστικώταται δὲ τοῦ Δίωνος αἱ τῶν λόγων εἰκόνες, ἐν αἷς εἰ καὶ πολὺς, ἀλλὰ καὶ ἐνεργὴς, καὶ τοῖς ὑποκειμένοις ὅμοιος.

D

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΣΥΝΕΣΙΟΥ ΔΙΩΝ, Η ΠΕΡΙ ΤΗΣ * ΚΑΤ' αὐτὸν διαγωγῆς.

* γρ. ΚΑΘ' ΑΥΤΟΝ ἢ ΚΑΘ' ΕΑΥΤΟΝ

ΦΙΛΟΣΤΡΑΤΟΣ μὲν ὁ Λήμνιος ἀναγράφων τοὺς βίους τῶν μέχρις αὐτοῦ σοφιστῶν, ἐν ἀρχῇ τοῦ λόγου δύο μερίδας ποιεῖ, τῶν τε αὐτὸ τοῦτο σοφιστῶν, καὶ τῶν ὅσοι φιλοσοφήσαντες διὰ τὴν εὐστομίαν ὑπὸ τῆς φήμης ἐς τοὺς σοφιστὰς ἀπηνέχθησαν· καὶ τάττει τὸν Δίωνα μετὰ τούτων· ἐν οἷς Καρνεάδην τε καταλέγει τὸν Ἀθηναῖον, καὶ Λέοντα τὸν Βυζάντιον, καὶ συχνοὺς ἄλλους καταβιώσαντας μὲν ἐπὶ φιλοσόφου προαιρέσεως· λόγου δὲ ἰδέαν σοφιστικὴν ἡρμοσμένους· ἐν οἷς ἀριθμεῖ καὶ τὸν Κνίδιον Εὔδοξον, ἄνδρα τὰ πρῶτα τῶν Ἀριστοτέλους ὁμιλητῶν, ἀλλὰ καὶ ἀστρονομίας εὖ ἥκοντα, ὁπόσην ὁ τότε χρόνος ἐπρέσβευεν. ἡμῖν δὲ ὁ Δίων τῇ μὲν περιβολῇ τῆς γλώττης, ἣν χρυσῆν εἶχεν, ὥσπερ καὶ λέγεται, σοφιστὴς ἔστω διὰ πάντων τῶν ἑαυτοῦ, εἴ τις ἀξιοῖ τὴν ἐπιμέλειαν τῆς φωνῆς σοφιστικὸν ἀγώνισμα οἴεσθαι· καί τοι καὶ τοῦτο μετὰ μικρὸν ὁποῖόν ἐστιν ἐξετάσομεν· τὴν δὲ προαίρεσιν οὐχ εἷς ὁ Δίων, οὐδὲ μετὰ τούτων τακτέος, ἀλλὰ μετὰ Ἀριστοκλέους, ἀπεναντίας μέν τοι κἀκείνῳ. ἄμφω μέν γε μεταπεπτώκασιν· ἀλλ' ὁ μὲν ἐκ φιλοσόφου καὶ μάλα ἐμβριθοῦς, καὶ πρόσω καθήκοντος τὸ ἐπισκύνιον, ἐτέλεσεν εἰς σοφιστάς, καὶ τρυφῆς ἁπάσης οὐχ ἥψατο μόνον, ἀλλὰ καὶ ἐς ἄκρον ἐλήλακεν· ἐνεάσας δὲ τῇ προστασίᾳ τῶν ἐκ τοῦ Περιπάτου δογμάτων, καὶ συγγράμματα ἐξενηνοχὼς εἰς τοὺς Ἕλληνας, ἄξια φιλοσόφου σπουδῆς, οὕτω τι ἥττων ἐγένετο δόξης σοφιστικῆς, ὡς μεταμέλειν μὲν αὐτῷ γηρῶντι τῆς ἐν ἡλικίᾳ σεμνότητος· κόψαι δὲ τὰ Ἰταλικά τε, καὶ

SYNESII DIO, VEL DE IPSIVS VITÆ instituto.

PHILOSTRATVS Lemnius sophistarum qui ad sua vsque tempora floruerunt vitas describens, duo in ipso statim exordio eorum genera constituit. Vnum eorum qui hoc ipsum quod esse dicuntur, sophistæ sunt, alterum eorum, qui cùm philosophiam profiterentur ob singularem in dicendo facundiam inter sophistas annumerati sunt. Quorum ex numero fuisse Dionem ait, vnáque cum eo & Carneadem Atheniensem, & Leontem Byzantinum recenset, aliósque pene innumeros qui philosophiam alioqui vitæ professione consectati sophisticum dicendi genus amplexi sunt: quibus & Cnidium Eudoxum addit, virum discipulorum Aristotelis facile principem, eiúsque imprimis Astronomiæ peritum, quam ea tempora antiquissimam habuerunt. Dio verò ob insignia linguæ ornamenta, quam ille auream habuit, in iis omnibus quæ scripsit, vt & esse dicitur, sophistæ nomen obtineat, si quis eloquentiæ exercitationem sophisticum certamen esse contendat. De quo tamen cuiusmodi sit, paulò post inquiremus. Verum quod ad vitæ institutum attinet, non vnus Dio est, neque inter illos, sed cum Aristocle potius recensendus, diuersa tamen ab eo ratione. Vtrique enim desciuerunt: sed hic ex philosopho graui cumprimis, & summisso mirum in modum supercilio in sophistam degenerauit: deliciarúmque generi omni non modo seipsum tradidit, sed & ad summum eius rei fastigium peruenit. cúmque in tuendis Peripateticorum dogmatibus totum ætatis tempus contriuisset, scriptáque in Græcos quamplurima edidisset, philosophiæ studio digna, vsque adeo sophisticæ gloriæ desiderio succubuit, vt senem eius, quam iuuenis præ se semper habuerat, morum grauitatis pœniteret, omniáque Italiæ, atque

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Asiæ theatra certatoriis declamationibus obtunderet. Quin etiam Cottabis indulgere ac tibicinas secum habere cœpit, & iisdem paratis conuiuia, epulásque condicere. Dio autem ex improbo, & importuno sophista, philosophus tandem euasit, fortunáque magis, quàm consilio vsus, fortunam ipse suam enarrauit. Eum verò qui illius vitam describeret, consentaneum erat vitæ in homine duplicitatem distinguere: neque eum adeò simpliciter Carneadi, & Eudoxo, aliísque id genus adscribere, quorum quamcumque materiam sumpseris philosophiæ propria est, sed sophistice pertractata, hoc est, elocutionis ornamentis scitè, atque eleganter expolita, & cum incredibili quadam venustate coniuncta. Ideo ab hominibus quos blando orationis lepôre demulcerent, Sophistæ nomen habere meruerunt. Illi autem libentissimè id mihi reiecturi fuisse videntur, & perinde ac sponte oblatum admisisse, cum philosophia, posteaquam nuperrimè Plato in eam appellationem insurrexisset, id ipsum probri, ac contumeliæ loco haberet. Ille verò vtrumque vitæ genus splendide, ac cum honore professus est, suisque ipse secum argumentis pugnat, cum ab oppositis inter se institutis profectas orationes ediderit. Necesse est profectò vel ob ipsum potissimum sermonum dissidium, quæ de hoc homine habemus silentio non prætermittere. Nam quam deinceps subiicit eiusdem excusationem, quod Psittaci laudes oratione conscripsisset: (Sophistæ enim ne ipsa quidem neglectui habenda) conuincendi ipsius argumentum videri potest, qui hominem antea calumnia affectum dixerat, quod cùm philosophus esset, perperam inter sophistas compelleretur, hæc enim eius verba sunt. Sophistas autem veteres non modo ex rhetoribus eos appellarunt, qui eximij in dicendo, & illustres essent, sed ex Philosophis eos qui eloquendi copia, atque vbertate præditi, de quibus primis dicamus necesse est, quandoquidem cùm sophistæ non essent, sed esse viderentur, in eam appellationem transierunt; Deinde manifestò philosophos dinumerat, in queis & Dionem, & post Dionem alios, de quorum postremo dicendi finem faciens; hæc habuimus, inquit, quæ de eo genere philosophorum diceremus, qui inter sophistas habiti sunt, idem paululum immutatis verbis di-

A Ἀσιανὰ θέατρα μελέταις ἐναγωνιζόμενον. ἀλλὰ καὶ Κοττάβοις ἐδεδώκει, καὶ αὐλητρίδας ἐκόμιζε· καὶ ἐπήγγελλεν ἐπὶ τούτοις συσσίτια· ὁ δὲ Δίων ἐξ ἀγνώμονος σοφιστοῦ, φιλόσοφος ἀπετελέσθη· τύχῃ δὲ μᾶλλον ἢ γνώμῃ χρησάμενος, τὴν τύχην αὐτὸς διηγήσατο. ἔδει δὴ καὶ τοῦ γράφοντος βίον διηγήσασθαι τὴν περὶ τὸν ἄνδρα διπλόην· ἀλλὰ μὴ ἁπλῶς οὕτω συγκαταριθμῆσαι τοῖς ἀμφὶ Καρνεάδην καὶ Εὔδοξον· ὧν ἥν τινα ἂν λάβῃς ὑπόθεσιν, φιλόσοφός ἐστι μετακεκλεισμένη σοφιστικῶς, τοῦτ᾽ ἔστι λαμυρῶς ἀπηγγελμένη καὶ δεξιῶς, καὶ πολλὴν τὴν ἀφροδίτην ἐπαγομένη. B ταύτῃ καὶ παρὰ τῶν ἀνθρώπων, οὓς λέγοντες ἐκήλουν τῷ κάλλει τῶν ὀνομάτων, ἠξιοῦντο τῆς προσηγορίας τοῦ σοφιστοῦ· αὐτοὶ δ᾽ * ἂν ἀπαξιῶσαι ἐμοὶ δοκοῦσι, καὶ ὡς διδόμενον δέξασθαι, φιλοσοφίας ἐν ὀνείδει τοῦτο τιθείσης, ἄρτι τοῦ Πλάτωνος ἐπιθυμασάντος τῷ ὀνόματι. ὁ δὲ, προθύσει τε λαμπρῶς τὸν βίον ἑκατέρου χωρὶς, καὶ ταῖς C ὑποθέσεσι μάχεται αὐτὸς ἑαυτῷ, λόγους ἐξενεγκὼν ἀπὸ τῶν ἐναντίων ἐνστάσεων. χρὴ δή που καὶ δι᾽ αὐτὴν οὐχ ἥκιστα τὴν ἐν τοῖς λόγοις διαφορὰν μὴ σιωπῆσθαι τὰ περὶ τὸν ἄνδρα. ὅπερ γὰρ ἐν τοῖς μετὰ ταῦτά φησιν, ἀπολύων αὐτὸν αἰτίας συνθέντα ἔπαινον ἐπὶ Ψιττακῷ τῷ ὄρνιθι· σοφιστοῦ γὰρ εἶναι μηδὲ τούτων ὑπεριδεῖν· αὐτοῦ μὲν ἂν ἔλεγχος εἶναι δόξειε, προσήκοντος ὅτι τῶν συκοφαντουμένων ἐστὶν ὁ ἀνὴρ, ὅστις φιλόσοφος ὢν, εἰς τὸν σοφιστὴν ἕλκεται. λέγει γὰρ οὕτω, Σοφι- D στὰς δὲ οἱ παλαιοὶ ἐπωνόμαζον, οὐ μόνον τῶν ῥητόρων τοὺς ὑπερφωνοῦντάς τε καὶ λαμπρούς, ἀλλὰ καὶ τῶν φιλοσόφων τοὺς σὺν εὐροίᾳ ἑρμηνεύοντας, ὑπὲρ ὧν ἀνάγκη πρότερον εἰπεῖν· ἐπειδὴ οὐκ ὄντες σοφισταὶ, δόξαντες δὲ, παρῆλθον εἰς τὴν ἐπωνυμίαν ταύτην· εἶτα σαφῶς φιλοσόφους ἄνδρας ἐξαριθμεῖται· μεθ᾽ ὧν δὴ καὶ τὸν Δίωνα, καὶ μετὰ Δίωνα ἄλλους, ὧν περὶ τοῦ τελευταίου παυόμενος, Τοσαῦτα, φησί, περὶ τῶν φιλοσοφησάντων ἐν δόξῃ τοῦ σοφιστεῦσαι, ταυτὸν ἑτέρως εἰπὼν,

* γρ. αἰ ἐπαξίως ἐ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἰπὼν, ὅτι μὴ ὄντες σοφισταὶ, τοῦ ὀνόματος ἐπιβατεύουσιν. καί τοι μεταξύ που φησὶν ἀπορεῖν οἷ χοροῦ τάξει τὸν ἄνδρα, περιδέξιον δή τινα ὄντα. τί οὖν προεῖπας; τί δὲ ἐπεῖπας, ὅτι τοῦτο μέν ἐστιν, ἐκεῖνο δὲ φαίνεται; ἀλλ' ἔγωγε οὐ μικρολογοῦμαι πρὸς τὰς ἀντιλογίας· συγχωρῶ δὲ τὸν Δίωνα φιλόσοφον ὄντα παῖξαι τὰ σοφιστῶν, εἰ μόνον πρᾶός ἐστι καὶ ἵλεως φιλοσοφίᾳ, καὶ μηδαμοῦ μηδὲν ἐπηρέακεν αὐτῇ, μηδὲ ἐπ' αὐτῇ ξυντέθεικε λόγους ἰταμούς τε καὶ κακοήθεις. ἀλλ' οὗτός γε πλεῖστα δὴ καὶ μάλιστα σοφιστῶν εἰς φιλοσόφους τε καὶ φιλοσοφίαν ἀπηναισχύντηκεν. ἅτε γὰρ, οἶμαι, φύσεως λαχὼν ἐρρωμένης ἱκανῶς, καὶ τὸ ῥητορεύειν οὐδὲν ἐλλήθευεν, ἄμεινον ἀναπεπεισμένος εἶναι τοῦ ζῆν κατὰ φιλοσοφίαν, τὸ ζῆν κατὰ τὰς κοινὰς ὑπολήψεις· ὅθεν ὅ, τε κατὰ τῶν φιλοσόφων αὐτῷ λόγος ἐσπουδάσθη σφόδρα ἀπεικονισμένος, καὶ οὐδὲν σχῆμα ὀκνήσας· καὶ ὁ πρὸς Μουσώνιον ἕτερος τοιοῦτος· οὐ προσγυμναζομένου τῷ τόπῳ τοῦ Δίωνος, ἀλλ' ἐκ διαθέσεως γράφοντος, ὡς ἐγὼ σφόδρα διϊσχυρίζομαι· πείσαιμι δ' ἂν καὶ ἄλλον, ὅστις εὔστοχος ἤθους εἰρωνείαν τε καὶ ἀλήθειαν ἐκ παντοδαποῦ λόγου φωρᾶσαι· ἐπεὶ δὲ ἐφιλοσόφησεν, ἐνταῦθα δὴ καὶ μάλιστα ἡ ῥώμη τῆς φύσεως αὐτοῦ διεδείχθη. ὥσπερ γὰρ ἐπιγνούσης ὀψὲ τῆς φύσεως τὸ οἰκεῖον ἔργον, οὐ κατὰ μικρὸν, ἀλλ' ὅλοις τοῖς ἱστίοις ἀπηνέχθη τῆς σοφιστικῆς προαιρέσεως· ὅς γε καὶ τὰς ῥητορικὰς τῶν ὑποθέσεων οὐκ ἔτι ῥητορικῶς, ἀλλὰ πολιτικῶς μετεχειρίσατο· εἴ τις ἀγνοεῖ τὴν ἐν τῷ αὐτῷ προβλήματι διαφορὰν τοῦ πολιτικοῦ καὶ τοῦ ῥήτορος, ἐπελθέτω μετὰ νοῦ τὸν Ἀσπασίας τε καὶ Περικλέους ἐπιτάφιον, Θουκυδίδου καὶ Πλάτωνος· ἑκάτερος θατέρου παραπολὺ καλλίων ἐστὶ, τοῖς οἰκείοις κανόσι κρινόμενος. ὁ δ' οὖν Δίων ἔοικε θεωρήμασι μὲν τεχνικοῖς ἐν φιλοσοφίᾳ μὴ '' προσταλαιπωρῆσαι, μηδὲ προσδιαμαχεῖν φυσικοῖς δόγμασιν, ἅτε ὀψὲ τοῦ χοροῦ μεταστησάμενος· ὀνάσθαι δὲ τῆς στοᾶς ὅσα ἐς ἦθος τείνει, καὶ ἠρρενῶσθαι παρ' ὁντινοῦν τῶν ἐφ' ἑαυτοῦ· ἐπιτηδεῦσαι δὲ τῷ νουθετεῖν ἀνθρώπους,

γρ. πρὸς τὸ μὴ ταλ.

A cens eos quàquam sophistæ non essent, id tamen sibi nomen vindicasse. Atqui alio quodam in loco dubitare sese ait quanã in chori parte ancipitẽ & ambidextrum hominem sit collocaturus. Quorsum igitur antea dixisti? Quorsum subiecisti eum id quidem esse, illud tamen videri? Ego verò in illas sermonis cõtrarietates anxiè nimis haud quaquam inquiram. Dionem autem philosophum fuisse, & sophistica quædam lusisse libens cõcesserim, si se æquum tantùm, ac pacatum erga philosophiam præbuerit, nec vllibi in eam vnquam cõtumeliosius insultauerit, neq; procacibus & malignis orationibus sit insectatus. Verùm ille
B inter cæteros sophistas sepissimè grauissiméque in philosophos iuxta & philosophiam inuectus est. Nam cùm, vt opinor, firmissimis esset ingenij viribus, oratoriam quoque professionem verè, & sine vlla dissimulatione sustinuit, satius esse sibi persuadens vitam secundùm communem hominum opinionem, quàm secundùm philosophiæ præscripta comparare. Vnde & seriò aduersus philosophos scripta ea oratio est, quæ expressis rerum similitudinibus, & nullo non figurarum genere refertissima est, & eiusdẽ generis alia, quam ad Musonium scripsit. Dione ipso non vt in
C eo se loco exercitaret, sed ex animo & vtut affectus erat scribente: quod ego impensius affirmare ausim, alteriq; facilè persuaserim, qui deprehendendæ ex quauis oratione dissimulationis, aut veritatis solertia præditus sit. Posteaquàm autem sese ad philosophiam cõtulit, tum ibi verò naturæ vis manifestissimè apparuit, nam eadem serò tãdem quasi consentaneum sibi munus agnoscente, non paulatim, sed passis velis à sophistica professione abductus est, vtpote qui oratorias etiam materias non oratorio ampliùs, sed politico more tractaret. Si quis verò in eadẽ ad dicẽdum
D re proposita Politici & Oratoris descrimẽ ignorat, is Aspasiæ, & Periclis Epitaphium cum iudicio legat, quod est à Thucydide & Platone scriptum: quorum vtrumque, si ad proprios canones exigatur, altero lõgè est præstatius. Dio itaque artificiosis in Philosophia preceptionibus non multùm insudasse, neq; naturalibus placitis animũ applicuisse videtur, cùm serius sese ad hæc studia transtulisset, sed ex porticu tantùm eam expressisse scientiam, quæ ad mores informandos pertinet, ac præ cæteris, qui eo tempore extiterunt animum corroborasse, homines verò cùm priuatos,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

tum monarchas, singulos, atque vniuersos castigandos suscepisse, & ad id repositam dicendi facultatem conuertisse. Propterea consulto factum iri iudico, si singulis Dionis orationibus eiusmodi inscriptio adderetur, ante exilium, aut ab exilio eas esse scriptas, non iis duntaxat, in quibus vlla sunt exilij indicia, vt nonnulli pridem inscripserunt, sed omnibus plane. Ita enim foret vt nos tam philosophicas, quàm sophisticas illius orationes separatas à se inuicem haberemus, nec in eum, perinde vt in nocturno certamine, incideremus, modo Socratem aut Zenonem Bacchanalium conuitiis lacessentem; eorúmque sequaces, quasi ciuitatum ac rerum publicarum pestes, terra marique profligandos esse præcipientem, modo eosdem ipsos coronantem, & in exemplum præclaræ, ac temperatioris vitæ proponentem. Philostratus verò Psittaci Encomium & Euboicum parum considerate eidem instituto tribuit, déque ambobus idem Dionis patrocinium instituit, ne minimi momenti res studiose pertractasse videatur: hoc autem nihil aliud est quàm in alteram partem magis propendere. Nam qui ipsum inter eos recensuisset, qui toto vitæ tempore philosophiam coluerunt, deinceps non id duntaxat remisit, Dionem aliquando sophistæ officium præstitisse, sed & in sophistarum censum referens, ea insuper detraxit, quæ ex philosophico vitæ instituto promanarunt. Nam si quis Euboicum neget seriò; & de seriis conscriptum, is nullam mihi Dionis orationem facile admissurus videtur, quæ quidem philosophica ab eo nuncupetur: hæc enim oratio felicioris vitæ informata descriptio est, inopique pariter, ac diuiti lectu longè dignissima. Nam & tumidos atque elatos diuitiis animos reprimit, felicitatem docens aliis in rebus consistere, & præ paupertate animo concidentes erigit, atque vt supini abiectique minime sint instituit: partim quidem eiusmodi narratione, quæ aures suauissima quadam voluptate permulcet, quæ vel Xerxi, Xerxi, inquam, illi qui ingenti exercitu in Græcos expeditionem egit, persuadere potuit, Venatorem quendam inter montana Euboeæ loca milio vescentem ipso fuisse beatiorem: partim verò optimis vitæ præceptis, quibus qui vtitur eum paupertatis non pudeat, si ne sit quidem vitaturus.

A καὶ μονάρχους καὶ ἰδιώτας, καὶ καθ' ἕνα καὶ ἀθρόους, εἰς ὃ χρήσασθαι προαποκειμένῃ τῇ παρασκευῇ τῆς γλώττης. διό μοι δοκεῖ καλῶς ἔχειν ἐπιγράφειν ἅπασι τοῖς Δίωνος λόγοις, ὅτι πρὸ τῆς φυγῆς, ἢ μετὰ τὴν φυγήν, οὐχ οἷς ἐμφαίνεται μόνοις ἡ φυγή, καθάπερ ἐπέγραψαν ἤδη τινές, ἀλλ' ἀπαξάπασιν. οὕτω γὰρ ἂν εἴημεν τούς τε φιλοσόφους, καὶ τοὺς αὐτοῦ τούτου σοφιστικοὺς λόγους διειληφότες ἑκατέρους χωρίς, ἀλλ' οὐχ ὥσπερ ἐν νυκτομαχίᾳ περιτευξόμεθα αὐτῷ, νῦν μὲν βάλλοντι Σωκράτην καὶ Ζήνωνα τοῖς ἐκ Διονυσίων σκώμμασι, " καὶ B τοὺς ἀπ' αὐτῶν ἀξιοῦντι πάσης ἐλαύνεσθαι γῆς καὶ θαλάττης, ὡς ὄντας κῆρας πόλεών τε καὶ πολιτείας· νῦν δὲ στεφανοῦντί τε αὐτούς, καὶ παράδειγμα τιθεμένῳ γενναίου βίου καὶ σώφρονος. Φιλόστρατος δὲ καὶ τοῦτο ἀπεριμερίμνως, τὸν ἔπαινον τοῦ Ψιττακοῦ καὶ τὸν Εὐβοέα τῆς αὐτῆς προαιρέσεως οἴεται, καὶ ὑπὲρ ἀμφοῖν ὁμοίως εἰς ἀπολογίαν καθίσταται τὴν ὑπὲρ τοῦ Δίωνος, ὡς μὴ ἐπὶ τοῖς τυχοῦσιν ἐσπουδακέναι δοκεῖν· τοῦτο δὲ ἤδη πλέον ἐστὶ ποιήσασθαι θατέρου. ὁ γὰρ ἀναγράψας αὐτὸν ἐν τοῖς δι' ὁλοκλήρου τοῦ βίου φιλοσοφήσασι, παριὼν οὐ μόνον C ἐνδέδωκε πρὸς τὸ καὶ σοφιστικόν τι ἔργον εἰργάσθαι τὸν Δίωνα, ἀλλὰ καὶ προσαποστερεῖ τὸν ἄνδρα καὶ τῶν ὄντων ἐκ τῆς φιλοσόφου μερίδος, προσνέμων αὐτὰ τοῖς σοφιστικοῖς. εἰ γὰρ Εὐβοέα τις ἀφαιρήσεται τοῦ σπουδαῖον εἶναι, καὶ ὑπὲρ σπουδαίων συγκεῖσθαι, οὔ μοι δοκεῖ " ῥᾷστ' ἂν ὁ τοιοῦτος ἐγκρῖναι τινὰ λόγον τῶν Δίωνος, ὡς γε καὶ φιλόσοφον ὑπ' αὐτοῦ προσειρῆσθαι. ὡς ἐστί γε ὁ λόγος ὑποτύπωσίς ἐστιν εὐδαίμονος βίου, πένητι καὶ πλουσίῳ τοῦ παντὸς ἀνάγνωσμα ἀξιώτατον. ᾠδηκός τε γὰρ D ἦθος ὑπὸ πλούτου καταστέλλει, τὸ εὔδαιμον ἑτέρωθι δείξας· καὶ τὸ καταπεπτωκὸς ὑπὸ πενίας ἐγείρει, καὶ ἀταπείνωτον εἶναι παρασκευάζει· τοῦτο μέν, τῷ καταμελιτοῦντι τὰς ἀπόντων ἀκοὰς διηγήματι, ὑφ' οὗ κἂν Ξέρξης ἀνεπείσθη, Ξέρξης ἐκεῖνος ὁ τὴν μεγάλην στρατείαν ἐλάσας ἐπὶ τοὺς Ἕλληνας, μακαριώτερον ἑαυτοῦ γεγονέναι κυνηγέτην ἄνδρα ἐν τῇ ὀρεινῇ τῆς Εὐβοίας κέγχρους ἐσθίοντα· τοῦτο δὲ τῶν ἀρίσταις ὑποθήκαις, αἷς χρώμενος, οὐδεὶς αἰσχυνεῖται πενίαν, εἰ μή γε καὶ φεύξεται.

γρ. καὶ τὸ πρὸ

γρ. ῥᾷστον ἂν

γρ. καὶ ἔστι γε

Διὸ βελτίους οἱ τάττοντες αὐτὸν μετὰ τὸν ἔσχατον περὶ βασιλείας, ἐν ᾧ τέτταρας ὑποθέμενος " βίους καὶ δαίμονας, τὸν φιλοχρημάτον τε καὶ τὸν ἀπολαυστικὸν, καὶ τρίτον τὸν φιλότιμον, τελευταῖον δὲ καὶ ἐπὶ πᾶσι τὸν εὔφρονα καὶ σπουδαῖον· ἐκείνους μὲν τοὺς κατὰ τὴν ἀναλογίαν ἅπαντας γράφει τε καὶ σχηματίζει· παύεται δὲ τοῦ βιβλίου, τὸ λοιπὸν ἐπαγγειλάμενος αὐτίκα ἀποδώσειν, ὅτε ποτὲ πεπρωμένος ἐκ θεῶν ἐγένετο. χωρὶς οὖν τιθέναι τοὺς ἐν τοῖς συχνοῖς λόγοις Διογένας τε καὶ Σωκράτεις, οἳ καὶ περιττοὶ τὴν φύσιν ἔδοξαν· καὶ οὐχ ἁπλῶς ἐστιν ὁ τῶν ἀνδρῶν τούτων ζῆλος· ἀλλ᾽ ὅστις εὐθὺς αἵρεσίν τινα τὴν κατὰ φιλοσοφίαν ὑπέρχεται· τὸν δὲ κατὰ τὴν κοινὴν φύσιν ζητοῦντι, καὶ τὸν ἅπασι ἐγχειροῦντι δίκαιον, ὅσιον, αὐτουργὸν, ἀπὸ τῶν ὄντων φιλάνθρωπον, οὐκ ἂν ἕτερος αὐτὶ τοῦ Εὐβοέως ἀποδεδειγμένος εἴη βίος εὐδαιμονικός. ὅτι καὶ τοὺς Ἐσσηνοὺς ἐπαινεῖ που, πόλιν ὅλην εὐδαίμονα τὴν παρὰ τὸ νεκρὸν ὕδωρ ἐν τῇ μεσογείᾳ τῆς Παλαιστίνης κειμένην παρ᾽ αὐτά που τὰ Σόδομα. ὁ γὰρ ἀνὴρ ὅλως ἐπειδὴ τοῦ φιλοσοφεῖν ἤρξατο, καὶ εἰς τὸ νουθετεῖν ἀνθρώπους ἀπέκλινεν, οὐδένα λόγον ἄκαρπον ἐξενήνοχε. τῷ δὲ μὴ παρέργως ἐντυγχάνοντι δήλη καὶ ἡ τῆς ἑρμηνείας ἰδέα διαλλάττουσα, καὶ οὐκ οὖσα μία τῷ Δίωνι, κατά τε τὰς σοφιστικὰς ὑποθέσεις, καὶ κατὰ πολιτικάς. ἐν ἐκείναις μὲν γὰρ ὑπτιάζει καὶ ὡραΐζεται, καθάπερ ὁ ταὼς περιαθρῶν ἑαυτὸν, καὶ οἷον γαννύμενος ἐπὶ ταῖς ἀγλαΐαις τοῦ λόγου, ἅτε πρὸς ἓν τοῦτο ὁρῶν, καὶ τέλος τὴν εὐφωνίαν τιθέμενος. ἔστω παράδειγμα ἥ τε τῶν Τεμπῶν φράσις καὶ ὁ Μέμνων· ἐν τούτῳ μὲν γε καὶ ὑπότυφος ἐστὶν ἡ ἑρμηνεία. τὰ δὲ τοῦ δευτέρου χρόνου βιβλία, ἥκιστ᾽ ἂν ἐν αὐτοῖς ἴδοις χαῦνόν τι καὶ διαπεφρονημένον. ἐξελαύνει γάρ τοι φιλοσοφία καὶ ἀπὸ τῆς γλώττης τρυφὴν, τὸ ἐμβριθές τε καὶ κόσμιον κάλλος ἀγαπῶσα, ὁποῖόν ἐστι τὸ ἀρχαῖον καὶ κατὰ φύσιν ἔχον, καὶ τοῖς ὑποκειμένοις οἰκεῖον, οὗ μετὰ τοὺς λίαν ἀρχαίους καὶ Δίων ἐπιτυγχάνει διὰ τῶν πραγματευομένων ἰὼν, κἂν λέγῃ, κἂν διαλέγηται.

γρ. βίους εὐδαίμονας.

A Quamobrem rectius à quibusdam opus istud postremo de regno tractatui subijcitur: in quo cùm quatuor vitæ genera, dæmonúmque proposuisset, diuitiarum scilicet studio deditum, voluptuarium, ambitiosum, postremúmque ad hæc lætum, & cum virtute coniunctum: Ex iis illa quidem, quæ certa sibi inuicem similitudine, ac proportione respondent, omnia conscripsit atque informauit: finem verò operi imposuit, quod reliquum est quamprimùm editurum se pollicitus, quocumque demum tempore Deorum fata concesserint. Igitur si Diogenes, & Socrates illos B excipias, quorum omnium in sermone celebris memoria est, qui & eximia quadam, ac præcellenti natura fuisse videntur, neque cuiuslibet hominis est eorumdem æmulatio, nisi si quis alicui statim sese philosophorum sectæ addixerit: eiusmodi verò viuendi genus quæsieris, quod communem naturam sequatur, quod nihil non capessat, iustum, religiosum, propria industria contentum, pro suis facultatibus humanum, ac beneficum, non alia præter Euboicum illum felix vita describi potest. Quin & Essenos alicubi commẽdat, beatam prorsus ciuitatem, quæ ad mortuam C aquam, iuxta Sodoma in Palæstinæ meditullio sita est. Omninò enim vbi ille semel philosophiam aggressus est, & ad instituẽdos homines studium appulit, nulla ab eo sine fructu aliquo edita est oratio. Ei verò qui attentius euoluerit, in sophisticis ciuilibúsque propositis varium & non vnum in Dione elocutionis genus manifestum esse potest. In illis enim resupinus quodammodo, ac cum magnifica decoris ostentatione fertur, pauonis instar sese circumspiciens, & ipso quasi orationis nitore gestiens, vt qui ad id vnum collimaret, dicendique facundiam sibi tanquam D finem propositam haberet. Eius rei exemplum esto, seu Tempe descriptio, seu Memnon: In hoc verò etiam nonnihil inflata, paulóque arrogantior est oratio: At quod ad posterioris temporis libros attinet, in iis nihil tumidum, nihil superbum aut elatum videas. Philosophia namque luxuriantis linguæ delirias amouet, graue ac moderatum decus amplectens: cuiusmodi est vetus illud & naturæ consentaneum, & propositis ad dicendum rebus accommodatum: quod post vetustissimos illos Dio ipse assequitur, cum ea quæ ex vsu vitæ sunt siue oratione, siue disputatione percurrit.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Solidæ huius propriæq; elocutionis specimen præbet is cui concionatorio, & is cui senatorio nomen est: aut si mauis quãcumque demum ex iis orationibus sumpseris, quas ad populum habuit, & ex animi sententia scripsit, vtrinque facilè vetustum dicendi genus agnoueris, non ex recentiori loquendi more petitum, qui naturæ pulchritudini quædam addit sermonis lenocinia, quales hæ sunt declamationes, quarum anteà meminimus, Memnon & Tempe, & alia quæ aduersùs philosophos scripta est oratio: quæ tametsi id dissimulet, omninò ad Theatrum est & lepôrem apposita, nec aliud temerè oratorium artificium apud Dionem venustius inuenias. Quo magis ego philosophiæ conditionem demiror, si ne vlla quidem Comœdia Nubibus nobilior est. Nulla enim alia ab Aristophane tanta cum vi, & facultate edita est. cuius rei argumento tibi sit, quod conuoluta hæc, & quasi contorta mirâ fluendi facilitate pronuncientur.

Cera liquata, dein pulicem captum ferens
Vtrumque ceræ immersit illius pedem,
Mox enecata hæsere circùm Persica.
Quibus solutis metiebatur locum.

Aristidi verò ea quam aduersùs Platonem pro quatuoruiris scripsit, Oratio insigne apud Græcos nomẽ famamq; conciliauit. Atque ea quidem artificij planè omnis expers, quam ne Rhetoricæ quidem generi vlli adscribas, non si iustè eam, atq; ex artis præceptis diiudicare velis; abdita nihilominus, ac recondita pulchritudine & admirabili quodam lepore constat, qui temerè nescio quo pacto nominum ac verborũ varietate delectat. Dio itidem in ea præsertim, quàm aduersùs philosophos edidit, Oratione viguit: quicumq; demum à recentioribus vigor orationis appelletur: i. ambitiosiori, quàm stabilem, solidúmque hominem par sit, vsus est orationis structura, & verò in eo genere maximè pollere ea oratione visus est. neque tamen tantoperè à vetere rhetorica desultauit, in iis etiam in quibus manifestè videtur à propria consuetudine desciscere, vt id latere possit, Dionem esse qui perperam in recentiora deflexerit: Sed cautè ac circumspectè ad eam se transgressionem conferre, & pudore quodãmodo suffundi videtur, vbi audacius quid, atque insolentius vsurpauerit: ita vt vel timiditatis insimulari possit, si cùm ea, quæ postmodùm inualuit, rhetorum audacia comparetur.

A ἔστω παράδειγμα τῆς ἀσφαλῶς καὶ κυρίως ἐχούσης ἑρμηνείας, ὁ ἐκκλησιαστικός τε καὶ ὁ βουλευτικός. εἰ δὲ βούλει, καὶ ὁντινοῦν τῶν πρὸς τὰς πόλεις εἰρημένων τε καὶ ἐγνωσμένων προκεχειρισμένος, ἴσθι σὺ ἑκατέραν ἰδέαν ἀρχαϊκήν· ἀλλ' οὐ τῆς νεωτέρας ἠχοῦς τῆς ἐπιποιούσης τῷ κάλλει τῆς φύσεως, ὁποῖαι διαλέξεις ὧν πρόσθεν "ἐμνήσθημεν, ὁ Μέμνων τε καὶ τὰ Τέμπη· λόγος δὲ ἐστὶ ὁ κατὰ τῶν φιλοσόφων. κἂν γὰρ οὐ "προσποιῆται, πολύ τοῦ θεάτρου γέμει, καὶ τῆς χάριτος· καὶ οὐκ ἂν εὕροις ῥητορείαν ἐπαφροδιτωτέραν παρὰ τῷ B Δίωνι· ὃ καὶ θαυμάζων ἔχω τὴν τύχην φιλοσοφίας, εἰ μήτε κωμῳδία τῶν νεφελῶν μᾶλλον εὐδοκιμεῖ. οὐδὲ γάρ ἐστιν ἥν τινα μετὰ τῆς ἴσης δυνάμεως Ἀριστοφάνης ἀπήγγελκε. τεκμήριον ποιοῦ τὸ στρογγύλως καὶ σὺν εὐροίᾳ προσενήνεχθαι.

γρ. ἐμνημονεύσαμεν, ὁ Μ. ἐστὶ καί.
γρ. ἀποσεῖς.

Κηρὸν διατήξας, εἶτα τὴν ψύλλαν λαβών,
Ἐνέβαψεν εἰς τὸν κηρὸν αὐτῆς τὼ πόδε·
Κᾆτα ψυγείσῃ περιέφυσαν Περσικαί.
Ταύτας ἀπολύσας, ἀνεμέτρει τὸ χωρίον.

C Ἀριστείδου δὲ ὁ πρὸς Πλάτωνα λόγος ὑπὲρ τῶν τεσσάρων, πολὺ ἐκήρυξεν ἐν τοῖς Ἕλλησιν. ἐστὶ μὲν καὶ τέχνης ἁπάσης ἀμοιρῶν, ὅνγε οὐδ' ἂν ἐπαγάγοις εἴδει ῥητορικῆς, οὐκοῦν ἐκ τοῦ δικαίου "καὶ τὸν νόμον τῆς τέχνης· συγκείμενος δὲ οὕτω ἀπορρήτῳ κάλλει καὶ θαυμαστῇ τινὶ χάριτι, εἰκῇ πως ἐπιτερπούσῃ τοῖς ὀνόμασι καὶ τοῖς ῥήμασιν. ἐστί τε ὁ Δίων ἤκμασε μάλιστα ἐν τῷ κατὰ τῶν φιλοσόφων, ἥν τινα καὶ καλοῦσιν ἀκμὴν οἱ νεώτεροι· τοῦτ' ἔστιν ἡρμόσατο πανηγυρικώτερον ἀνδρὸς ἀσφαλοῦς, καὶ μέν τοί γε εἰς D τὴν τοιαύτην ἰδέαν αὐτὸς αὐτοῦ ταύτῃ κράτιστος ἔδοξεν. οὐ μέν τοι τοσοῦτον ὁ Δίων ἐξωρχήσατο τὴν ἀρχαίαν ῥητορικὴν, ἐν οἷς καὶ δοκεῖ σαφῶς ἀναχωρεῖν τῶν οἰκείων ἠθῶν, ὡς ἂν καὶ λαθεῖν ὅτι Δίων ἐστὶ, παρακινήσας ἐς τὸ νεώτερον· ἀλλ' εὐλαβῶς ἅπτεται τῆς παρανομίας, καὶ αἰσχυνομένῳ γε ἔοικεν, ὅταν τι παρακεκινδυνευμένον καὶ νεανικὸν προενέγκηται· ὥστε κἂν αἰτίαν φύγοι δειλίας, εἰ πρὸς τὴν ὕστερον ἐπιπολάσασαν τῶν ῥητόρων τόλμαν αὐτὸν ἐξετάζοιμεν·

γρ. δικαίου γε καί.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῖς πλείστοις δὲ τῶν ἑαυτοῦ, καὶ παραβραχὺ (A) τοῖς ἅπασι, μετ' ἐκείνων ταττέσθω τῶν ἀρχαίων τε καὶ στασίμων ῥητόρων, παρ' ὅντιν' οὖν καὶ δήμῳ διαλεχθῆναι καὶ ἰδιώτῃ τοῦ παντὸς ἄξιος. εἴτε γὰρ ῥυθμοὶ τοῦ λόγου κεκολασμένοι, καὶ τὸ βάθος τοῦ ἤθους, οἷα σωφρονιστῇ τινὶ καὶ παιδαγωγῷ πρέπον πόλεως ὅλης ἀνοήτως διακειμένης. ὥσπερ δὲ τὴν ἑρμηνείαν οὔτε μίαν ἔφαμεν ″ πάντως, οὐδὲ ἀνεπίγνωστον, ὅτι Δίωνός ἐστιν ἑκατέρα, νῦν μὲν ῥήτορος ἀνδρός, νῦν δὲ πολιτικοῦ· οὕτω καὶ τὰς διανοίας, ὅστις οὐκ αὐτὸς δίχα (B) διανοίας ἐπιβάλλοι ταῖς ὁπῃοῦν ὅτῳ δὴ τῶν βιβλίων αὐτοῦ, ἐπιγνώσεται Δίωνος οὔσας, ἐν ταῖν δυοῖν ἰδέαιν τῶν ὑποθέσεων· κἂν τὸ φαυλότατον προχειρίσῃ τὸν Δίωνα ὅπῃ τὸν ποριμώτατον τῇ ῥητορείᾳ πάντος ἐξευρεῖν λόγους. μακρῷ γὰρ δὴ σοφιστῶν κατὰ τὸ ἐπιχειρῆσαι διήνεγκεν· εἰ δέ τις καὶ ἕτερος σοφιστὴς ἦν εὔπορος. ἀλλὰ πολλοῦ γε καὶ δεῖ παραβάλλεσθαι πρὸς τὴν τοῦδε πυκνότητα, ἅμα δὲ καὶ θαυμαστή τις ἰδιότης (C) χαρακτηρίζει τὰς Δίωνος ἐπινοίας. δηλούτω σοι τὸν ἄνδρα ὁ Ῥοδιακός τε καὶ ὁ Τρωϊκός· εἰ δὲ βούλει καὶ ὁ τοῦ κώνωπος ἔπαινος. ἐσπουδάσθη γὰρ τῷ Δίωνι καὶ τὰ παίγνια, πανταχοῦ τῇ φύσει χρωμένῳ· καὶ οὐκ ἂν ἀπιστήσαις αὐτὰ τῆς αὐτῆς παρασκευῆς εἶναι καὶ δυνάμεως. ταῦτά μοι περὶ Δίωνος εἰπεῖν ἐπῆλθε, πρὸς τὸν ὕστερόν ποτε παῖδα ἐσόμενον· ἐπεί μοι καὶ διεξιόντι τοὺς παντοδαποὺς αὐτοῦ λόγους μεταξὺ τὸ μάντευμα γέγονε· πατρικὸν δὴ πέπονθα, καὶ ἤδη συνεῖναι τῷ παιδὶ βούλομαι, καὶ διδάσκειν ἅττα μοι φρονεῖν ἔπεισι περὶ ἑκά- (D) στου συγγραφέως τε καὶ συγγράμματος, συνιστὰς αὐτῷ φίλους ἄνδρας, μετὰ τῆς προσηκούσης ἕκαστον κρίσεως· ἐν οἷς ἔστω καὶ Δίων ὁ Προυσαεύς, δεξιὸς ἀνὴρ εἰπεῖν τε καὶ γνῶναι. καὶ τοῦτον οὖν ἐπαινέσας αὐτῷ παραδίδωμι, ἵνα μοι μετὰ τοὺς τῆς γνησίας φιλοσοφίας προστάτας ἀπογεύοιτό ποτε καὶ τοῖς πολιτικοῖς τοῦ Δίωνος γράμμασι, μεθόριον αὐτὰ ἡγούμενος τῆς προπαιδείας τε καὶ τῆς ἀληθινωτάτης παιδείας. καὶ καλόν γε, ὦ παῖ, θεωρήμασιν ἐπιστημονικοῖς προσταλαιπωρήσαντα,

γ. ταινίω.

maxima autem suorum scriptorum parte; ac iis fermè omnibus, proximè post antiquos illos & stabiles grauissimósque rhetoras collocandus est, vir siue coram populo, siue coram priuato homine præ cæteris omnibus ad dicendum dignissimus. Nam & numeri orationis castigati, & morum grauitas eiusmodi, quæ stultæ ac imprudentis totius ciuitatis censorem, atque moderatorem deceat. Quemadmodum verò elocutionis non vnicum duntaxat genus esse diximus, neque cognitu difficile Dionis esse proprium, nunc Rhetorem, nunc Politicum agentis: Ita & sententias ipsas, si quis non sine iudicio quemcumque ex eius libris perlustrauerit; in duobus illis propositorum generibus eiusdem Dionis esse cognoscet. Tametsi vel leuissimum in manus sumat, Dionem tamen ad excogitandos oratoria facultate de quibuscumque rebus sermones acerrimum atque ingeniosissimum esse comperiet. Longè enim is in astruendis rerum argumentationibus Sophistas omnes antecelluit. Quòd si vllus alius Sophistarum ea comminiscendi facultate fuit, at permultum tamen interest, vt cùm illius solertia atq; prudentia comparetur. Præterea admirabilis, eáque propria dicendi forma Dionis inuenta, ac sententias configurat. Hominis indicio esto Rhodiacus, & Troicus, imò verò & Culicis encomium. Nam in ludicris etiam tractandis Dio bona fide versatus est, cùm is vbique ingenio seruiret: Neque ea eiusdem industriæ, & facultatis esse diffidas. Hæc habui quæ de Dione dicerem ad eum filium, qui mihi tandem aliquando nasciturus est: quoniam interim dum varia illius monimenta percurro, nescio quid præsaga mihi mens vaticinata est; patrios iam affectus experior, & cum filio mox familiariter colloqui, atq; ea suggerere volo, quæ de vnoquoque opere ac scriptore sentio, vt amicissimos homines, suo quemque delectu ac iudicio, à me commendatos habeat. Inter quos & Dio Prusæus recenseatur, vir singulari cum eloquentiæ vbertate, tum iudicio. Hunc igitur probatum mihi & laudatum accipiet, vt post nobilioris philosophiæ principes Politica tandem Dionis scripta degustet, eáque in primorum illorum rudimentorum, & solidioris disciplinæ confinio posita esse putet. Et sanè egregium est, ô fili, posteà quàm aut accuratis scientiarum præceptionibus insudaueris;

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

iudiciúmq; exaggeraueris, aut grauissimis dogmatibus, atq; sententiis mentem quasi constipaueris, si quando diuertẽdum fuerit, non ad Comœdiam aliquam statim, aut nudis Rhetoricæ opibus instructam orationem conuolare: hoc enim congruo ordine careret, longéque id esset à mediocritate aberrantem inertiæ indulgere: sed paulatim remittendus ille tenor, donec si libuerit, libebit autem, vel in id quod omninò oppositum est, deuenias, nihil non eorum percurrens quæ ad relaxandos animos lusere olim Musarum amici homines; rursúmque studium intendens earum rerum, aut iis affinium lectione, tanquam gradibus quibusdam ascendes. Atque ita optimè feceris, si alternis modò animi causa, modò serio libris incumbens eximium, ac reciprocum stadij istius cursum conficias. Philosophum quippe censeo cùm ab omni alia labe, tum à rusticitate morum & inurbanitate alienum esse oportere: Gratiarum autem sacris initiatum esse, planéq; sese Græcum præstare, hoc est hominum consuetudine vti posse, dum nullius omninò eruditi operis ignarus est. Neque enim aliud videtur, præter ipsam cognoscendi curiositatem philosophiæ fuisse primordium, adeóque fabularum studiosa in pueris indoles quædam est philosophici finis repromissio. Et sanè cuiusnam artis aut scientiæ ars illa, aut scientia esse potest, in cuius id ratione naturáq; continetur, vt omnibus insideat, nisi earumdem delectum haberet, & aliam quidem perinde vt ex editiori loco despectaret, aliam verò etiam longè progressam, curiosiùs exploraret, omnium denique, vt reginam decet, satellitio stiparetur? Musas verò vnà omnes esse non ipsa nominis ratio coarguit, siue Diis nuncupantibus, siue hominibus traditam à Deo appellationem imponẽtibus? Chorum enim ob ipsum nimirum conuentum efficiunt: Nulla autem ex iis à cæteris diuulsa, neq; in Deorum conuiuio suæ artis specimen prębet, neq; enim vlli ab hominib. tẽplum aut altare consecratur. Quanquam nonnulli iam naturæ inopia minutatim id distribuunt quod diuelli nequaquã potest, alteriúsq; alter compos est factus: philosophia verò idipsum est, quod in omnes funditur. Atque hoc ex eo significatur quod Musarũ concentui præsens statim Apollo interesse soleat. Hac proinde oratione artifex quidem, aut sciens is appellatur, qui quamcũq; disciplinam ab aliis seiunctam

A καὶ καταπεπυκνωμένον τὴν γνώμην, ἢ δόγμασι βάρος ἔχουσιν ἐστοιβασμένης τῆς διανοίας, εἶτα ἀποκλῖναι δεήσαν, μὴ εὐθὺς ἐπὶ κωμῳδίαν, ἢ ψιλὴν ταύτην ῥητορείαν ἀΐξαι· τοῦτο γάρ ἐστιν οὐκ ἐν τάξει· καὶ ταχὺ πόρρω τοῦ μετρίου ῥᾳστωνεῦσαι· ἀλλὰ κατὰ μικρὸν ἐκλυτέος ὁ τόνος, μέχρις ἄν, εἰ δοκεῖ, δόξει δέ, κἂν εἰς τὸ ἀντικείμενον ἥκῃς, ἐπεξιὼν ἅπασιν, ὅσα Μουσῶν ἑταίροις ἀνδράσιν ἐρρᾳθύμηταί τε καὶ πέπαικται· πάλιν δὲ τὴν σπουδὴν ἐπιτείνων, ἀναβιβασμῷ χρήσῃ, τοῖσδέ τε καὶ ἀδελφοῖς τισὶ τούτων ἀναγνώσμασιν· οὕτως ἂν ἄριστα δρῴης, διατρέχων τὸν κάλλιστον δίαυλον παρὰ μέρος, ἐν βιβλίοις ἀεὶ παίζων τε καὶ σπουδάζων. ἀξιῶ γὰρ ἐγὼ τὸν φιλόσοφον, μηδὲ ἄλλο τι κακόν, μηδὲ ἄγροικον εἶναι, ἀλλὰ καὶ τὰ ἐκ Χαρίτων μυεῖσθαι, καὶ ἀκριβῶς Ἕλληνα εἶναι, τουτέστι, δύνασθαι τοῖς ἀνθρώποις ἐξομιλῆσαι, τῷ μηδενὸς ἀπείρως ἔχειν ἐλλογίμου συγγράμματος. ἔοικε γὰρ οὐδ᾽ ἄλλο τι γεγονέναι προοίμιον φιλοσοφίας, ἢ πολυπραγμοσύνη γνώσεως, καὶ ἐν παισὶν ἡ φιλόμυθος φύσις, ὑπόσχεσίς ἐστι φιλοσόφου τέλους. καὶ δῆτα τίνος ἂν εἴη τέχνη καὶ ἐπιστήμη τέχνης ἢ ἐπιστήμης, ἧς ἐν τῷ λόγῳ τοῦ εἶναι, τὸ πάσαις ἐποχεῖσθαι παραλαμβάνεται· εἰ μὴ φιλοκρινοίη τε αὐτάς, καὶ τὴν μὲν ἐκ περιωπῆς ἀποσκοποῖτο, τὴν δὲ καὶ πόρρω ἰοῦσαν περιεργάζοιτο, δορυφοροῖτο δ᾽ ὑφ᾽ ἁπασῶν, ὥσπερ ἔοικε τῇ βασιλίδι; τὰς δὲ Μούσας οὐχ ὁμοῦ τε οὔσας ἐμφαίνει τὸ ὄνομα, θεῶν καλεσάντων, ἢ ἀνθρώπων γε Θεοῦ φήμῃ χρωμένων; χορός τέ εἰσι, δι᾽ αὐτὴν δήπου τὴν σύνοδον· μία δὲ αὐτῶν οὐδεμιᾶς χωρίς, οὔτε ἐν συμποσίῳ θεῶν ἐπιδείκνυται τὸ οἰκεῖον ἔργον, οὔτε τυγχάνει παρὰ ἀνθρώποις βωμοῦ καὶ νεώ. καίτοι τινὲς ἤδη φύσεως ἐνδείᾳ κατακερματίζουσιν αὐτῶν τὸ χωρίζεσθαι μὴ δυνάμενον, καὶ ἕτερος ἑτέρας ἐπήβολος γέγονεν· ἀλλὰ φιλοσοφία τὸ ἐπὶ πάσαις ἐστί. καίτοι τοῦτο αἰνίττεται τὸ τῇ συμφωνίᾳ τῶν Μουσῶν, εὐθὺς τὸν Ἀπόλλω παρεῖναι· ὁ δὲ λόγος οὗτος τεχνίτην μὲν καὶ ἐπιστήμονα καλεῖ τὸν ἀποτεμνόμενον ἥντινοῦν

γρ. ῥαστωνεύσασθαι, ἀλλὰ καὶ κ.

B γρ. βουλὴν ἐπιτ. ἀναβασμῷ.

γρ. ὡς ἂν ἄρ. ἀνατρέχων.

C

D

εἴδησιν, ἄλλον ἄλλῃ προσήκοντα δαίμονι· φιλόσοφον δὲ τὸν ἡρμοσμένον ἐκ τῆς ἁπασῶν συμφωνίας, ἓν τὸ πλῆθος ποιησάμενον. ἀλλὰ τοῦτον μὲν οὔπω, προσεῖναι δὲ δεῖ τὸ καὶ ἔχειν αὐτὸν ἴδιον ἔργον ὑπερκείμενον τοῦ χοροῦ, ὥσπερ τὸν Ἀπόλλω λόγος ἔχει, νῦν μὲν ταῖς Μούσαις συνᾴδειν αὐτὸν ἐξάρχοντα, καὶ ἐνδιδόντα ῥυθμὸν τῷ συστήματι. νῦν δὲ αὐτὸν κατὰ μόνας ᾄδειν· ἐκεῖνο δ' ἂν εἴη τὸ μέλος τὸ ἱερὸν, καὶ ἀπόρρητον. καὶ ὁ φιλόσοφος ὁ καθ' ἡμᾶς, συνέσται μὲν ἑαυτῷ τε καὶ τῷ Θεῷ διὰ φιλοσοφίας· συνέσται δὲ τοῖς ἀνθρώποις διὰ τῶν ὑφειμένων τοῦ λόγου δυνάμεων. ἐπιστήσεται μὲν οὖν, ὡς φιλόλογος· κρινεῖ δὲ, ὡς φιλόσοφος ἕκαστόν τε καὶ πάντα· οἱ δὲ ἀστεμφεῖς οὗτοι καὶ ὑπερόπται ῥητορικῆς καὶ ποιήσεως, οὔ μοι δοκοῦσιν οὐδὲ ἑκόντες εἶναι τοιοῦτοι· πενίᾳ δὲ φύσεως μηδὲ τὰ σμικρὰ ἱκανοὶ, ὧν θᾶττον ἂν ἴδοις τὴν καρδίαν, ἢ τὰ ἐν τῇ καρδίᾳ, ἀδυνατούσης τῆς γλώττης ἐξερμηνεύεσθαι τὴν γνώμην. ἐγὼ μὲν οὖν καὶ ἀπιστεῖν αὐτοῖς βούλομαι, καὶ οὐδ' ἂν φαίην ἀπόρρητόν τι κρύπτειν αὐτοὺς, ὥσπερ τὰς Ἑστιάδας τὸ πῦρ· πρῶτον μὲν ὅτι μηδὲ ὅσιόν ἐστι τὰ μεγάλα σοφὸν γενέσθαι, τὸν τὰ μικρὰ μὴ δυνάμενον. ἔπειτα ὥσπερ ὁ Θεὸς τῶν ἀφανῶν ἑαυτοῦ δυνάμεων εἰκόνας ἐμφανεῖς ὑπεστήσατο τῶν ἰδεῶν τὰ σώματα, οὕτως ἔχουσα κάλλος ψυχὴ καὶ γόνιμος οὖσα τῶν ἀρίστων, διαδόσιμον ἔχει μέχρι τῶν ἔξω τὴν δύναμιν· οὐδὲν γὰρ ἐθέλει τῶν θείων ἔσχατον εἶναι. εἰ δὲ καὶ κρύπτειν ἐπιτηδειότερος τὰ ἀβέβηλα ὁ παντοδαπῶς ἔχων τοῦ λόγου, καὶ περιβαλλόμενος δύναμιν τοῦ διατίθεσθαι τὰς συνουσίας ᾗ βούλεται· καὶ οὕτω μειονεκτεῖν ἀνάγκη τὸν ἄνδρα ἐκεῖνον, ὃς οὐ προσετελέσθη τῷ κύκλῳ, καὶ τὰ Μουσῶν οὐκ ὠργίακε. δυοῖν γὰρ αὐτὸν καταλαμβάνει τὸ ἕτερον, ἤτοι σιγᾶν, ἢ λέγειν ὅσα νόμος σιγᾶσθαι. ἢ γὰρ δὴ τὰς τῶν ἐν ἄστει τύχας διαλέξεων ὑποθέσεις ποιήσεται, καὶ φορτικὸς τοῖς ἀνθρώποις συνέσται, ὃ μηδεὶς ἂν ἐλεύθερος ἀξιώσειεν· ἢ βιώσει ἐν σχολῇ γε ὁ " τὴν σοφίαν κορυφαῖος εἶναι ποιούμενος. τυχὸν μὲν γὰρ οὐδ' ἂν εἰ δύναιτο,

χ. τὴν φιλοσοφίαν.

A coluerit, aliúsque alteri se Dearum addixerit: philosophus verò is qui ex omnium concentu sit, concordiáque temperatus, eámque omnem multitudinem in vnum veluti corpus redegerit. At hoc quidem nequaquam satis est, sed eiusmodi insuper muneris accessione opus est, quod & sibi peculiare habeat, & sit cæterarum Choro sublimius: quemadmodum Apollinem fama est nunc Musarum cœtui præeuntem, Rhythmíque præcentum auspicantem concinere: nunc ipsum per sese singulatim canere, quod quidem sacrum arcanúmque modulamen est. Ita philo-
B sophus noster secum ipse, ac cum Deo philosophiæ beneficio versabitur: inferiorum verò facultatum adminiculo, hominum se consortio immiscebit. & quidem qua literatus rerum peritiam obtinebit: qua verò philosophus vnumquodque & singula diiudicabit. At rigidi illi, & Rhetorices Poëticésque contemptores, non mihi sponte sua tales esse; sed indolis paupertate ne ad minima quidem satis idonei videntur, quorum citiùs cor, quàm quæ in corde sunt videris: cùm eorum lingua quæ in animo sunt expeditè enar-
C rare nequeat. Equidem fidem iis vllam adhibere nolim, neque reconditioris aliquid ab iis occultari dixerim, vt sacrum à Vestalibus ignem; primùm quia nefas est eum in magnis esse sapientem, qui ne in minimis quidem possit: deinde vti Deus secretiorum suarum facultatum manifestas quasdam imagines edidit, Idearum scilicet corpora: ita decore insignis animus, & genitali optimorum quorumque fœcunditate præditus eam vim habet, quæ in externa quoque diffundatur. Nihil enim quod diuinum sit extremum esse potest. Si verò ad tegenda etiam sacra miniméque profana accommodatior est qui
D omnimoda eruditione refertissimus est, & eam sibi facultatem comparauit, qua societates hominum vtut volet afficere queat, iniquiori hac in parte conditione sit oportet, qui neque liberalium disciplinarum circulo initiatus est, nec musarum Orgia celebrauit. Etenim ex iis alterum ei accidat necesse est, vt aut taceat, aut ea efferat, quæ taceri lex præcipit. Nam aut ex ciuium infortuniis sermocinandi materiam sumet, adeóq; importunum sese hominibus præbebit, quod libero homini intolerabile est, aut in otio deget is qui se sapientiæ principem, ac Coryphæū facit. Fortè enim neq; si possit, velit

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

omninò certè non, si possit velit. At ego Pharium imprimis Proteum admiror, quòd cùm maximarum rerum sapientia valeret, cauillatorias nihilominus quasdam præstigias obtenderet, variisque rerum imaginibus iis qui adirent occurreret. Quippe ex admirabili circa eum spectaculo cum stupore discedebant, vt non ampliùs eorum quæ satagerent veritatem inuestigarent. Esto verò iis qui nondum initiati sunt quoddam templi vestibulum. Nam qui semel magnificè, & cum ostentatione iactauerit, is non tam dissimulat, quàm acerrimos stimulos, fomitémq; natiuæ hominum cupiditati adijcit, qua vnusquisque curiosus arcanarum rerum inquisitor efficitur. Ixion autem nisi nubem pro Iunone cepisset, complexúque fuisset simulachri contentus, haud sponte sibi vnquam ab absurda illa consectatione temperasset. Est igitur pro sermone sermo in promptu habendus, pro maiore scilicet is qui minor est: Egregium porrò eundem esse consentaneum est, vt ex iis quibus occurret, plebeij quidem intersistant, gratissiméque amplectantur, ne alium eo esse putent antiquiorem: at qui diuinam indolem sortitus est, hinc sese attollens, illum vna percipiat: ei autem qui à Deo impellitur templi sacraria pandemus. Neque verò Menelaus verum Proteum ignorauit, Græcus enim vir fuit, genérque Ioue haud indignus, quíque illum primùm grauissimis de rebus conuenerat. Si quidem ignis, arbor, & fera quidam erant de animantibus plantisq; sermones, ac primis iis elementis, è quibus quæ sunt omnia coalescunt. Verùm ille minimè iis contentus naturæ scrutari penitiora contendebat. Prorsus igitur diuinum est omnibus, vt quisque ab sese iuuandus est, posse sufficere. Qui verò summum sapientiæ culmen attigerit, is & hominem se esse meminerit, & cum hominibus pro cuiusque captu congredi possit. Ecquid ergo Musas quisquam abdicet, quarum ope & hominibus placere possumus, & diuina quibusdam occultata inuolucris ab omni planè labe vindicare? Quòd si varia est natura hominum, eius tandem vitæ, quæ in contemplatione posita est, tædio succumbet, atque ita nonnihil de ea magnitudine remissura, & quodammodo descensura est. Nec enim incorruptæ sumus diuinæque mentes, sed easdem in amantium animis insitas habemus: & nostri ergo causa humaniores quæque

A βούλοιτο, πάντως δὲ οὐδ᾽ ἂν δύναιτο εἰ βούλοιτο. ἄγαμαι δὲ ἐγὼ καὶ τὸν Πρωτέα τὸν Φάριον, ὅτι σοφὸς ὢν τὰ μεγάλα σοφιστικήν τινα " θαυματολογίαν περιεβέβλητο, καὶ παντοδαπῶς τοῖς ἐντυγχάνουσι συνεμίγνυτο. ᾤχοντο γὰρ δὴ τὴν περὶ αὐτὸν τραγῳδίαν τεθαυμακότες, ὡς μὴ ἐπιζητῆσαι τὴν ἀλήθειαν περὶ ὧν πραγματεύοιντο. ἔστω δὲ καὶ τοῦ νεὼ προτεμένισμα τοῖς ἀτελέστοις· ὁ δὲ καθάπαξ ἀποσεμνυνόμενος, οὐ κρύπτει μᾶλλον, ἢ ἐρεθίζει καὶ
B ἀναρριπίζει τὴν ἐν τῇ φύσει λιχνείαν, ὑφ᾽ ἧς ἕκαστός ἐστι πολυπράγμων τοῦ ἀπορρήτου. εἰ δὲ μὴ ὁ Ἰξίων ἀντὶ τῆς Ἥρας τὴν νεφέλην ἠρήκει καὶ ἠγαπήκει συνὼν τῷ εἰδώλῳ, οὐκ ἄν ποτε ἑκὼν εἶναι μεθεῖτο τῆς ἀτόπου διώξεως. παρασκευαστέον οὖν ἀντὶ λόγου λόγον, ἀντὶ τοῦ μείζονος τὸν ἐλάττω· καλὸν μὲν γάρ τινα καὶ τοῦτον, ᾧ περιτυχόντες, ὁ μὲν πολὺς ἐναγαθήσεται καὶ τοῦτον ἀσπάσεται, καὶ οὐδ᾽ εἶναι πρεσβύτερον ἄλλον οἰήσεται· ὁ δὲ λαχὼν φύσεως θείας ἐντεῦθεν ἀρθεὶς περινοήσει κἀκεῖνον· ὃν δὲ ὁ Θεὸς κινεῖ,
C τούτῳ καὶ παρ᾽ ἡμῶν ἀνέῳξεται τὰ ἀνάκτορα· οὐδὲ ὁ Μενέλεως ἠγνόησε τὸν ὄντως Πρωτέα, Ἕλλην γὰρ ἀνὴρ ἦν, καὶ τοῦ Διὸς κηδεστὴς ἄξιος, ᾧ μηδὲ τὴν πρώτην ἐπὶ φαύλοις συνῆν. τὸ γὰρ πῦρ, καὶ τὸ δένδρον, καὶ τὸ θηρίον, λόγοι τινὲς ἦσαν περὶ ζώων τε καὶ φυτῶν, ἀλλὰ καὶ περὶ τῶν πρώτων στοιχείων ὧν σύγκειται τὰ γινόμενα. ὁ δὲ οὐδὲ ταῦτα ἠγάπησεν, ἀλλ᾽ ἐνδοτέρω φύσεως ἠξίου χωρεῖν. θεῖον οὖν ἀτεχνῶς τὸ πᾶσιν ἀρκεῖν, ὡς ἕκαστος ἀπολαύειν αὐτοῦ δύναται· ὁ δὲ γινόμενος τῶν ἄκρων
D ἐπιτυχής, μεμνήσθω καὶ ἄνθρωπος ὤν, καὶ δυνάσθω συνεῖναι πρὸς μέτρον ἑκάστῳ. τί οὖν δή τις ἀποκηρύττοι τὰς Μούσας, δι᾽ ὧν ἔστι καὶ τοῖς ἀνθρώποις ἀρέσκειν, καὶ τὰ θεῖα τηρεῖν " ἀκηλίδωτα, χρωμένους ἐπικαλύμματι. εἰ δὲ καὶ ποικίλον ἡ φύσις ἡμῶν, καμεῖται δήπου πρὸς τὴν ἐν θεωρίᾳ ζωήν· ὥστε ὑφήσει τοῦ μεγέθους καὶ καταβήσεται. οὐ γὰρ ἐσμὲν ὁ ἀκήρατος νοῦς, ἀλλὰ νοῦς ἐν ζώου ψυχῇ· καὶ ἡμῶν οὖν αὐτῶν ἕνεκα μετιτέον τοὺς ἀνθρωπινωτέ-

γρ. θαυματολογίαι.

γρ. ἀκηλίδωτα, ἄλλως ἀκηλιδώτῳ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἔργοις τῶν λόγων, ἀποδέχου ἵνα μηχανωμένους καινοῦσι τῇ φύσει. ἀγαπητὸν γὰρ ἔχοντά που πλησίον ἀπονεῦσαι, καὶ ἀφοσιώσασθαι τῇ ψυχικῇ συστάσει δεομένῃ γλυκυθυμίας, μὴ πόρρω πεσεῖν, μηδὲ κατὰ πᾶσαν ζῆσαι τὴν ποικιλίαν τῆς φύσεως. ὁ γὰρ Θεὸς τὴν ἡδονὴν πόρπην ἐποίησε τῇ ψυχῇ, δι' ἧς ἀνέχεται τὴν προσεδρείαν τοῦ σώματος. τοιοῦτον οὖν δὴ ἐν λόγοις κάλλος· οὐ βαθύνεται πρὸς ὕλην, οὐδὲ ἐμβατίζει τὸν νοῦν ταῖς ἐσχάταις δυνάμεσιν, ἀλλὰ δίδωσιν ἀνανεῦσαι δι' ἐλαχίστου, καὶ εἰς τὴν οὐσίαν ἀναδραμεῖν. ἄνω γάρ ἐστι καὶ τὸ κάτω τῆς τοιαύτης ζωῆς. ᾧ δὲ μὴ ἔστιν ἡσθῆναι καθαρὰν ἡδονήν· δεῖ δὲ τοῦ μειλιχίου τῇ φύσει· τί καὶ ποιήσει; ποῖ καὶ τρέψεται; ἆρα οὐ πρὸς ἃ μηδὲ εἰπεῖν ἄξιον; οὐ γὰρ δὴ τὴν φύσιν ὑπερφρονήσουσι, καὶ πρὸς θεωρίαν "ἀτρύτως ἔχειν ἐροῦσιν, ἀπαθεῖς εἶναι ποιούμενοι, καὶ σαρκία περικείμενοι. εἰ δὲ λέγοιεν, ἴστων ἀντὶ θεῶν ἢ σοφῶν τε καὶ θείων ἀνδρῶν, χαῦνοι καὶ ἀλαζόνες πόρρω γινόμενοι. ἀμείνους δ' ἂν ἦσαν διαστέλλοντες εὖ τὸ προσῆκον ἑκατέρᾳ τῇ φύσει. ἀπάθεια μὲν γὰρ ἐν "θεῶν φύσει· ἀρετῇ δὲ ἄνθρωποι κακίαν ἀμειβόμενοι, μετριοπαθεῖς γίνονται. καὶ τὸ φυγεῖν τὴν ἀμετρίαν, αὐτὸ τοῦτ' ἂν εἴη τοῦ σοφοῦ τὸ ἀγώνισμα. ἤδη δὲ ἐγὼ κατενόησα καὶ βαρβάρους ἀνθρώπους ἐξ ἀμφοῖν τῶν ἀρίστων γενῶν, θεωρίας μὲν ὑπεσχημένους, καὶ κατὰ τοῦτο ἀπολιτεύτοις τε καὶ ἀκοινωνήτοις ἀνθρώποις, ἅτε αἴξαντας ἑαυτοὺς "ἐκλῦσαι τῆς φύσεως· καὶ ἦσαν αὐτοῖς σεμναί τε ᾠδαὶ καὶ ἱερὰ σύμβολα, καὶ τακταί τινες πρόσοδοι πρὸς τὸ θεῖον· ταῦτα πάντα ἀποκόπτει κατὰ" τῆς ἐπιστροφῆς τῆς εἰς ὕλην· καὶ βιοτεύουσι χωρὶς ἀπ' ἀλλήλων, τοῦ μήτι χαίρειν ἰδεῖν ἢ ἀκοῦσαι.

γρ. ἀτρώτως.

γρ. ἐν θεῷ.

γρ. ἑλκῦσαι.

ἢ (κατὰ παρέλκον δοκεῖ.)

Οὐ γὰρ σῖτον ἔδουσ', οὐ πίνουσ' αἴθοπα οἶνον.

καὶ περὶ τούτων ἄν τις εἰπὼν, οὐ πόρρω βάλλοι τἀληθοῦς· ἀλλ' οὐδὲ οὗτοι μέν τοι χαμ-

A literæ capessendæ sunt, vt seipsam demittenti naturæ quoddam velut perfugium comparetur. Gratum enim & iucundum est, cùm habeas quo in proximum diuertas, & animalis temperamento, quod nonnulla oblectatione indiget, quantum sat est tribuas, non procul excidere, neque omnem in viuendo sequi varietatem naturæ. Deus enim voluptatem animæ fibulæ instar inseruit, cuius beneficio diuturnam in corpore mansionem sustineret. Tale itaque quippiam est disciplinarum venustas. Non hæc ad materiam vsque pertingit: neque mentem in imas facultates deprimit, sed subinde emerge-
B re, & ad naturam suam recursare permittit: supernum enim illud etiam est, quod in hac vita infimum subsidet. Contra qui sinceræ voluptatis oblectamentum non habet (naturæ autem lenimento aliquo opus est) quid est quod agere possit, aut quonam sese conuertet? An non ad ea quæ ne memoratu quidem digna sunt? Nec enim naturæ modum excesserint, aut indefesso ad contemplationem animo esse dixerint, affectionísque omnis expertes, quasi carne circumfusos Deos se esse putauerint. Sin id forte dicant, ij se pro Diis, aut sapientibus, ac
C diuinis hominibus, longè arrogantissimos & insolentissimos intelligant. Melius sanè fecerint si quod cuique generi peculiare est, aptè distinguant. Affectuum namque vacuitas, in sola Dei natura reperitur: homines verò vitium alternis cum virtute commutantes affectuum sibi mediocritatem conciliant; immoderationémque deuitare, hoc ipsum fuerit sapientis certamen. Iam verò barbaros ego homines vtroque genere nobilissimos animaduerti, qui cùm contemplationem profiteri instituissent, procul à ciuili administratione, hominúmque communio-
D ne secesserant, vtpote naturæ sese consortio soluere cum omni impetu gestientes: erántque ipsis religiosi, grauésque cantus, & sacra quædam arcanáque signa, & certi ad diuinum numen accessus, atque supplicationes, quæ quidem omnia à conuersione ad materiam illos dirimunt; degúntque à se inuicem separati, ne quid quod suaue sit videre aut intelligere possint.

Nam nec edunt panem, nec Bacchi munera potant.

hæc si quis in eos dicat, nō multùm à veritate aberrabit. Sed neque illi sanè adeo

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

splendidè aduersùs naturam insurgentes, & vt nos dixerimus beatioris vitæ assecutione dignissimi, ea sine fatigatione potiuntur: verùm & ipsi paululum in eo, quod in eorum natura felicius est, stabiliti, fluxa, & caduca naturæ conditione reuocantur: nec vtique toto deinceps tempore mente extra sese rapiuntur, nec intelligibili pulchritudine satiantur, quibus id assequi posse concessum est. Audio enim non omnes eius rei compotes fieri: imò ne maiorem quidem partem, sed ex paucis longè paucissimos, quibus diuino quodam afflatu prior ille extitit mentis impulsus: in eóque quantum hominum natura patitur perseuerant, nec vllo retrahentis naturæ libramento flectuntur.

Multi thyrsigeri, Bacchorum copia rara est.

Quanquam neque illi Bacchicum hunc furorem perpetuò sustinent; sed modò diuinis, modò terrenis rebus, atque corporibus occupantur; hominésque se esse intelligunt, exiguas mundi partes, & minores vitas sibi ipsis subditas habentes, quas & suspectas habent, & sedulò occupant, ne moueri, aut contrà insurgere queant. Alioqui quid isti sibi calathi volunt, textáque, quæ tractare solent? nisi imprimis quidem tunc temporis homines essent, hoc est, nonnunquam se ad hæc inferiora conuertentes. Neque enim vnà & contemplationi & textorum artificio vacare possunt. præthereà ab otio sibi metuunt, quod naturæ nostræ, quæ plurima motus inuitamenta suppeditat, intolerabile est. Vt ne igitur aliud quicquam agerent, earum rerum occupationem sibi præscripserunt, eóque modo animum instigant. Nam & confecto opere delectantur, eóque magis, quo plura, & venustiora perfecerint. nostrum enim partem aliquam esse necesse est quæ in his inferioribus versetur, ita tamen vt minus valida ea sit, ne plus æquo præponderet, aut tenacius adhærescat. Atqui Græco Barbarus in seruando proposito multo constantior: quocumque enim eum impetus rapuerit, vehemens atque pertinacissimus est: ille autem eleganti morum vrbanitate ac mitiori temperamento est, adeóque faciliùs deficit. Ego verò eam naturæ nostræ conditionem esse cuperem, perpetuò vt ad contemplationem erecti esse possemus. Quod quia fieri nullo modo posse comprobatum est,

A πρὸς οὕτως ἐπιδημασάντες τῇ φύσει, καὶ ὡς ἂν ἡμεῖς φαῖμεν δικαιότατοι τυχεῖν ὄντες τῆς ἀρίστης ζωῆς, ἀκμῆτες αὐτῆς ἀπολαύουσιν. ἀλλ' ἐπιδημάζει καὶ τούτοις ἡ ἐπίκηρος φύσις, μικρὸν ἱδρυθέντας ἐν τῷ μακαρίῳ τῆς οὐσίας αὐτῶν· καὶ οὐ δήπου πάντα ἑξῆς τὸν χρόνον ἐπιπολῆς ἔχουσι τὸν νοῦν, καὶ ἐμφοροῦνται τοῦ κάλλους τοῦ νοητοῦ, οἷς ποτὲ καὶ γέγονε προστυχές. ἀκούω γὰρ ἔγωγε μηδὲ τούτοις ἅπασι παραγίνεσθαι τὸ τοιοῦτον, ἀλλ' οὐδὲ τοῖς πλείοσιν, ἀλλὰ καὶ τῶν ὀλίγων ἐλάττοσιν, οἷς ἡ πρώ- B τη τε ὁρμὴ γέγονεν ἔνθεος καὶ μένουσιν ἐπ' αὐτῆς ὅσον ἀνθρώπου φύσις χωρεῖ, πρὸς οὐδεμίαν ἀνθολκὴν τῆς φύσεως μειλισσόμενοι.

γρ. μακρὸν ἱδρυθῆ.

Πολλοὶ μὲν ναρθηκοφόροι, παῦροι δέ τε βάκχοι

Οὐδ' οὗτοι μέν τοι διαρκῶς ἀνέχονται τῆς βακχείας. ἀλλὰ νῦν μὲν ἐν τῷ θεῷ κεῖνται, νῦν δὲ ἐν τῷ κόσμῳ καὶ ἐν τοῖς σώμασι· καὶ ἴσασιν ὄντες ἄνθρωποι μικραὶ μερίδες τοῦ κόσμου, καὶ ἔχοντες ὑποκειμένας ζωὰς ἐλάττους, ἃς ὑποπτεύουσι, καὶ προκαταλαμβάνουσιν, ὡς μὴ κινοῖντό τε καὶ κατε- C ξανίσταιντο. ἢ τί αὖθις οἱ κάλαθοι βούλονται, καὶ τὰ πλέγματα ἅττα μεταχειρίζονται, εἰ μὴ πρότερον μὲν ἐν τῷ τότε ἦσαν ἄνθρωποι, τοῦτ' ἔστιν ἐπιστροφὴν πρὸς τὰ τῇδε ποιούμενοι. οὐ γὰρ δὴ θεωροῦσί τε ἅμα καὶ σοφίζονται περὶ τὰ πλέγματα· ἔπειτα τὴν σχολὴν ὑφεωρῶντο, ἧς ἡ φύσις ἡμῶν οὐκ ἀνέχεται, πολλὰς ἀρχὰς ἐνδιδοῦσα κινήσεων. ἵν' οὖν μὴ ἄλλο τι δρῷεν, ἀμφὶ ταῦτα ἔχειν νόμον ἐν σφίσι πεποίηνται, καὶ ταύτῃ τὴν φύσιν προτρέπονται. καὶ γὰρ δὴ καὶ ἥδονται τελεσιουργοῦντες, καὶ μᾶλ- D λον ὅσῳ πλείω τε καὶ καλλίω. δεῖ γὰρ ἡμῶν εἶναί τι καὶ περὶ τὰ τῇδε· μὴ μέντοι τοῦτό γε ἰσχυρὸν, ἵνα μὴ πλέον καθέλκῃ, καὶ λίαν ἀντιλαμβάνηται· καίτοι τοῦ γε Ἑλληνικοῦ τὸ βάρβαρον ἔνστασιν τηρῆσαι ῥωμαλεώτερον· ᾗ γὰρ ἂν ὁρμήσῃ, σφοδρόν τε ἐστὶ καὶ ἀνένδοτον· τὸ δὲ ἀστείως τε ἔχει, καὶ ἡμερώτερον κέκραται· ὥστε κἂν θᾶττον ἐκλύοιτο. ἐγὼ δὲ βουλοίμην μὲν ἂν εἶναι τῆς φύσεως ἡμῶν, ἀεὶ πρὸς θεωρίαν ἀνατετάσθαι· ἀμηχάνου δὲ ὄντος τε καὶ πεφηνότος,

γρ. τὰ πλέγματα ἅτ. μεταχειρίζ.
γρ. εἰ οὐκ ἦσαν.
γρ. πεποιημένοι
γρ. τὰ πλέγματα.
γρ. ἔχει ὅμοιον
γρ. τῇ φύσει προτρέπονται.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

βουλοίμην ἂν ἐν τῷ μέρει μὲν ἔχεσθαι τῶν ἀρίστων, ἐν τῷ μέρει δὲ χαλῶν εἰς τὴν φύσιν, ἅπτεσθαί τινος εὐφροσύνης, καὶ ἐπαλείφειν εὐθυμίᾳ τὸν βίον. ἐπίσταμαι γὰρ ἄνθρωπος ὤν, καὶ οὔτε Θεός, ἵνα δὴ καὶ ἀκλινὴς εἴην πρὸς ἅπασαν ἡδονήν· οὔτε θηρίον, ἵνα τοῦ σώματος ἡδοίμην ἡδοναῖς· λείπεται δή τι τῶν ἐν μέσῳ ζητεῖν· τί δ' ἂν εἴη παρὰ τὴν ἐν λόγοις τε καὶ περὶ λόγους διατριβήν; τίς ἡδονὴ καθαρωτέρα; τίς ἀπαθεστέρα προσπάθεια; τίς ἧττον ἐν ὕλῃ; τίς μᾶλλον ἀμόλυντος; ταύτῃ δὴ πάλιν τὸν Ἕλληνα τοῦ βαρβάρου πρῶτον ἄγω, καὶ σοφώτερον τίθημι, ὅτι κατιέναι δεήσαν, ὁ μὲν ἐν γείτονων ἐστὶ τῆς προτέρας· εἰς ἐπιστήμην γὰρ ἔστη. ἐπιστήμη δὲ, νοῦ διέξοδος· κατὰ εἰς λόγον ἦλθεν ἄλλον ἀπ' ἄλλου, δι' ὃν καὶ προῆλθε. τί δ' ἂν εἴη λόγου νῷ συγγενέστερον; τί δὲ πορθμεῖον ἐπὶ νοῦν οἰκειότερον; ὡς ὅπου λόγος, ἐκεῖ που καὶ νοῦς. εἰ δὲ μή, πάντως τις εἴδησις ἐν ὑστέροις νόησις οὖσα. καὶ γὰρ ἐνθάδε καλοῦνταί τινες θεωρίαι καὶ θεωρήματα, ἔργα ἐλάττονος νοῦ, ῥητορικά τε, καὶ ποιητικά, καὶ ἐν φύσει καὶ ἐν μαθήμασιν· ἀλλά τοι ταῦτα πάντα κοσμεῖ τὸ ὄμμα ἐκεῖνο, καὶ ἀφαιρεῖ τὴν λήμην, καὶ διεγείρει, καταβραχὺ προσεθίζοντα τοῖς ὁράμασιν· ὥστε θαρσῆσαί ποτε καὶ πρεσβύτερον θέαμα, καὶ μὴ ταχὺ σκαρδαμύξαι πρὸς ἥλιον ἀτενίσαντα, οὕτω μὲν ἀνὴρ Ἕλλην καὶ οἷς τρυφᾷ, τὴν ἐπιβολὴν γυμνάζει, καὶ ἀπὸ τῆς παιδιᾶς εἰς τὴν προτέραν ὑπόθεσιν ὄφελος ἀρνύται. καὶ γὰρ τὸ κρῖναι, καὶ συνθεῖναι λόγον, ἢ ποίησιν, οὐκ ἔξω νοῦ· καὶ τὸ λέξιν καθῆραί τε καὶ ἀποσμιλεῦσαι, καὶ τὸ κεφάλαιον ἐξευρεῖν τε καὶ τάξαι, καὶ ἑτέρου τάξαντος αὐτὸν ἐπιγνῶναι, πῶς ταῦτα καὶ ἀσπούδαστα καὶ παίγνια; οἱ δὲ τὴν ἑτέραν ὁδὸν τὴν ἀξιουμένην ἀδαμαντίνην εἶναι βαδίζοντες· ὑποκείσθω δὲ ὅπερ ἐστὶν, ἐνίους αὐτῶν τυγχάνειν τοῦ τέλους· ἀλλ' ἔμοιγε οὐδὲ ὁδὸν δοκοῦσι βεβαδικέναι. πῶς γὰρ, ἐν ᾗ μηδεμία φαίνεται καταβραχὺ πρόοδος, μηδὲ πρῶτον καὶ δεύτερον, μηδὲ τάξις; ἀλλ' ἔοικε γὰρ τὸ κατ' αὐτοὺς πρᾶγμα βακχείᾳ καὶ ἅλματι μανικῷ δή τινι

A vicissim ego velim modò maximarum rerum contemplatione retineri; modò in naturam delapsus aliquid oblectamenti capessere, vitámq; nonnulla hilaritate perfundere. noui enim hominem me esse, non Deum, vt ad omnem voluptatem rigidus sim, atque immobilis, neque item belluam, vt corporis voluptatibus indulgeam. Superest profectò vt medium aliquid à nobis quæratur, quod quid aliud esse potest, quàm otium illud, quod in literis, & circa literas conteritur? Quæ voluptas sincerior? Quinam affectus ab omni affectu purgatior? Quis materiæ minus affixus? B Quis magis impollutus? Hac ego parte rursus Græcum Barbaris antepono, & prudentiorem iudico, quòd vbi sese demittendum erit, ille statim in proximo consideat: in disciplinis enim considet. disciplina autem mentis digressus est: hinc ex alia in aliam rationem, per quam anteà progressus est, peruenit. Ecquid verò tandem menti est ratione coniunctius? aut quod ad illam nauigium accommodatius? Vbicumque enim ratio est, ibi & mens est: sin minus, at cognitio saltem aliqua, siue in inferioribus rebus mentis in-C tellectio. Nam & hîc speculationes, & theoremata quædam appellantur inferioris mentis officia. Rhetorica scilicet, Poëtica, Naturalia, & Mathematica: eadémque nihilominus oculum illum exornant, lippitudinémque discutiunt, & paulatim his quæ cernuntur assuefacientia mentem excitant, vt ad nobiliorem speculationem audacior assurgat, nec fixis ad Solem obtutibus protinus conniueat. Ita Græci homines etiam voluptati dum vacant, vnà & animi cognitionem exercent, atque ex ludo nonnihil in prioris propositi emolumentum reportant. Etenim de Oratione, aut Poëmate iudicium ferre à mente alienum non est. D Dictionem autem castigare, & minutatim quasi scalpello deradere, argumentorúmque caput inuestigare, ac disponere, siue ab alio dispositum agnoscere, hæc quomodo minimè seria, aut ludicra esse possunt? At qui altera via, quæ adamantina iudicatur, incedunt (demus verò quod re vera est, nonnullos ex iis finem adipisci) mihi certè non vlla via incessisse videntur. Quî enim via hæc esse potest; in qua nullus pedetentim progressus apparet, neque prius quicquam aut posterius, neque certus ordo est? Sed quod ab iis fit, Bacchico potiùs furori,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

& insano, ac fanatico saltui simile est, sine cursu videlicet ad extremum peruenire, & sine rationis functionibus rationis limites transilire. Non enim istud quasi cognitionis consideratio est, aut mentis excessus, sacra illa, & diuina penitus res: neque vt aliud in alio quippiam; sed (vt paruis maiora componamus) quemadmodum Aristoteles ei qui initiandus est, non quidnam agere debeat discendum esse præcipit, sed pati quodammodo, atque affici oportere, posteaquàm nempe idoneum se præbuerit: ipsa autem habilitas ratione caret multóque magis si non eam ratio præparet. Eiusmodi itaque hominibus vel ad minima delapsus sine vllo medio, longissiméque accidit, & præcipiti ruinæ similis est; non secus ac illum in superiorem partem ascensum cum saltu conferebamus. Nam quos ratio proficiscentes non deduxit, neque item redeuntes excipiet. Quonam hæc ergo pacto sibi inuicem consentanea sunt, nunc quod supremum est contingere, nunc ad vitilia, & virgulta conuerti? Homo verò mediæ considerandi facultatis beneficio rationis particeps est, & dicitur, quam illi nunquam excoluerunt, quantum ex eo quod palàm est conijcere licet. Atque ipse quidem finis, & id quò perueniendum est vtrisque commune est, illúdque si adepti fuerimus nihil à nobis inuicem dissidebimus. Quod autem ad ea attinet quæ intermedia sunt, in his philosophus noster longè consideratior est: Viam enim sibi præmunit & ita gradatim conscendit, vt & ex seipso aliquid moliatur: paulatim autem progressum id quod appetit verisimile est esse consecuturum. Quòd si minus obtineat, at progressus est saltem, neque id profectò minimum est, sed is multò magis cæteris præstabit mortalibus, quàm illi pecudibus antecellunt. Idcircò plures ex nostris ad finem peruenturi sunt, quia cum natura congrua est illorum aggressio. Illa verò, nisi si qua forte ingenua sit animi nobilitas, quæ primam sui originem ex alto deducat, aut mentis singulare quodpiam genus, quod vt à seipso moueatur per sese sit sufficiens. Qualis Amus olim Ægyptius literarum vsum non reperit, sed iudicauit, tanta in eo erat vis mẽtis. Eiusmodi autem vel sine philosophica methodo citiùs resoluat: Naturalis enim sufficit, multóque magis, si quis exacuere ipsum ac prouocare velit. Nam ad interiora semina agenda,

A καὶ θεοφορήτῳ, καὶ τὸ μὴ δραμόντας εἰς τὸν ἔσχατον ἥκειν, καὶ μὴ κατὰ λόγον ἐνεργήσαντας, εἰς τὸ ἐπέκεινα λόγου γίνεσθαι. οὐδὲ γάρ ἐστιν οἷον ἐπιστασία τις γνώσεως, ἢ διέξοδος νοῦ, τὸ χρῆμα ἱερόν· οὐδὲ οἷον ἄλλο ἐν ἄλλῳ· ἀλλ᾽ ὡς μικρῷ μεῖζον εἰκάσαι, καθάπερ Ἀριστοτέλης ἀξιοῖ τοὺς τελουμένους, οὐ μαθεῖν τι " δεῖ, ἀλλὰ παθεῖν καὶ διατεθῆναι, γινομένους " δηλονότι (γρ. ἃ δεῖ.) (γρ. δηλονότι ἠγνομένους.) ἐπιτηδείους· καὶ ἡ ἐπιτηδειότης δὲ ἄλογος· εἰ δὲ μηδὲ λόγος αὐτὴν παρασκευάζοι, πολὺ μᾶλλον. τούτοις οὖν καὶ ἡ κάθοδος εὐ-

B θὺς ἐπὶ σμικράν τινα πρᾶξιν, ἄμεσος αὕτη, καὶ πολὺ πόρρω, καὶ ἔοικε πτώματι, καθάπερ τὴν ἀναδρομὴν εἰκάζομεν ἅλματι. οὓς γὰρ οὐ προὔπεμψε λόγος, τούτους οὐδὲ ἐπανιόντας ἐδέξατο. πῶς οὖν ταῦτα ἀλλήλοις ἂν πρέψαι, νῦν μὲν ἐπαφὴν ἔχειν τοῦ πρώτου, νῦν δὲ ἐπὶ ῥῶπας καὶ λύγους ἐστράφθαι; ἀλλ᾽ ὅγε ἄνθρωπος κατὰ τὴν μέσην καὶ ἐπιστατικὴν δύναμιν λογικός ἐστί τε καὶ προσαγορεύεται, ἣν οὐδὲ πώποτε γεγυμνάκασιν· οὔκουν ὅσα γε φαίνον-

C ται. τὸ ... οὖν τέλος, καὶ οὗ δεῖ γίνεσθαι, κοινὸν ἀμφοῖν, καὶ τυχόντες οὐδὲν ἂν ἀλλήλων διαφέροιμεν· τὴν μέσην δὲ ὁ ἡμεδαπὸς φιλόσοφος ἄμεινον ἔσκεπται· ὁδὸν γὰρ παρεσκευάσατο, καὶ κλιμακηδὸν ἄνεισιν, ὥστε καὶ παρ᾽ ἑαυτοῦ τι ποιῆσαι· προϊόντα γὰρ εἰκὸς ἐντυχεῖν ποι τοῦ ἐραστοῦ, καὶ μὴ τυχὼν δὲ πρὸ ὁδοῦ γέγονε, καὶ οὐδὲ τοῦτο μέν τοι σμικρόν· ἀλλὰ διαφέροι ἂν τῶν πολλῶν ἀνθρώπων πλέον, ἢ ὅσον ἐκεῖνοι τῶν βοσκημάτων. ταύτῃ καὶ πλείους ἂν εἶεν οἱ παρ᾽ ἡμῶν ἀφικνούμενοι, κατὰ φύσιν ἐχού-

D σης τῆς ἐπιχειρήσεως. ἐκείνη δέ, εἰ μή τις εὐγένεια τύχοι ψυχῆς ἄνωθεν ἕλκουσα τὴν πρώτην καταβολήν, καὶ νοῦ χρῆμα ἐξαίσιον, οἷον αὔταρκες εἶναι καὶ παρ᾽ ἑαυτοῦ κινηθῆναι. ὁποῖος Ἀμοῦς ὁ Αἰγύπτιος οὐκ ἐξεῦρεν, ἀλλ᾽ ἔκρινε χρείαν γραμμάτων. τοσοῦτον αὐτῷ τοῦ νοῦ περιῆν. ὁ δὲ δὴ τοιοῦτος, καὶ δίχα τῆς φιλοσόφου μεθόδου, θᾶττον ἀναλύσειεν. ὁ γάρ τοι φυσικὸς ἀρκεῖ. πολὺ δή που μᾶλλον, εἰ καί τις αὐτὸν " παραθήξειέ τε καὶ ἐκκαλέσαιτο. τὸ γὰρ ἔνδοθεν " σπέρμα δεινὸς αὐξῆσαι (γρ. αὐτῷ π.) (γρ. πνεῦμα δ.) καὶ σμι-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ σμικρὸν σπινθῆρα λόγου παραλαβὼν, πυρκαϊὰν ὅλην ἀνάψαι· τούτοις μὲν οὖν οὐδὲν παρὰ τοῦτο μεῖον, εἰ μήγε καὶ πάρεργον ποιήσαιτο τὰ τῆς Ἑλληνικῆς ἀγωγῆς, ἣ καὶ τοὺς ἧττον ἁδροὺς προάγει τε, καὶ διαῤῥιπίζει, καὶ τὸ ἐν αὐτοῖς θεῖον ἐκθάλπει· ἐκεῖ δὲ, μόνοι * τοῖς οἴκοθεν μακαρίοις τὸ τέλος ἐπιτυγχάνεται· σπανιώτερον δὲ δήπου τὸ γένος τῶν τοιούτων ψυχῶν, ἢ τὸ τοῦ Φοίνικος, ᾧ τὰς περιόδους μετροῦσιν Αἰγύπτιοι· οἱ δὲ πολλοὶ μάτην ἂν πονοῖεν καὶ ἀποτεύχοιντο, δίχα νοῦ τὴν νοητὴν οὐσίαν θηρώμενοι, καὶ μάλιστα οἷς οὐχ ἡ πρώτη φύσις ἐπὶ τόνδε τὸν βίον ἐξώρμησεν. οὗτοι γὰρ ἂν ὄναιντο τῆς ὁρμῆς· μᾶλλον δὲ αὐτὴν ἐγὼ τὴν [illegible] λην, νοῦ κινουμένου γνώρισμα ποιοῦμαι· οἱ δὲ πλείους, οὐδ᾽ οἴκοθεν ἐκινήθησαν, ἀλλ᾽ οὐδὲ τὸν δεύτερον λεγόμενον πλοῦν ὑπὸ τῆς σχολῆς εἰς νοῦν διεγείρονται· ὥσπερ δὲ ἄλλο τι τῶν εὐδοκιμούντων, τὴν γνησίαν αἵρεσιν ἐζηλώκασι παντοδαποί τε ὄντες τὰ γένη, καὶ κατὰ χρείαν ἕκαστοι συνιστάμενοι. περὶ τούτων ἂν καὶ σαφῶς διατεινοίμην, ὅτι μάτην ἂν οὗτοι πονοῖεν καὶ τεύχοιντο, οἷς οὔτε αὐτοφυὴς ἐστὶ νοῦς, οὔτε ἐπίκτητος. κινδυνεύει γὰρ οὐδ᾽ εἶναι θεμιτὸν ἄλλῳ τῳ τῶν ἐν ἡμῖν τὸν Θεὸν οἴεσθαι ἐνδημήσειν ἀντὶ τοῦ νοῦ. νεὼς γὰρ ἐστὶν οἰκεῖος θεῷ. ταῦτ᾽ ἄρα καὶ τὰς καθαρτικὰς σπουδάζεσθαι παραδεδώκασιν Ἕλληνες σοφοὶ καὶ βάρβαροι, ἀποτειχίζοντες ἅπασαν τὴν πραγματείαν τῆς φύσεως, ἵνα μηδὲν ἐμπόδιον παρέχοιτο ταῖς νοήσεσιν. αὕτη μὲν [illegible] διάνοια τῶν πρώτων καταστησαμένων ἑκατέραν φιλοσοφίαν· οἱ δὲ καὶ τὰς ἀρετὰς * ἔθεσι μᾶλλον ἢ λόγῳ κρατιαίνουσι, καὶ τρεῖς αὐτὰς ἡγοῦνται· φρόνησιν γὰρ οὐ προσίενται, εἴ γε καὶ σωφροσύνην εἶναι τὸ κατ᾽ αὐτοὺς συγχωρήσομεν. ὡς οὐκ * εἰσιέναι τε καὶ συναιρεῖσθαι τὰς ἀρετὰς, διὰ τὴν ἀναγκαίαν ἀντακολούθησιν, * ἀλλ᾽ οἴονταί γε δεῖν σωφρονεῖν οὐ διότι σωφρονητέον εἰδότες, ἀλλ᾽ ὅτι πρόσταγμα λαβόντες, ὥσπερ νόμον ἀναίτιον, ὃν ὁ μὲν θεὶς οἶδεν ὅτι τοῦτο δι᾽ ἄλλο, διὰ τὰς διανοήσεις *,

κ. μόνοις

κ. θέσμα

κ. καὶ ἔπ γε μὴ εἰσ.

κ. οἱ δὲ καὶ τὰς ἀρετὰς ἔθεσι μᾶλλον ἢ λόγῳ κρατιαίνουσι οἱ.

κ. νοήσεις.

& ad totum aliquod incendium excitandum licet minimam sermonis scintillam acceperit, efficacissimus est: Illis igitur nihilo ex eo deterius est, si non Græcam institutionem anteuerterint, quæquidem eos qui minus robusti sunt prouehit, & suscitat, ac quicquid in ipsis diuini est fouendo educit: Illic contrà soli ij quibus domestica felicitas suppetit finem adipiscuntur: Rarius autem sanè est animorum istud, quàm Phœnicis genus, quo Ægyptij temporum circuitus metiuntur: vulgus verò hominum frustra in eo laborauerint, séque ipsos labore confecerint, absque mente eam naturam indagantes, quæ mente percipitur, iíque præsertim, quos . me princeps illa natura in hanc vitam duxit. Illis enim suus impetus profuerit: vel potius eum ego impetum agitatæ mentis indicium esse censeo. Sed maxima hominum pars neque interius concitata est, neque quæ secunda dicitur nauigatio, per otium, & quietem ad mentem excitatur: & vt aliquid aliud eorum quæ in pretio sunt, ac laude hominum, præclaram aliquam sectam æmulantur, quorum quidem multiplicia sunt genera, singulique propter necessitatem suam in vnum conueniunt. De quibus ego verissimè affirmare ausim, frustra eos laboraturos, aut fatigatum iri, quibus vel sponte insita mens deest, vel postmodum acquisita. Ac vereor ne non fas sit alia in parte nostri, præterquam in mente, præsentem Deum esse credere. Templum enim istud Deo conueniens est, propterea purgatricibus virtutibus studendum esse tradidere Græci iuxta ac Barbari sapientes, molestam omnem naturæ occupationem præcludentes, ne quod intelligentiæ impedimentum possit facessere. Hæc fuit eorum mens, qui primi vtramque philosophiam condiderunt: verùm illi virtutes consuetudine potius, quam ratione stabiliri putant, trésque illas numero esse volunt: prudentiam enim reiiciunt iidem ipsi, qui temperantiam admittunt, si vllam demum temperantiam secundum eos esse concedamus. quando fieri non potest quin præ mutua consequendi necessitate simul & ponantur virtutes omnes & intereant. At temperantia vtendum esse putant, non quod cur temperandum sit intelligant, sed quasi imperio quodam accepto, aut lege cuius nulla ratio adferri queat, quam qui posuit, alterius quidem rei causa esse non ignorabat, intelligentiæ nimirum,

E

simúlque quod ad mentis ascensum conduceret, vt nullo eorum quæ in materia sunt afficeremur. hi verò à concubitu abstinent, idipsum per sese admirantes, maximúmque id ducentes quod minimum est, & præparationem ipsam finem esse persuasum habentes: Nos autem virtutes quasi totius philosophiæ elementa miramur. Etenim » qui impurus, tractare non liceat, di» ctum à Platone probauimus. Virtutes » porrò quod alienum est detergentes expurgant. Sed si quidem anima per se bonum esset, repurgatione duntaxat opus haberet, & ex eo iam bonum euaderet, quod sola existeret. Iam verò nequaquam illa bonum est, nec enim vnquam inter mala versari potuisset; sed boni speciem habet, mediámque naturam sortita est. Itaque in deteriora vergentem virtus reducit, solutáque labe mediam rursum efficit. Sensim tamen ad bonum procedendum est: hoc autem ratione fit. Intellectus siquidem cùm intelligibilibus coniugatum nomen est. Vti si finis sit cœlum intueri, haud satis est in humum non curuari, sed post mediam visus consistentiam, necesse præterea est ad superiora conuerti. Et quidem id ex virtutibus vtilitatis sibi aliquis consciuerit, quod ab omni materiæ affectione liberetur. Euehendus verò insuper animus est: quia malum non esse nequaquam satis est, sed & Deum esse oportet: & illud quidem nihil esse aliud videtur, quàm à corporis, & eorum quæ ad corpus attinent consortio recessisse: hoc autem perinde est ac mentis beneficio ad Deum sese conuertere. Nos itaque suum virtutibus honorem habentes scimus quo quæque ordine gaudeat, eo scilicet quem prima elementorum principia ad totius libri cognitionem obtinent: primæ enim his qui ad mentem eriguntur occurrunt, non tamen ex virtutum possessione omnia consequimur, sed id tantum quod impedimento erat remouimus, eáque hactenus præparauimus, sine quibus ne fas sperare quidem est finem posse comparari. Atque hac ratione minimè desperantes, deinceps mentis auxilio, eo ordine quem vetustissimi, ac felicissimi homines excogitarunt, ad finem enitimur: neque istud scio an sedulo quæsitum simus tandem assecuturi, ægrè certe in eum inciderit, qui nec vnquam amore illius captus est, nec quærendúsne sit satis exploratum habet. Atqui egregiè ex iis ij defunguntur, qui in eo consistunt, nec aliud præterea curiosius inquirunt:

καὶ ὅτι πάρεργον πρὸς ἄνοδον, τὸ πρὸς A μηδὲν τῶν ἐν ὕλῃ παθαίνεσθαι. οἱ δὲ ἀπέχονται μίξεων, αὐτὸ δι' αὐτὸ τεθαυμακότες, καὶ μέγιστον ἄγοντες τὸ σμικρότατον, τὴν παρασκευὴν τέλος ἡγούμενοι· ὑμεῖς δὲ τὰς ἀρετὰς, ὥσπερ στοιχεῖα τῆς ὅλης φιλοσοφίας θαυμάζομεν *, τὸ μὴ καθαρῷ γὰρ καθαροῦ ἐφάπτεσθαι μὴ οὐ θεμιτὸν ᾖ, Πλάτωνος ἀπεδεξάμεθα· ἀρεταὶ δὲ καθαίρουσι τὸ ἀλλότριον ῥύπτουσαι. ἀλλ' εἰ μὲν ἦν ἡ ψυχὴ τἀγαθὸν, ἤρκει καθαίρεσθαι, καὶ ἦν ἀγαθὸν ἤδη, τὸ μόνη γενέσθαι· νῦν δὲ οὐ B γάρ ἐστιν ἀγαθόν· οὐ γὰρ ἂν ἐγένετο ποτὲ ἐν κακῷ· ἀλλ' ἀγαθοειδής ἐστι καὶ μέση τὴν φύσιν. ῥέψασαν οὖν εἰς τὸ χεῖρον, ἐπανήγαγεν ἡ ἀρετὴ, καὶ τῆς κηλῖδος ἀπέλυσε *, καὶ πάλιν μέσην ἐποίησε. δεῖ δὴ καὶ προελθεῖν ἐπὶ τἀγαθόν· τοῦτο δὲ ἤδη διὰ λόγου. νοῦς γάρ ἐστι τὸ σύζυγον ὄνομα τῶν νοητῶν. οἷον εἰ τέλος εἴη τὸ πρὸς οὐρανὸν ἰδεῖν, οὐκ ἀπόχρη μὴ κεκυφέναι πρὸς τοὔδαφος, ἀλλὰ δεῖ μετὰ τὴν ἐν μέσῳ στάσιν τῆς ὄψεως ἐπὶ C τὰ ἄνω νεῦσαι. καὶ δῆτα τῶν ἀρετῶν ὄναιτο ἄν τις, τὸ ἀπηλλάχθαι τῆς ὑλικῆς προσπαθείας· δεῖ δὲ καὶ ἀναγωγῆς. οὐ γὰρ ἀπόχρη μὴ κακὸν εἶναι, ἀλλὰ δεῖ καὶ Θεὸν εἶναι, καὶ ἔοικεν εἶναι τὸ μὲν, οἷον ἀπεστράφθαι τὸ σῶμα, καὶ ὅσα τοῦ σώματος· τὸ δὲ, οἷον ἐπεστράφθαι * διὰ νοῦ πρὸς Θεόν. ἡμεῖς οὖν τιμῶντες τὰς ἀρετὰς, ἴσμεν ἣν τιν' ἔχουσι τάξιν, ἣν αἱ τῶν στοιχείων γραμμαὶ πρὸς ἐπιστήμην βιβλίου. πρῶται γάρ εἰσιν ἀνιόντων, ἐπὶ τὸν νοῦν, ἀλλ' οὐ τὸ πᾶν D ἔχομεν ἔχοντες τὰς ἀρετὰς, ἀλλ' ἀφῃρήκαμεν τὸ ἐμπόδιον, καὶ ὧν χωρὶς, οὐδὲ ὅσιόν ἐστιν ἐλπίσαι τυχεῖν τοῦ τέλους, τοῦτο τέως παρεσκευάκαμεν· ταύτῃ δὲ οὐκ ἀπογινώσκοντες, ἤδη μέτιμεν αὐτὸ διὰ νοῦ, σὺν τάξει παλαιοῖς τε καὶ μακαρίοις ἀνδράσιν ἐξευρημένῃ· καὶ ζητοῦντες οὐκ οἶδα εἴ ποτε ἕλοιμεν, σχολῇ γε ἂν περιτύχοι τῷ μήτε ἐρασθέντι, μήτ' εἰ ζητητέον εἰδότι· καίτοι κάλλιστα ἀπαλλάττουσιν αὐτοῦ οἱ μένοντες ἐπὶ τούτου, καὶ μηδὲν προσεξεργαζόμενοι.

γρ. σπουδάζομεν.

γρ. ἀπέλυσε, ἢ

γρ. ἀπεστράφθαι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A εἶεν γὰρ ἂν οὐ κακοί, καθηράμενοι· οἷς δὲ ἐπῆλθε διενεγκεῖν τοῦ πλήθους κατὰ τύχην μαθοῦσιν ὅτι ὁ λόγος ἐστὶ τοῦ ἀνθρώπου καλόν, εἶτα παιδείαν μὲν ἅπασαν ἠτιμάκασιν, ὑφ' ἧς ὁ νοῦς ἀναρρώννυται. (γ. ἀναχώννυται.) κινοῦνται δὲ παρ' ἑαυτῶν ἀτόποις κινήσεις, καὶ ἀποσεμνύνονται μὲν πρὸς φιλοσοφίαν· ὅ,τι δ' ἂν εἰς αὐτοὺς ἐμπέσῃ παράκουσμα, (γ. ἐκπέσῃ π.) τοῦτο ταῖς παρ' αὐτῶν προσθήκαις πονηρὸν ἀπέδωκαν καὶ κακόηθες, τυφλὰ γεννήματα, νοῦ μὲν οὐκ ἄξιον εἰπεῖν, ἀλλ' οὐδὲ διανοίας· δόξης δὲ ἀτόπου καὶ φαντασίας ἡμαρτημένης ἐκφέροντες. B τούτοις μὲν ἴδοις γελοίως διακειμένοις, μᾶλλον δὲ λίαν ἐλεεινῶς. ἄξιον γὰρ ἀνθρώπους ὄντας ἐπ' ἀνθρώπων συμφοραῖς μὴ γελᾶν, ἀλλ' ὀλοφύρεσθαι. φεῦ τῶν λόγων! φεῦ τῶν δογμάτων! εἰ γὰρ ἐπέλθοι φιλοσοφεῖν τοῖς κριοῖς, οὐκ οἶδα ἅτινα μὲν ἀντὶ τούτων πρεσβεύσειαν· ἀλλ' ἡμεῖς αὐτοῖς εἴπωμεν· ἄξιον γάρ· ὦ τολμηρότατοι πάντων, εἰ μὲν ἠπιστάμεθα ὑμᾶς εὐμοιρήσαντας ἐκείνην τῆς ψυχῆς τὴν ἀξίαν, ἣν Ἀμοῦς, ἣν Ζωροάστρης, ἣν Ἑρμῆς, ἣν Ἀντώνιος, C οὐκ ἂν ἠξιοῦμεν φρενοῦν, οὐδὲ διὰ μαθήσεως ἄγειν, νοῦ μέγεθος ἔχοντας, τοῦ, προτάσεις εἰσὶ (γ. εἰσὶ πάντων.) καὶ τὰ συμπεράσματα· ἀλλὰ κἂν ἐντυχεῖν ποτε τῷ τοιούτῳ γένοιτο, σεβοίμεθά τε ἂν αὐτὸν καὶ ἀζοίμεθα· ὑμᾶς δὲ ὁρῶμεν τῆς κοινῆς φύσεως ὄντας ἥττονας, καὶ οὐ μᾶλλον ἀγχίνους ἢ παχεῖς· ὑμᾶς οὖν ἀξιοῦμεν καὶ νουθετεῖν, ἐν κοινῷ θέντες ὅ,τι μὲν ἄριστον ἡμῖν ἐξευρίσκομεν. ἢ τοίνυν ἐπὶ τῶν πρώτων ὑποθέσεων μένετε· παρέδοσαν γὰρ αὐτὰς ἄνδρες ἀγχίθεοι τοῦ θεοῦ· D καὶ οὕτως (γρ. καὶ ὅλως.) ἂν εἴητε κατὰ Πλάτωνα μέσως ἔχοντες, οὐκ ἔτι μὲν ἀμαθεῖς, οὔπω δέ γε σοφοί, δόξαν ὀρθὴν πρεσβεύοντες, δίχα λόγου καὶ ἀποδείξεων. τό τε γὰρ ἀληθές, (γρ. τό γε.) οὐχ ὅσιον ἀμαθὲς οἴεσθαι, καὶ τὸ ἄλογον εἶναι σοφόν, οὐδεὶς ἐπιτρέψει λόγος. ταύτην ἀγαπῶντες τὴν τάξιν μετρίως μὲν ἦτε πεπραγότες, καὶ ἀναίτιοι μὲν παρὰ θεοῦ, ἀναίτιοι δὲ καὶ παρὰ ἀνθρώπων· ἀλλὰ κἂν ἐπαίνου δικαίου τυγχάνοιτε· δήμου γὰρ ἀνδρὶ καὶ τὸ ὅτι αὔταρκες. εἰ δὲ μὴ κατὰ χώραν μένοιτε, (γρ. μένετε.)

mali enim vtpote repurgati non fuerint: At quibus plebem excellere in animum incidit, qui id temerè casúque didicerint, eximium ac præclarum quid hominis esse rationem, indéque disciplinam quidem omnem, qua mens corroboratur, nihil fecêre: à seipsis verò absurdis quibusdam agitationibus cientur. & cùm se philosophię nomine magnificè ostentent, si quid tamen ab aliis traditum acceperint, hoc suis additamentis deprauatum, & malignum reddunt, cæcos quosdam partus enixi, qui non mentis quidem illi, imò ne intellectus quidem dici debent, sed ex absurda opinione, & aberrante Phantasia prodierunt: ridiculè, inquam, vel miserrimè potiùs illos affectos videas. Æquum est enim homines cùm simus, hominum calamitatibus non illudere, sed easdem deplorare. Proh sermones! proh dogmata! Nam si arietes philosophiam ipsam capessere vellent, haud scio quidnam præter ea aliud in honore haberent. Sed nos illis dicamus (meritò enim dicemus) ô omnium mortalium audacissimi, si vos eximiam quidem illam naturæ conditionem feliciter adeptos intelligeremus, quam Amus, aut Zoroastres, aut Hermes, aut Antonius habuerunt, minimè castigandos, aut disciplinis informandos esse censeremus, insigni quadam mentis magnitudine præditos, apud quam & ipsæ conclusiones Propositionum instar sunt: sed sicubi eum hominem offenderemus, religioso cultu, ac veneratione prosequeremur. Vos autem etiam communi natura inferiores, nec tam solertes quàm crassos, atque hebetes esse animaduertimus. Quare reprehendendos meritò ducimus, & quicquid optimi nobis excogitatum habebimus, id in medium proponemus. Aut igitur in primis cognitionis elementis consistite (sunt enim ea à diuinis hominibus tradita) atque ita mediæ eritis secundùm Platonem consistentiæ, vt non ampliùs imperiti, sic nondum tamen sapientes, rectæque opinioni sine ratione, & demonstrationibus primas partes tribuentes. Nam & id quod verum est imperitum esse, & sapiens id quod rationis est expers, nulla vnquam permittet oratio. Eo si ordine contenti eritis, vobiscum mediocriter agetur, culpáque tam Dei, quàm hominum causa vacabitis, imò iusta ex ea re laude non carebitis. plebeio enim homini an sit res nosse satis súperque est. sin vos loco non contineatis,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

sed id quod vlterius est affectetis, ac propter quid res sit curiosè indagetis, præclarè quidem feceritis, sacræ illius rei, sapientiam intelligo, amore correpti: verùm ne soli apud vos ei rei aucupandæ studeatis: Rudes enim estis, nec abundè exercitati, ac periculum est ne in profundam loquacitatis voraginem demersi funditus pereatis: quod & olim Socrates extimuit, neque eum animi affectum clàm amicos homines esse voluit, Parmenidem, & Zenonem. Atqui Socrates ille erat: vos autem qualescumque demum sitis, grauissima nihilominus audacia vestrum omnium est, qui in arcana quædam dogmata temerè insilire contenditis: præsertim cùm triuialibus ad id verbis vtamini. Cadmi quidem semen satiuos, vt aiunt, eadem die milites reddebat: satiuos verò Theologos nulla hactenus fabula prodigiosè finxit. Non enim veritas omnibus in propatulo est, neque passim strata, nec tale quidpiam, quod venatione possit comprehendi. Quid igitur? Ea in re philosophiæ subsidium aduocetur, & ad omnem illum decursum infinita longitudine porrectum patienti animo ferendum se accommodent, tam disciplinas, quàm disciplinarum rudimenta capessentes. Est enim exuenda imprimis rusticitas, minoráque sacra ante maiora inspicienda sunt, & choreæ ante facium gestationem celebrandæ, facésque rursum gestandæ, priusquàm sacrorum Antistites simus. num itaque alios ab aliis labores sponte suscipietis? At non sine puluere maxima quæque comparantur, quanquam si opportunè rem attigissetis, nonnihil in ea re voluptatis caperetis, quam qui progressum faciunt percipere solent. Sed vos seræ eruditionis piget: cùm id turpe non sit, imperitia autem longè maior sit turpitudo, in qua quidem constituti, simplici ea contenti non estis: iampridem enim mediocrem statum obtinuissetis, nihil neque scientes, neque scire profitentes, hoc est, dimidia ex parte periti; hoc enim saltem ipsum sciretis nullius rei in vobis esse scientiam. Duplicem autem ignorantiam magnificè vobis ipsis consciscitis; sapientiæ enim loco arrogantia, fastúque pleni, & priusquàm didiceritis, ad docendum accincti; dicam iterum, proh sermones! proh dogmata! qualia apud vos distracta & plurimorum capitum monstra gignuntur: cuiusmodi olim Diis bellum intulisse ferunt:

A ἀλλ' ἔτι ὀρέξεσθε τοῦ πρόσω, καὶ τὸ διότι πολυπραγμονήσετε· καλῶς μὲν ἂν ποιοίητε σοφίας ἐρῶντες, ἱεροῦ χρήματος, ἀλλὰ μὴ ἐφ' ἑαυτῶν ποιῆσθε τὴν θήραν. ἀγύμναστοι γάρ ἐστε· καὶ κίνδυνος εἰς ἄβυσσόν τινα φλυαρίας ἐμπεσόντας, διαφθαρῆναι· ὃ καὶ Σωκράτης ἐφοβήθη παθεῖν, καὶ τὸ πάθος οὐκ ἀπεκρύψατο φίλους ἄνδρας, Παρμενίδην, καὶ Ζήνωνα. καίτοι Σωκράτης ἐκεῖνος ἦν· ὑμεῖς δέ, οἵπερ ἐστε· δεινὴ δ' ὅμως ἡ τόλμα, δόγμασιν ἀπορρήτοις ἀξιοῦντων ἐνάλλεσθαι· καὶ ταῦτα
B ἐν λέξεσι τριοδίτισιν. ὁ μὲν οὖν Κάδμου σπόρος αὐθημερὸν ὁπλίτας, φησίν, ἀνεδίδου σπαρτούς· σπαρτοὺς δὲ θεολόγους, οὐδείς πω μῦθος ἐτερατεύσατο. οὐ γάρ ἐστιν ἡ ἀλήθεια πρᾶγμα ἐκκείμενον, οὐδὲ καταβεβλημένον, οὐδὲ θήρᾳ ληπτόν. τί οὖν; ἐνταῦθα καλείσθω φιλοσοφία σύμμαχος· καὶ παρασκευαζέσθωσαν ἀνεξόμενοι πάσης ἐκείνης τῆς διεξόδου, μῆκος ἐχούσης μυρίον, παιδευόμενοι καὶ προπαιδευόμενοι. δεῖ γάρ τοι πρῶτον ἀποδῦσαι τὴν ἀγροικίαν, καὶ
C τὰ μικρὰ ἐποπτεῦσαι πρὸ τῶν μειζόνων, καὶ χορεῦσαι πρὶν δᾳδουχῆσαι, καὶ δᾳδουχῆσαι πρὶν ἱεροφαντῆσαι. οὔκουν ἐθελήσετε πόνων ἐπὶ πόνοις ἀνέχεσθαι; ἀλλ' οὐδὲ τὰ μεγάλα ἀκονιτὶ παραγίνεται. καί τοι γε εἰ σὺν ὥρᾳ τοῦ πράγματος ἥψασθε, καὶ ἡδονῆς ἄν τι παρ' ἔργῳ προσῆν, ἧς οἱ προελθόντες ἀντιλαμβάνονται· ὑμεῖς δ' ὀψιμαθεῖν αἰσχύνεσθε· ἀλλ' οὔτοι τοῦτο αἰσχρόν· ἡ δὲ ἀμαθία, καὶ τούτου μεῖζον τοῦτο αἰσχρόν· ἐν ᾗ κείμενοι, τῆς μὲν ἁπλῆς οὐκ ἀνέχεσθε· πάλαι γὰρ ἂν εἴητε μετρίως διακεί-
D μενοι, οὔτε εἰδότες, οὔτε εἰδέναι προσποιούμενοι, τουτέστιν ἐξ ἡμισείας εἰδότες. αὐτὸ γὰρ ἂν τοῦτο ἠπίστασθε, τὸ μηδενὸς ὑμῖν ἐπιστήμην παρεῖναι· τὴν δὲ διπλῆν ἄγνοιαν μεγαλοπρεπῶς ἐφ' ἑαυτοὺς ἕλκετε. φρονήματος γὰρ ἀντὶ φρονήσεως ὑποπλησθέντες, καὶ πρὶν μαθεῖν διδάσκειν ἐπιβαλλόμενοι, πάλιν ἐρῶ, φεῦ τῶν λόγων! φεῦ τῶν δογμάτων! οἷα καὶ τίκτεται παρ' ὑμῖν τέρατα ἀτεχνῶς διεσπασμένα καὶ πολυκέφαλα, οἷά φασιν ἐπιστρατεῦσαί ποτε τοῖς θεοῖς·

γρ. ποιοῖτε.

γρ. ποιεῖτε.

γρ. [illegible] ἐμπεσόντας.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A καὶ ταῦτα τί ἂν εἴποι τις, ἢ ἀπαρτᾶν τὸ θεῖον ἁπλῶς, ταῖς ἀτόποις ὑπονοίαις περὶ αὐτοῦ; οὐκ ἄν, εἴ γε τὸν ἰδιώτην καλῶς ἐτηρήσατε, ἀλλ' ἦν ἐκεῖ τὸ κατορθοῦν ἐν τῷ μετρίῳ. (γρ. μέτρῳ.) ὁ Ἴκαρος, ἐπεὶ τοῖν ποδοῖν ἀπηξίου κεχρῆσθαι, τάχα μάλα καὶ ἀέρος καὶ γῆς ἀπετύγχανεν, ὧν τῆς μὲν ὑπερεῖδε, τοῦ δὲ οὐκ ἐφίκετο. ταῦτα οὐ πρὸς τοὺς ἐκ τῆς ἑτέρας ἀγωγῆς μᾶλλον, ἢ καὶ πρὸς τοὺς παρ' ἡμῖν σὺν ἀλογίᾳ μεγαλοφώνους, οἳ καὶ παρέσχον ἀφορμὴν τῷ λόγῳ βοηθῆσαι τοῖς προπαιδεύμασιν· ὧν τί B ἂν τις καὶ δοίη ἀνθρώπων ἀλαζόνων καὶ ἀνοήτων· πολλοῦ μὲν τ' ἂν εἶεν τρεῖς τοῦ ὀβολοῦ· ἐγὼ δὲ χάριν οἶδα καὶ ποιηταῖς δεξιοῖς, καὶ ῥήτορσιν ἀγαθοῖς, καὶ ὅστις ἱστορίαν τινὰ κατεβάλλετο λόγου ἀξίως· καὶ ἁπαξαπλῶς οὐδένα τῶν συνενεγκόντων εἰς κοινὸν τοῖς Ἕλλησιν, ὅ, τι καὶ εἶχεν ἀγαθὸν, ἀγέραστον εἶναι βούλομαι, (γρ. ἄπρακτον ε.) ὅτι παῖδάς τε παραλαβόντες ἡμᾶς ἐτιθηνήσαντο, καὶ ἀσθενεῖς ὄντας ἔτι τὴν γνώμην ἐνοσοκόμησαν, C τοῖς ὠφελίμοις ἐγκαταμιγνῦντες ἡδύσματα. ἄκρατα γὰρ οὐδεὶς ἂν ταῦτα προσεδέξατο, διά τε τρυφότητα, καὶ τὴν τότε τῶν αἰσθήσεων ἁπαλότητα· καθ' οὕτω ῥώσαντες, καὶ παραπέμψαντες ἄλλος δι' ἄλλου, ταῖς ἐπιστήμαις παρέδοσαν· αἱ δὲ παρεσκεύασαν οἵους εἶναι τῶν ἄκρων ἐπορέξασθαι· ἐκεῖ τε γενομένων, (γρ. τῶν γ.) ὅταν ἀγασθῶνται αἱ ψυχαὶ ῥαινομένας ἱδρῶτι, καὶ τὴν φύσιν ἡμῶν ἀπαγορεύουσαν, αὖθις ἀνεκαλέσαντο πραέως· καὶ ἡ Καλλιόπη παραλαβοῦσα ἥκοντας αὐχμοῦ πλέως, ἀνέπαυσέ τε εἰς ἀνθηροὺς ἀγαγοῦσα λειμῶνας, ὡς μὴ διακναισθῶμεν τῷ πόνῳ, καὶ D πανδαισίαν παρέθηκεν Ἀττικῶν καταγλωττισμάτων καὶ καρυκείας ποιητικῆς· ὑφ' ὧν τὴν μὲν πρώτην διέχεεν· ἔπειτα ἐμυώπισε λαθοῦσα, (γρ. ἐμυωπίασα λ.) καὶ κατὰ μικρόν πως ἐπέστρεψε· τελευτῶσα δὲ ἐπὶ τὸν αὖθις ἐγύμνασεν ἀγῶνα. καὶ ὅστις δὲ οὐ προτέλειον ἡγεῖται τὰς Μούσας, ἀλλὰ τὸ κράτος αὐτὸ τῆς σοφίας ἐν ταύταις εἶναι, καὶ οὐδ' εἴ τι περιττὸν αἰνίττονταί ποτε, (γρ. εἶ, κ.) καὶ παραδηλοῦσι συνιέναι βούλεται· τὸ δὲ ἐγκείμενον αὐτῶν κάλλος ἠγάσθη, καὶ εἰς αὐτὸ κέχηνε, καὶ ὑπὸ τούτου κατέχεται·

De quibus quid aliud quisquam dixerit, quàm absurdis de ipso opinionibus diuinum numen discerpere? Quod minimè sanè contingeret, si ab Idiotarum & imperitorum statu non defecissetis: sed erat nimirum felix eius rei successus in mediocritate positus: postquàm Icarus pedum vsum dedignatus est, repentè aëre, terráq; excidit, quorum alterum despexerat, alterum non est assecutus. Hæc non tam aduersùs eos qui diuersa vitæ instituta sectâtur, quàm aduersus nostros dicta sunt, qui stolidè, ac sine ratione magnificè loquuntur, quíque huic rationi liberalibus disciplinis succurrendi occasionem præbuerunt; quos quanti emere quisquam velit arrogantes, atque insulsos homines? multò sanè constiterint, si tres obolo vno commutentur. Ego verò cùm scitis atque elegantibus poëtis, tum probis oratoribus gratiam habeo maximam, vnáque & si quis dignam sermone hominum historiam condiderit: neminem denique eorum qui in communem Græcorum vtilitatem aliquid contribuerit, quod præclarum haberet, debito honore, præmióque carere sinam, quoniam nos à pueris iam tum exceptos nutricati sunt, mentéq; adhuc infirmos, & quasi ægros diligentissimè accurarunt, quæ vtilia essent quadam suauitate condientes: Mera enim sincerá-que ob amaritudinem, & delicatam sensuum teneritudinem, nemo vnquam admisisset. Deindéque hunc in modum confirmatos, & ab alio per aliud deductos scientiis commiserunt: hæc verò ad summi fastigij apprehensionem, sedulò compararunt: quo cùm peruenerimus, vbi sudore perfusos animos, viribúsque quæ lassitudine defectam naturam animaduerterint, benignè statim reuocant: móxque Calliope squallidos, ac siticulosos excipiens, in florida prata perductos recreat, ne laboris ægritudine conficiamur, lautissimúmque quoddam, & adijciale conuiuium instruit Atticis veneribus, ac poëticorum lenociniorum venustate refertum: quibus primùm exhilarat, tum occultè stimulat, paulatímq; quodammodo animum conuertit: demum ad idem certamen accingit. Quicumque autem Musas non tanquam initiatiuum quoddam esse censet, sed summam in iis sapientiæ collocat, neq; quod ab iis obscurè significatur, eximium aliquid, ac singulare vult intelligere, sed expositum ipsarum decorè amplectitur, ei soli inhiat, eo detinetur:

E iij

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

nihilis tamen adeò graue committit, sed multa ei insuper, vtpote scito & eleganti viro, bona contingant. Quamuis enim Cygnos non tantùm, quantùm Aquilas miremur, quæ sursum super id omne feruntur, quod videri potest: ex eorum nihilominus aspectu, aut cantu mirificè oblectamur; & mei sanè causa nullus vnquam Cygnorum extremum cecinerit. Si verò regiæ illæ sunt, & iuxta Iouis sceptra degunt, hos tamen aliquis Deorum Ioue natus sortitus est, neque à Tripode reijciuntur. Aquilam autem Cygnúmque vnà esse, & vtriusque dona possidere auibus quidem est à natura denegatum, homini verò à Deo permissum: cuicumque & linguæ facundia pollere, & philosophiæ compoti esse conceditur. Verùm Musarum iam à me aduersùs ineptos, & à Musis alienos homines causa perorata est, qui malignè inscitiæ suæ deprehensionem vitantes, ad conuitiosam earum rerum, quas ignorant, criminationem confugiunt. Quòd si quid præter propositum nimis serium à nobis dictum sit, nonnihil vtique à ludentibus serium dici potest. Quanquam ita fieri aliquid potest, vt non ex toto habitu exerceatur, sed si maiori parte ludamus, non à reipsa penitus aberramus. Ludicris enim seria miscemus, quorum ex eo nata occasio est, quod in Dionis gratiam testimonium aliquod dici à nobis oporteret, vt eius disciplinæ fatalis puer hæreditatem consequatur, illa autem multas in partes mira cursuum varietate contendit. Incerti enim sunt ludentium impetus; atque eiusmodi ager est, & libertas, ac eas orationes scribere quæ ad aquam minimè paulò pòst recitandæ sunt. Vidi enim aliquando causarum capitalium iudicem, qui cùm dicendi spatium causam agentibus dimensus esset, ipse dimensi temporis partem aliam dormiendo, aliam frustrà vigilando consumeret, longissiméque à proposita re abesset: Et nihilo tamen secius orator dicebat, vt cui necessario mox tacendum esset. Me verò liberum sinit, neque instat præfiniti temporis angustia, cùm neque coram tam inepto iudice ad dicendum accingar, neque in Theatrum longè foro iniquius sim ingressurus: pulsatis passim foribus, atque vrbanis adolescentibus iucundissimum quoddam acroama pollicitus. Miserrima enim eorum conditio est, qui suas in Theatro

A οὐδὲ οὗτος μέν τοι δεινὸν οὐδὲν εἴργασται, ἀλλὰ καὶ πολλὰ ἀγαθά γε αὐτῷ γένοιτο, μουσικῷ τε ἀνδρὶ καὶ χαρίεντι. καὶ γὰρ εἰ μὴ τεθήπαμεν τοὺς κύκνους, ὥσπερ τοὺς ἀετοὺς αἰρομένους ὕψος " ὑπὲρ πᾶν τὸ ὁρώμενον· ἀλλὰ γανύμεθά γε καὶ ὁρῶντες αὐτοὺς καὶ ἀκούοντες τῆς ᾠδῆς· καὶ ἐμοῦ γε ἕνεκα, μηδείς ποτε κύκνων τὸ ἔσχατον ᾄσειεν. εἰ δὲ βασίλειοί τε εἰσὶν ἐκεῖνοι, καὶ διαιτῶνται παρὰ τὰ τοῦ Διὸς σκῆπτρα, καὶ τούτους εἴληχέ τις θεῶν ἐκ Διὸς γεγονώς, καὶ οὐκ ἀπαξιοῦνται τοῦ τρίποδος. B ἀετὸν δὲ ἅμα καὶ κύκνον γενέσθαι, καὶ τὰ ἀμφοῖν ἔχειν πλεονεκτήματα, ὄρνισι μὲν ἡ φύσις οὐ ξυνεχώρησεν· ἀνθρώπῳ δὲ ἔδωκεν ὁ Θεός, ὅτῳ καὶ ἔδωκε γλώττης τε εὖ ἥκειν, καὶ φιλοσοφίας ἐπήβολον εἶναι. ἠγώνισταί γε πρὸς τοὺς ἀμούσους ὑπὲρ μουσῶν, οἳ καὶ κακοήθως ἀποδιδράσκουσι τὸν ἔλεγχον τῆς ἀμαθίας, τῷ καταφεύγειν ἐπὶ τὴν λοιδορίαν ὧν ἠγνοήκασιν. εἰ δή τι καὶ σπουδαιότερον εἴρηται παρὰ τὴν πρώτην ὑπόθεσιν, τί μὲν ἂν γένοιτο καὶ σπουδαῖον " παιζόντων· οὐ μήν ἐστι τὶ ποιεῖν μὴ ἀπὸ πάσης τῆς ἕξεως· C ἀλλ' εἰ τῷ πλείονι παίζομεν, οὐ τοῦ παντὸς ἁμαρτάνομεν. παιδιᾷ γὰρ παρεμβαλλόμεθα, ἐνδοθείσης μοι, ἀπὸ τοῦ δεῖν εὑρέσθαι τινὰ παρ' ἐμοῦ μαρτυρίαν τὸν Δίωνα, ἵνα μοι γένοιτο καὶ " τῆς παιδείας αὐτοῦ κληρονόμος ὁ παῖς ὁ μοιρίδιος· δραμούσῃ δὲ ἐπὶ πολλά, καὶ δρόμοις παντοίοις. ἀόριστοι γὰρ αἱ τῶν παιζόντων ὁρμαί· τοιοῦτόν ἐστιν ἀγρὸς καὶ ἐλευθερία, καὶ τὸ μὴ πρὸς ὕδωρ εἰρησομένους γράφειν τοὺς λόγους. ὡς εἶδον ἐγὼ δικαστὴν ἐφέτην μετροῦντα τὸν χρόνον τοῖς ἀγορεύουσιν· αὐτὸς μέν τοι τοῦ προσμεμετρημένου, D τὸ μέν τι κατεδάρθανε, τὸ δὲ μάτην ἐγρηγόρει, καὶ ἀπῆν ὡς πορρωτάτω τοῦ πράγματος· ἀλλ' οὐδὲν ἧττον ὁ ῥήτωρ ἠγόρευεν, ὡς ὑπ' ἀνάγκης σιωπησόμενος αὐτίκα· ἐμὲ δὲ ἀφίησι καὶ οὐ στενοχωρεῖ προθεσμία, τῷ μήτε πρὸς οὕτως ἄτοπον παρασκευάζεσθαι δικαστήν, ἀλλὰ μηδὲ μέλλειν εἰς δικαστήριον ἀγνωμονέστερον εἰσιέναι τὸ θέατρον, θυροκοπήσοντα, καὶ ἐπαγγείλαντα τοῖς ἐν ἄστει μειρακίοις ἀκρόαμα ἐπιδέξιον· ὡς σχέτλιά γε τῶν δημοσιευόντων ἐν τοῖς θεάτροις τοὺς

κ. καὶ ὑπ.

γρ. σπουδαῖον π.

γρ. τῆς φιλίας.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A λόγους. ὃν γὰρ δεῖ τοσούτοις ἀρέσκειν ἀνομοίως διακειμένοις, πῶς οὐκ ἀνεφίκτων ἐρᾷ; οὐκοῦν οὗτός ἐστιν ὁ ″ δημολόγος ἀτεχνῶς, ὁ δοῦλος ὁ δημόσιος, ὁ πᾶσιν ἐκκείμενος, ὃν ἔξεστι τῷ βουλομένῳ διαθεῖναι κακῶς. κἂν ″ γελοῖός τις, ὁ σοφιστὴς τέθνηκε, καὶ τὸν σκυθρωπὸν ὑποπτεύει. σοφιστὴς γάρ ἐστι κἂν ὁποιονοῦν εἶδος λόγων προστήσηται, δόξαν ἀντ' ἀληθείας ἐρανιζόμενος. λυπεῖ δὲ αὐτὸν καὶ ὁ πάνυ προσέχων τὸν νοῦν, ὡς λαβὴν θηρώμενος· ἀλλ' οὐδὲν ἧττον ὁ περιδινῶν ἀπολυζάζοι τὴν κεφαλὴν, ὡς οὐκ B ἀξίων ἀκοῆς τὰ δεικνύμενα. καί τοί γε οὐκ ἐν δίκῃ πικρῶν τυγχάνει τῶν δεσποτῶν, ὅστις πολλὰς μὲν νύκτας ἀΰπνους ἀνέτλη· πολλὰς δὲ ἡμέρας παρετάθη, καὶ μικροῦ δεῖν ἀπεστάλαξε τὴν ψυχὴν ὑπό τε λιμοῦ καὶ φροντίδων, ἵν' ἀγαθόν τι συλλέξηται· καὶ ἥκει φέρων ἄκουσμα χαρίεν τε καὶ ἡδὺ τοῖς ἀγερώχοις αὐτοῦ παιδικοῖς, δι' οὓς ἔχει μὲν πονήρως, σκήπτεται δὲ ὑγιαίνειν. ὁ δὲ καὶ ἐλούσατο πρὸ τῆς κυρίας, καὶ εἰς αὐτὴν ἀπήντησεν, ἐσθῆτι καὶ σχήματι σοβαρὸς, ἵνα C καὶ θέαμα καλὸν ᾖ, καὶ προσγελᾷ τῷ θεάτρῳ, καὶ χαίρει δῆθεν· ἡ δὲ ψυχὴ κατατείνεται. ἐπεὶ καὶ τραγακάνθης ἐδήδοκεν, ἵνα τορόν τε καὶ εὔηχες φθέγξηται. τοῦτο μὲν οὖν οὐδ' ἂν ὁ σεμνότατος αὐτῶν προσποιήσαιτο, μὴ οὐ πάνυ μέλειν αὐτῷ, καὶ πεπραγματεῦσθαι τὰ περὶ τὴν φωνὴν, ὅς γε καὶ μεταξὺ τῆς ἐπιδείξεως ἐστράφη, καὶ τὸ ληκύθιον ᾔτησε, καὶ ὁ μὲν ἀκόλουθος ὤρεξεν· ἐκ πολλοῦ γὰρ καὶ παρεσκεύασεν· ὁ δὲ, ἀπορροφεῖ τε καὶ ἀνακογχυλίζει, τοῦ νεαρῶς ″ ἐπιτίθεσθαι τοῖς μέλεσι· τυγχάνει δὲ οὐδ' D ὡς ἀκροατῶν ἵλεων ὁ δύστηνος ἄνθρωπος· ἀλλὰ βούλοιντο μὲν ἂν αὐτὸν ἐξᾶσαι. γελῷεν γὰρ ἄν· βούλοιντο δ' ἂν καὶ διαίραντα μόνον, ὥσπερ ἀνδριάντα τὸ στόμα καὶ τὴν χεῖρα, ἔπειτα ἀφωνότερον ἀνδριάντος γενέσθαι· ἀπαλλαγεῖεν γὰρ ἂν πάλαι δεόμενοι. ἐγὼ δὲ ἐπ' ἐμαυτοῦ γὰρ ᾄδω (καὶ ταῖς δὲ ταῖς κυπαρίττοις προσᾴδω) ὕδωρ δὲ τουτὶ θεῖ ″ διάττον δρόμον οὐ μεμετρημένον, οὐδὲ πρὸς κλεψύδραν ταμιευόμενον, ὅ τις ἂν καὶ ὑπηρέτης μισαγωγήσῃ δημόσιος· ἀλλ' ἐγὼ μὲν εἰ

γρ. δηνολόγος.

γρ. γελάσει τις

γρ. ἐπικεῖσθαι τοῖς.

γρ. διὰ τῶν δρόμων.

orationes ostentant. Nam cui tam dissimilibus inter se hominum iudiciis satisfaciendum est, is quomodo non ea expetit, quæ humanæ vires assequi planè nequeunt? Verè ergo ille est popularis orator, publicum mancipium, omnibus obnoxius, quem in cuiusuis potestate est pessimè afficere. Etenim si ridiculus quis accedat, actum est de sophista, tetricum verò, ac vultuosum quoque auditorem suspectum habet. Sophista enim est, quodcumque præ se ferat orationis genus; opinionem pro veritate corrogans. quin & ipsi molestus est is, qui animum penitus intendit, quasi aliquam reprehendendi ansam captet. Nec minus etiam qui caput circumquaque torquet, velut ea quæ exhibentur fastidiens. Atqui haud metò asperos dominos experitur, qui quamplurimas noctes insomnes regit, & per multos dies attritus, ac fatigatus est, modóque non ipsam animam fame ac sollicitudine distillauit, vt egregium aliquid seligeret: vnde suauem, & lepidam auditionem superbis nimium amoribus, delitiisque suis proponit, quorum gratia etsi male se habeat, prosperam tamen valetudinem simulat. Cæterùm is ante præscriptum diem lotus, veste, & cultu corporis, gestúque arrogantissimo ad eam adfuit, vt & elegans spectaculum sit, & in theatro considentibus arrideat, gaudétque scilicet; animus autem cruciatur, quando & Tragacanthæ nonnihil edit, vt alta, & sonora voce pronunciet. Atqui ne grauissimus quidem inter eos id dissimulauerit, non sibi magnoperè curæ esse, summóque studio elaborari quæ ad vocem attinent, cùm præsertim inter ostentandum conuersus ampullam postulet, quam famulus quidem porrigit (diu enim anteà paratam habebat) ille verò sorbet, & gargarizatu os faucésque colluit, quo validiori voce carmen emoduletur: verùm nihilo tamen ex eo magis infelix homo benignos sibi auditores facit, sed ij decantandi finem ab eo factum plurimùm vellent, tunc enim riderent: aut eum optarent statuæ in modum diducto ore, sublatáque manu statua esse mutiorem: ita enim, quod iampridem cupiunt, discederent. Ego verò mihi ipsi concino, *atque hisce cupressis accino*, † aqua autem ista minimè dimenso cursu, aut ad Clepsydram dispensato emicans decurrit, quàm publicus aliquis lictor appendat. Sed si nondum de-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

sino, mox tamen desiero, sin minus, multo saltem posteà: nec enim ad noctem vsque cantabo: hæc autem etiam cessante defluit, defluétq; noctu atque interdiu, & in insequentem annum, & perpetuò. Quid ergo necesse est præfinito tempori seruire, cùm libertate satiari liceat, atque orationes eo circumducere, quo detorquendę esse videntur, nec mihi cùm auditorum despicientia contendendum, sed mei ipsius ego mensura sim: hanc enim à Deo conditionem sum adeptus, vt liber ac mei iuris essem, qui neq; tres, neq; duos mihi discipulos adsciscere velim, quorum causa ad præstitutum locum vêtitare, ac de certis rebus, vt inter nos cõuenerit, loqui necesse sit. Ita enim plurimùm mihi libertatis decessum iri non ignorarem, si imprimis liber aliquis ad vnguem exigẽdus est, quo memoria quidem excolatur, mentis autem appulsus, cognitióq; quam librorum esse iudicem par est, inexercitata, sterilisque maneat, quoniam ea potissimùm parte philosophi sumus. Illud autẽ Grammaticis relinquẽdum: fieri verò etiam potest vt in philosophicis libris Grammatici quidam euadãt, qui syllabas optimè componere, ac distinguere queãt: nihil tamen proprium obstetricaturi sunt: & si quid fortè pariant, cœcum id pro temeritate & quasi subuẽtaneum est. Non enim sermonẽ interius fouet cui quotidie euomendus est, studiúmq; tumultuariò & inconsideratè in ludicris adhibere, languidum ipsum, atq; euanidum reddit. Nam & ex fœturis corporum, ita ex sermonibus animorum quidam partus oriuntur, qui verò intempestiuè illis consueuerit, cætera planè eadem cum his quæ in corporibus accidunt experietur: vbi verò semel habitus ad abortiendum præceps propenderit, nihil iam integrum aut vitale parturiet. Hinc qui in populum expeditè dicendi facultate valet, ad rem aliquam sedula animaduersione considerandam imbecillis est; neque si qua illi speculatio proponatur, statuæ eam instar expolitam accuratissimè elaborare potest. Præterea verò nec istud beatum esse censeam, tam apud ipsos auditores, quàm de ipsis auditoribus rationem reddere: de ipsis quidem apud parentes aut genere proximos; apud ipsos autem de quotidianis sermonibus: si quidem apud suos discipulos gloriam sibi, famámq; conciliare præceptor cuperet, vt de iis quæ tradiderit, pueri tumultuentur, accerriméque contendant.

A μήπω παύομαι, ἀλλ' αὐτίκα πεπαύσομαι· εἰ δὲ μή, καὶ μετὰ πλεῖστον· οὐ μὲν δὴ καὶ εἰς νύκτα γε ᾄσομαι· τὸ δὲ καὶ πεπαυμένου ῥεῖ, καὶ ῥυήσεται καὶ νύκτωρ καὶ μεθ' ἡμέραν, καὶ εἰς νέωτα, καὶ ἀεί. τί οὖν με δεῖ προθεσμίᾳ δουλεύειν, ἐξὸν ἐμφορεῖσθαι τῆς αὐτονομίας, καὶ περιάγειν τοὺς λόγους, ᾗ μοι δοκοῦσιν ἀκτέοι, οὐ κρινομένῳ πρὸς ὀλιγωρίαν ἀκροατῶν, ἀλλ' ἐμαυτὸν ἔχοντι μέτρον. ἐμοὶ γὰρ δὴ ταύτην ἔδωκε τὴν μοῖραν ὁ Θεός, ἀδέσποτον εἶναι καὶ ἄφετον, ὃς οὐδὲ τρεῖς, οὐδὲ
B δύο περιεποιησάμην ἐμαυτοῦ μαθητὰς εἶναι, δι' οὓς ἂν ἐδέησεν εἰς ἀποδεδειγμένον χωρίον φοιτᾶν, καὶ περὶ συγκειμένων πρὸς αὐτοὺς διαλέγεσθαι. ἠπιστάμην γὰρ πολὺ τῆς ἐλευθερίας ἀποτεμούμενος, εἰ πρῶτον μὲν ἀνάγκην ἔξω βιβλίον ἐξονυχίζειν, ὑφ' οὗ γίνεται τὸ κατὰ μνήμην ἐνεργεῖν· τὴν δὲ ἐπιβολὴν ἀγύμναστον εἶναι καὶ ἄγονον, ἣν δεῖ κριτὴν εἶναι βιβλίων· ἐπεὶ κατὰ τοῦτο ὁ φιλόσοφος μᾶλλον· ἐκεῖνο δὲ ἀποδεδόσθω γραμματικοῖς. εἶεν δ' ἂν καὶ φιλοσόφων βιβλίων γραμματικοί τινες ἀποδεδειγμένοι, τὰς συλ-
C λαβὰς εὖ μάλα συγκρίνοντές τε καὶ διακρίνοντες· οἰκεῖον δὲ οὐδὲν οὐδέποτε μαιευσόμενοι· ὅ,τι δὲ καὶ τέκοιεν, ὑπὸ θράσους τυφλὸν καὶ ἀνεμιαῖον. οὐ γὰρ ἐνθάλπει τὸν εἴσω λόγον, ὅτῳ καθ' ἡμέραν ἐμεῖν ἀνάγκη· τό, τε σπουδῇ σχεδιάζειν ἐν μὴ δέοντι τῇ σπουδῇ χρώμενον, ἐξίτηλον αὐτὴν ἀποφαίνει. φύονται μὲν γὰρ ἐπὶ λόγοις ὠδῖνες ψυχῶν, ὥσπερ ἐπὶ τόκοις σωμάτων· ὅτῳ δὲ ἀώροις αὐτοῖς συνεθίζεται, καὶ τὰ λοιπὰ πέπονθε παραπλήσια τοῖς ἐπὶ τῶν σωμάτων συμβαίνουσιν· ὀλισθοῦσα δὲ ἕξις εἰς τὸ ἀμβλώ-
D σκειν, οὐδὲν ἂν ὠδινήσειεν ἀρτιμελὲς καὶ βιώσιμον. ἐντεῦθεν ὁ πρόχειρος εἰς δῆμον εἰπεῖν, ἀδύνατος ἐπιστῆσαι, καὶ σκέμμα παραλαβών, ὥσπερ ἀνδριάντα ξέσας ἐς τὸ ἀκριβὲς ἀπεργάζεσθαι. ἅμα δὲ οὐδὲ μακάριον ᾠόμην εὐθύνας ὑπέχειν, καὶ αὐτοῖς τοῖς ἀκροαταῖς, καὶ ὑπὲρ αὐτῶν τῶν ἀκροατῶν· ὑπὲρ μὲν αὐτῶν, τοῖς προσήκουσιν· ὑπὲρ δὲ τῶν ὁσημέραι λόγων, αὐτοῖς. βούλοιτο γὰρ ἂν ὁ διδάσκαλος ἀνὴρ εὐδοκιμεῖν ἐν τοῖς μαθηταῖς, καὶ θορυβεῖσθαι ἐπὶ τοῖς λόγοις αὐτοῦ τὰ παιδάρια.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὐκοῦν ἄλλο τοῦτο θέατρον παρὰ πολὺ δυστυχέστερον· νυνὶ δὲ ὁπόσοις τε βούλομαι, καὶ ὁπόσα, καὶ περὶ ὧν, καὶ ὁπηνίκα, καὶ ὅπου, τοσαῦτα καὶ οὕτως σύνειμι. καὶ ὁ μέν τις ὤνησε συγγινόμενος, ὁ δὲ αὐτὸς ὤνατο. βουλοίμην δ' ἂν ἐγὼ τῶν ἀγαθόν τι λεγόντων ἀκούειν μᾶλλον, ἢ λέγειν αὐτός. τῷ πάντη γὰρ εὐτυχέστερον ἀμείνοσιν ἐντυγχάνειν ἢ χείροσιν. ἀλλ' ὅ γε τοῦ διδασκάλου βίος· λόγου δὲ ἐξῃρήσθων, εἴ τις εἷς ἢ δύο φύσει τῶν ἐν τῷ πράγματι χαλεπῶν γεγόνασι διαφέροντες. γένοιτο γὰρ ἂν κἀκεῖνο καὶ καθ' ἕκαστον ἐπιτήδευμα φανῆναί τινας ἀμείνους, ἢ ὡς ἁλῶναι τοῖς προσπεφυκόσιν αὐτῷ καὶ παραβλαστάνουσι πάθεσιν· ἐπεὶ ὅ γε διδάσκαλος, ἐπὰν ἐξαρτήσηται τοὺς θαυμαζομένους, οὐδενὸς οὐδὲν ἀποδέξεται λέγοντος· ἢ κινδυνεύσει καταφρονηθῆναι, καὶ περιιδεῖν ἀφιπτάμενα τὰ μειράκια. εἰ γὰρ οὐ βιάσεται, τὴν ὑπόθεσιν ἔφθειρε· δεῖ δὲ αὐτὸν τηρεῖσθαι διδάσκαλον. εἱμαρμένη τοίνυν ἀνδρὸς διδασκάλου καὶ φθονερὸν αὐτὸν εἶναι, ὃ μέγιστόν τε καὶ ὑλικώτατον τῶν παθῶν· καὶ ἀπεύξεται μὲν μηδένα γενέσθαι σοφὸν ἐν πόλει· γενομένου δὲ, λυμανεῖται τὴν δόξαν, ἵνα μόνος ἀποβλέποιτο. καθεδεῖται δὲ ὥσπερ κεράμιον ἐπιχειλὲς τῆς σοφίας, καὶ οὐκ ἂν ἔτι χωρῆσον. οὐκοῦν ἀγαθόν γέ τι χωρεῖ, τελχὶς καὶ βάσκανος ὤν. πῶς οὖν ἄν τις κάκιον ἀπαλλάξειεν ἀνδρὸς, ὅτῳ μὴ ἔξεστι γενέσθαι βελτίονι. Σωκράτης δὲ καὶ Προδίκῳ παρεῖχεν ἑαυτὸν ὠφελεῖν εἴ τι δύναιτο, καὶ Ἱππίᾳ ξυνεχώρει τι λέγειν, καὶ ὡς Πρωταγόραν ἐβάδιζε, καὶ συνίστη τοὺς πλουσιωτάτους τῶν νέων τῷ τοιῷδε φύλῳ τῶν σοφιστῶν. οὐ γὰρ ἐποιεῖτο σοφὸς εἶναι Σωκράτης· ἦν γὰρ σοφός· καὶ τοῖς μειρακίοις ἐξῆν, εἰ προσεῖχον τὸν νοῦν, μὴ ἀγνοεῖν, ὅστις μὲν ὁ διδάσκων Πρωταγόρας, ὅστις δὲ ὁ μανθάνων Σωκράτης· ἀλλὰ καὶ Γλαύκων, ἀλλὰ καὶ Κριτίας ἐκ τῆς ὁμοίας αὐτῷ διελέγοντο, καὶ οὐδὲ Σίμων ὁ σκυτεὺς πάνυ τι συγχωρεῖν ἠξίου Σωκράτει, ἀλλ' ἐπεράττετο λόγον ἑκάστου λόγου. Κλειτοφῶν δὲ καὶ ἐλοιδόρησεν αὐτὸν ἐν Λυσίου τοῦ σοφιστοῦ, καὶ τὴν Θρασυμάχου συνουσίαν προὐτίμησεν·

A Ergo alius oppidò infelicius quàm istud theatrum est. Nunc autem quibuscumque volo, & quoties, & de quibus & quando, & vbi, toties & eo modo colloquor: Atque hic nobiscum familiariter conuersatus profuit, idem vicissim vtilitatem ex eo aliquam reportauit. Malim verò boni aliquid dicentibus aliis, auscultare, quàm ipse dicere; quia in meliores incidere, quàm in deteriores omni est parte beatius. Præceptoris contra vita hæc est (eximamus autem ex eo sermone si quis vnus, aut alter naturæ strenuitate ea quæ in hoc genere difficillima occurrunt, exuperauerit: Illud enim itidem B euenire potest, vt in vnoquoque genere studiorum nonnulli multò præstantiores appareant, quàm vt adnascentibus, & succrescentibus in iis perturbationibus debellari queant) Quandoquidem præceptor simulatque sibi auditores deuinxit, nihil iam ab alio dictum probabit: Alioqui periculum est ne & contemnatur, & auolantes à Schola adolescentes retinere non possit. Si enim non multùm repugnet, positionem nostram euertit. Fingimus autem præceptorem adhuc illum manere. Homini igitur præceptori fatale est inuidia laborare, quæ maxima C omnium perturbationum & materiæ addictissima est. Ac nullum quidem in ciuitate sapientem esse deprecabitur. Sin aliquis fuerit, eius famæ obtrectabit, vt solus suspiciatur. Sedebitque tanquam vas ad vsque labra sapientiæ plenum, quod nihil ampliùs capere possit: Nec sanè boni cuiusquam capax est, cùm furiosus, atque inuidiosus sit. Quî ergo infelicior vlli exitus esse potest, quàm ei, cui melior esse non licet? At Socrates Prodico sese præbuerat, vt si qua posset in re, iuuaretur, & Hippiæ aliquid dicere permittebat, & ad Protagoram accedebat, atque eiusmodi Sophistarum geD neri ditissimos adolescentes conciliabat. Neque enim sapientem se esse Socrates arbitrabatur, Sapiens enim erat, ipsique adolescentes, si animum aduertissent, facilè cognouissent qualisnam & docens Protagoras, & discens Socrates esset; sed vel Glauco, sed vel Critias, par cum pari colloquebantur, neque Simon ipse cerdo quidquam Socrati concedebat, sed cuiuslibet sermonis rationem exigebat. Clitophon verò in Lysiæ Sophistæ auditorio ei conuitiatus est, ac Thrasymachi consortium anteposuit:

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A Socrates autem nulla ad hæc indignatione percitus eſt, idque perperam Clitophon exiſtimabat: ei enim vel vnus Phædrus occurrens inſtar omnium erat: Phædrúmque extra vrbem præeuntem Socrates ſequebatur, & importuna oratione patienter audita, aliam orationem in Phædri gratiam ex aduerſo oppoſuit. Vſque adeò facilis erat, nec ſe apud homines glorioſè venditabat. Nam quod ad Xanthippam attinet, proh contemptum! vt Socrate vtebatur! Nihil tamen eorum impediebat quo minus ille in eo contemptu lætiſſimè degeret: B Neque me igitur, neque alium quenquam hominum, qui ſeſe variæ huic belluæ, hoc eſt gloriæ, non ſubmiſerit: ſed ſibi ipſi, Deóque placet, cum hominibus verò humaniter conuerſari & vulgo nouit. Quandoquidem & Socrates ex duabus orationibus abſurdiſſimam de Amoris vituperatione ſuſcipiens, veriorem partem dicendo inuertere potuit: ſtatimque mutata ſententia Iouis currum cantabit, & ſacras vndecim Deorũ aurigationes. ſola enim Veſta Deorum ædibus continetur. præ- C tereà Deorum comites animos, acerrimámque eorum ad ſuperandos cœli humeros contentionem celebrabit: illic temerariam, atque audacem orationem coram puero enarrare auſus eſt trans fluuium, eo ipſo in loco ac iuxta eandem Platanum, ad quam orationem habuit: ſéque Lyſiam Sophiſtam æmulatus exercuit: ad eundem porrò puerum verba faciens (non dico Phædrum, adoleſcens enim is erat, & virili iam ætate) ſed ſpecioſus, ac vegeta ætate præditus iuuenis inducitur: eum, inquam, compellans, de amore viciſſim perſuadet, atque diſſuadet, ad cúmque iocatur, & ſeriò agit. Quid ſi igitur idem cum puero meo agam, D quem mihi Deus in inſequentem annum pollicitus eſt, mihi verò iam ille præſens adeſt? Cum eo itaque iocari, ac bona fide agere volo: quoniam & ipſum eſſe cupio in vtroque præſtantem,

Dicere vti rectè poſſit, ſimul omnia norit.

Neque Socratem aſpernetur, qui publicè ſepultos oratione prædicare poſſe non eſt aduerſatus. Quanquam grauius id quàm pro virium ſuarum modulo eſſe credebat. Illam enim dicendi vim Aſpaſiæ tribuebat, quam, vt

A Σωκράτης δὲ, οὐδὲ πρὸς τοῦτο προσεζημιοῦτο, ἀλλὰ καὶ τοῦθ' ὁ Κλειτοφῶν κακῶς οἴεται. ἤρκει δὲ αὐτῷ καὶ Φαῖδρος περιτυχὼν, καὶ εἵπετο Φαίδρῳ Σωκράτης πρὸ ἄστεως ἡγουμένῳ, καὶ ἠνέσχετο φορτικοῦ λόγου, καὶ ἀντεξήγαγεν αὐτῷ λόγον ἕτερον, ἵνα Φαίδρῳ χαρίσηται. οὕτως εὔκολος ἦν, καὶ οὐκ ἀπεσεμνύνετο πρὸς τοὺς ἀνθρώπους. αὐτὴ μὲν γὰρ ἡ Ξανθίππη, φεῦ τῆς ὀλιγωρίας! ὡς ἐχρῆτο Σωκράτει! ἀλλ' οὐδὲν ἐκώλυσε Σωκράτην εὐθυμεῖσθαι καὶ καταφρονούμενον· B οὐδ' ἐμὲ τοίνυν, οὐδ' ἄλλον οὐδένα ἀνθρώπων, ὅστις οὐχ ὑπέθηκεν ἑαυτὸν τῷ παντοδαπῷ θηρίῳ τῇ δόξῃ, " ἀλλ' ἑαυτῷ ἀρέσκει καὶ τῷ Θεῷ· τοῖς δὲ ἀνθρώποις, ἀνθρωπίνως συνεῖναι καὶ βούλεται καὶ ἐπίσταται· ἐπεί τοι Σωκράτης καὶ τὸν ἀτοπώτερον τῶν λόγων διαθέμενος, τὸν ἐπὶ διαβολῇ τῶν ἐρωτικῶν, δύναται μεθαρμόσασθαι τὴν ἀληθεστέραν, καὶ αὐτίκα γε μεθαρμόσεται, καὶ τὸ Διὸς ἅρμα ὑμνήσει, καὶ τὰς ἱερὰς διφρείας τῶν ἕνδεκα θεῶν. μένει γὰρ Ἑστία ἐν θεῶν οἴκῳ μόνη· ὑμνεῖ δὲ καὶ ψυχὰς ὀπαδοὺς θεῶν, C καὶ τὸν ἀγῶνα ὃν ἔχουσιν ὑπερκύψαι τῶν οὐρανοῦ νώτων. ἐκεῖ που καὶ τὸν παρακεκινδυνευμένον λόγον τὸ παιδίον ἐξηγεῖσθαι τολμᾷ, τὸ ἐπέκεινα ταύτῃ παρὰ τὴν αὐτὴν πλάτανον, περὶ ἣν ἐρρητόρευσε, καὶ τῷ σοφιστῇ Λυσίᾳ προσεγυμνάσατο· καὶ πρὸς τὸν αὐτὸν μέντοι παῖδα, οὔτι λέγω τὸν Φαῖδρον· νεανίας γὰρ οὗτος καὶ ἀνὴρ ἤδη· ἀλλ' ὑπόκειται μειράκιον αὐτῷ καλὸν καὶ ἐν ὥρᾳ· καὶ τοῦτο πείθει καὶ μεταπείθει τὰ περὶ ἔρωτος· καὶ πρὸς αὐτὸ παίζει τε καὶ σπουδάζει. τί οὖν εἰ κἀγὼ πρὸς " τὸν ἐμαυτοῦ παῖδα, ὃν ὑπέσχετο μὲν D εἰς νέωτα ὁ Θεός, ἐμοὶ δὲ πάρεστιν ὁ παῖς ἤδη· πρὸς τοῦτον οὖν ἀξιῶ παίζειν τε καὶ σπουδάζειν· ἐπείτοι καὶ αὐτὸν ἀμφότερα ἀγαθὸν γενέσθαι βούλομαι,

Μύθων τε ῥητῆρ' ἔμεναι, γνωστῆρά τε ὄντων.

καὶ μὴ καταφρονεῖν τοῦ Σωκράτους, ὃς οὐκ ἀπηξίου καὶ τοὺς δημοσίᾳ θαπτομένους δύνασθαι λόγῳ κοσμεῖν. καί τοι καὶ τοῦτο μεῖζον ἢ καθ' ἑαυτὸν ᾤετο. προσένεμε γὰρ Ἀσπασίᾳ τὴν δύναμιν

κ. ἀλλ' ἑαυτῷ

κ. πρὸς αὑτὸν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ταύτην, ἣ προσεφοίτα κατὰ χρείαν τοῦ τὰ ἐρωτικὰ παιδευθῆναι. Εἰ δέ τινα κατὰ τὴν Ἀσπασίαν τε καὶ Σωκράτην ἐρωτικὰ συνενόηκας, οὐκ ἀπιστήσεις ὅτι φιλοσοφία τὰς τελεωτάτας ἐποπτεύσασα τελετάς, ἁπανταχοῦ τὸ καλὸν ἐπιγνώσεται καὶ ἀσπάσεται, καὶ ῥητορικὴν ἐπαινέσεται, καὶ Ἀσπασίας τε ποιητικῆς ἀνθέξεται. Ταύτην μὲν γὰρ ἄντικρυς εἰργάσατο καὶ Σωκράτης, οὐχ ὁ παῖς, οὐδὲ ὁ νέος Σωκράτης, ἀλλ' ὁ μετὰ τὴν ἡλικίαν ἤδη δίαιταν ἔχων ἐν τῷ δεσμωτηρίῳ, ὁπηνίκα παίζειν ἥκιστα καιρὸς ἦν τηλικῷδε ὄντι, καὶ ἐν τοιούτοις οὔπω λέγω δεινοῖς· τί γὰρ ἂν καὶ δεινὸν Σωκράτει; ἀλλ' οὐδὲ μέντοι παίζειν ἀξίοις· ὁ δὲ τῷ θεῷ φησὶ πείθεσθαι. καὶ μὴ ἀπιστῶμεν, ᾠκειοῦτο γὰρ αὐτὸν τῇ κοινωνίᾳ τοῦ ἔργου. ἢ οὐ ποιητής ἐστιν ὁ τὸ χρηστήριον ἔχων τὸ Πυθοῖ, καὶ νὴ Δία τὸ ἐν Βραγχίδαις; οὗτος μέντοι μετεποιήθη καὶ τῆς Ὁμήρου ποιήσεως αὐτῷ προσηκούσης,

Ἤειδον μὲν ἐγών, ὃ δὴ ἀπέγραφε θεῖος Ὅμηρος.

λελήθασιν οὖν ὑπὸ σοφίας οἱ στασιῶται τῆς εὐγλωττίας οὗτοι, καὶ τὸν Ἀπόλλω δεύτερον ἄγοντες ἑαυτῶν, μετ' Ἀσπασίας τε καὶ Σωκράτους. ἡμεῖς δὲ ἐπὶ πάντας τοὺς λόγους παρακαλῶμεν τὸν παῖδα, καὶ συνευξώμεθα αὐτῷ, μή, πρὶν ἀμωσγέ πως ἐμφορηθῆναι ῥητορικῆς καὶ ποιήσεως, καὶ δύνασθαι νοῦν τε ἔχειν, καὶ δι' αὐτῶν ἀμύνειν αὐταῖς, ἐντυχεῖν ἀνδρὶ θράσος ἔχοντι, καὶ ἐπιμισαμένῳ ταῖς μούσαις. τί γὰρ ἂν καὶ χρήσαιτο τοῖς κτήμασι τοῖς πατρῴοις; τοὺς μὲν γὰρ ἀγροὺς ἐλάττους ἐποίησα, καὶ συχνοί μοι τῶν οἰκετῶν ἰσοπολῖται γεγόνασι· χρυσίον δὲ οὔτε ἐν φαλάροις ἔχω γυναικῶν, οὔτε ἐν νομίσμασιν· ὅ, τι γὰρ καὶ ἦν, ἅπαν αὐτὸ ὥσπερ Περικλῆς εἰς τὸ δέον ἀνάλωσα· τὰ βιβλία δὲ πολλαπλάσια τῶν ἀπολειφθέντων ἀπέδειξα· τούτοις οὖν ἅπασι δέον σε δύνασθαι χρῆσθαι. Εἰ δὲ ὅτι σοὶ μὴ διώρθωσα τὰ Δίωνος γράμματα, δι' ὃν καὶ προῆλθεν ἐπὶ τοσόνδε ὁ λόγος, διὰ τοῦτο δυσχεραίνεις τὸν πατέρα, ἀλλ' οὐδὲ ἄλλο τί σοι διώρθωται τῶν τῆς ὁμοίας ἕξεως.

in amatoriis rebus institueretur, sese conferebat. A Tu verò si amatoria eiusmodi quædam animaduerteris, de quibus tum cum Aspasia Socrates disserebat, facile intelliges philosophiam augustissimis quibusque sacris inspectis vbique quod honestum est agnituram, atque amplexuram esse: & non modo Rhetoricam probaturam, sed Aspasiam etiam, ac Poëticam sibi conciliaturam: hac enim procul dubio Socrates vsus est, non puer aut iuuenis Socrates, sed tunc cum ætate prouectior in carcere versaretur, quando ludendi nequaquam tempus erat homini natu grandi, B & in tantis non dicam malis, quid enim Socrati malum esse posset? sed eiusmodi tamen, vt in his minimé ludendi locus esset. At ille Deo se morem gerere profitebatur, neque ei diffidendum est; nam illum sibi eiusdem operis communione deuinxerat. An non poëta is est, qui in Pythiis, & me herculè inter Branchidas oraculum habet? Et tamen ille Homeri sibi poësim tanquam propriam arrogat:

Hæc ego quæ cecini diuinus scripsit Homerus.

C Quocircâ isti qui eloquentiam omnem repudiant præ sapientiæ magnitudine, non vident secundas à se partes Apollini, nec non Aspasiæ, & Socrati seipsos tribuere. Verum nobis ad omnia disciplinarum genera puer incitandus est, communibúsque cum eo votis optandum, ne priusquam vtcumque Rhetoricam, ac poëticam imbiberit, mentéque & valere incipiat, atque ipsis possit earumdem ope succurrere, in audacem Musisque infensum hominem incurrat. Quo enim pacto patriis opibus vti posset? Nam ego agros quidem longè quam acceperam pau- D ciores reddidi, & plurimi ex seruis meis eodem mecum ciuitatis iure potiuntur: Aurum verò neque in mundis muliebribus, neque signatum habeo, (quod enim mihi erat totum à me, vti à Pericle, in necessarios vsus insumptum est) libros autem multo quàm relicti sunt plures comparaui, quibus omnibus tete vti posse necesse est. Quod si quia Dionis tibi scripta emendatiora non tradidi, patrem ideò auersaris, quæ mihi fuit hactenus producendi sermonis occasio: At neque aliud tibi quicquam eiusdem instituti emendauimus,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Dioni enim nulla eius rei excusatione opus fuerit, rursum itaque implorandum rhetoricæ auxilium. Verum aliquam ex philosophia legem allegabo. Pythagoræ Mnesarchi Samij huic legi nomen inscriptum est; quæ quidem lex quicquam libris addere aut innouare prohibet: sed eos vtut primùm scripti sunt manere iubet, quacumque demum fortuna, aut arte conscripti sunt. Cæterùm in orationibus lex idipsum appellatur, quod nullo dicendi artificio constat, quæ enim non persuasione dicentis, sed reipublicæ authoritate nituntur, inter eas probationes recensentur, quæ ἄτεχνοι hoc est, rationis expertes dici possunt. Licet nonnulli nostrorum ex ea re oratores sese profiteantur, cùm nihil aliud quàm scribæ sint: Iidem verò si testes duntaxat produxerint, dum in his causæ cardo vertitur, rem sua opera confectam esse existimabunt, adeò lepidi ac iuueniles sunt. Verumenimuerò quoniam nos non ex Romanis tabulis legem recitamus, vt vel inuitis authoritatem habeat, sed ea veteris cuiusdam philosophi est verborum ad hanc persuasione opus est, vt lex in orationem mutetur. Cauendum tamen est ne de minimis rebus maius iterum aliquid dicamus: Ita nescio quomodo à leuissimis iis ad grauiora dicendo abripimur; proinde cauebimus, quantum à nobis fieri potest: sin penitus necesse erit de iis quæ dicta sunt nonnihil repetemus. quod si sufficiat, præclarè omnino faciemus, si nihil insuper curiose comminiscamur. veniet ergo Pythagoras, aut quicumque Pythagoræ assecla est, & patronus, quando citata ex eo lex est, dicétque optimum quidem esse si ea mens insita sit, quæ ad quoduis disciplinæ genus per seipsam sufficiat: hoc est quæ iam reipsa istud sit, Rhetorica scilicet, ac poëtica, si non ad omnia summa sit indole prædita: Talésque iam olim hîc nati sunt, in quibus aut animi excellentia fuit, aut natiua cum disciplinis cognatio, qui nulla institutione opus habuerunt, ipsi autem exemplaria quædam artis extiterunt. sed hominum vulgus cùm tanta naturæ felicitate destituitur, tùm ab eadem nonnulli absunt longissimè, intelligendíque duntaxat facultate constant, cúmque plus minúsve ad finem aut accedant, aut sint dissiti, ab iis mentibus, quæ actione constant, hoc est effectis, quæ ex actionibus ipsorum consequuntur, ad id perducuntur. in eóque omnis posita est librorum

A Δίωνι γὰρ οὐκ ἀπολογίας πρὸς τοῦτο δεήσει. πάλιν οὖν δεήσει ῥητορικῆς· ἀλλ' ἐγὼ νόμον ἐκ φιλοσοφίας παρέξομαι. Πυθαγόρας Μνησάρχου Σάμιος ἐπιγέγραπται τῷ νόμῳ, ὅστις ὁ νόμος οὐκ ἐᾷ τοῖς βιβλίοις ἐπιποιεῖν· ἀλλὰ βούλεται μένειν αὐτὰ ἐπὶ τῆς πρώτης χειρὸς, ὅπως ποτὲ ἔσχε τύχης ἢ τέχνης. ἔστι μὲν οὖν ἐν ταῖς ῥητορείαις ὁ νόμος τὸ ἀρρητόρευτον. ἐν γὰρ ταῖς ἀλόγοις ἠρίθμηται πίστεσιν, ὅ, τι μὴ παρὰ τὴν πειθὼ τοῦ λέγοντος, ἀλλὰ παρὰ τὴν πολιτείαν ἰσχύει· καί τινες ἀφ'

B ἡμῶν ἀξιοῦσιν ἀπὸ τοῦ τοιούτου ῥήτορες εἶναι, γραμματεῖς ἀτεχνῶς ὄντες· οἱ δὲ, κἂν μάρτυρας ἀναβιβάσωνται, τοῦ πράγματος ἐπὶ τούτοις ὄντος, παρ' ἑαυτοὺς οἴονται πεπρᾶχθαι τὴν δίκην· οὕτως εἰσὶ χαρίεντές τε καὶ νεανίαι. ἐπεὶ δὲ ἡμεῖς οὐκ ἐκ τῶν Ῥωμαϊκῶν ἀξόνων, τὸν νόμον ἀνέγνωμεν, ἵνα καὶ ἀκόντων ἂν ἰσχύῃ· ἀλλ' ἀνδρός ἐστι φιλοσόφου καὶ παλαιοῦ, πειθώ τινα δεῖ προσθεῖναι, καὶ μεταλλάξαι νόμον τὸν λόγον. ἀλλ' ὅπως μὴ λάθωμεν αὖθις περὶ τῶν μικρῶν τι μεῖζον εἰπόντες, ὡς οὐκ οἶδ' ὅπως ἀπὸ

C τῶν φαυλοτάτων εἰς σεμνὰ ἄττα ἀποφερόμεθα. φυλαξόμεθα οὖν ὅση δύναμις· εἰ δὲ πάντως δέοιτο, παραληψόμεθά τι τῶν εἰρημένων· κἂν τοῦτο ἀρκῇ, τῷ παντὶ ἂν ἔχοι καλῶς, μηδὲν προσεξεργάζεσθαι. ἐρεῖ τοίνυν ὁ Πυθαγόρας, ἢ ὅστις ὁ Πυθαγόρου θιασώτης τε καὶ συνήγορος, ἐπὶ νόμοις ἔκκλητος φθέγγεται, ἄριστον μὲν εἶναι φῦναι τὸν νοῦν αὐτάρκη πρὸς ὁποιοῦν ἐπιτήδευμα, τοῦτ' ἔστιν ἤδη νοῦν ἐνεργείᾳ τοῦτο ὄντα ποιητικὸν ἢ ῥητορικὸν, εἴ μή γε καὶ

D πρὸς ἅπαν ἀκροφυέστατον· καὶ ἤδη τινὲς ἦσαν ἐνθάδε τοιοῦτοι, μέγεθος ἔχοντες, ἢ πρὸς ἐπιστήμην οἰκείωσιν, οἳ μαθήσεως οὐκ ἐδέησεν, ἀλλ' αὐτοὶ τέχνης ἐγένοντο παραδείγματα· οἱ δὲ πολλοὶ τῆς μὲν εὐμοιρίας ταύτης οὐχ οὕτως εἰλήχασιν· ἐνίοις δὲ αὐτῶν πολλοῦ γε καὶ δεῖ, δυνάμει δὲ ὄντες νοοῦσι· καὶ οἱ μὲν ἧττον, οἱ δὲ μᾶλλον, ἀγχοῦ καὶ πόρρω τοῦ τέλους, ὑπὸ τῶν ἐνεργείᾳ νῶν, τῶν ἀποτελεσμάτων τῆς ἐνεργείας αὐτῶν, εἰς τοῦτο προάγονται. καὶ ἡ πᾶσα τῶν βιβλίων πραγματεία,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ματεία, πρὸς ἓν τοῦτο τείνει· ἐκκαλεῖται τὴν δύναμιν ἡμῶν εἰς ἐνέργειαν. ἀρχομένη μὲν οὖν ἀπαραιτήτως δείσθω τῶν γραμμάτων ποδηγετούντων, καὶ πρὸς τὴν αἴσθησιν ἀπερειδέσθω· προϊοῦσα δὲ, ἀποπειράσθω τῆς ἰδίας ἰσχύος, καὶ μὴ πάντα ἐκκρεμαννύσθω τῶν συλλαβῶν. ὥσπερ γὰρ ἄλλο τι πρόβλημα ἀγαπᾶται, τὸ πόριμον ἡμῶν γυμναζούσης τῆς ἀπορίας· οὕτω καὶ τὸ ἐνδεὲς εἰς τὴν ἀκολουθίαν τῆς ἀναγνώσεως ὁ νοῦς προσυφαίνειν ἀναγκαζόμενος, καὶ μὴ πάντα ἐπὶ τοῖς ὀφθαλμοῖς κείμενος, μελέτην ποιεῖται καὶ κατὰ μόνας ἔργον τι θαρρῆσαι παραπλήσιον· ἅμα δὲ καὶ προσεθίζεται μὴ πρὸς ἄλλοις, ἀλλὰ ἐντὸς εἶναι. τὰ γὰρ διημαρτημένα ταῦτα βιβλία τὸν νοῦν ἐπιζητεῖν ἔοικεν ἐπιστατοῦντα ταῖς ὄψεσι. τοῦτο καὶ τοῖς κομιδῇ μειρακίοις ἐπέταττεν ἡ Πυθαγόρου διδαχή, ἅμα μὲν ἀποπειρωμένη τῆς φύσεως τῆς ἑκάστου, ἅμα δὲ καὶ προγύμνασμα αὐτὸ ἡγουμένη, παιδικώτερον ἔτι τῶν ἐπιπέδων ἐν γεωμετρίᾳ λημμάτων. οὐ γὰρ μέγα τὸ ἔργον στοιχεῖον, ἢ συλλαβὴν, ἔστω δὲ καὶ λέξιν, εἰ δὲ βούλει καὶ μίαν ὅλην περίοδον λόγου ἁρμόσασθαι, πάλιν ἑτοίμως χρῆσθαι τοῖς ἀπὸ τοῦ βιβλίου. πάνυ δὲ ὅμοιον τοῦτο τῷ συμβαίνοντι κατὰ τοὺς τῶν ἀετῶν νεοττοὺς, οὓς ἀετιδεῖς οἱ πατέρες ἄρτι γινομένους ἐκπετησίμους, ἄραντες ὑψοῦ μεθιᾶσι, εἶτα ἐπιτρέποντες αὐτοὺς τοῖς οἰκείοις πτεροῖς χρῆσθαι· κᾆτα αὖθις ἀναλαμβάνουσι προλαμβάνοντες τῆς ἡλικίας αὐτῶν τὴν ἀσθένειαν, καὶ τοῦτο πολλάκις, ἕως ἂν τὴν πτῆσιν ἐκμελετήσωσιν. ἐγὼ τοίνυν πρὸς μὲν ἄλλον οὐδένα νεανιεύσομαι, πρὸς σὲ δὲ τἄγε ἀληθῆ. πολλάκις οὐδὲ περιμένειν ἀξιῶ τοῦ βιβλίου τὴν συμφορὰν, ἵν᾽ ἀγαθόν τι μοι γένηται, ἀλλ᾽ αὐτὸς ἀνέχω τοὺς ὀφθαλμοὺς, καὶ τῇ συγγραφῇ προσγυμνάζομαι, μηδ᾽ ἀκαρῆ διαλιπὼν, ἀλλ᾽ ἐφιεὶς τῷ καιρῷ· καὶ εἴρων ὥσπερ ἑξῆς ἀναγινώσκων ἀπὸ τῆς διανοίας, ὅ, τι μοι δοκεῖ τὸ ἀκόλουθον εἶναι. κᾆτα ἐξετάζω πρὸς τὰ γεγραμμένα τὰ λελεγμένα, καὶ πολλάκις μὲν οἶδα τυχὼν τοῦ αὐτοῦ μὲν νοῦ, τῆς αὐτῆς δὲ καὶ λέξεως· ἤδη δέ ποτε τοῦ μὲν ἐνθυμήματος ὕστερος γέγονα, ὅ, τι δὲ καὶ παραλλάττοι τῆς λέξεως, ἀλλ᾽ ὅτι μάλιστα εἴκαστο πρὸς τὴν ἁρμονίαν τοῦ συγγράμματος.

A occupatio: facultatem ij nostram ad actum prouocant: Et quidem vt cùm adhuc incipit, literis perpetuò præeuntibus indigeat, sensibúsque prorsus innitatur; nihilominus dum in progressu est proprias vires experiatur, neque ex syllabis omninò dependeat. Quemadmodum enim aliud quoduis problema libenter amplectimur, quia rerum perplexarum difficultas excogitandi solertiam exercet: Ita cùm id quod ad narrationis tenorem deest intelligentia supplere, atque adtexere cogitur, neque omnia ei ante oculos subijciuntur, ad simile quid per sese
B audiendum excitationem sibi comparat, vnáque consuescit, vt ab aliis non pendeat, sed intra seipsam contineatur. Deprauata quippe ista monimenta, mentem quæ oculis præsit, desiderare videntur. hoc ipsis quoque adolescentibus Pythagoræ doctrina præcipiebat, partim vniuscuiusque indolis periculum factura, partim præexercitamentum illud esse existimans, puerorum ingeniis magis consentaneum, quàm planorum illas apud Geometras sumptiones. Non enim operosum est litera vna aut syllaba, aut etiam dictione, vel si
C mauis integro vno ambitu orationis accommodato, deinceps iis quæ in libro sunt commodè vti, & in promptu habere. planè autem simile quid ei est, quod Aquilarum pullis euenit: Nam eos, vbi primùm volare inceperint, parentes altiùs sublatos dimittunt, suísque quodammodo alis vti concedunt: tum statim ætatis imbecillitatem anteuertentes recipiunt: idque sæpius repetunt, donec volare didicerint. Ego verò apud alium quidem neminem, sed apud te tamen ex rei veritate gloriabor. Sæpenumerò libri calamitatem ex-
D pectandam esse non censeo, vt mihi boni aliquid contingat, sed sublatis oculis me ad ipsum opus exerceo, ne momento quidem intermittens, sed pro re nata suggerens, & perinde ac si legerem, quicquid consequens esse videtur à me excogitatum adnectens. Deinde ea quæ dicuntur cum iis quæ scripta sunt confero, ac memini me sæpius eundem non modò sensum, verumetiam sermonem assecutum, aliâs sententiam ipsam solerter ita coniectatus sum, vt si quid verborum dissideret, id tamen mirificè ad operis coagmentationē esset excogitatum.

F

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Quòd si diuersus esset sensus, nihilominus libri illius authori congruebat: & is erat, quem, si in animum incidisset, nequaquam esset dedignaturus. Prætereà memini me adstantibus aliquot viris nobilissimum quoddam, grauissimúmque opus præ manibus habere, quod cùm à me vt omnibus legerem petiissent, parùi rogantibus: Si quando verò id commodè fieri posset, aliquid de meo insuper addebam, atque insuper enarrabam: Non id (per numen illud quod literis præest) consultò, cogitatóque faciens, sed ea quæ sponte occurrebant menti iuxta ac linguæ permittens: móxque ingens ab omnibus strepitus, plausúsque concitatus, ob ipsa potissimum additamenta hominem eum laudantibus, à quo scriptum opus erat: ita mihi Deus animum indidit, tractabile quoddam expressarum in verbis ac moribus figurarum conceptaculum. Quòd si in deprauatis libris animi attentionem exercere contendissem, ad eam perfectionem tentantis habitum natura deduxisset. Qui mox tibiam audire desierint, eorum aures etiam cessante modulatione, sonitu quodam personant, ac tibiæ cantibus longiusculè detinentur: Ego autem multoties Tragœdiis tragicè accinui, & Comœdiis arguta ac festiua garrulitate respondi, meipsum cuiusque scriptoris lucubrationibus accommodans. Diceres modo Cratini me aut Cratetis æqualem, modò Diphili, & Philemonis, neque vllum carminis, aut poëmatis genus est, ad quod meos ego conatus attollere, atque extendere non audeam: nunc integra opera integris opponens, nunc cum fragmentis contendens: cúmque omnimodæ dicendi formæ, plurimúmque à se inuicem diuersæ sint, in qualibet imitatione pro virili parte mihi adsonandum est: non secus ac ima chorda rhythmum, numerúmque ipsa vniformis manens, variis modis agitatæ flexæque modulationi adstrepit.

A εἰ δὲ καὶ ὁ νοῦς ἕτερος, ἀλλὰ πρέπον γε ἐκείνῳ τἀνδρὶ τῷ τὸ βιβλίον ποιήσαντι, καὶ ἂν οὐκ ἀπηξίωσεν, εἰ ἐνεθυμήθη. ἤδη δέ ποτε οἶδα προκαθημένων ἀνθρώπων, ἐτύγχανον μὲν τῶν ἀδήλων καὶ σπουδαίων τι συγγραμμάτων ἔχων ἐν ταῖν χεροῖν, δεομένων δὲ ἀναγινώσκειν εἰς κοινὴν ἀκοήν, ἐποίουν οὕτως· εἰ δέ ποτε παρείκοι, προσεξέδραμον ἄν τι, καὶ προσεπηρμήνευσα· οὐ μὰ τὸν λόγιον, οὐκ ἐπιτηδεύσας, ἀλλ' ἐπελθὸν οὕτως συνεχώρησα τῇ γνώμῃ τε καὶ τῇ γλώττῃ· καὶ δῆτα θόρυβος ἤρθη πολύς, καὶ
B κρότος ἐρράγη, τὸν ἄνδρα ἐπαινούντων ἐκεῖνον, ὅτου τὸ σύγγραμμα ἦν, ἐπ' αὐταῖς οὐχ ἥκιστα ταῖς προσθήκαις. οὕτω μοι τὴν ψυχὴν ὁ Θεὸς ἁπαλὸν ἐκμαγεῖον ἐποίησε τῶν ἐν λέξεσί τε καὶ ἤθεσι χαρακτήρων· εἰ δὲ καὶ τῷ τοῖς ἀδιορθώτοις τῶν βιβλίων ἐγγεγυμνάσθαι τὴν προσοχὴν ἐπέτεινον, εἰς τοῦτο τὴν ἕξιν ἐπήγαγεν ἡ φύσις πειρωμένῳ. τοὺς ἐξηυλημένους τὰ ὦτα, παραπέμπει τις ἠχὼ καὶ πεπαυμένου τοῦ μέλους, καὶ μένουσι χρόνον ὑπόσυχνον τοῖς αὐλήμασι κατακώχιμοι· ἐγὼ δὲ θαμὰ καὶ τραγῳδίαις ἐπετραγῴδησα, καὶ κωμῳδίαις ἐπιστωμυλλόμην πρὸς τὸν τόνον ἑκάστου τοῦ γρά-
C ψαντος. εἴποις ἂν ἡλικιώτην εἶναι, νῦν μὲν Κρατίνου καὶ Κράτητος, νῦν δὲ Διφίλου τε καὶ Φιλήμονος, καὶ οὐκ ἔστιν ἰδέα φιλομετρείας τινὸς ἢ ποιήσεως, πρὸς ἣν ἵνα οὐ διαίρομαι καὶ ἐπεξάγω τὴν πεῖραν· καὶ ὅλα συγγράμματα πρὸς ὅλα ποιῶν, καὶ τεμμαχίοις παραβαλλόμενος· παντοδαπῶν τε ὄντων τῶν λεκτικῶν χαρακτήρων, καὶ πλεῖστον διαφερόντων, ἐν ἑκάστῃ τῶν μιμήσεων προσηχεῖν ἀνάγκη, καὶ ταὐτόν ἴσχειν· ὥσπερ ἡ ὑπάτη χορδὴ τὸν ῥυθμὸν αὐτὴ μένουσα παραβομβεῖ κινουμένῳ τῷ
D μέλει.

A

ΣΥΝΕΣΙΟΥ ΦΑΛΑΚΡΑΣ ΕΓΚΩΜΙΟΝ.

ΔΙΩΝΙ τῷ χρυσοῦν τὴν γλῶτταν ἐποιήθη βιβλίον κόμης ἐγκώμιον, οὕτω δή τι λαμπρόν, ὡς ἀνάγκην εἶναι B παρὰ τοῦ λόγου φαλακρὸν ἄνδρα αἰσχύνεσθαι. συνεπιτίθεται γὰρ ὁ λόγος φύσει· φύσει δὲ ἅπαντες ἐθέλομεν εἶναι καλοί, πρὸς ὃ μέγα μέρος αἱ τρίχες συμβάλλονται, αἷς ἡμᾶς ἐκ παίδων ἡ φύσις ᾠκείωσεν. ἐγὼ μὲν οὖν καὶ ὁπηνίκα τὸ δεινὸν ἤρχετο, καὶ θρὶξ ἀπέρρυη, μέσην αὐτὴν δέδηγμαι τὴν καρδίαν· καὶ ἐπειδὴ προσέκειτο μᾶλλον, ἄλλης ἐπ' ἄλλῃ πιπτούσης, ἤδη δὲ σὺν δύο καὶ κατὰ πλείους, καὶ ὁ πόλεμος λαμπρὸς ἦν, ἀ- C γομένης καὶ φερομένης τῆς κεφαλῆς, τότε δὴ τότε χαλεπώτερα πάσχειν ᾤμην, ἢ ὑπὸ Ἀρχιδάμου τοὺς Ἀθηναίους, ἐπὶ τῇ δενδροτομίᾳ τῶν Ἀχαρνῶν, ταχύ τε ἀπεδείχθην ἐξ ἐπιτηδείου Εὐβοεύς, οὓς ὄπιθεν κομόωντας ἐστράτευσεν ἐπὶ Τροίαν ἡ ποίησις· ἐν ᾧ, τίνα μὲν θεῶν, τίνα δὲ δαιμόνων παρῆλθον ἀκατηγόρητον; ἐπειθόμην δὲ καὶ Ἐπικούρου τι γράφειν ἐγκώμιον, οὐ κατὰ ταὐτὰ περὶ τῶν θεῶν διακείμενος, ἀλλ' ὡς ὃ ἂν κἀγὼ δυναίμην ἀντιδεξόμενος. ἔλεγον γάρ, ὅτι ποῦ τὰ προνοίας ἐν τῷ παρ' ἀξίαν ἑκάστου; ἢ D τί γὰρ ἀδικηθεὶς ἐγὼ φανοῦμαι ταῖς γυναιξὶν ἀειδέστερος· οὐ δεινὸν εἰ ταῖς ἐκ γειτόνων· τὰ γὰρ εἰς Ἀφροδίτην ἐγὼ δικαιότατος, κἂν τῷ Βελλεροφόντῃ σωφροσύνης ἀμφισβητήσαιμι. ἀλλὰ καὶ μήτηρ, ἀλλὰ καὶ ἀδελφαί, φασί, τῷ κάλλει τι νέμουσι τῶν ἀρρένων· ἐδήλωσε δὲ ἡ Παρύσατις, Ἀρταξέρξην τὸν βασιλέα διὰ Κῦρον τὸν καλὸν ἀποστέρξασα. ταῦτ' ἄρα ἐποτνιώμην, καὶ μικρὸν οὐδὲν ἐπενόουν περὶ τῆς συμφορᾶς· ἐπεὶ δὲ ὅ,τε χρόνος αὐτὴν συνηθεστέραν ἐποίησε, καὶ ὁ λόγος ἀντεισιὼν

SYNESII CALVITII ENCOMIVM.

DIO ille, aurea lingua præditus, Comæ encomium scripsit, adeò sanè præclarum, vt vel ex ipsa oratione eum qui caluus sit pudere necesse sit. Nam naturæ ipsius præsidio freta quendam velut impetum facit. Natura enim omnes formæ ac pulchritudinis desiderio tenemur, ad quam magna ex capillorum laude fit accessio, quos iam inde à pueris nobis natura conciliauit. Atq; ego quidem malo ipso iam insipiente, defluentéque capillitio penitius animo discruciari cœpi, cúmque magis ac magis ingrauesceret & alius super alios pilus decideret, ac duo subinde pluresve, & ingens bellum exarsisset, capite agi, ferriq; cœpto, tunc mihi quidem visum est multo agi mecum iniquius, quàm cum Atheniensibus olim, succisis ab Archidamo Acharnẽsium arboribus, statímque me serium ac minimè affectatum Euboeensem casus ille fecit, quos pone comatos ad Troianam expeditionem profectos narrat Poësis: in quo quidem quem ego deorum aut dæmonum non appellaui? Epicurum sanè mihi tum oratione aliqua commendandum persuadebat animus. Non quod eadem de diis cum illo sentirẽ, sed vt vicissim quid possem ostenderem. Ita enim apud me: Vbinã illa prouidentia est, quæ vnicuique quod æquum est promeritúmque non rependit? Nam quo meo merito, mulieribus turpior videbor? Non illud graue quidem est, si vicinis duntaxat ita esse videar, sum enim circa res venereas iuris atque æqui obseruantissimus, planéque mihi videor de pudicicia cum Bellerophonte posse contendere. Sed matrem ipsam ferunt, & sorores marium formæ nonnihil referre, idque re ipsa Parisatis comprobauit quæ ob formosum Cyrum Artaxerxem Regem odio est prosecuta. Hæc ego quiritando deos, hominésque contestabar nihil iam animo mediocre de hac calamitate reputans. Posteaquàm autem ei me & temporis diuturnitas assueferit, & ratio ex aduerso

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

occurrens perturbationi sese opposuit, A paulatim ea sese subducente conualescere, ac meliusculè me habere cœpi. Nunc verò ille ipse Dio diuum ei impetum adiecit, ac cum patrono, ac defensore rursum inuadit. Atqui ne Hercules quidem ipse, quod aiunt, contra duos, qui nec Molionidas subitò ex insidiis aggressos sustinere potuit, & cum hydra concertans solus quidem cum ea, quandiu sola fuit, per aliquod tempus congressus est: at cùm eius subsidium cancer aduenisset, omninò, nisi Iolaum sibi socium adiunxisset, præ labore concidisset. Mihi verò cùm nullus ex fratre nepos B adsit Iolaus, eiusmodi tamen quidpiam à Dione contigisse videtur: Vnde mei rursum, & nationis oblitus, elegos, ac lugubres in Comam versus molior. Sed tu cùm caluorum optimus sis, strenuúmque, ac audacem virum agas, ac te huius adeò calamitatis non pigeat, vt cum pulmentario apposito in conuiuarum frontes inquiritur, vltrò teipsum prodas, ex eóque tanquam ex bono aliquo honorem, gloriámque affectes: Tu inquam, æquo animo eam orationem feras, ac morigero sis & patienti, vt aiunt, corde. Ac vt Vlysses olim ancillarum petulantiam inconcussa animi C virtute sustinuit, ita tibi enitendum est, vt nihilo fias ex hac oratione commotior. At illud nequeam. Quid ais? Poteris sanè. Audi igitur: Nihil verò necesse fuerit codicem consulere, ipse ex memoria dicam; pauci enim versus sunt, sed omnes sciti imprimis, ac elegantes, quorum infixa animo hæret concinnitas: adeò ne volenti quidem vnquam è memoria exciderint. *Diluculo surgens.* Diisque (vt moris habeo) salutatis comam accurabam: molliusculе enim mihi tum corpus habebat, hæc autem diu neglecta fuerat, & conuoluta, contortáque ferè D omnis erat, vt sunt lanæ illæ, quæ in ouibus proximæ cruribus dependent. Quanquam & nostra quoque squallidior, vtpote ex pilis implexa tenuioribus. Erat igitur & visu ipso horrida cæsaries, & inculta, dissolutúque contumax, quam cùm distingueres, vndequaque aut auulsam, aut distentam cerneres. Quamobrem comæ studiosos homines impensus tum laudabam, qui cultus, atq; elegantiæ amore, comæ, quam magni faciunt, curam habēt præcipuam, calamúmque perpetuò, quo eam dum vacat, vellicent, in crine gerunt. Ac, quod in ea re molestius est humi cùm

A κατεξανίστη τοῦ πάθους, τόδε δὲ κατὰ μικρὸν ὑπεξίστατο, ἤδη διὰ ταῦτα ῥάων ἦν καὶ ἀνέφερον· νυνὶ δὲ αἰθυπήνεγκεν αὐτῷ ῥεῦμα ἕτερον οὗτος αὐτὸς ὁ Δίων, καὶ ἐπιδυνήκει μοι μετὰ συνηγόρου. πρὸς δύο δὲ, φησὶν ὁ λόγος, οὐδ' Ἡρακλῆς, εἰ τοὺς Μολιονίδας ἐκ λόχου προσπεσόντας οὐκ ἤνεγκεν, ἀλλὰ καὶ πρὸς τὴν ὕδραν ἀγωνιζόμενος, τέως μὲν εἷς ἑνὶ συνεστήκεσαν· ἐπεὶ δὲ ὁ καρκίνος αὐτῇ παρεγένετο, κἂν ἀπεῖπεν, εἰ μὴ τὴν Ἰόλεω συμμαχίαν ἀντεπηγάγετο. κἀγώ μοι δοκῶ παραπλήσιόν τι παθεῖν ὑπὸ Δίωνος, οὐκ ἔχων ἀδελφιδοῦν τὸν B Ἰόλεων. πάλιν οὖν ἐκλαθόμενος ἐμαυτοῦ τε καὶ τῶν λογισμῶν, ἐλεγεῖα ποιῶ θρηνῶν ἐπὶ τῇ κόμῃ. σὺ δὲ ἐπειδὴ φαλακρῶν ὁ κράτιστος εἶ, δοκεῖς δέ τις εἶναι γεννάδας, ὃς οὐδὲ ἐμπάζῃ τῆς συμφορᾶς, ἀλλὰ καὶ ὅταν ἔν τισι προκειμένου μετώπων ἐξέτασις γίνηται, σαυτὸν ἐπιλέγῃς, ὡς ἐπ' ἀγαθῷ δή τινι φιλοτιμούμενος. οὐκοῦν ἀνάσχου τοῦ λόγου, καὶ τήρησον ἐν πείσῃ, φασὶ, τὴν καρδίαν· ὥσπερ ὁ Ὀδυσσεὺς πρὸς τὴν ἀναγωγίαν τῶν γυναικῶν ἀνέκπληκτος ἔμεινε· καὶ σὺ πειρῶ μηδὲν ὑπὸ τούτου παθεῖν. ἀλλ' οὐκ C ἂν δυναίμην; τί φῄς; καὶ μὴν δυνήσῃ. τοιγαροῦν ἄκουε· δεῖ δὲ οὐδὲν ἐξελίττειν τὸ βιβλίον, ἀλλ' αὐτὸς ἐρῶ. καὶ γὰρ οὐδὲ πολύστιχόν ἐστι· γλαφυρὸν μέντοι, καὶ τὸ κάλλος αὐτοῦ προσιζάνει τῇ μνήμῃ, ὥστε οὐδὲ βουλόμενον ἐπιλαθέσθαι με οἷόν τε. Ἀναστὰς ἕωθεν. Καὶ τοὺς θεοὺς προσειπὼν, ὅπερ εἴωθα, ἐπεμελούμην τῆς κόμης. καὶ γὰρ ἐτύγχανον μαλακώτερον σῶμα ἔχων· ἡ δὲ ἠμέλητο ἐκ πλείονος. πολὺ γοῦν συνέστραπτο καὶ συνεπέπλεκτο τὰ πολλὰ αὐτῆς, οἷα τῶν οἰῶν τὰ περὶ τοῖς σκέλεσιν αἰωρούμενα· πολὺ δὲ ταῦτα D σκληρότερα, ὡς ἂν ἐκ λεπτοτέρων συμπεπλεγμένα τῶν τριχῶν. ἦν οὖν ὀφθῆναί τε ἀγρία ἡ κόμη καὶ βαρεῖα· μόλις δὲ διελύετο, καὶ τὰ πολλὰ αὐτῆς ἀπεσπᾶτο καὶ διετείνετο. οὐκοῦν ἐπῄει μοι τοὺς φιλοκόμους ἐπαινεῖν, οἳ φιλόκαλοι ὄντες, καὶ τὰς κόμας περὶ πλείστου ποιούμενοι, ἐπιμελοῦνται οὐ ῥαθύμως, ἀλλὰ κάλαμόν τινα ἔχουσιν ἀεὶ ἐν αὐτῇ τῇ κόμῃ, ᾧ ξαίνουσιν αὐτὴν ὅταν σχολὴν ἄγωσι· καὶ τοῦτο δὴ τὸ χαλεπώτατον, χαμαὶ κοιμώμενοι φυλάττουσιν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A ὅπως μηδέποτε ἅπτωνται τῆς γῆς, ὑπερείδοντες ὑπὸ τῆς κεφαλῆς μικρὸν ξύλον, ὅπως ἀπέχῃ τῆς γῆς ὡς πλεῖστον, καὶ μᾶλλον φροντίζουσι τοῦ καθαρὰν φέρειν τὴν κόμην, ἢ τοῦ ἡδέως καθεύδειν. ἡ μὲν γὰρ καλούς τε καὶ φοβεροὺς ἔοικε ποιεῖν· ὁ δὲ ὕπνος, κἂν πάνυ ἡδὺς ᾖ, βραδεῖς τε καὶ ἀφυλάκτους. δοκοῦσι δέ μοι καὶ Λακεδαιμόνιοι μὴ ἀμελεῖν τοῦ τοιούτου πράγματος, οἵ ποτε ἥκοντες περὶ τῆς μάχης τῆς μεγάλης τε καὶ δεινῆς, ὅτε μόνοι τῶν Ἑλλήνων ἔμελλον δέχεσθαι βασιλέα, τριακόσιοι τὸν ἀριθμὸν ὄντες, ἐκάθηντο ἀσκοῦντες τὰς κόμας. B δοκεῖ δέ μοι καὶ Ὅμηρος πλείστης ἐπιμελείας ἀξιοῦν τὸ τοιοῦτον. ἀπὸ γε μὴν ὀφθαλμῶν οὐ πολλάκις ἐπαινεῖ τοὺς καλούς, οὐδὲ ἀπὸ τούτου μάλιστα ἡγεῖται τὸ κάλλος ἐπιδείξειν. οὐδενὸς οὖν τῶν ἡρώων ὀφθαλμοὺς ἐγκωμιάζει, πλὴν Ἀγαμέμνονος, ὥσπερ καὶ τὸ ἄλλο σῶμα ἐπαινεῖ αὐτοῦ, καὶ οὐ μόνον τοὺς Ἕλληνας ἑλίκωπας καλεῖ, ἀλλ' οὐδὲν ἧττον καὶ τὸν Ἀγαμέμνονα, τὸ κοινὸν ἐπὶ τοῖς Ἕλλησιν· ἀπὸ δὲ τῆς κόμης ἁπάντας· πρῶτον μὲν Ἀχιλλέα,

Ξανθῆς δὲ κόμης ἕλε Πηλείωνα. C ἔπειτα Μενέλαον ξανθὸν ἐπονομάζων ἀπὸ κόμης· τῆς δὲ Ἕκτορος χαίτης μέμνηται,

Ἀμφὶ δὲ χαῖται Κυάνεαι πεφόρηντο.

Εὐφόρβου γε μὴν τοῦ καλλίστου τῶν Τρώων ἀποθανόντος, οὐδὲν ἄλλο ὠδύρετο λέγων,

Αἵματί οἱ δεύοντο κόμαι χαρίτεσσιν ὁμοῖαι,
Πλοχμοί θ' οἳ χρυσῷ τε καὶ ἀργύρῳ ἐσφήκωντο.

καὶ τὸν Ὀδυσσέα ὅταν ἐθέλῃ καλὸν γεγονότα ὑπὸ τῆς Ἀθηνᾶς ἐπιδεῖξαι, φησὶ γοῦν,

Κυάνεαι δ' ἐγένοντο ἔθειραι·

πάλιν δ' ἐπὶ τοῦ αὐτοῦ· ---κὰδ δὲ κάρητος
Οὔλας ἧκε κόμας ὑακινθίνῳ ἄνθει ὁμοίας.

καὶ πρέπειν γε μᾶλλον τοῖς ἀνδράσι φαίνεται καθ' D Ὅμηρον ὁ κόσμος ὁ τριχῶν, ἢ ταῖς γυναιξί. γυναικῶν γοῦν περὶ κάλλους διεξιών, οὐ τοσαυτάκις φαίνεται κόμης μεμνημένος· ἐπεί τοι καὶ τῶν θεῶν τὰς μὲν ληθείας ἄλλως ἐπαινεῖ· χρυσῆν γὰρ Ἀφροδίτην, καὶ βοῶπιν Ἥραν, καὶ Θέτιν ἀργυρόπεζαν. τοῦ Διὸς δὲ μάλιστα ἐπαινεῖ τὰς χαίτας.

Ἀμβρόσιαι δ' ἄρα χαῖται ἐπερρώσαντο ἄνακτος.

ταυτὶ μὲν σοι τὰ Δίωνος. ἀτὰρ ὡς οὐδὲ μάντις εἰμὶ πονηρός, ᾔδειν Θρασύμαχον ἐρυθριῶντα οἰόμενος· ἀλλὰ περὶ ἐμὲ γάρ, οὐκ ἔτι παραπλήσιον πάθος ἐγένετο, κομιδῇ γέ τοι

A iacent, terram ipsam verentur attingere, & ab ea vt absit plurimũ ligno aliquo caput suffulciunt, maiorémque nitidæ comæ habendæ quàm suauiter dormiendi curã habent. Illa enim pulchritudinem ac terrorẽ addit, somnus quantumuis suauis inertes, ac improuidos reddit. Nec certè ea res Lacedæmoniis neglectui fuisse videtur, quorum trecenti olim cùm venissent ante graue illud ac formidandum certamen, quo Soli ex Græcis Persarum regis impetum propulsaturi erãt, comam adornantes sedebant. Sed & ab Homero multùm ei curæ, studiique tribuitur. B Nam si quas ob pulchritudinẽ laudat, oculorum rarò meminit, nec in eo præcipuum esse putat laudandæ pulchritudinis argumẽtum. Neminem igitur Heroum ex oculis commẽdat, vno excepto Agamemnone, idq; cùm & reliquum eius corpus laudaret, & non græcos tantùm omnes nigris ac volubilibus oculis conspiciendos appellat, sed ipsum quoque Agamemnonem, id quod commune erat Græcis omnibus. Comam autem in singulis laude afficit, in Achille imprimis,

Flauáque coma pensauit Achillem.

C Deinde Menelaũ à coma flauũ nũcupans. De Hectoris verò cæsarie mẽtionẽ facit.

———& cerula passim
Cæsaries raptata.———

Euphorbo deinceps Troianorum formosissimo occumbente, nihil præter comam aliud deploratur.

Sanguine sparsa coma est, Charitumq; simillimus illi
Crinis, & intorti argentóque, auróque capilli.

Vlyssem quoque à Minerua formosum factum cùm describit

---Cærulei, inquit, *pendent de vertice crines*,

& rursus de eodẽ, *--crispáq; in vertice fudit*
Cæsariem, & gratos hyacinthi flore capillos.

D Quid quod & capillorũ honos ab eodem Homero viris quàm mulierib. magis cõuenire cẽsetur? Sanè fœminarũ speciẽ cũ prędicat, Comę haud ita sępe mentionẽ facit. Iam. n. Deabus ipsis aliud laudũ genus accõmodat, aureámq; Venerẽ, rotundis atq; amplis oculis conspicuam Iunonem. Talis argenteis insignem Thetidem appellat. Iouis verò ex Cæsarie pręcipua apud eum laus:

Cæsaries magni subitò est concussa tonantis.

Hactenus Dio. Cæterùm vt neq; omninò malus vates sum, vel ipsum sciebã ex hac oratione Thrasymachũ pudore suffusũ iri: quod mihi ex eo nõ accidit, quod ilicò ipsa

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

sum planè oratione victus. Nũc illud mihi occurrit, Dionẽ incredibili quidẽ dicendi facultate preditũ esse, nihil tamen habere de quo dicat, & præ ipsa nihilomin⁹ facultatis copia ad dicẽdũ incitari; quãdoquidẽ multò magis admirandus videri potuit, si vim ille suã ad id quod cõtrariũ est laudandũ, Caluitium scilicet nostrũ, transtulisset: Nã qui in adeò ieiuna inopiq; materia copiosus est, quid ab eo factũ iri putãdũ est, si in eã inciderit quæ tãtã eloquẽdi vbertatẽ possit capere? Iã verò cùm ei & coma esset, & dicẽdi ars, in laudanda coma artẽ quam habebat expertus est; Quàm verò callidè seipsũ in hoc opere insinuauit? Nec.n. alius est is cuius in hac oratione meminit, comæ studiosus, qui calamo comã venustat, quã ille ipse quocũque demũ calamo hãc orationem scripserit. Ego verò cùm & caluus sim, & dicendi non imperitus, materies & multò sit ipsa materie præstãtior, quã ego Dione sim deterior: cur non cõtra accingor, meiq; & argumẽti ipsius periculũ facio, si fortè in crinitos homines vicissim probrũ istud retorquere possim? Dicemus sanè, neq; tamẽ cõcitatũ quid, vibratũmq; præfabimur, cuiusmodi potissimùm exordiis certatoriæ, & cõtẽtiosæ orationes, nõ secus ac rostris triremes ab oratorib. muniũtur, neq; præcẽtiuo vllo vtemur, quod à Dione nostro factũ est, qui canorũ, suauémq; carminis auspicatum ante orationẽ suã, quasi ante citharœdicũ modũ præludij instar emodulatus est. Diluculo surgẽs, diisq; (vt moris habeo) salutaris comam accurabã. Molliuscule.n. mihi tũ corpus habebat. Hæc autem diu neglecta fuerat. Ac deinceps ita progressus, ex incuriæ euẽtibus sensim ad curationis comæ laudes dilabitur. Ita.n. nobiscũ agere solẽt periti illi orationis artifices, vt nunc demulceãt, nũc terrorẽ, ac stuporẽ incutiant. Ego autẽ res quidẽ ipsas percipere, animóq; diiudicare haud deterius altero possim: Oratoriã tamen nequaquã profiteor, sed duas potissimùm artes in viuẽdi ratione pro me semper habui. Arboribus enim colẽdis, alẽdísque ad acerrimas quasq; feras cõsectãdas canibus, operã omnẽ adhibui, digitique hi nostri scaphiis, ac venabulis potiùs quàm calamo attriti sũt, nisi pro scriptorio fortè calamo iaculi nostri arũdinẽ velis vsurpare, cui tractãdæ omninò eos intabuisse mirũ nõ est. Haud hercle vnquã paternæ rusticitati pudori futur⁹ sũ: neq; cõtortis atq; incitatis oratiunculis prooemij ac præludij loco vsus videbor, sed quod & optimũ du-

A τὴν προτέραν ἐληλακὼς τοῦ λόγου· νῦν μοι δοκεῖ Δίων λέγειν μὲν εἶναι δεινός, οὐκ ἔχειν δὲ ὅ, τι καὶ λέγει· λέγειν δὲ ὅμως ὑπὸ περιουσίας τοῦ δύνασθαι· ἐπεί τοι πολλῷ θαυμασιώτερος ἂν φανῆναι τοὐναντίον ἐπαινέσαι προελόμενος, τὸ καθ' ἡμᾶς πρᾶγμα τῆς κεφαλῆς. ὁ γὰρ ἐν ἀπορίας εὔπορος, τί ἂν ἐποίησεν ἐμπεσὼν ὕλῃ χορηγούσῃ τὴν δύναμιν· νυνὶ δὲ οὔσης αὐτῷ κόμης καὶ τέχνης, ἐχρήσατο τῇ τέχνῃ περὶ τῆς κόμης. ὡς δὲ καὶ πανούργως ἑαυτὸν εἰς τὸ βιβλίον παρήγαγεν. οὐ
B γάρ ἕτερός τις ἐστὶν ὁ ἐν τῷ λόγῳ φιλόκομος, ὁ τῷ καλάμῳ καλλύνων τὴν κόμην, ἀλλ' οὗτος αὐτὸς ὅτῳ ποτὲ καλάμῳ τὸν λόγον ξυνέγραψεν· εἰ δὲ κἀγὼ φαλακρός εἰμι, καὶ δύναμαι λέγειν, καὶ τὸ πρᾶγμα τοῦ πράγματος πλέον ἢ κάλλιόν ἐστιν, ἢ ἐγὼ Δίωνος χείρων· τί οὐκ ἀνταποδυόμενος, καὶ λαμβάνω πεῖραν ἐμαυτοῦ καὶ τῆς ὑποθέσεως, εἰ ἄρα δυναίμην ἀντεπιδείξασθαι τοῖς κομῶσι τὸ ὄνειδος; ἐρῶ δέ, οὔτε προοιμιασάμενος ἀκμαῖόν τι καὶ γοργόν, οἷα τοὺς ἀγωνιστικοὺς λόγους οἱ ῥήτορες, ὥσπερ ἐμβό-
C λοις τὰς τριήρεις ὁπλίζουσιν, οὔτε προᾴσας, ὥσπερ Δίων ἐποίησε, μέλος ἀναβεβλημένον καὶ λιγυρόν, ἅτε κιθαρῳδικοῦ νόμου, τοῦ λόγου προανακρουσάμενος· Ἀναστὰς ἕωθεν, καὶ τοὺς θεοὺς προσειπών, ὥσπερ εἴωθα, ἐπεμελούμην τῆς κόμης. καὶ γὰρ ἐτύγχανον μαλακώτερον σῶμα ἔχων· ἡ δὲ ἠμέλητο ἐκ πλείονος. καθ' οὕτω προϊὼν διὰ τῶν συμπτωμάτων τῆς ἀμελείας, ἔλαθεν ἡμᾶς καταστὰς εἰς ἔπαινον τῆς ἐπιμελείας. ταῦτα γὰρ ἡμᾶς δρῶσιν οἱ δεινοὶ τῶν λόγων δημιουργοί· νῦν μὲν κηλοῦσιν, νῦν δὲ καταπλήττουσιν. ἐγὼ δὲ
D δυναίμην οὐ χεῖρον ἑτέρου συνιέναι περὶ πραγμάτων· ῥητορικὴν δὲ οὐκ ἐργάζομαι, ἀλλὰ προεστησάμην τοῦ βίου τέχνας δύο, φυτηκομεῖν τε καὶ κυνοκομεῖν ἐπὶ τῶν θηρίων τὰ ἀλκιμώτατα· δάκτυλοι δὲ οὗτοι σκαφίοις καὶ προβολίοις ἀντὶ καλάμων τετρίφαται· εἰ μὴ κάλαμον λέγοις ἀντὶ τοῦ γραφέως τὸν ἐν βελ. τούτων μὲν γὰρ οὐδὲν θαυμαστόν, εἰ καὶ προστετήκασιν. οὐ δὴ καταισχυνῶ τὰ πάτρια τῶν ἀγρῶν, οὐδὲ φανοῦμαι στρογγύλων λογάρια, προοίμιά τινα καὶ προνόμια· ἀλλ' ὃ κράτιστον

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἡγούμενοι καὶ ἀγροικικῷ πρὸς τρόπου, ψιλὰς αὐτὰς τῶν νοημάτων τὰς φάσεις εἰς μέσον καταθέμενος, ἀγωνιούμενος τοῖς πράγμασι, μόνον εἰ τῆς γλώττης τὸν τόνον ἀπὸ τῆς διαλέξεως εἰς ἐπιστροφὴν μεθαρμόσαιμι ἀπὸ Δωρίου, φασίν, ἐπὶ Φρύγιον. δεῖ γέ τοι πνεύματος ἀρκοῦντος ἐπιχειρήμασιν, ἅττα μοι πολλὰ τὴν καρδίαν ἀναδώσειν μαντεύομαι. ὁ μὲν ὅλος οὖν λόγος ὅρος, πάντων ἥκιστα χρῆναι φαλακρὸν ἄνδρα αἰσχύνεσθαι. τί γάρ, εἰ ψιλὴν μὲν ἔχει τὴν κεφαλήν, λάσιον δὲ τὸ φρόνημα, οἷον τὸν Αἰακίδην ἡ ποίησις ὕμνησεν; ἀλλ' οὐδέ γε ἠμέλει τῶν τριχῶν, ἃς καὶ δωρεῖται νεκρῷ. νεκρὸν γάρ τι καὶ αὗται, καὶ τοῖς ζῶσιν οὐ ζῶντα μέρη προσήρτηνται. ταύτῃ τῶν ζώων τὰ ἀλογώτερα κατὰ παντὸς αὐταῖς ἠμφίεσται τοῦ σώματος· ἄνθρωπος δέ, ἐπεὶ μετείληφεν ἐναργεστέρας ζωῆς, γυμνός ἐστι τοῦ πλείστου τοῦ συμφυοῦς φορτίου· ἵνα δὲ μὴ ἀνεπίμικτον ὂν τῆς πρὸς τὰ θνητὰ κοινωνίας ἀλαζονεύηται, μέρεσιν ὀλίγοις κομᾷ. ὅστις οὖν οὐδὲ τοῖς ὀλίγοις κομᾷ, οὗτός ἐστι πρὸς ἕτερον ἄνθρωπον, ὅπερ ἄνθρωπος πρὸς θηρίον. ὥσπερ δὲ ἄνθρωπος τῶν ἐπὶ γῆς φρονιμώτατόν τε ὁμοῦ καὶ ψιλότατον, οὕτως ὁμολογεῖται μὲν τῶν βοσκημάτων ἀπάντων πρόβατον ἠλιθιώτατον εἶναι· τοῦτο δέ ἐστιν ὃ μὴ διακεκριμένας, ἀλλὰ κατὰ συστήματα τὰς τρίχας ἀνίησιν· ὥστε κινδυνεύει τὸ τῶν τριχῶν τοῦτο πρᾶγμα, πόλεμον ἔχειν πρὸς φρόνησιν. οὐδενὶ γὰρ ἐθέλουσιν ἅμα συγγίνεσθαι. εἰ δὲ δεῖ τι συντελέσαι καὶ κυνηγέταις· φίλοι γὰρ οἱ ἄνδρες καὶ τὴν μετερχόμενοι τέχνην ἐκεῖναι σοφώταται τῶν κυνῶν, ὧν ὦτα καὶ γαστέρες ψιλαί· αἱ λάσιοι δὲ ἔμπληκτοι καὶ θρασεῖαι, καὶ βλητίοις εἰσὶν ἀποδοῦσαι τὰς θήρας. εἰ δὲ καὶ Πλάτων ὁ σοφός, τῆς ξυνωρίδος ἣν ἐλαύνει ψυχή, τὸν ἄδικον ἵππον περὶ ὦτα λασιόκωφον λέγει, τί δὲ κοινὸν ἐννοεῖ περὶ τῶν τριχῶν; ἀλλὰ καὶ μὴ λέγοντος Πλάτωνος, ἀνάγκη κωφὸν εἶναι τὸν ταύτῃ λάσιον, ὅθεν ἀκούομεν, ὥσπερ τυφλὸν τὸν ταύτῃ λάσιον, ὅθεν ὁρῶμεν. τοῦτο μὲν οὖν εἰ γένοιτο, τέρας ἐστίν· ἤδη δὲ ἀνεφύτην ἐπὶ βλεφάρου δίδυμοι τρίχες. καὶ δοκεῖ τὸ ἔσχατον εἶναι κακῶν παρῳκηκέναι τῶν ὀφθαλμῶν τρίχας, ἐφ' ἃς ἅπασα τέχνη καὶ βία κινεῖται, μὴ φθάσωσι τὸν ὀφθαλμὸν ἐξορύξασαι. οὐ γὰρ ἀνέχεται τοῖς τιμιωτάτοις ἡ φύσις συνόντα τὰ ἀτιμότατα· τιμιώτατα δὲ τοῦ

A co, & rusticorũ morib. magis esse cõsentaneũ nuda ipsa sẽsuũ animi signa in mediũ adducẽs, solis reb. cõtẽdã. Licet modo linguæ tenorẽ à disputatione ad rei propositę animaduersionẽ, cõsiderationẽq; cõuertere, à Dorio, vt aiũt, ad Phrygiũ. Atqui spiritus vigore mihi op⁹ est, qui argumẽtationibus, & ratiocinationib. sufficiat, quę mihi, vt auguror, vberrimè cor meũ suppeditabit. Nostra igitur oratiõe definietur, *Homini caluo nequaquã esse pudẽdum*. Quod si.n. glabro sit capite, villosa tamẽ hirsutáq; animi prudẽtia, qualis Æacides à Poëta celebratur? At is crines admodũ cõtempsit,
B quos & mortuo amico profusè spargebat. Vita siquidẽ carẽt ij, & viuẽtib. vitę expertes partes adnascũtur. Quã ob causã inter bruta animãtia quę à ratione alieniora sũt, per totũ corp⁹ pilis vestiũtur. Hominis autem quia vita sincerior est, nuda est oneris cognati pars maxima, qui ne arrogãtius insolesceret, si nulla ei esset cũ caducis ac interituris reb. societas, aliquot sui partib. pilos habet. Quò fit vt qui vel in his paucis partib. pilis caret, hic si cũ altero homine cõparetur, tantũdẽ eo sit, quãto homo belluis præstãtior. Sed vt animãtiũ omniũ sa-
C gacissimũ iuxta & nudissimũ homo est, ita oues cęterorũ omniũ stolidissimas esse nemo est qui diffiteatur; hoc autẽ ipsũ animal est, quod non distinctos, discretósq; pilos, sed cõuoluta dẽsitate collectos emittit. Ita eô fermè iam res rediit, vt capillitiũ istud omne cũ prudẽtia, sapientiáq; pugnare videatur; nec.n. in quoquã simul esse queũt. Quod siquid dicẽdũ est, quod Venatorib. ex vsu sit, quib. cũ nobis amicitia est, & illorũ artis quoq; peritissimi sũt canes ij, qui auribus, & vẽtre glabri sũt, villosi cõtrà attoniti omnes, temerarij, ac venatione interdicti, meliores sũt. Cùm verò sapiẽs Plato in bigis illis, quarũ auriga est anima, al-
D terũ equorũ, quẽ improbũ vocat, surdum, átq; aurib. hirsutũ faciat, quàm honorificè demũ de capillis existimat? Sed vel tacẽte Platone necesse est surdũ eũ esse, qui qua audimus parte villosus sit, vti & cæcũ, qui ea sit parte villosus, qua cernimus. Atq; si cui hoc cõtingeret, prodigiosũ haberetur. Nõnullis verò palpebræ duplici pullulant pilorũ serie, ídq; inter extrema mala esse creditur, si in oculos hi tãquã peregrini inuaserint, ad quos prohibẽdos artẽ omnem, ac vim adhibem⁹, ne oculũ nobis effodiãt. Nã quæ vilissima sunt cũ pretiosissimis sociari natura nõ patitur: pretiosissimæ autẽ animalis partes sũt ipsa sensuũ domicilia,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A quib.inter cęteras corporis partes maximè animal est. Primus.n.his anima vires suas, ac facultates impertitur,cũq; primaria,ac dignissima sitvidẽdi facultas,ea quoq; omniũ pilis maximè vacua est. Rursus itaq; vt in vno homine pilis vacãt eæ partes imprimis,quæ sũt nobilissimæ: Ita in genere hominũ optimi quiq; eo modo affecti sint necesse est, quod à nobis paulò anteà confirmatũ est, neq; tãtoperè à brutis animãtib. quãtũ à pilorũ hirsutie totũ ipsũ hominum genus abhorret. Quocirca cũ cæteris animantib. sãctitate,ac dignitate homines, & cæteris hominib. ij lõgè antecellãt,quibus B pilorũ iactura diuina quadã feliciq; sorte cõtigit,sequitur Caluum eorũ esse quæ in terris sũt,omniũ diuinissimũ. Licet eas intueri quas in Museo habem⁹,depictas clarorũ virorũ imagines, Diogenes inquã, illos,& Socrates,aliósq; ab hominũ memoria sapiẽtes; Caluorũ Theatrũ cõuẽtúmq; esse dixeris. Nec est quod hoc loco vllum negotiũ facessat Apolloni⁹,nec alius quisquã præstigiatorũ eiusmodi, ac in magica vanitate callidissimorũ, qui cũ ipsi comati non sint,eiusmodi tamẽ vt appareãt, vulgi oculos fascinare possũt. Sed nec vlla fortè impostorũ eiusmodi peritia est, sed portẽtorũ potiùs artifex,nõ ars quidẽ illa,sed facultas. C Ita.n.à Legislatorib.sapiẽtiæ,peritiæq; honos sẽper habitus est, ab iisdémq; veneficis atq; incãtatorib. puniẽdis carnifices alebãtur. Quãtũuis igitur Comat⁹ fuerit Apollonius, magni interesse nõ potest: Quãquã mihi cũ homine amicitia est,eũq; plurimũ optẽ ex hoc esse numero. Prope .n.est.vt ex his quæ dicta sũt hactenus,apta sit orationis cõuersio,si quis sapiẽs sit,eum itidẽ & caluũ esse oportere; qui nõ caluus sit,eũ neq; esse sapiẽtẽ. Atq; eodẽ modo in diis,ac dęmonib.se res habet,neq; id ignorat qui Bacchi sacrorum ceremoniis interfuerit. Ex eo igitur cõuentu,atq; cœtu qui D hirsuti, ac hispidi sũt, pilis partim natiuis, partim adscititiis vestiũtur. Nec.n.Nebride ipsa quicquã est Bacchi sacris familiarius,aliiq; vel à Piceis appellamẽta mutuò accipiũt. Hos autẽ oẽs succussari,ac gestire videas, & indecore saltare, vtpote, opinor, temulẽtia correptos, quæcũq; demũ in sacris temulẽtia est. Verũ illi ad naturæ inertiã redacti,ac resoluti videtur. Silenus verò cathedrã illic suã,ac pellem habet,& Bacchi pædagogus est. Oporttebat.n.vt opinor,eũ qui quidẽ calu⁹ esset, sapere, atq; inter tot fanaticos & furiosos esse tẽperatũ. Neq; verò leue tũ aliquid esse suspice-

A ζώου τὰ αἰσθητήρια, καὶ οἷς μάλιστα τῶν τοῦ σώματος μορίων ζῶόν ἐστι. πρώτοις γὰρ αὐτοῖς ἡ ψυχὴ τὰς ἑαυτῆς δυνάμεις ἐμέρισεν· ὄψις δὲ τὸ πάντων θειότατον, ἀλλά τοι καὶ τὸ ψιλότατον. πάλιν οὖν ὥσπερ ἑνὸς ἀνθρώπου τὰ τιμιώτατα φαλακρότατα, οὕτως ἔχειν ἀνάγκη πρὸς αὐτὸ τὸ γένος αὐτοῦ τοῦ γένους τὰ κράτιστα· τουτὶ δὲ μικρῷ πρόσθεν ἐδείκνυτο· καὶ δι' ὁλοκλήρου τοῦ γένους οὐ τοσοῦτον ἀναχωρεῖ θηρίων, ὅσον τριχῶν. εἰ δὴ ζώων μὲν ἁπάντων ἱερώτατον ἄνθρωπος· ἀνθρώπων δὲ οἷς ὑπῆρξεν εὐμοιρῆσαι τὴν ἀποβολὴν τῶν τριχῶν, φαλακρὸς B ἂν εἴη τῶν ἐπὶ γῆς τὸ θειότατον· ἔξεστι δὲ τοὺς ἐν Μουσείῳ θεάσασθαι πίνακας, τοὺς Διογένους λέγω καὶ τοὺς Σωκράτεις, καὶ τοὺς οὓς τινας βούλει τῶν ἐξ αἰῶνος σοφῶν· φαλακρῶν γὰρ ἂν εἶναι δόξειε θέατρον. Ἀπολλώνιος μὴ ἐνοχλείτω τῷ λόγῳ, μηδ' εἴ τις ἕτερος γόης καὶ πρακτικὸς τὰ δαιμόνια· καὶ γὰρ οὐκ ὄντες οὗτοι κομῆται, δύνανται φαίνεσθαι τὰ πλήθη καταπολιτευόμενοι. τάχα δὲ οὐδὲ σοφία τὸ τῶν γοήτων, τερατουργία δέ τις ἐστὶ καὶ οὐκ ἐπιστήμη τις, ἀλλὰ δύναμις. οὕτω γὰρ οἱ νομοθέται σοφίαν μὲν τῶν τιμιωτάτων ἐνόμιζον· C ἐπὶ δὲ τοὺς γόητας ἔτρεφον τοὺς δημίους. ὥστε εἰ καὶ κομήτης ἦν Ἀπολλώνιος, οὐδὲν πρὸς λόγον. καίτοι φιλία μοι πρὸς τὸν ἄνδρα, καὶ βουλοίμην ἂν αὐτὸν εἶναι τοῦ καταλόγου. κινδυνεύει γὰρ ἐκ τῶν εἰρημένων ὑγιῶς ἀντιστρέφειν ὁ λόγος· εἰ σοφός τις, καὶ φαλακρός· εἰ μὴ φαλακρός τις, οὐδὲ σοφός. οὕτω δὲ ἔχει καὶ τὰ δαιμόνια· ὅς τὴν Διονύσου τεθέαται τελετήν, τὸ μὲν ὅσον ἐστὶ τοῦ θιάσου δασὺ, τριχὶ, τὸ μὲν οἰκείᾳ, τὸ δὲ ἀλλοτρίᾳ κατάκομον. Βακχικὸν γὰρ οὐδὲν οὕτως ὡς ἡ D νεβρίς· οἱ δὲ καὶ παρὰ τῶν πιτύων κόμας δανείζονται. τούτους μὲν ἅπαντας ἴδοις ἀνασειομένους τε καὶ βρυάζοντας, καὶ ἐν ἀκόσμοις σκιρτήμασιν, ὡς ἂν οἶμαι, τῇ μέθῃ κεκρατημένους, ἥτις ποτέ ἐστιν ἐν τελεταῖς ἡ μέθη. πλὴν ἀλλ' ἐοίκασιν εἰς τὸ πλημμελὲς ὑπενηνέχθαι τῆς φύσεως. Σιληνῷ δὲ κἀκεῖ καθέδρα καὶ σκύτος ἐστὶ, καὶ τοῦ Διονύσου παιδαγωγὸς ἀποδέδεικται. ἔδει γὰρ, οἶμαι, φαλακρὸν ὄντα, νοῦν ἔχειν καὶ σωφρονεῖν ἐν τοσούτοις παρακινήσασι. καί τοι μὴ μικρὸν ὑπονοηθῇς ὑπὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῦ Διὸς ἁπάντων αὐτὸν προτετιμῆσθαι δαιμόνων, παρεῖναι καὶ φρενοῦν αὐτῷ τὸ παιδάριον. δεῖ μὲν γὰρ αὐτῷ καὶ χρῆσθαι τῷ ζωρῷ, καὶ μανιῶσαί ποτε φύσεως ἱμέρῳ, καὶ προσελθεῖν τὴν παραφοράν, ἐς ὃ τοῖς βάκχαις συνεξορχήσεται· μετρεῖ δὲ αὐτῷ τὴν μανίαν ὁ Σιληνός, μὴ λάθῃ πολὺ ῥυεὶς ἐπὶ θάτερα, καὶ γένηται τῷ πατρὶ δυσμετάγωγος. ἀλλὰ ταχὺ γὰρ ἐντεῦθεν ἐπανακτέον, λαβόντας ἀπόχρεων τεκμήριον, ὡς ἐκεῖ φρένες, ὅθεν οἴχονται τρίχες· ἐκεῖ δὲ τρίχες, ὅθεν οἴχονται φρένες. ταῦτ' ἄρα καὶ Σωκράτης ὁ Σωφρονίσκου, μέτριος ἐς τἄλλα γενόμενος, καὶ περὶ ἐνίων οἰκείων ἐπαίνων φεισάμενος, οὐκ ἠδυνήθη μὴ φιλοτιμεῖσθαι τῇ πρὸς τὸν Σιληνὸν ὁμοιότητι. ἐν τούτῳ γὰρ ἅπαν ἐνῆν ὅσον ἐβούλετο, νοῦ δοχεῖον αὐτῷ κατασκευάσασθαι τὴν κεφαλήν. ἀλλ' ὥσπερ ἄλλα πολλὰ τῆς γνώμης Σωκράτους, καὶ τοῦτο τοὺς ἠλιθίους ἐλάνθανεν, ὅτι τῷ Σιληνῷ λίαν ἑαυτὸν ἀπεσίμωσε. ὃ δὲ δή, παιδαρίοις μὲν ἐπιτρέπειν τὴν ἄνθην τῆς κόμης, ἐν ᾧ τοῦ βίου μήπω φρονοῦσι, τοῦτο δὲ γήρως ἀποφοιτᾶν, καὶ μὴ περιμένειν ἡλικίαν, ἥν τις ἐπιδήλως νοῦν τε καὶ φρόνησιν ἐνοικίζει τῷ ζώῳ, τί ἂν εἴποις, ἢ καταδικάζειν ἀλογίαν τῆς φύσεως τὴν τριχῶν; εἰ δὲ κομᾷ τις, καὶ γέρων· καὶ γὰρ ἀφραίνει τις γέρων, καὶ οὐχ ἅπαντες ἄνθρωποι δήπουθεν ἐπὶ τὴν ἀνθρώπου φθάνουσι τελειότητα. ἔχει μὲν οὖν οὕτως, ὡς μὴ περιμένειν ἀλλήλοις νοῦν τε καὶ κόμην, ἀλλ' ὥσπερ φωτὶ σκότος ἐξίστασθαι· ἐπιζητοῦσι δὲ τὴν αἰτίαν, ὁ λόγος ἀπορρητότερος. πειρασόμεθα δὴ οὖν ὅσον εἰς τὴν πρόοδον χρείαν ἀρκεῖ λαβόντες, ὁσίως περιστεῖλαι τὸ ὅσον ἀβέβηλον. τὰ πρῶτα τῶν ὄντων ἁπλᾶ· κατιοῦσα δὲ ἡ φύσις ποικίλλεται· ἡ δὲ ὕλη τῶν ὄντων τὸ ἔσχατον, ταύτῃ καὶ ποικιλώτατον αὐτή, κἄν τι δέξηται θεῖον, οὐκ εὐθὺς ὅσον ἐστὶν ἐδέξατο· δεχομένη δὲ ἐμφάσεις καὶ σπέρματα, περιπλέκεταί τε αὐτοῖς, καὶ πλείστη περὶ αὐτὰ γίνεται. τάχα μὲν οὖν ἔχει διεξιουμένη, τάχα δὲ διὰ τὴν ἀναγκαίαν ἀντίθεσιν, ἐν τῇ πρώτῃ συνόδῳ κατισχύουσα τὸ θεῖον, πρὶν τελειωθῆναι τὴν ἔμφασιν. δύναιτο δὴ ἂν καὶ ἑκάτε-

A re, cæteris omnib. dæmonib. ipsũ ab Ioue esse prælatũ, vt puerulo suo adesset, ac castigaret: Etenim nõnũquã illũ mero indulgere opus est, & naturę gestiẽtis illecebra furere, ac eo insaniã progredi, vt cum Bacchãtib. tripudia, ac choreas exerceat. Sed furorẽ moratur Silenus, ne imprudẽs in alterã partẽ fiat propẽsior, Patriq; sese demũ minus tractabilẽ præbeat. Verũ quãprimũ hinc traducẽda est oratio, si priùs euidẽtissimo ista nobis argumento fuerint, ibi demũ mẽti, ac prudẽtiæ locũ esse, vnde effluxerint pili, ibiq; pilos esse, vnde prudentia effluxit. Quã præsertim ob causã Sophronisci filius ille Socrates, de se alioqui moderatè sẽtiẽs, ac in propriis dotibus
B prædicãdis omniũ parcissimus, tẽperare sibi minimè potuit, quin de sua cũ Sileno similitudine gloriaretur. Nimirũ in eo nihil nõ eorũ quæ vellet cõprehẽdebat, cũ in capite mẽtis ac prudẽtiæ domiciliũ statuisset. Sed cũ alia multa cõsulto à Socrate dicta factáque, tũ hoc potissimũ stolidos, ac ineptos homines latebat, plurimũ sibi Socratem ex hac cũ Sileno collatione gloriæ, ac splẽdoris cõciliare. Iã illud, Puerulis quidẽ ea in ætate florere comã, qua nõdũ sapiũt, eãdẽq; senio appetẽte caducã excidere, nec eã opperiri ætatẽ, quæ mẽtẽ, ac sa-
C piẽtiã dubio procul in animũ inducit animalis, quid aliud quã pilorũ naturã penuriæ rationis coarguit? At est aliquis qui etiãnũ cũ senectute comã habeat, nempe & senex quoq; aliquis desipit, *Nec cõsummatã hominis perfectionẽ assequi cuiusuis est hominis.* Ita ergo natura cõparatum est, vt sese duo hæc mutuò nõ patiãtur, coma & prudẽtia, sed alterũ vti tenebræ lucis, ita alteri⁹ præsẽtia euanescat, cuius rei causã inuestigãtibus arcana, ac minus euulgãda ratio est. Nos verò ex iis, quantũ ad institutũ nostrũ satis erit selectis nõnullis, quę minimè pro fana aut prodẽda fuerũt, sãctè religioséq;
D occultare conabimur. Primæ quæque res simplices sũt, Natura autẽ ad inferiora demissa varietatẽ induit. Materia porrò rerũ omniũ extrema est, proindéq; & cũprimis varia, neque, si diuinũ quid recipiat, statim ipsũ quatũ est recipere potest: priusq; imaginib. quibusdã, siue seminib. receptis, eadẽ fouet, ac cõplectitur, totáq; in illis occupatur. Igitur aut ea fortè apprehẽsa cõseruatura est, aut propter necessariũ vtriusque dissidiũ primo statim in cõgressu quod ei diuinũ inest præualebit, penitúsq; cõficiet priusquã elaborata, ac perfecta fuerit imago. Sed & vtrũque ab ipsa præstari po-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

test: Nec.n.vt videtur, ista sibi inuicẽ repugnãt; Quoniã autẽ de hisce nũc sermo nobis nõ est, sed alterius causa hæc proposita sũt, ex reb. ipsis palã faciẽdũ est, in his quidẽ quæ imperfectiora atq; inchoata dũtaxat sũt, naturã ipsã materiãq; plurimũ habe viriũ cõfirmatis verò, ac valẽtiorib. cedere. Quæ terrę mãdãtur semina, nõne diuina ea credẽdum est, quãuis infima, constare ratione? Finis itaq; eorũ fruges sũt, ad quas priusquã perueniatur, ipsã naturæ ostẽtationẽ ornatũq; cõtuere. Radix primũ, tum culmus, tunica, aristæ, glumæ, prætercquas aliæ itidẽ glumæ, fruges verò nõdum explicata, sed in interiori cõceptu delitescẽs, cuius aduẽtu ista omnia materiæ ludicra dilapsa decidũt. Venustate.n.ac decore non indiget, quod perfectũ est, perfecta verò ea demũ fruges est, quæ in sese aliam cõtinet seminis rationem. Quorum in memoriã in Eleuside Cereris sacra celebrantur, quæ Anacalypteria quasi Reuelatitia appellãtur. Quocirca cũ mẽs cęterorũ quę superne mittuntur, seminũ diuinissimũ sit, & in ipsũ caput introducatur, cui materiæ cõcreta mẽs pro fructu est, quẽadmodum frumẽtũ ex ratione illa seminis tãquã fructus educitur: in eo natura solito munere fungitur. Namq; mirabili varietate caput exornat, capillorũq; quasi aristarũ, aut folliculorũ, aut mehercule florũ instar, quos in stirpib. ante baccas producit, pulchritudine reddit venustius. At neq; arboribus fructus priusquã defloruerint, neq; capiti mẽs animiq; prudẽtia insidet, antequã perfectionẽ adeptum inutilia, ac superuacua quæq; tẽporis diuturnitate quodam quasi vẽtilabro, excusserit, ac naturæ quodãmodo nugãtis eiectamẽta repurgauerit, adeóque euidens hoc esse potest cõijciendæ in fructu maturitatis argumentũ. Quodcũq; tu accurratè depilatũ caput animaduerteris, sic habeto, illud & prudẽtiæ domiciliũ, & diuinitatis esse tẽplũ. Haud temerè igitur sacra quædam possint in retecti capitis honorem quasi reuelatitia celebrari. Quæ profanorũ quidẽ hominũ causa ita nũcupẽtur, à sapiẽtib. tamẽ mẽtis potiùs intelligẽtiæ que introductoria indicẽtur. Ac qui nouissimẽ in caluorũ numerũ relatus fuerit, hic recẽs sacris admissus ac Theophaniis, i. quę in deorũ apparitione celebrãtur mysteriis initiatus habẽdus est. Sed vt tritici grana quædã, aut punica mala, nucésve çarie contracta in putaminib. atq; inuolucris corrupta putrescũt: Ita improba quædã capita diuinæ sortis expertia mortuarũ

A ρον. οὐ γὰρ ἔχουσιν, ὥσπερ δοκοῦσιν, μάχην οἱ λόγοι. ἀλλ' ἐπεὶ μὴ νῦν περὶ τούτων ἐστίν, ἀλλὰ ταῦτα δι' ἕτερα, δεικτέον ἐστὶν ἐπὶ τῶν πραγμάτων, ὡς ἐν ἀτελεστέροις ἡ φύσις ἰσχύει, δυναμένοις δὲ ὑπεξίσταται. ἆρ' οὖν οὐχὶ καὶ τῶν καταβαλλομένων ἐν γῇ σπερμάτων οἱ λόγοι θεῖοί εἰσιν, εἰ καὶ τοῦ θείου τὸ ἔσχατον; τούτων τέλος μὲν ὁ καρπός, ἀλλὰ πρὶν ἥκειν εἰς τοῦτο, θέα τὴν πομπείαν καὶ τὰ κάλλη τῆς φύσεως. ῥίζαι, καλάμη, φλοιός, ἀθέρες, λέμματα, B καὶ ἐπὶ τοῖς λέμμασιν ἕτερα λέμματα· ὁ δὲ καρπὸς, ἀτελὴς ἔτι καὶ κρύφιος· παραγινομένου δὲ τούτου, πάντα καὶ ἀπέρρυη τῆς ὕλης τὰ παίγνια. ὡραϊσμοῦ γὰρ οὐ δεῖται τὸ τέλειον· ἤδη δὲ τέλειος, ἐν ᾧ λόγος ἐστὶν ἑτέρου σπέρματος. ἐπὶ τούτοις Ἐλευσὶς ἄγει τὰ Δήμητρος Ἀνακαλυπτήρια. εἰ δὴ νοῦς τὸ θειότατόν ἐστι τῶν ἄνωθεν ἡκόντων σπερμάτων. ἐνοικίζεται δὲ κεφαλῇ, καὶ αὐτῇ καρπός ἐστιν ἔνυλος νοῦς, καθάπερ ὁ πυρὸς, ἐκείνου τοῦ λόγου, εἰωθὸς ἡ φύσις ποιεῖ. θαυματοποιεῖ περὶ αὐτήν, καὶ περιχῶν αὐτὴν C ἀγάλλει κάλλεσιν, ὥσπερ ἀθέρων τινῶν ἢ λεμμάτων, ἢ νὴ Δία τῆς ἄνθης, ἣν τοῖς φυτοῖς πρὸ τῶν ἀκροδρύων χαρίζεται· ἀλλ' οὔτε ἀκρόδρυα ἐν τοῖς φυτοῖς πρὶν ἀπανθῆσαι, νοῦς τε οὐκ ἂν παραγένοιτο κεφαλῇ, πρὶν τελειωθεῖσαν ἀποσκυβαλίσαι τὰ περιττά, καθάπερ ὑπὸ πτύου τοῦ χρόνου, καὶ πᾶσαν ἀποσκευάσασθαι τὴν φλυαρίαν τῆς φύσεως· ὥστε τοῦτ' ἄν τις θεῖτο τεκμήριον, τοῦ τελέσφορον ἤδη καρπὸν ἀποδεδεῖχθαι τὴν κεφαλήν. ἣν ἀκριβῶς ἴδοις ἐκλελεγμένην, ἐκεῖ νόμιζε κατεσκηνωκέναι τὸν νοῦν, ἐκεί- D νην ἡγοῦ τὴν κεφαλὴν νεὼν τοῦ Θεοῦ. ἄγοιτ' ἂν οὖν ἐν δίκῃ μυστήρια κεφαλῆς ἀνακαλυπτήρια, παρὰ μὲν τοῖς βεβήλοις οὑτωσί πως καλούμενα· οἱ σοφοὶ δ' ἂν εἰδεῖεν, ὅτι νοῦ ταῦτα ἐπιβατήρια. ὁ ἄρτι δὲ παραγγείλας εἰς φαλακρούς, οὗτός ἐστιν ὁ νεοτελής, ὁ μεμυημένος τὰ Θεοφάνια. ὥσπερ δὲ εἰσὶ πυροὶ, καὶ ῥοιαί, καὶ κάρυα πονηρὰ καὶ ἐναποθνήσκοντα τοῖς ἐλύτροις καὶ τοῖς καλύφεσιν, οὕτως εἰσὶ κακαὶ κεφαλαί, τοῦ θείου μὲν ἀμοιροῦσαι, πολὺ δὲ τὸ νεκρὸν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

περικείμεναι. ἤδη δὲ ἐγὼ κατενόησα καὶ τοὺς ἐν Αἰγύπτῳ θεραπευτὰς τοῦ θείου, μηδὲ τῶν ἐπιβλεφαρίδων ἀνεχομένους τριχῶν· καὶ ἦσαν μὲν ἰδεῖν γελοῖοι, σοφὸν δὲ ἦν ἐνόουν, ἅτε ὄντες περιττοὶ καὶ Αἰγύπτιοι. ταῖς γὰρ φύσεσι ταῖς ἀϊδίοις καὶ οὐσιωμέναις ζωῇ, ταύταις οὐ χρεών ἐστι πελάζειν μετὰ ἀποθανόντων μερῶν. εἰ τοίνυν ὁ ξυρεαῖος χειροποίητός ἐστιν εὐσεβὴς, ὁ φύσει φαλακρὸς αὐτοφυῶς ᾠκείωται τῷ Θεῷ. μήποτε γὰρ καὶ τὸ θεῖον αὐτὸ τοιοῦτόν ἐστιν; ἵλεων δὲ εἴη τῷ λόγῳ. πάνυ γὰρ ἀπ' εὐσεβοῦς διανοίας εἰρήσεται. ὅσον μὲν οὖν ἐστὶ τοῦ θείου τὸ μὴ φαινόμενον, τί ἂν τις περιεργάζοιτο, ἅπαξ γε μὴ βουλόμενον ἐμφανὲς εἶναι; τὸ δὲ ὁρώμενον ἅπαν, ἀκριβεῖς εἰσὶ σφαῖραι, ἥλιος, σελήνη, πάντες ἀστέρες ἀπλανεῖς τε καὶ πλανῆτες· εἰ δὲ μείους καὶ μείζους εἰσὶν, ἀλλ' ὁμοιοσχήμονες ἅπαντες· τί δ' ἂν σφαίρας γένοιτο φαλακρότερον; τί δὲ θεσπεσιώτερον; λέγεται δέ τις καὶ λόγος, ὅτι βούλεται μὲν ἡ ψυχὴ μιμεῖσθαι Θεόν· ὁ δέ ἐστιν ὁ τρίτος Θεὸς ἡ τοῦ κόσμου ψυχὴ, ἣν ὁ πατὴρ μὲν αὐτῆς, τοῦ δὲ σωματικοῦ κόσμου δημιουργὸς ἐπεισήγαγε τῷ κόσμῳ, τέλεον αὐτὸν καὶ ὅλον καὶ πᾶν ἐκ πάντων σπερμάτων τε καὶ σωμάτων ἀπεργασάμενος, ἀποδοὺς διὰ τοῦτο καὶ σχῆμα σχημάτων τὸ περιεκτικώτατον. ἔστι δὲ τῶν μὲν ἰσοπεριμέτρων μεῖζον ἀεὶ τὸ πολυγωνότερον· τῶν δὲ πολυγώνων ἁπάντων κύκλος ἐν ἐπιπέδοις· ἐν δὲ τοῖς βάθος ἔχουσι, σφαῖρα. ἴσασιν οἱ γεωμετρίας καὶ στερεομετρίας ἐπήβολοι. ἥ τε οὖν ὅλη ψυχὴ σφαῖραν ὄντα τὸν ὅλον κόσμον ψυχοῖ, αἵ τε ἀπὸ τῆς ὅλης ῥυεῖσαι, καὶ μέρη γινόμεναι, θέλουσιν ἑκάστη τοῦθ' ὅπερ ἐστὶν ἡ πᾶσα ψυχὴ, διοικεῖν σώματα, καὶ κόσμων εἶναι ψυχαὶ, ὃ καὶ τοῦ μερισμοῦ γέγονεν αὐταῖς αἴτιον. οὕτως ἐδέησε τῇ φύσει σφαιρῶν μερικῶν. ἄνω μὲν οὖν ἀστέρες· κάτω δὲ κεφαλαὶ διεπλάσθησαν, ἵν' εἶεν οἶκοι ψυχῶν ἐν κόσμῳ κόσμοι μικροί. ἔδει γὰρ εἶναι τὸν κόσμον, ζῷον ἐκ ζῴων συγκείμενον. ταῖς μὲν οὖν εὐηθικωτέραις ψυχαῖς οὐδὲν διαφέρει καὶ εἰς κομήτην κεφαλὴν ἐνοικίσασθαι, παρὰ πλεῖστον οὖσαν τῆς ἀκριβείας τοῦ σχήμα-

A partiū redūdāte ambiūtur. Iā verò Ægyptios ego sacerdotes ac numinis cultores vel ab iis, quæ in genis nascuntur ciliis abhorrere animaduerti, qui erāt illi quidē visu ridiculi, sed prudēs tamen eius faciendi cōsiliū iis nō defuit, vt callidis hominibus Ægyptiisq; par est. Quæ.n. natura cōstant æterna, quorūq; natura vita ipsa est, nefas est quicquā eis esse cū partib. mortuis cōsortij. Itaq; si omnes nouacula manuq; derasi hominū, pij ac religiosi cēsendi sūt; qui natura caluus est, ipsius naturæ spōte cum Deo affinitate cōiunctus est. Ac nescio an eo modo diuinū quoq; numē affectum sit.
B (Quāquam eorū, quæ à me dicētur, caussa propitiū tū illud esse velim, omninò pia id animi religione pronūciabitur.) Quicquid igitur diuini numinis arcanū, ac recōditū est, quid est quod à quoquā curiosè inquiratur, cū nulli possit esse manifestū? Quodcūq; autē ex eo oculis subijcitur, præter exactos globos sphærásq; nihil aliud videas, Solē, nimirū, Lunā, fixa omnia, errabūdáq; sidera, quæ etsi alia sunt aliis maiora minoráve, at eadē planè omnia figura cōstāt. Iā quid sphæra, aut caluius esse potest, aut diuinius? Celebris nōnullorū sermone sētē-
C tia est, *Animā quoad eius fieri potest, Deū imitari*, Tertiū illū Deū intelligo, qui mundi est animus, quiq; ab eodē & parēte authoréq; sui, & mūdi huius corporei opifice in vniuersū introductus est: Quē idcircò perfectū, ac totū vniuersūq; vniuersis ex corporibus ac seminib. formauit, eiq; figura omniū cōcessa maximē capax. Est autē ex his figuris, quæ æquali ambitu ac circuitu cōprehēdūtur, maior illa semper, quę plurib. angulis cōstat, multāgulas autē omnes circularis inter planas magnitudine excedit, vt & earū, quæ profunditate cōstāt, omniū est sphæra capacissima, Quod ij norūt qui Geometriam, ac solidorū metiendorū ar-
D tē assecuti sunt. Quare sicut totâ integráq; animâ totū ipsum vniuersum, quod sphæricæ formæ est, animatur, ita quæ à tota illa anima effluxere partes singulæ, quod cuiuis animæ natura insitū est, gubernare corpora, mundorūq; esse animæ desiderāt, quæ diuisionis illis caussa fuit. Ita factū, vt naturæ particularibus sphæris opus esset, hincq; superne quidē sidera, inferne verò capita formata sunt, animarū habitacula: & in maiore mūdo minores. Mūdum.n. animal esse oportuit, ex animalib. coagmētatū; Ac stolidiorib. quidē animis parū interest, an comatū caput subierint, quod ab exacta figuræ circularis imitatione re mo-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

tius est:sapientib.autē pro cuiusq; merito, ac dignitate,aliis sidus, aliis caluitiū obtigit.Quãuis enim inferiorū natura syncerã ac exactã in rebus elaborãdis perfectionē assequi non possit,at superior extremáque corporis facies, quæ cœlū versus erigitur, mūdus quin sit figuræ imitatione ferre nō potest. Ex his ergo omnib. caluitiū manifestò cœlū quoddã esse constat; Ita vt quęcūque in sphærã præconia cōgesserit quispiam, iisdē ipsis quoq; caluitiū necesse sit cōmendari. Proinde & Homerus scribendo,& Phidias fingēdo,si lubeat, Dioni laudãdæ Comæ argumēta suppeditent,altãq; & promissã Ioui Comã, & dēsissimã affingant,quia simul placuerit,cœlū ipsum concutere possit. Nã cuiusmodi sit qui in cœlo apparet Iuppiter, nemo est qui ignoret; quòd si alius vspiam esse potest Iuppiter, corpus quidē habeat,nec ne, haud exploratū mihi est; Esto tamē,id cuiuspiam opinioni cōcedatur, omninò aut prior is erit, aut eo qui apparet posterior: Erit igitur exēplaris illius effigies atq; imago, vtut autē se habeat,eiusmodi esse debebit,qualis est qui ab omnib.cernitur,quãtum naturæ status in eo similitudinis esse patietur. Enimuerò poëtica effictrixq; ars, cæteræq; imitatrices,veritatis quidē curã minimam habere, populares autē potius esse videtur, omniáq; ab illis ad opinionē magis quã ad veritatē fieri accōmodatè. Summo verò apud imperitos Coma in pretio est,omnéq; id quod exterius adiacet,vulgi opinione celebratur, Agri, vehicula,domus,domuūq; frequētia,& cętera id genus,quæ cū possidētis natura coniūcta nō sūt,sed ab ea capillorū instar aliena. A Deo siquidē & mēte, prouidētiáq; lōgius secesserūt, eorūq; loco naturæ & fortunæ arbitrio regūtur,quorū hoc alienius. Itaq; à stultis,& vecordib. aliqua creditur in naturæ fortunęve muneribus esse felicitas: hinc qui ad populi aurã aut scribit aliquid aut loquitur,eū necesse est ipsa quoq; opinione esse popularem, vt ex iis, quæ ei placita sūt plæraq; cōminisci aut sermocinari possit. Et quidē cū imperiti atq; inscij sint,propositi nihilominus tenaces sunt,& in tuēdis iis quę præsumpserūt,quãuis absurdis mirum in modū pertinaces. Vnde si quis secus aliquid faxit, quàm patrij ritus atq; instituta fuerant, cicutã protinus bibet. Quæ verò pœnas daturū fuisse Græcis Homerū putandū est,si de Ioue rei ipsius veritatē aperuisset, neq; eiusmodi portēta cōfinxisset,quę puerulis terriculo esse solent? Ægyptiorū sanè pru-

A τος· σοφὴ δὲ ψυχὴ πρὸς ἀξίαν ἑκάστη τὴν ἑαυτῆς, ἡ μὲν ἄστρον, ἡ δὲ φαλάκραν ἐνείματο. εἰ γὰρ ἡ τῇδε φύσις ἀσθενεῖ πρὸς τελείαν ἀκρίβειαν, ἀλλά τήν γε ἄνω καὶ πρὸς οὐρανὸν ἐπιφάνειαν ἡμῶν οὐκ ἀνέχεται μὴ οὐ κόσμον εἶναι τῷ σχήματι. ἡ φαλάκρα τοίνυν καὶ οὐρανὸς ἡμῖν ἀναπέφηνεν οὖσα, καὶ ὅσα τις ἂν εἴποι σφαίρας ἐγκώμια, αὐτὰ ταῦτα καὶ φαλάκρας ἐγκώμια διεξέρχεται. πρὸς ταῦτα γραφέτω μὲν Ὅμηρος, πλαττέτω δὲ εἰ βούλεται καὶ Φειδίας ἀποδείξεις τῷ Δίωνι, χαίτην τῷ Διῒ καθιέντες, καὶ B ταύτην βαθείας τριχὸς, ἵν' ἔχῃ κινεῖν δι' αὐτῶν ὁπότε θέλοι τὸν οὐρανόν. ὁ γὰρ ὁρώμενος ἐν οὐρανῷ Ζεὺς, ἅπαντες ἴσμεν οἷός ἐστιν. εἰ δέ τις ἐστὶ καὶ ἕτερος Ζεὺς, οὐκ οἶδα μὲν εἴ τις ἐστὶ μετὰ σώματος ἕτερος· ἔστω δὲ εἴ τις οἴεται· πάντως οὖν, ἢ πρεσβύτερος, ἢ μετὰ τοῦτον. οὐκοῦν εἰκών ἐστι παραδείγματος τούτου. ὁποτέρως δ' ἂν ἔχοι, τοιοῦτός ἐστιν, ὁποῖος ὁ πᾶσι φαινόμενος, ὡς ἂν ἡ τάξις τῆς φύσεως χωρήσῃ τὴν ὁμοιότητα. ἀλλὰ γὰρ ἐοίκασι ποιητική τε καὶ πλαστική, καὶ τὸ μιμητικὸν ἅπαν C ἔθνος, ἥκιστα μὲν εἶναι φιλάληθες· δημαγωγικὸν δὲ ὡς μάλιστα, καὶ ποιεῖν ἅπαντα ποιεῖ, πρὸς δόξαν, οὐ πρὸς ἀλήθειαν. τίμιον δὲ ἀμαθέσιν ἡ κόμη, καὶ πᾶν τὸ περικείμενον ἔξωθεν δήμου δόξα τεθαύμακεν, ἀγροὺς καὶ ἀπήνας καὶ οἰκίας, καὶ συνοικίας, ὅσα μὴ τῆς φύσεώς ἐστι τῶν ἐχόντων, ἀλλ' ὥσπερ αἱ τρίχες ἀλλότριον. πόρρω γάρ εἰσι νοῦ καὶ Θεοῦ, καὶ αὐτὴ νοῦ καὶ Θεοῦ φύσις αὐτοὺς διοικεῖ καὶ τύχη. ἔτι τοῦτο ἀλλοτριώτερον· μακαρίζεται δ' οὖν ὑπὸ τῶν ἀνοήτων, ὅσα τύχης δῶρα καὶ φύσεως. ὅστις δ' οὖν δή- D μῳ γράφει, καὶ δήμῳ λέγει, τοῦτον ἀνάγκη δῆμον εἶναι τῇ δόξῃ, ἵν' ἀπὸ τῶν ἀρεσκόντων αὐτῷ πλάττῃ καὶ διαλέγηται. καὶ γὰρ ἀμαθεῖς ὄντες, ἰσχυρογνώμονές εἰσι, καὶ χαλεποὶ προστάται τῶν ἀτόπων προλήψεων· ὥστ' ἄν τις τῶν πατρίων παρακινῇ, ταχὺ πίεται τὸ κώνειον. τί ἂν οὖν δοκῆς Ὅμηρον ὑπὸ τῶν Ἑλλήνων παθεῖν, αὐτὰ τἀληθῆ περὶ τοῦ Διὸς εἰπόντα, καὶ μηδὲν τοιοῦτο τερατευσάμενον, ᾧ τὰ παιδάρια καταπλήττεται; Αἰγύπτιοι δὲ καὶ τοῦτο σοφοί,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σοφοί, παρ' οἷς τὰ προφητικὰ γένη βαναύσοις μὲν καὶ χειρώναξιν οὐκ ἐπιτρέπουσι δημιουργεῖν εἴδη θεῶν, ἵνα μή τι τοιοῦτο παρανομήσωσιν, ἀλλὰ τοῖς μὲν ῥάμφεσι τῶν ἱεράκων καὶ τῶν ἴβεων, ἃ τοῖς προτεμενίσμασιν ἐγκολάπτουσι, καταμωκῶνται τοῦ δήμου· αὐτοὶ δὲ καταδύντες εἰς τοὺς ἱεροὺς χηραμούς, ἅττ' ἂν ἀπεργάσωνται, περιστέλλουσι· καὶ ἔστιν αὐτοῖς κωμαστήρια τὰ κιβώτια κρύπτοντα, φασί, ταύτας τὰς σφαίρας, ἃς ὁ δῆμος ἐὰν ἴδῃ χαλεπήνῃ· ὁ δὲ ῥᾷον καταγελάσεται· δεῖται γὰρ τερατείας. πῶς δὲ οὐ μέλλει, δῆμός γε ὤν· διὸ τεθέαται πᾶσιν ἐπὶ τοῖς ἀνδριάσι τὰ ῥάμφη τῶν ἴβεων· ἕνα δὲ ὃν οὐ κρύπτουσιν, ἀλλ' ἀναδεικνύουσι τὸν Ἀσκληπιόν, τοῦτον αὖ ἴδοις ὑπέρου πολὺ φαλακρότερον· ἀλλ' ἔστ' ἐν Ἐπιδαύρῳ κομᾷ. Ἕλλησι γὰρ ἀταλαίπωρος τῆς ἀληθείας ἡ ζήτησις, ὡς ἐνδίκῃ τὸ γένος ὁ συγγραφεὺς ἐλοιδόρησεν. Αἰγύπτιοι δὲ καὶ ὁρῶσιν αὐτὸν ὁσημέραι, καὶ τὴν διὰ λόγων συγγίνονται, οὐχ οὗ τὴν ἑστίαν ἔχει μόνον, οὐδ' ὡς ἂν αὐτὸς καὶ ὅσα προέληται. ἀλλ' ἐγὼ γὰρ ἀκούω λεγόντων, ὡς ἀνὴρ Αἰγύπτιος τέχνην ἐπὶ τοὺς Θεοὺς ἔχει, καί τινας ἴυγγας· ὥσθ' ὅταν ἐθέλῃ μικρὸν ὑποβαρβαρίσας, ἅπαν εἵλκυσεν ὅσον ἐστὶ τοῦ θείου τὸ πεφυκὸς ὁλκαῖς τισὶν ἕπεσθαι. παρὰ τούτων οὖν, οὐ παρ' Ἑλλήνων ληπτέον τοῦ θείου τὰς ἀληθεστέρας εἰκόνας. καί τοι γε ἀπόχρη τὸ μικρῷ πρότερον εἰρημένον, τὸν ἥλιον ἰδόντι καὶ τοὺς ἀστέρας μηδὲν προσπεριεργάζεσθαι. εἰ δέ τις ἐστὶ καὶ κομήτης ἀστήρ, ἔστι μὲν οὐδείς· χώρα γὰρ ἀστέρων τὸ κύκλῳ σῶμα κινούμενον, περὶ ὃ οὐδὲν οὐδέποτε νεώτερον γίνεται· ὁ δὲ ὑπὸ σελήνην τόπος, αὐτὰ τὰ μεθόρια τῆς γενέσεως, ἐστὶν ἴσχει τὰ ὑπεκκαύματα, ψευδωνύμους ἀστέρας. τοὺς μὲν ἐξῆς ὑποκεῖσθαι συγκινουμένους· τοὺς δὲ μὴ τῆς αὐτῆς φύσεως εἶναι πλημμελῶς κινουμένους. ἧκέ τις ἐπὶ τὸ τῆς ἰσημερίας σημεῖον, ἀπὸ τοῦ θυτηρίου· κἀκεῖθεν ἦξε παραφερόμενος ἐπὶ τὸν πόλον τὸν βόρειον, ἂν μὴ φθάσῃ προαπολόμενος. τούτων γὰρ ἔστι τινὰ πολυμήκη, καὶ τήμερον μὲν ἂν τύχῃ ζωδίου μῆκος ἐπέχοντα· εἰς τρίτην δὲ,

A dens ea in re institutum est, apud quos qui ex Prophetico genere sunt, sordidis atque illiberalibus operariis deorum simulacra fingere haudquaquam permittunt, ne quid tale contra leges, iuráque moliantur, sed rostris quidem accipitrum, Ibidumque quæ in templi vestibulis insculpuntur, populum ludentes, ipsi in sacros recessus & interiores latebras recepti quicquid effecerint oculis eripiunt, comessationúmque, ac saltationum genere omni capsulas quasdam venerantur quibus clauduntur hi globi, quos si populus viderit succenseat, & vt faciles nimium, parabiléique derideat, portentis enim opus habet. Quid ni verò, plebs cùm sit? Propterea Ibidum rostra simulacris omnibus imposita sunt. B Vnus porrò ab iis minimè occultatur, sed in propatulo habetur Æsculapius, quem quidem pistillo caluiorem videas, huic tamen in Epidauro Coma est, Græci quippe in indaganda veritate segnes & incuriosi sunt, id quod eorum generi ab Historico iure est exprobratum. Ægyptij verò quotidiano eius & aspectu fruuntur, & alloquio, non vnus duntaxat, aut alter, cuius in ædibus versetur, neque vt ipsi visum, aut quoties fuerit. Sed id præterea multorum ad me fama detulit, Ægyptios pelliciendorum deorum artificium atque illecebras quasdam tenere, C quibus quando libuerit, barbaris aliquot vocibus insusurratis, deos omnes eliciant, quicumque attractionibus quibusdam deduci naturæ suæ conditione possunt. Ab iis ergo non à Græcis verior, ac syncerior est sumenda numinis effigies. Quanquam id satis quidē esse possit, quod est à nobis paulò ante dictum, Solem, Sideráque si obseruemus, nihil esse, quod prætereà curiosius inuestigare oporteat. Sed si esse aliquod videtur crinitum sidus, ipsis certe nullum est. Etenim astrorum locus corpus illud est, quod in orbem agitur, in quo nihil vnquam innouari potest. Lunæ D autem subiecta regio, ipsúmq; generationis quoddam confinium faces eiusmodi, ac fomites edit, falsa sideris appellatione, qui cū deinceps, seriatímque subiecti sint aliis corporibus, cum ipsis vnâ rapiuntur: quia verò eiusdem naturæ non sunt, vaga & immoderata agitatione fluctuant. Iam ab Aræ cœlestis signo, quod ad æquinoctialem raperetur inuentum est, vnde rursum in Borealem polum transuersum agatur, nisi prius fuerit destructum. Horum aliqua oblonga specie porrigi, & hodie quidem, si contigerit, zodiaci magnitudinem adæquare videas,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

tertiâ die vix trientem, decima verò aut tricesimâ, præclare faciens perit paulatim euanescens, nec vllibi amplius cernitur. Hæc à me sidera appellari nefas esse puto, quo si tu nomine donanda contenderis, id saltem constabit, tantum esse comæ malum, vt vel in astrorum genus exitium inferre possit. Adde quod malum, dum apparent, omen habent, & à prodigiorum interpretibus & vatibus in religionem trahuntur. Publicas verò maximè calamitates, gentes in seruitutem redigendas, vrbes solo æquandas, reges obtruncandos, nihil exiguum aut mediocre, grauia denique omnia, acerbissimáque portendunt.

Haud vllum ignotum nobis perit ab Ioue sidus,
Quantum fama hominum constat. ------

Quod ergo periit sidus esse non potest, omniáque sphærica beata immortaliáque corpora sunt. Mihi vtique meísque felicitas hæc adsit, quæ me diis ipsis similem possit efficere. Non enim alios quam qui ita affecti sunt diis similes esse credendum est, neque illum esse diuini, aut Deo æquiparandi nomine digniorem cæterísque diuini splendoris appellationibus. Neque verò id ita se habere cum par sit, secus accidit. Caluos enim manifestè audias, blanda quadam nominis diminutione Lunulas vocitari. Et parum omnino abfuit quin ea prorsus à me prætermitteretur quæ huic proposito maximè congrua est, Lunam intelligo Lunæque facies, quibus cum caluorum genus eiusdem est & nominis, & figuræ: Illa enim mihi sanè carissima corniculata primùm, tùm dimidiata, atque æqua portione diuisa, rursus dimidiato orbe maior, demúmque sinuata in orbem, plenáque apparet. Quanquam qui iam summam fœlicitatem adepti sunt, & capite quasi plenilunium referunt, fas sit Soles etiam appellari. Nec enim diuersa identidem facie apparent, sed toto integróque orbe eorum exaduerso, quæ in cœlo sunt siderum collucent: Cuiusmodi sanè dicteriis, & cauillationibus proci Vlyssem incessebant, Iuuenes cincinnati, luxúque ac deliciis diffluentes, statímque pessimè plus centum ab vno vndequaque caluo interficiendi: qui cùm antea faces accendisset, lucémque manu factam excitasset, missum facere munus istud hortantur, cùm ipsius caput totis ædibus lumine collustrandis, possit sufficere. Atqui hoc ipsum plane diuinum est,

A οὐδὲ τελειμόριον· εἰς δεκάτην δὲ καὶ εἰς τριακοστὴν καλῶς ποιῶν οἴχεται, κατὰ σμικρὸν ἀποσβηκὼς καὶ οὐδεὶς γινόμενος οὐδαμοῦ. τούτους ἐμοὶ μὲν οὐδὲ ὅσιον ἐστὶν ἀστέρας καλεῖν· εἰ δὲ σὺ βούλει καλεῖν, ἐκεῖνο γοῦν τοσοῦτο· ἐστὶν ἡ κόμη κακὸν, ὥστε καὶ ἐν ἄστρῳ θνητὸν εἶδος ἐργάζεσθαι. καὶ φανέντες δὲ τέρας εἰσὶ πονηρὸν, οἷς οἱ τερατοσκόποι καὶ οἱ μάντεις ἐκθειάζονται. δημοσίας γέ τοι μαντεύουσι συμφορὰς, ἐθνῶν ἀνδραποδισμοὺς, πόλεων ἀναστάσεις, βασιλέων ὀλέθρους, μικρὸν οὐδὲν οὐδὲ μέτριον, ἀλλὰ πάντα πέρα δεινῶν, B

Οὐ μήν πως ἀπόλωλεν ἀπευθὴς ἐκ Διὸς ἀστὴρ.
Ἐξ οὗ καὶ γενεῆθεν ἀκούομεν.

ὅστις οὖν ἀπόλωλεν, οὐκ ἔστιν ἀστὴρ, ἀλλὰ πάντα σφαιρικὰ τὰ μακάρια σώματα. ἐμοὶ δὲ καὶ τοῖς ἐμοῖς παρείη τοῦτο τἀγαθὸν, ὅ με ποιεῖ τοῖς θεοῖς παραπλήσιον. οὐ γὰρ ἕτεροί τινές εἰσιν αὐτοὶ τῶν οὕτως ἐχόντων ἀντίθεοι· οὓς μᾶλλον προσήκει θεοειδεῖς καὶ
C θεοεικέλους καλεῖν, καὶ τἄλλα πάντα τὰ τοῦ θείου κάλλους ὀνόματα. καὶ οὐχ οὕτω μὲν ἄξιον, ἑτέρως δὲ γε· ἀλλ' ἀκούσαις ἂν ὑποκοριζομένων, καὶ ἀτεχνῶς σελήνια καλουμένων τοὺς φαλακρούς· καὶ μικροῦ με παρῆλθεν αὐτὸ τοῦτο τὸ πάντων εἰπεῖν οἰκειότατον, ἡ σελήνη, καὶ τῆς σελήνης αἱ φάσεις, αἷς φαλακρῶν παῖδες ὁμώνυμοι καὶ ὁμοιοσχήμονες. καὶ γὰρ ἄρχεται μηνοειδὴς ἡ φιλτάτη, καὶ διχόμηνος γε, καὶ πάλιν ἀμφίκυρτος· τελευτῶσα δὲ ἤδη πανσέληνος. καί τοι τοὺς εἰς ἄκρον εὐτυχίας ἐληλακότας, αὐτοὺς λέγω τοὺς
D πανσελήνους, θέμις ἤδη καὶ ἡλίους καλεῖν. οὐκ ἔτι γὰρ ἐπιδημιᾶσιν ἐπὶ τὰς φάσεις, ἀλλὰ διατελοῦσιν ὁλοκλήρῳ τῷ κύκλῳ τοῖς κατ' οὐρανὸν ἀντιλάμποντες. ὥσπερ ἀμέλει τὸν Ὀδυσσέα παίζουσιν οἱ μνηστῆρες μειράκια κομῶντα καὶ διαρρέοντα, καὶ τάχα μάλα κακῶς ἀπολούμενα, πλέον ἑκατὸν ὑφ' ἑνὸς ἅπαντα φαλακροῦ, ὃν τέως λαμπτηροκόμον ὄντα καὶ φῶς ἅπτοντα χειροποίητον, νουθετοῦσιν ἀπηλλάχθαι πραγμάτων, ὡς ἀρκούσης τῆς κεφαλῆς περιλάμψαι τὴν ὅλην οἰκίαν. ἐκεῖνο αὐτὸ τοῦτο καὶ τὸ θειότατόν ἐστιν,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A ὃ καὶ τοῖς θεοῖς οὐκ ἔστιν ἐμφερές, ἀλλ' ἤδη καὶ συγγενές, φῶς ἔχειν τε καὶ ποιεῖν. τούτου μὲν οὖν τῆς στιλπνότητος ἡ λειότης αἰτία. ἔστι δὲ οὐδὲν ἕτερον ἐν τῇ κεφαλῇ λειότης, ἢ παντελὴς ἀπουσία τριχῶν. ἅμα γάρ τις ἀναχωρεῖ τῶν χειρόνων, καὶ προσέστη τοῖς βελτίοσιν, ὥσπερ ἐλέγομεν ἀντίθεσιν εἶναι τοῦ νεκροῦ πρὸς ζῶον· ζωὴ δὲ καὶ φῶς καὶ πάντα τὰ τοιαῦτα, τῆς ἀγαθῆς συστοιχίας ἐστί τε καὶ νομίζεται· εἰ δὴ φιλότητι προσήκει τὸ φῶς, σκότῳ πρέπειν ἡγητέον τὴν κόμην. τοῦτο γὰρ οὐκ εὔλογόν ἐστιν, ἀλλὰ καὶ παντάπασιν ἀναγ-B καῖον. ἴσως δὲ καὶ πειθώ τινα δεῖ προσαγαγεῖν τῷ λόγῳ, μὴ μόνον ἐπὶ τῷ βιαίῳ τῆς ἀποδείξεως. οὐκοῦν ἅπαντες οἴονταί τε καὶ λέγουσιν αὐτοφυὲς εἶναι σκιάδιον τὴν κόμην, καὶ ὁ κάλλιστος ποιητῶν Ἀρχίλοχος ἐπαινέσας αὐτήν, ἑταίρας μὲν οὔσης ἐν ἑταίρας σώματι, λέγει δὲ οὕτως,

--ἡ δέ οἱ κόμη
ὤμους κατεσκίαζε καὶ μετάφρενα.

σκιὰ δὲ οὐδὲν ἕτερόν ἐστιν ἢ σκότος. ἑκατέρῳ γὰρ τῶν ὀνομάτων, φωτὸς ἀπουσία σημαίνεται· C ἐγγυτέρω δὲ προσιοῦσι καὶ ἁπτομένοις τοῦ πράγματος, ἴδοι τις ἂν καὶ τὴν νύκτα τὴν μεγίστην οὖσαν σκιάν, ἀντιφραττούσης ταῖς ἀκτῖσι τῆς γῆς· ἀλλὰ καὶ μεθ' ἡμέραν αἱ συνηρεφεῖς ὗλαι φωτὸς ἀμοιροῦσι, τῷ λίαν εἶναι κατάσκιοι καὶ κατάκομοι. ταυτὶ μὲν οὖν ὑπὸ τοῦ θείου εἶναι χρῆμα τοῦτο, καὶ τοῖς φανοτάτοις ἀνακεῖσθαι τῶν ἐν αἰθέρι θεῶν. εἰ δὲ καὶ ὑγίεια καλόν· τὸ κάλλιστον μὲν οὖν τῶν καλῶν, ἀλλὰ ταύτην ἐγὼ πολλοὺς κομήτας ἐπὶ τὸν ξυρὸν ὁρῶ καὶ τὸν D Δρώπακα καταφεύγοντας, ὡς ἅμα μὲν φαλακρούς, ἅμα δὲ ἐξαιτεῖς ἐσομένους τῆς νόσου. ἀλλ' εἰ μὲν ὀφθαλμία καὶ κόρυζα*, καὶ βάρος ὤτων, καὶ τἄλλα πάντα τὰ περὶ αὐτὴν ὄντα πάθη τὴν κεφαλὴν τῷ φορτίῳ τούτῳ συναπαλλάττεται, μέγα ἂν εἴη καὶ τοῦτο· πολὺ δὲ μεῖζον, εἰ καὶ ποσί, καὶ σπλάγχνοις ἐλυσιτέλησεν. ὅτι μὲν οὖν εἰσίν, οἱ ταῦτα δυστυχεῖς, οἱ τοὺς καλουμένους κύκλους ὑπὸ τῶν ἰατρῶν ὑπομένειν ἀναγκαζόμενοι, ὧν ἀρχὴ καὶ μέσα καὶ τέλος ὁ Δρώπαξ ἐστίν, ὃς ἀκριβέστερον σιδήρου ταῖς θριξὶν ἐπεξέρχεται.

quod non simile iam diis, sed prorsus cognatum est, lucem & habere, & præbere aliis. fulgoris porro istius causa est læuor, qui nihil est aliud quam omnimoda capillorum penuria. Simul enim à deterioribus recedit aliquis, & ad meliora progreditur, cuiusmodi ei quod vitæ præditum est, cum mortuo diximus esse dissidium. Vita autem luménque & quæ eius generis sunt, ex bonorum serie, & sunt & esse creduntur: Vnde si Caluitio lumen affine est, tenebras existimandum est cum Coma esse consentaneas. Quod non modò rationem præ se fert aliquam, sed prorsus etiam necessarium est. Verùm probabili forte aliqua, blandáque ratione fulcienda est oratio, ne nimis id accuratâ semper demonstrandi necessitate extorqueatur. Comam igitur natiuam quandam, ac congenitam quasi vmbellam esse perinde omnes vt sentiunt ita profitentur, & poëtarum elegantissimus Archilochus eam, sed in meretricio tamen corpore, commendans, hunc in modum loquitur,

------*Huic ipsi quidem*
Humeros obumbrat, tergaque incumbens
comá.

Vmbra verò præter tenebras nihil aliud est, vtrouis enim nomine lucis absentia significatur. Ac si quis rem penitius exploret, percontetúrque, non difficilè intelliget noctem ipsam, terra solaribus radiis obducta, vmbrarum esse maximam. Quin & interdiu opaciores ac condensiores saltus, lucem ideo non admittunt, quod nimium vmbrosi ac comosi sunt. Atque hæc quidem propterea eo modo accidunt, quòd diuina res lumen est, splendidissimísque deorum qui in Æthere sunt consecrata. Si verò in bonis habenda valetudo est, vt est certè bonorum omnium optimum, eius ego desiderio crinitos quam plurimos animaduerti ad nouaculam Dropacémque confugientes, vt vnà & calui essent, & à morbis indemnes, saluósque sese conseruarent. Quod si & ocularis ægritudo, & mucus, & aurium grauedo, cæteraque capitis incommoda cum hoc onere excutiuntur, magnum istud sane fuerit: multo verò maius si pedibus præterea, visceribúsque remedio sit. Atqui illi ipsi qui his partibus laborant, circulos quosdam à medicis appellatos tolerare coguntur, quibus principium, medium, finísque Dropax est, quo ferro quolibet accuratius depilantur:

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Est enim id rationi quam consentaneum ex arduo ac eminenti capitis loco, tanquam arce quadam, reliquo corpori valetudinis morbique quasi rudentes esse suspensos. Non igitur æqualis est aut par nobis cum cæteris valetudinis conditio, sed, quod Dei bona venia dictum sit, longè præstabilior. Quod ipsa Æsculapij simulachra satis innuunt, & quidem Ægyptio more capillis denudata: hæc enim ad communem admonitionem, & præceptionem omnium quæ in medicina sunt, saluberrimam pertinent, ei homini, qui sanitatem expetit, Medicinæ artis repertorem, & præsidem imitandum; ac tantum non dicere videntur. Insolatum enim cranium, ac omnibus cœli tempestatibus expositum haud mirum est si in ferri duritiem ab ossis natura transeat, quod ita temperatum morbis omnibus accessu difficillimum est futurum; non secus, atque hastarum, quæ in condensis, & campestribus proueniunt deteriores sunt, quæ in montanis, multo potiores. Cuius rationem si ab Homero fueris sciscitatus, dicentem audies ad ventum illas nutritas, perflatásque atque agitatas esse. Nemo siquidem à sapientissimo Chirone temerè putet Pelei hastam non ex vicinis Tempe, non ex finitimo aliquo monte, aut depressa conualle, vbi politæ, oblongæque arbores proueniunt excisam fuisse, sed Pelio ex vertice, in quo ventorũ incursibus pertundebatur, proindéque ex ligno erat probatiori, quod tradita per manus successione vniuerso generi perdurauit. Eadem est vtriusque hirsuti nimirum, glabrique capitis ratio. Illud enim in condenso situm est, in vmbraculis enim degit, hoc montanum, ventísque omnibus perflabile, ob idque validum hoc, ac solidum, tenerum illud, ac imbecillũ est. Cuius rei periculum facere potest, si quis ad Arabiæ Ægyptíque confinium pergat, vbi inter Cambysis & Psammitichi exercitus cõmissum olim præliũ est. Hi enim mutuò confligentes, ac temporis illius certamen totius belli decretoriũ esse vtrique arbitrati, vix tandem dirimi potuerunt: Strage autem maxima facta, & validiore numerosioréque, quàm vt mortuorum cadauera tollere, aut sepelire possent: aliud quidẽ nullum tantæ cædis superstites cæsis officium præstitere, sed promiscuè passímque stratos vt in acie quisque procubuerat à se inuicem discreuere: & nunc etiamnum duo cernuntur ossium acerui, Ægyptiorũ alter, alter Medorum, dignáque prorsus admiratione Herodoto visa est

A καὶ γὰρ εὔλογον ἐξ ὑπερκειμένου χωρίου, καθάπερ ἐξ ἀκροπόλεως, ἀπὸ τῆς κεφαλῆς ἐξῆφθαι τῷ παντὶ σώματι τά τε τῶν νόσων καὶ τὰ τῆς ὑγιείας πείσματα. οὐκοῦν καὶ ὑγιείας οὐκ ἴσον μέρος μετέχομεν, ἀλλὰ σὺν θεῷ φάναι τὸ πλέον· δόξειε δ' ἂν αὐτὸ τοῦτο αἰνίττεσθαι καὶ τὰ βρέτα τὰ Ἀσκληπίεια, καί τοι ψιλὰ τριχῶν Αἰγυπτιακῶς διακείμενα. εἴη γὰρ ἂν εἰς κοινὸν νουθεσία, καὶ παράγγελμα τῶν ἐν ἰατρικῇ ὑγιεινότατον, καὶ μονονουχὶ λέγειν ἔοικεν, ὡς ὅστις ὑγιαίνειν ἐρᾷ, μιμείσθω τὸν ἰατρικῆς εὑρετὴν καὶ προστάτην. εἱληθε- B ρούμενον γὰρ κρανίον καὶ πάσαις ταῖς ὥραις ἐγκείμενον, οὐκ ἂν θαυμάσαις, εἰ ταχέως ἀπεργασθείη σίδηρος ἀντ' ὀστέου· οὕτω δὲ ἔχον, ἁπάσαις ἂν εἴη νόσοις δυσεμβολώτατον. καὶ ὥσπερ τῶν δοράτων τὰ μὲν ἕλεια καὶ τὰ πεδινὰ χείρω, τὰ δὲ ὄρεια κρείττω· τὴν δὲ αἰτίαν Ὁμήρου πυνθάνου, καὶ ἀκούσῃ λέγοντος. ἀνεμοτρεφῆ γάρ ἐστι καὶ γεγυμνασμένα. μηδὲ γὰρ Χείρωνα τὸν σοφὸν εἰκῇ νόμιζε τῷ Πηλεῖ τὸ δόρυ τεμεῖν οὐκ ἀπὸ τῶν γειτόνων Τεμπῶν, οὐδ' ἀπό τινος ὄρους ἢ φάραγγος, οὗ λεῖα καὶ μήκιστα φύεται, C ἀλλὰ Πηλίου ἐκ κορυφῆς, οὗ ταῖς ἐμβολαῖς τῶν ἀνέμων ἐξέκειτο. ταῦτ' ἄρα ξύλον ἀγαθὸν ἦν, ὅγε καὶ τῇ διαδοχῇ τοῦ γένους ἐξήρκεσεν· οὕτως ἔχει καὶ περὶ τούτων τὰ κεφαλὰ, τήν τε δασεῖαν, καὶ τὴν ψιλήν· ἡ μὲν ἕλειός ἐστι· σκιατροφεῖται γάρ· ἡ δὲ ὄρειος· αὔεται γὰρ ἅπασι πνεύμασι, καὶ διὰ τοῦτο καρτερὰ μὲν αὕτη, ῥαδινὴ δὲ ἐκείνη. ἔξεστι δὲ πεῖραν τοῦ λόγου λαβεῖν ἐκεῖ γενομένοις, οὗ συνερράγη τὸ Καμβύσου καὶ Ψαμμιτίχου στρατόπεδον, κατὰ τὴν ἐξ Ἀραβίας D εἰς Αἴγυπτον εἰσβολήν. τούτω γὰρ ἀλλήλων τότε πειρώμενοι, καὶ τὸν παρόντα καιρὸν ἑκάτεροι τοῦ παντὸς εἶναι κρίσιν ἡγούμενοι, μόλις ποτὲ διελύθησαν· γενομένου δὲ φόνου πολλοῦ, καὶ τοῦ πάθους κρείττονος ὄντος ἢ κατ' ἀναίρεσιν τῶν νεκρῶν, ἄλλο μὲν οὐδὲν οἱ περιγενόμενοι τοὺς ἀποθανόντας ἐποίησαν· ἀναμὶξ δὲ ὄντας ὡς ἕκαστος ἐτύγχανε πεπτωκὼς ἐπὶ παρατάξεως, ἀλλήλων διέκριναν· καὶ νῦν εἰσὶ δύο θημῶνες ὀστέων, ὁ μὲν Αἰγυπτίων, ὁ δὲ Μήδων. θαυμάζει τοίνυν Ἡρόδοτος

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A ἔοικε γὰρ ὁ βέλτιστος ἐμπεπλαχέναι ταῖς κεφαλαῖς· τῶν μὲν τὴν ἰσχνότητα καὶ ἀσθένειαν· καὶ γὰρ ἂν ψηφῖδί φησι διατετραναίης βαλών· τῶν δὲ τὸ παχὺ καὶ στερέμνιον. ἀντίτυποι γὰρ ἀπήντων αὐτῷ καὶ σκληραί, καὶ οὐδ᾽ ἂν ὅλη χερμὰς ἐπ᾽ αὐτὰς ἐξαρκέσειεν, ὥστε κορύνης ἂν δέοι· αἰτίαν δέ γε φασίν, ἐφ᾽ ἣν ἡμεῖς τὴν πεῖραν ἐκαλέσαμεν μάρτυρα, τῶν μὲν τοὺς πίλους, τῶν δὲ τὴν ὑφ᾽ ἡλίῳ τροφήν. εἰ δὲ χαλεπὸν μὲν ὁδὸν περιελέσθαι διὰ τοσούτων ἐθνῶν ὑπερόριον, οὐχ ὅσιον δὲ οὐδὲ λίθῳ πατάξαι νεκροῦ κεφαλήν, Ἡροδότῳ δὲ ἀπιστεῖς, B ἐκεῖνο· οἰκέται κἀμοὶ καὶ συχνοῖς ἄλλοις εἰσὶν ἐν ἄστει Σκύθαι, καὶ Σκυθικῶς ἀνεικότες τὰς κόμας. τούτοις ἄν τις ἐντείνῃ κόνδυλον, ἀπολώλεκεν· τὸν ἐν θεάτρῳ δὲ ἄνθρωπον, ὃς πολλὴν καὶ καλὴν παρέχει τῷ δήμῳ διατριβήν, ἔξεστι καθ᾽ ἑκάστην ἱερομηνίαν τῷ καταλαβόντι θέαν θεᾶσθαι. οὗτος ἐστὶ μὲν τὴν τέχνην φαλακρῶν, οὐ τὴν φύσιν, βαδίζων ἐπὶ τὰ κουρεῖα τῆς ἡμέρας πολλάκις. παρέρχεται δὲ εἰς τὸν δῆμον ἐπ᾽ αὐτὸ τοῦτο, τῆς κεφαλῆς τὴν ῥώμην ἐπιδειξόμενος, ἢ μηδέν ἐστι δεινὸν τῶν δεινῶν· C ἀλλὰ καὶ πρὸς πίτταν ἀναζέουσαν παραβάλλεται, καὶ διακυρίττεται δεδιδαγμένῳ κριῷ, πόρρωθεν εὖ μάλα τὸν πίτυλον καταστείοντι· ἐπιλείπει δὲ τὰ Μεγαρέων κεράμια, τῇ γενναίᾳ ταύτῃ προσκαταγνύμενα· τέμνεται δὲ καὶ κατατέμνεται, καὶ οὐδὲν ὅ,τι οὐ τῶν τοῖς ὁρῶσι φρίκην φερόντων, ἥ γε καὶ προσάλλοι) βλαύτης Ἀττικῆς ἀκριβέστερον. τοῦτον ἐγὼ τὸν ἄνδρα θεώμενος, τῆς εὐτυχίας ἐμαυτὸν ἐμακάρισα. καὶ γὰρ κἂν ἐγὼ ταῦτα πάντα δυναίμην, ἀλλ᾽ οὗτος ἐμοῦ τῇ τόλμῃ περίεστι· μᾶλλον D δὲ τοῦτον μὲν εἰς τοῦτο τῆς τόλμης ἡ πενία περιήγαγεν· ἐμοὶ δὲ τῆς πείρας οὔτε δεῖ, μήτε δέοι· ἀλλ᾽ ἕτερον αὐτοῦ τὸ παμμέγεθες ἀγαθόν, ὃ τῶν εἰρημένων οὐδενὸς ἀπολείπεται. ἂν μὲν γὰρ ἡ τῆς Πινδάρου τυγχάνῃ εὐχῆς, καὶ ζῆν ἔχωμεν ἀπὸ τῶν οἰκείων, ἐν καλῷ τοῦ θεάτρου καθιζησόμεθα, ἀκροαταὶ τῶν δεικνυμένων καὶ θεαταί. κἂν χορηγῆσαι δέῃ τῇ πόλει, κἂν ἐπιδόσεις ὁ δῆμος αἰτῇ, χρησόμεθα μεγαλοπρεπῶς τοῖς ὑπάρχουσι·

(nam eò accessisse videtur optimus vir videndorum capitum studio) illorum quidem capitum tenuitas, atque fragilitas, hæc enim si velis ferire, (inquit) vel solo calculo perforare possis. Horum verò compactio, atque soliditas: repulsu enim renixúque firmitatem ac duritiem præ se ferebant: Ita vt neque maiori aliquo, ac pugillari saxo offendi, illidive possent, clauaque ad id opus futurum sit. Huius autem experimenti, cui nos testem adsciuimus, causam esse ferunt, his quidem quod pilea gestent, illis verò quod Soli expositi degant. Quod si cui difficile videatur peregrino itinere suscepto tot nationes peragrare, neque mortui fas sit caput lapide ferire, ac Herodoto fidem non adhibeas, nempe mihi quoque & aliis permultis in vrbe serui sunt genere Scythæ, promissa Scythico more cæsarie, quibus si quis vel colaphum ingesserit, enecauerit. Eum verò hominem qui in Theatro diuturno iucundissimóque spectaculo plebem detinet singulis Calendis spectare licet ei, qui primus subsellia ad spectandum occupauerit: Is non natura quidem sed artificio caluus est, eadem die ad tonstrinas sæpius sese conferens, prodítque coram populo, vt capitis robur, ac firmitatem ostentet, cui nihil terribile est eorum quæ videntur terribilia. Quippe cùm feruente pice conflictatur, & cum edocto ariete coniscat, qui eminus concinna quadam agitatione, & capitis micatione fertur. Megarensium quoque figlina valido huic capiti illisa deficiunt: scinditur, contunditur, nihilque non eorum fit, quæ horrorem spectantibus incutiunt, cùm eodem capite accuratius quàm Attico calceo præsiliat, illum ego hominem cùm spectarem, meipsum ob secundam illam sortem, beatum prædicabam. Etenim hæc quoque omnia præstare possem, sed ille me audacia superior est, vel potius ille quidem vt id audeat, inopia compellitur: mihi verò huiusce rei periculo, neque opus est, neque vnquam opus sit. Verùm aliud nobis occurrit, quam maximum commodum nec vllo eorum, quæ hactenus dicta sunt, deterius. Nam si (vt Pindarus ait) voti compotem esse contigerit, & domesticæ res ad vitam degendam satis esse possint, in opportuno aliquo ad spectandum loco sedebimus eorum quæ exhibentur, auscultatores & spectatores. Quod si in ciuitatem sumptus faciendi sint, aut largitiones à populo flagitentur, magnifice ex facultatibus nostris erogabimus.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Sin fortuna reflauerit, victúsque ac familiaris res defecerit, quod viris præclaris, ac eximiis haud vnquam euenit, eos saltem fames malorum summum non inuadit, quibus præstigiatoribus, ac circulatoribus esse licet, ac pudore paululum summoto artem spectaculo dignam è re nata in Orchestra exhibere, ac præstare possunt. Quare qui ex Dionis sententia viros, quàm Fœminas magis decere Comam arbitratur, hic non rebus ipsis, & manifestæ veritati plurimum aduersatur? Nam quod qui possident, imbecilliores redduntur, id ipsum in censu ponere validorum, ac vires habentium potest vlli esse rationi consentaneum? Natura profecto ac legibus ista discreta sunt, Legibus quidem, quando neque mares omnes decet Coma, neque vbiuis, neque eosdem perpetuo. Lacedæmonij enim post Thyream, Argiui ante Thyream comam aluere: Infinitæ prope nationes neque hodierna die, neque anteà vnquam: fœminarum generi, & omni, & vbiuis honesta fuit semper capillitij cura: nec vsquam inuenta est, aut inueniri potest, quæ nouaculæ caput submiserit, præterquam in graui, ac inauspicato euentu, si vllum vnquam eiusmodi tempus tulit, mihi certè neque auditum, neque visum vnquam. Quinetiam cum lege natura consentit; nullam enim ex hominum memoria accepimus mulierem fuisse caluam; neque est quod id reticulo tegi potuisse dicas: Comœdiæ enim & ea oculis penetrare possunt. Sin cuiquam pili effluxerint, hoc ex morbo potius factum est, potuitque vel minima cura pristinum naturæ statum recuperare. Virorum contra, eorum saltem qui hoc nomine digni fuerunt, haud facilè vllum nominaueris, qui non ad eam naturæ conditionem peruenerit: penes enim hoc ipsum naturæ finis esse videtur, licet non omnes eum assequantur. Sed vt Agricolæ, cùm ex integrarum, ac bene se habentium stirpium naturali propensione exploratum habeant, natura omnes ita esse comparatas, vt in rectum assurgant, quæcumque per se attolli nequeunt, contis ac pedamentis suffulciunt, ita quandoquidem omnes, quorum natura optimè constituta est, esse eadem mecum conditione constat, qui secus habuerint, nouacula emendandi sunt, vt naturæ succurratur. Lacedæmoniorum porro haud incongruum fuerit fecisse mentionem,

A τοῦ δαιμονίου δὲ ἀντιπνεύσαντος, καὶ τῶν ἀλφίτων ἐπιλειπόντων, ὃ μηδενὶ τῶν θείων ἀνδρῶν περιεγένετο, τὸ γοῦν ἔσχατον ἄπεισι τῶν κακῶν ὁ λιμός, οἷς ἅπασιν ἔξεστι θαυματοποιοῖς εἶναι, καὶ μικρὸν ἀπερυθριάσασιν ἐν τῷ λογίῳ ἀποδῦναι καὶ σχεδιάσαι τέχνην θέας ἀξίαν. ὅστις οὖν ὥσπερ Δίων οἴεται πρέπειν πολὺ μᾶλλον ἀνδράσιν ἢ γυναιξὶ τὴν κόμην, πῶς οὐ τοῖς οὖσι καὶ τοῖς φανεροῖς τἀναντιώτατα διατάττεται; ὃ γὰρ τοὺς ἔχοντας ἀσθενεστέρους ποιεῖ, πῶς εὔλογόν ἐστι
B τῇ τῶν ἰσχυόντων μοίρᾳ προσνέμειν; ἀμέλει δὲ καὶ φύσει καὶ νόμῳ διώρισται· νόμῳ μὲν, εἰ μήτε πᾶσι καλὸν ἡ κόμη τοῖς ἄρρεσι, μήτε πανταχοῦ, μήτ' ἀεὶ τοῖς αὐτοῖς. Λακεδαιμόνιοι γὰρ μετὰ Θυρέαν, Ἀργεῖοι δὲ παρὰ Θυρέας ἐκόμησαν· συχνὰ δὲ τῶν ἐθνῶν, οὔτε νῦν, οὔτε πρότερον· γυναιξὶ δὲ ἀεὶ καὶ πάσαις καὶ πανταχοῦ καλὸν ἐσπουδακέναι περὶ τὴν ἐπιμέλειαν τῶν τριχῶν. οὐ γάρ ἐστιν, οὔτε γέγονεν, ἥ, τις ὑπέθηκε ξυρῷ τὴν κεφαλὴν, ὅ, τι μὴ κατ' ἀπαί-
C σιόν τινα καὶ ἀποτρόπαιον συμφοράν. εἰ δή τι καὶ τοιοῦτον ὁ χρόνος ἤνεγκεν· ἐγὼ γὰρ οὔτε εἶδον, οὔτε ἤκουσα· ὁμολογεῖ δὲ καὶ ἡ φύσις τῷ νόμῳ· γυνὴ μὲν γὰρ οὐδεμία τῶν ἐξ αἰῶνος ἀναδέδεικται φαλακρά· καὶ οὐκ ἐρεῖς ὡς οἱ κεκρύφαλοι κρύπτουσιν. αἱ γὰρ κωμῳδίαι καὶ διὰ τούτων ὁρῶσιν· εἰ δὲ τριχορρυής τις ἐγένετο, νόσον τινὰ ταύτην νοσεῖ, καὶ δι' ἐλαχίστης ἐπιμελείας εἰς τὸ πεφυκὸς ἐπανέρχεται· ἀνδρῶν δὲ οὓς καὶ ἄξιον ἄνδρας καλεῖν, οὐ ῥᾴδιον εἰπεῖν, ὅς τις οὐκ ἔφθασεν εἰς τοῦτο τῆς φύσεως. δι'
D αὐτὸ γὰρ τοῦτο καὶ δοκεῖ τέλος εἶναι τῆς φύσεως, εἰ καὶ μὴ πᾶσιν ἐπιτυγχάνεται. ὥσπερ δὲ γεωργῶν παῖδες ἀπὸ τῆς ὁρμῆς τῶν ὑγιαινόντων φυτῶν συνιέντες, ὡς εἰς ὀρθὸν αἴρεσθαι βούλεταί τε καὶ πέφυκεν, ὅσα μὴ πρὸς τοῦτο παρ' ἑαυτῶν ἐξισχύει, κοντοῖς αὐτὰ καὶ χάραξιν ὑπερείδουσιν· οὕτως ἐπειδὴ πεφήνασιν ἅπαντες, ὧν ἡ φύσις ἀρίστη, παραπλησίως ἐμοὶ διακείμενοι, ξυρῷ τοὺς οὐχ οὕτως ἔχοντας ἐπανορθωτέον, καὶ βοηθητέον ἂν εἴη τῇ φύσει. Λακεδαιμονίων μὲν οὖν ἄξιον μεμνῆσθαι,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

περὶ τὴν ἐν Θερμοπύλαις μάχης ἠσκηκότων A
τὰς τρίχας· ἣν δι' αὐτὸ τοῦτο καλεῖ μεγά-
λην, ὅτι Λακεδαιμόνιοι περὶ αὐτῆς ἐκτενί-
σαντο, ὧν οὐδεὶς ἐπὶ τῷ πονηρῷ τούτῳ ση-
μείῳ περιεγένετο· λέγω δὲ οὐκ ἀναμιμνή-
σκων τῶν εἰρημένων, ὅτι τρίχες κἂν τοῖς ζῶσιν
ἐστὶ νεκρόν, ἀλλ' ὅτι τεθνεώτων αὔξουσι. τοῦτο
γὰρ ὑπὸ τῶν ἐν Αἰγύπτῳ θεραπευτῶν εἰς
πάντας διατεθρύλληται· καί τις ἐν χρῷ κου-
ρείας ἀποθανών, εἰς νέωτα κόμην καὶ πώγω-
να βαθὺν ἤνεγκε. τούτους μὲν οὖν εἵλκυσεν εἰς
τὸν λόγον, οἳ κάλλιστα τῶν Ἑλλήνων ἀπέθανον· B
τῶν δὲ τὰς καλλίστας τε καὶ μεγίστας νίκας ἀνῃρη-
μένων, καὶ τιμωρησαμένων ὑπέρ τε τούτων
αὐτῶν καὶ ὑπὲρ τῆς ἄλλης Ἑλλάδος τὸν βάρβα-
ρον, ἑκὼν ἐπιλανθάνεται. λέγω δὲ Μακεδό-
νας τε καὶ τοὺς Ἀλεξάνδρῳ συναναβάντας
Ἕλληνας, ὧν οὐκ ἐγένοντο μόνοι Λακεδαι-
μόνιοι. οὗτοι περὶ τὴν ἐν Ἀρβήλοις μάχης, ἣν
δικαιότερον ἄν τις μεγάλην προσαγορεύσειε,
πείρᾳ μαθόντες, ὅτι πονηρὸν στρατιώταις αἱ
τρίχες, πανδημεὶ ξυράμενοι, μετὰ Θεοῦ καὶ
τύχης καὶ ἀρετῆς εἰς τὸν ὑπὲρ τῶν ὅλων ἀ- C
γῶνα συνέστησαν· ἐπεράνθη δὲ ἀπὸ τοιαύ-
της αἰτίας ἡ διαβολὴ τῶν τριχῶν, ὡς ὁ
τοῦ Λάγου Πτολεμαῖος συνέγραψεν, ὃς ὅτι
μὲν παρῆν τοῖς δρωμένοις, ἠπίστατο· ὅτι δὲ
βασιλεὺς ἦν, ὁπηνίκα συνέγραψεν, οὐκ
ἐψεύδετο. ἀνὴρ Μακεδών, κόμην τε ἀνει-
κὼς εἰς τὸ περιττὸν, καὶ γένειον βαθὺ καθει-
κώς, ἐπ' ἄνδρα Πέρσην ἐφέρετο. συμφρο-
νήσας δὲ ὁ Πέρσης, καίπερ ὢν ἐν δεινῷ, γέρ-
ρον μὲν ἐκεῖνο καὶ ξυστὸν ἀφίησι τῶν χειρῶν,
ὡς οὐχ ἱκανὰ ταῦτα τῷ Μακεδόνι· ἄττει δὲ
ὁμόσε, καὶ φθάσας εἴσω τῶν τοῦ πολεμίου ὅ- D
πλων γενέσθαι, λαμβάνεται τοῦ πώγωνος καὶ
τῆς κόμης, καθ' οὕτω καταβάλλει στρατιώ-
την ἄμαχον, τριχὶ δίκην ἰχθύος ἐφελκυ-
σάμενος· πεσόντα δὲ ἤδη κατακαίνει τὸν ἀ-
κινάκην σπασάμενος. Εἶδε δή τις καὶ ἕτερος
Πέρσης, καὶ μάλα ἄλλος καὶ ἄλλος, καὶ ταχὺ
μὲν ἅπαντες ἦσαν ῥίψασπιδες, ταχὺ δὲ
ἄλλος ἄλλον κομήτην ἀπολαβόντες, ἀνὰ τὸ
πεδίον ἐδίωκον· παρῄει γὰρ ὥσπερ σύνθημα
διὰ τοῦ Περσικοῦ στρατεύματος, ὅτι ἄνδρες
οὗτοι θριξὶν ἁλώσιμοι· μόνοι οὖν ὡς εἰκός, ὅσοι φα-

qui ante pugnam illam ad Thermopy-
las commissam comam adornarunt, quam
ideo grauissimam appellauit, quod an-
te eam Lacedæmonij comas pecterent,
quorum nemo præ infausto illo omi-
ne superstes fuit. Id eò dico, non
quod in memoriam reuocem quæ à me
antea dicta sunt, pilos, vel in viuen-
tibus mortuas esse partes, sed vt eas-
dem insuper in mortuis incrementum
capere significem. Huius enim ab Æ-
gyptiis sacerdotibus in omnes fama per-
crebuit, & ad cutem rasus aliquis
cùm obiisset, sequente anno prolixâ
comâ barbaque inuentus est. Cæterum
eos in oratione duntaxat inseruit, qui
gloriosissimo ex Græcis omnibus facto
extincti sunt, alios consultò prætermi-
sit, qui maximas nobilissimasque vi-
ctorias reportarunt, & à Barbaris eo-
rum quæ in illos, ac reliquam om-
nem Græciam commiserant, pœnas re-
petierunt, Macedonas, inquam, Græ-
cosque, qui cum Alexandro profecti
sunt, quorum soli defuere Lacedæmo-
nij: Hi ante certamen, quod in Ar-
belis gestum est, multò quam Lace-
dæmoniorum illud grauius, experien-
tia edocti, pilos summo militibus esse
detrimento, publicitùs rasi, Deo for-
tunáque, & virtute auspice, de sum-
ma rerùm dimicarunt. Eiusmodi autem
damnandorum pilorum fuit occasio, vt
author est Ptolemæus, Lagi filius, qui
cùm rebus gestis interfuisset, rei veri-
tatem non ignorauit, & quia rex dum
hæc scriberet, fuit, nequaquam men-
titus est. Macedo quidam summissa
mirum in modum cæsarie, altáque ac
densissima barba Persam adoritur; hic,
quanquam in tanto discrimine constitu-
tus, sese colligens, scuto, hastaque
abiecta, quasi haud idonea essent ad-
uersus Macedonem arma, obuiam pro-
silit, cominusque hoste intra ipsius ar-
ma occupato, barba comaque prehen-
dens, militem crinibus, piscis instar,
attractum citrà pugnam prosternit, pro-
stratumque educto acinace confodit. Vi-
dit hoc alius Persa statimque alius, &
alius, omnésque subinde clypeis abie-
ctis, alium alius crinitorum eiusmo-
di interceptum patentibus campis inse-
cuti sunt; Ibat enim per totum ag-
men Persarum quasi tessera quædam,
homines illos crinibus arreptos faci-
le expugnari: Soli igitur (vt verisimile

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

est) quotquot in Alexandri acie calui erant, in ordine permanserunt. Dum hæc geruntur Rex in summa consilij inopia constitutus est cùm nudis cedendum sibi esset, cui vel armati resistere non possent. Iamiamque futurum erat, vt pudendo belli coitu oppressus Alexander in Ciliciam pedem referret, seseque ridiculum Græcis omnibus præberet, insana capillorum affectatione superatus. Verum vt erat in fatis, Heraclidis Achæmenidas imperij sceptra dedituros, classico receptui cani iubet, longiúsque abducto exercitu, ac opportunè positis castris tonsores immittit; Atque hi quidem muneribus à Rege pellecti passim Macedonas omnes nouaculâ deraserunt. Dario verò, Persisque deinceps pro voto res non successit: sublata enim prehendendi ansa, cum multo superioribus iniquo certamine congrediebantur. Quamobrem coma ipsa neque terribiles vt sint, neque vt videantur facit, nisi infantium fortè spectra, terriculáque esse velint, præsertim cùm milites videamus, quo tempore hostes terrendi sunt, galeam induere. Galea autem hoc ipsum quod præ se nomine fert ænea caluaria est: Quod verò equinis setis ornentur, hi quidem, quibus galeam imponere capiti contigit, figuram eius non ignorant. Docendi sunt autem quibus istud ignotum est, pone in versum dispositis inter pileum, & galeam setis adornari. Quandoquidem curuam, deuexamque superficiem ne Vulcanus quidem villorum tenacem possit efficere, hunc autem in modum composita accuratè nobis caluitium refert, ideoque omnium, quibus milites induuntur formidolosissimum est. Achilles sanè Troianos animum recepisse ait, non quod suspensum quasi comæ muscarum videant: nusquam. Sed quidnam, quæso, ait?

Nec enim galeæ frons cernitur ipsis
Cominus ardentis.

Fulgor enim illius læuórque idem & Caluitium, & terriculum est. Achilles autem etsi comam habuerit (id enim ab eodem est proditum,) at iuuenis illo tempore fuit, quo & ad iracundiam erat procliuior, cùm ætas ipsa nondum esse pateretur corpore, animóque perfectum; Et quidem adolescétibus æquum est caput ipsum erumpentibus pilis, & cordis incitatione feruere. Sed

A λακρὸν ἦν τῆς Ἀλεξάνδρου φάλαγγος,
συντεταγμένοι διέμενεν. ἐν τούτῳ δὲ ὁ βα-
σιλεὺς ἀπορίᾳ συνείχετο, γυμνοῖς ἐξιστά-
μενος οἷς ὡπλισμένοις ἦν ἀνυπόστατος, κἂν
αἰσχρῶς ἀνέλυσεν ἐπὶ Κιλικίας Ἀλέξανδρος,
κἂν ἐγένετο τοῖς Ἕλλησι καταγέλαστος, τῇ
τειχομανίᾳ κεκρατημένος· νυνὶ δέ, μοιρί-
διον γὰρ ἦν ἤδη τοῖς Ἡρακλείδαις τοὺς Ἀχαι-
μενίδας παραχωρῆσαι τῶν σκήπτρων· ταχὺ
συνεὶς τι τοῦ δεινοῦ, κελεύει μὲν ἀνακλητι-
κὸν ἠχῆσαι τὰς σάλπιγγας· ἀπαγαγὼν δὲ
ὡς πορρωτάτω, καὶ καθίσας ἐν καλῷ τὸν
B στρατόν, ἐπαφίησιν αὐτῷ τοὺς κουρέας. οὗτοι
μὲν οὖν δώροις ὑπὸ τοῦ βασιλέως ἀναπει-
σθέντες, πανδημεὶ τοὺς Μακεδόνας ἐξύρη-
σαν. Δαρείῳ δὲ καὶ Πέρσαις, οὐκέτι τὸ
πρᾶγμα κατ' ἐλπίδας ἐχώρησε· μὴ γὰρ οὔ-
σης ἔτι λαβῆς πρὸς πολὺ καλλίους ἀγωνι-
στὰς τοῖς ὅπλοις ἐκρίνοντο. κόμη τοίνυν οὔτε
ποιεῖ φοβερούς, οὔτε δείκνυσιν, εἰ μή γε τῶν
βρεφῶν εἰσὶ μορμολύκια. ἐπεὶ τούς γε στρα-
τιώτας ὁρῶμεν ἐν ᾧ δεῖ τοὺς πολεμίους φο-
βεῖν, κράνη περικειμένους· τὸ δὲ κράνος οὐδὲν
ἄλλο ἢ κατὰ τοὔνομα καὶ τὸ πρᾶγμα, χαλκοῦν
C κρανίον ἐστίν. εἰ δὲ ἵππων θριξὶν ἐνσκευάζον-
ται, οἷς ὑπῆρχεν ἀμφιέσασθαι κράνος, ἴσασι
περὶ τοῦ σχήματος· διδακτέον δ' ἂν εἴη τοὺς
οὐκ εἰδότας; ὡς ὄπισθεν σκευάζονται στοιχηδὸν
διατεθείσαις θριξὶ μεταξὺ τοῦ πίλου καὶ τοῦ
κράνους. ἐπεὶ τήν γε κυρτὴν ἐπιφάνειαν, οὐδ'
ἂν Ἥφαιστος ἐγκρατῆ τριχῶν ἀπεργάσαιτο·
ἔχουσα δὲ ὥσπερ ἔχει, φαλάκρας ἀκριβεστά-
την εἰκόνα παρέχεται. ταύτῃ καὶ καταπληκ-
τικώτατόν ἐστιν ἁπάντων, ὅσα στρατιώταις
περίκειται. ὁ γοῦν Ἀχιλλεὺς ἀναθαρσῆσαι τοὺς
D Τρῶας φησίν, οὐχ ὅτι τῆς κόμης οὐχ ὁρῶσιν
αἰωρουμένην τὴν σόβην· ἀλλὰ πῶς λέγει;

Οὐ γὰρ ἐμῆς κόρυθος λεύσσουσι μέτωπον
Ἐγγύθι λαμπομένης.

τὸ γὰρ ἀποστίλβον αὐτῆς καὶ λεῖον, αὐτὸ τοῦτο
φαλάκρα τε ἂν εἴη καὶ φόβητρον. εἰ δὲ Ἀχιλ-
λεὺς ἐκόμα· καὶ γὰρ δὴ καὶ τοῦτό φησι· νέος
γὰρ ἦν, ὁπηνίκα καὶ ὀξύρροπος ἦν εἰς ὀργήν,
οὐδέπω χωρούσης τῆς ἡλικίας, οὔτε ψυχῆς, οὔτε
σώματος τελειότητα· νέῳ δὲ εἰκὸς ἀνάζειν καὶ τὴν
κεφαλὴν οἶμαι θριξὶ καὶ θυμῷ τῆς καρδίας.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀλλ' ὥσπερ οὐκ ἐπαινεῖται δι' Ἀχιλλέα περὶ ψυχὴν ὁ θυμὸς, οὕτως οὐδὲ περὶ σῶμα κόμην τὴν θαυμαστῶν. καί τοι συγχωρῶ Θέτιδος ὄντα, κράτιστα φῦναι πρὸς ἅπασαν ἀρετὴν, καὶ γνώμην ἀποφαίνομαι περὶ Ἀχιλλέως, εἰ περιεγένετο, φαλάκρας τε ἂν αὐτὸν καὶ φιλοσοφίας οὐκ ἀμοιρῆσαι, καὶ νέος ὢν ἀμοσγέπως ἰατρικῆς τε καὶ μουσικῆς ἥπτετο, καὶ πρὸς ἃς εἶχε τρίχας οὕτω δυσχερῶς εἶχεν, ὡς ἱεροῖς ὁσιωθείσας ἠρίοις ἀπάρξασθαι· ἐπεί τοι καὶ Σωκράτην αὐτὰ ταῦτά φησιν Ἀριστόξενος, ὡς φύσει γεγόνοι τραχὺς εἰς ὀργὴν, καὶ ὁπότε κρατηθείη τῷ πάθει, διὰ πάσης ἀσχημοσύνης ἐβάδιζεν. οὐ μὴν οὐδὲ Σωκράτης πω τότε φαλακρὸς ἦν, πέντε καὶ εἴκοσιν ἔτη γεγονὼς, ὁπηνίκα Παρμενίδης καὶ Ζήνων ἧκον Ἀθήναζε, ὡς Πλάτων φησὶ, τὰ Παναθήναια θεασόμενοι. ἀλλ' εἴ τις ὕστερον ὡς περὶ χαλεποῦ τοῦ Σωκράτους, ἢ ὡς περὶ κομήτου διελέγετο, πολλὴν ἂν οἶμαι τὸν λέγοντα παρὰ τοῖς εἰδόσιν ὀφλῆσαι καταγέλων· ὡς οὐκ οὖν ἐστιν, ὁ τῶν πώποτε πεφιλοσοφηκότων φαλακρότατός τε ὁμοῦ καὶ πρᾳότατος. μὴ δὴ καταδίκαζε κόμην τοῦ ἥρωος. ἐν ᾧ γὰρ διαλέγῃ περὶ αὐτοῦ, μειράκιον ἦν, οὔπω πόρρω τῶν ἐξ ἐφήβων γενόμενον· καὶ σὺ μὲν οὐκ ἂν ἔχοις εἰπεῖν ὅτῳ ποτὲ τεκμηρίῳ χρώμενος, ἀποφαίνῃ περὶ τῶν Ἀχιλλέως τριχῶν, ὡς κἂν εἰς γῆρας αὐτοῦ παρέμεινεν· ἐγὼ δὲ ὡς οὐκ ἂν παρέμειναν, ἔχω πολλὰ, τὸν πατέρα, τὸν πάππον· εἶδον γὰρ εἶδον εἰκόνας· τὸ συγγενῆ γεγονέναι θεῶν· ἅπαξ δὲ εἰρημένον ἀρκεῖ περὶ τοῦ σχήματος τῶν θεῶν. τί οὖν ὥσπερ ἕρμαιον λαβόμενος ἔχῃ,

--ξανθῆς δὲ κόμης ἕλε Πηλείωνα;

ὅλως δὲ διὰ τί τεμάχιον ἐκφέρεις, ἀλλὰ μὴ πάντα τὸν στίχον ἕλκεις εἰς μέσον; οὐκοῦν ἐπεὶ μὴ σὺ βούλει, τοῦ παρ' ἡμῶν αὐτὸ γενέσθαι, σὺ τὴν ἀνάγκην ἐποίησας·

Στῆ δ' ὄπιθεν, ξανθῆς δὲ κόμης ἕλε Πηλείωνα.

εὖγε ὦ Δίων, ὡς οὐ περιελκούσας ἀφῄρησαι συλλαβὰς, ἀλλ' ἐν αἷς ἅπασιν ἔνι τοὐναντίον ὧν βούλει. ἐντεῦθεν ἐγὼ μαντεύομαι, κἂν τούτῳ τῆς ἡλικίας Ἀχιλλέα φαλάκρας με-

A vt Achillis caussâ nemo est, cui animi furor probetur, sic nec in clarissimorum virorum corpore est Coma laudabilis. Eundem tamen vtpote Thetidis filium, præclara ad omnem animi virtutem indole fuisse fatendum est. Meúmque id est de Achille iudicium, si is sospes fuisset, caluitij sapientiæque haud expertem futurum, vt qui vel iuuenili ætate Musicæ esset quadantenus, Medicinæque peritus, adeóque perosos haberet capillos, vt pro primitiis auulsos sacris bustis consecraret: præsertim cùm eadem de Socrate dixerit Aristoxenus, natura illum ad iracundiam fuisse
B incitatiori, quæ simul eum inuasisset, indecorè atque impotenter sese gessisse. At nondum eo tempore caluus erat Socrates, quintum & vicesimum annum agens, cum Athenas (vt refert Plato) Parmenides & Zeno ad Panathenæorum spectacula venissent. Si quis autem postmodum de Socrate, tanquam homine aspero, aut comæ studioso verba fecisset, multo, vt opinor, ab iis risu fuisset exceptus, qui eum norant, quando is omnium qui vnquam extiterunt Philosophorum caluissimus fuit, ac mansuetissimus. Non est igitur, quòd heroem comæ insimules, nam quo tu tempore de
C eo loqueris, adolescentulus erat, paulo antè nondum ex Ephebis egressus, nec vllam poteris afferre coniecturam, quaquidem fretus Achillis comam censeas ad senectutem vsque fuisse perduraturam. Nam non fuisse perduraturam quamplurimis adducor vt credam, cum Patris atque Aui, quorum olim imagines vidi, tum ipsius cum diis cognationis: Satis enim superque antea de deorum forma disputatum est. Quæ cùm ita sint, Cur demum tanquam ex insperato oblatum lucrum arripiens, crebro id in ore habes

D *Flauáque Comâ prensauit Achillem?*

Denique cur fragmentum duntaxat carminis, non totum ipsum versum in medium adduxisti? Quod quia à te factum non est, mihi vt istud facerem tute necessitatem imposuisti.

Ponè stetit, flauáque Comâ prensauit Achillem.

Euge, Dio, quando non superfluæ sunt à te detractæ syllabæ, sed eiusmodi vt in iis ei, quod asseris omnino contrarium habeatur: hinc ego auguror vel in ea ætate Caluum Achillem fuisse. Ponè (in-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

quit) Dea veniens coma eum arripuit. Atqui & me certè aliquis, & ipsum quoque Socratem, & Græcorum omnium senio confectissimum postica capitis parte prensauerit. Illic enim naturæ mortalis indicia relinquuntur, neque aut hominum, aut dæmonum, sed diuinæ planè conditionis, naturæque est, nihil omnino habere cum mortali genere societatis.

Ponè stetit, flauaque coma prensauit Achillem.

Vt comam prehenderet ponè stetit, quasi ex anteriori parte nulla esset prehensio. Atque, vt vno verbo dicam, nullum in Dionis oratione bonum est, quo pilorum natura commendetur, cuiusmodi si quod in ea reforet, facilè Dio inuestigasset, leuéque id alioqui dicendo fecisset illustrius, vtpote qui nunc Lacedæmonios quidem è longinquo deducta occasione insinuauerit, nihil certè ad rem facientes quantum alteri quoque constare potest, ab Homero autem quasi sacra anchora dependens, ad extremum vsque libellum tenaciter adhæreat. Perperam tamen vsque adeo oratorum more in oratione versatur, vt aut ex versu, tanquam ex lege, corradat nonnihil, aut versuum nusquam extantium, tanquam germanorum partem aliquam in testimonium vocet. Nam de Hectore palam falsa dicit, vel potius Homero, quæ de Hectore dicuntur, falsò affingit, ac fortassis de Homero simul, atque Hectore mentitur. hunc enim memoriæ proditum est, quod ad tonsuram pertinet, fuisse cum temperantissimis viris comparandum: quod is authoritate sua comprobat, qui de Heroum gestis omnium scripsit verissimè, vt qui horum quidem in acie socius, illorum hostis fuerit, qui de Hectore hæc & ipsa testatur. Sed & si Ilium aliquando profectus es, statim Iliensis quilibet introductum ad Hectoris templũ deducit, vbi Hectoris simulachrum obuium est, quod qui viderint, iisdem occurrit dicendum, in ea effictum esse specie, in qua olim fratri adscititiam pulchritudinem exprobrauit, comæ videlicet cultum. Præterea quæ Homero de Hectore scripta affingit ------*& cærula passim*

Cæsaries raptata.

mihi ostendat aliquis quónam in loco Homericæ Rhapsodiæ inueniantur. Quod neque opinor ab Ione, concinnatore Rhapsodóque, ostendi potest. Est ne verò credibile ab Homero comæ studio eum commendari, quem in eodem opere alteri eiusmodi elegantiæ, ac ornatui nimis addicto

A τεῖναι. ἤκουσα, φησὶν, ἡ Θεὸς ὄπισθεν αὐτοῦ, τῆς κόμης ἐλάβετο. ἀλλὰ κἂν ἐμοῦ τις, ἀλλὰ κἂν αὐτοῦ Σωκράτους, κἂν τοῦ γεραιτάτου τῶν Ἑλλήνων ὄπισθεν λάβοιτο. ἐκεῖ γὰρ ἡμῖν ὑπολείπεται τὰ τῆς ἐπικήρου φύσεως σύμβολα. οὐ γὰρ οὔτε ἀνθρώπινόν ἐστιν, οὔτε δαιμόνιον ἀγαθὸν, ἀλλὰ θείας ἄντικρυς καὶ μοίρας, καὶ φύσεως, εἰς τὸ παντελῶς ἀπηλλάχθαι τῆς πρὸς τὸ θνητὸν κοινωνίας.

Στῆ δ' ὄπιθεν, ξανθῆς δὲ κόμης ἕλε Πηλείωνα.

ἵνα λάβοιτο τῆς κόμης, ὄπισθεν ἔστη, ὡς οὐκ οὔσης
B ἐκ τοῦ προσθίου λαβῆς. ὅλως δὲ ἀγαθὸν μὲν οὐδὲν ὑπὲρ φύσεως τῶν τριχῶν ἔνι τῷ Δίωνος λόγῳ· καί τοί γε, εἴπερ ἦν ἐν τῷ πράγματι, Δίων ἂν ἐξεῦρεν αὐτὸ, καὶ εἰ σμικρὸν ἦν, Δίων ἂν αὐτὸ μέγιστον ἔδειξεν, ὃς καὶ νῦν οὕτω πόῤῥωθεν ἐξευρίσκει μὲν Λακεδαιμονίους οὐδὲν ὄντας πρὸς ἔπος ἥκειν, ὅσα γε καὶ ἄλλῳ δοκεῖν· Ομήρου δὲ ἐξαψάμενος, ὥσπερ ἱερᾶς ἀγκύρας ἔχεται, μέχρι τελευτῆς τοῦ βιβλίου. οὕτω δὲ ἀδίκως πάνυ καὶ ῥητορικῶς χρῆται τῷ λόγῳ, ὥστε νῦν μὲν ἀπέκοψεν, ὥσπερ νόμου τοῦ στίχου· ἑτέρωθι δὲ, οὐκ ὄντων
C στίχων ὡς ὄντων μέρη μαρτύρεται. Εκτορος γὰρ ἄντικρυς καταψεύδεται, μᾶλλον δὲ Ομήρου τὰ περὶ Εκτορος, τάχα δὲ καὶ Ομήρου καὶ Εκτορος. ὁ μὲν γὰρ παραδέδοται τὰ περὶ τὴν κουρὰν ὁμοιότατα πάνυ σώφροσι διακείμενος, καὶ δείκνυσιν ὁ τἀληθέστατα περὶ τῶν Ηρώων συγγεγραφὼς, ἅτε οἶμαι τῶν μὲν συστρατιώτης γενόμενος, ἐπὶ δὲ τοὺς στρατευσάμενος, ὃς αὐτὰ ταῦτά φησι περὶ Εκτορος. Εἴτε εἰς Ιλιον γέγονας, εὐθὺς εἰσιόντι πᾶς Ιλιεὺς ἡγεῖται τὸν ἐπὶ τὸν νεὼ τὸν Εκτόρειον, οὗ τὸν
D ἀνδριάντα πρόχειρον μὲν ἰδεῖν· ἐπέρχεται δὲ τοῖς ἰδοῦσιν εἰπεῖν, ὡς ἐπ' ἐκείνου κατεσκευάσθη τοῦ σχήματος, ὥσπερ ἔχων ὠνείδισε τἀδελφῷ τὸ κάλλος τὸ ἐπιποίητον, τὴν τῶν τριχῶν ἐπιμέλειαν· ἃ δὲ γέγραφεν ὡς Ομήρῳ περὶ Εκτορος εἰρημένα.

Αμφὶ δὲ χαῖται Κυάνεαι πεφόρηντο.

δειξάτω τις οὗ κεῖται τῆς Ομήρου Ραψῳδίας. ἀλλ' οὐδ' ἂν Ιωνα δοκῶ τὸν Ραψῳδὸν ἐξευρήσειν. πῶς δ' ἂν Ομηρος κομήτην ἐποίησεν, ὃν εἰσήγαγεν εἰς τὴν ποίησιν ἑτέρῳ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καλλωπιστῇ λοιδορούμενον· ὅμοιον εἰ καὶ Φιλέας Ἀνδοκίδην ἱεροσυλίας ἐγράψατο, ὥσπερ οὐκ αὐτὸς ὢν ὁ τῆς Θεοῦ τὸ Γοργόνειον ἐξ ἀκροπόλεως ὑφελόμενος. οὕτως ἔχει (A) καὶ τὰ κατὰ τόνδε τὸν ἥρω. εἰ δὲ κάρη ξανθὸς ἦν ὁ Μενέλαος, ἀλλ' οὔτι καὶ κομήτης γε ἦν, ὅσα γε ἀπὸ τοῦ λόγου· ἀλλ' οὐδ' ἔπαινος τοῦτο τριχῶν, ἀλλ' ὥσπερ εἶχεν ἐδίδαξεν. οὐ γὰρ ὅ, τι ἂν Ὅμηρος ὀνομάσῃ, τοῦτο τῆς φύσεώς ἐστι τῶν ἐπαινετῶν. Δίωνι δὲ ὑπὲρ εὐπορίας, ταυτὸν ἔοικεν εἶναι μνήμη τριχῶν καὶ ἐγκώμιον, ὅστις οὕτως ἀνδρείως ἐπέθετο, B τὰ μὲν οὐκ ἐνόντα τῇ ποιήσει προσνέμειν, τὰ δὲ ὄντων ἀποστερεῖν αὐτήν, ὥσθ' ἵνα πείσῃ λέγων, ὅτι πρέπει πολὺ μᾶλλον ἀνδράσιν ἢ γυναιξὶν ἡ κόμη, καὶ τῶν θεῶν, φησί, τὰς μὲν θηλείας Ὅμηρος ἄλλως ἐπαινεῖ, βοῶπιν Ἥραν, καὶ Θέτιν ἀργυρόπεζαν· τοῦ Διὸς δὲ μάλιστα ἐπαινεῖ τὰς τρίχας. ἐξεκέκοπτο γὰρ ἴσως αὐτῷ τὸ βιβλίον ἐπῶν ἀγαθῶν καὶ συχνῶν, ὁποῖα ταυτί,

Ἀπόλλωνι ἄνακτι, τὸν ἠΰκομος τέκε Λητώ·
Τὸ θὲς Ἀθηναίης ἐπὶ γούνασιν ἠϋκόμοιο.

C περὶ δὲ τῆς Ἥρας ἐπιβουλευούσης, τὸν Δία κατακοιμῆσαι, τά τε ἄλλα κομμωτίσασθαί φησι τὴν Θεόν, ἐν ᾧ γε μέλει καὶ δεήσεσθαι τοῦ κεστοῦ, ὃς ἄλλα τε πολλὰ δύναται, καὶ μέγιστον ὅτι κλέπτει τῶν ἐχόντων τὸν νοῦν. τότε τοίνυν ἐν ταυτῷ μυραλοιφῆσαί τε αὐτὴν λέγει, καὶ ὅτι

Χαίτας πεξαμένη χερσὶ πλοκάμους ἔπλεξε φαεινούς,
Καλούς, ἀμβροσίους.

ὃ καὶ τοῦ πλήθους τῶν ἐγκωμίων ἄξιον. ἄξιον γε μήν, εἴπερ ὁ λόγος ἐπὶ τὸν Δία. πολ- D λῶν ἄν τις εἴποι τῶν Δίωνι παρεωραμένων· μᾶλλον δὲ ἃ καλῶς ἐκεῖνος εἰδώς, οὐκ εἰδέναι προσεποιήσατο· ἐγὼ δὲ καὶ οἶδα ταυτί, καὶ οὐκ ἄγω γε τὰ ψευδῆ διὰ τὴν ὑπόθεσιν, οὐδ' ἂν συγχωρήσαιμι κομήτην εἶναί τινα τῶν οἰκούντων τὸν οὐρανόν. κοινὸς ὁ λόγος περί τε τῶν ἀρρένων καὶ θηλειῶν· ὡς οὐδέν γε τῆς ἐν ἄστροις Ἀφροδίτης ὁ Ζεὺς ἀκριβέστερος εἰς σφαιρικὴν ἐπιφάνειαν. εἴρηται δὲ οὕτω καὶ περὶ τοῦ Διός, ὃν κορωνίδα τῷ λόγῳ Δίων ἐπέθηκεν· ὡς ἃ Ὁμήρῳ τεθεολόγη-

conuitiantem introduxit? Perinde id futurum erat ac si Andocidem Phileas sacrilegij reum appellasset, quasi non ipse ex Palladio, in arce Gorgonis verticem surripuisset, eiusdem rationis sunt, quæ de hoc Heroe traduntur: etsi verò flauo capite dicatur fuisse Menelaus, non ideo tamen comatum esse necesse est, quantum ex his verbis colligitur. Sed neque laus ista capillitij est, potiúsque quale fuerit significatur. Nec quicquid ab Homero nominatur, id ex genere laudabilium est. Dioni tamen quò vberior sit dicendi materies, idem esse videtur capillorum cum mentione, commendatio: qui B ita strenuè rem aggressus est, vt aliena quædam operi poëtico adiūgeret, germana, propriáque separaret. Itaque vti dicendo persuadeat, comam viros, quàm mulieres magis decere, Deabus, inquit, Homerus aliud potius laudum genus accommodat, rotundis atque amplis oculis conspicuam Iunonem, talis argenteis insignem Thetidem appellans, Iouis vero ex Cæsarie præcipua laus. Mutilus enim ei fortassis codex fuit quamplurimis iisque pulcherrimis versibus detruncatis; Qua[...] hi sunt

Phœbo quem pulchr[...]peperit Latona capillis.
&, *Quem tu pulchricomæ in gre[...] depone Mi-*
C *neruæ.*

De Iunone insuper Iouem vt [...]et insidias moliente loquens, cum alia [...]ta [...]mæ lenocinia adhibuisset deam ait, cum & Cesto opus ei futurum esset, cuius præter cæteras vis hæc potissima, mentem iis qui ea præditi sunt, posse subripere. Tum vnà igitur & vnguento delibutam facit, & crinem, inquit,

Pexa manu, rutilos intorquet Diua capillos
Pulchros, ambrosios.

Quod & præconiorum multitudine di- D gnum; vt est certè dignum, quoniam Iouis in laudem cedit oratio: Multa hoc loco dici possunt à Dione neglecta, vel potius quæ cùm ille probè nosset, quasi nesciret, dissimulauit: Mihi verò & hæc prospecta sunt, & falsum nihil à me ad propositum dictum est; neque vllum inter eos qui in cœlo degunt comatum esse concesserim: Eadem marium, atque fœminarum ratio est. Etenim Iuppiter non est Veneris stella, quod ad Sphæricam superficiem attinet, perfectior. Ita verò etiam de Ioue dictum est, quem velut Coronidem orationi suæ imposuit Dio. Nimirum quæ de Diis ab Homero tradita

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A ſunt, ex opinione multa hominum, pauca ex rei veritate dicta. Ac vnum eorum, quæ ex opinione dicuntur eſt agitata Iouis cæſaries, cœlúmque ipſum vnà concutiens: id quod vulgo & ſtatuariis indulſit. Quamobrem Ioue & Lacedæmoniis remotis nulla iam Dionis orationi reliqua pars eſt. Quæ quamlibet ſuppetant, nihil tamen, vt mox dicebamus, de natura capillorum dixit, quæ per ſeſe excogitaſſet,, aut ex illis ipſis arceſſiuiſſet: non quid tandem ij ſunt, aut cuiuſmodi aperuit; non iis aut bonum eſſe qui habeant, aut malum eſſe qui careant comprobauit. Noſtra autem hæc oratio in ipſas rerum naturas inquirens, caluitium quidem diuinam eſſe rem, Diiſque ipſis cognatam eſſe reperit, naturæque finem, ac Dei illius quo ſapimus templum, ſigillatim infinita alia corporis animíque bona percenſens, quomodo ſe habeant, & cuius rei gratia. Nec quicquam abſque luculenta, & illuſtri ratione propoſitum eſt. Capillis verò contraria ineſſe omnia deprehenſum eſt, rationis inopiam, animalia, ac quicquid aliud contrariæ Deo ſortis eſt. Deprehenſum item eſt ariſtas eas quaſdam animalia eſſe, & integumenta velut frugum, naturæ ludicra, ſiue materiæ imperfectæ, ac rudis eruptiones. Sed iam è re noſtra futurum arbitror, ſi homines eiuſmodi ſecundum genus ipſum, ac ſtudia diſtinguamus, quos & hæc noſtra, & alterius commendauit oratio. Igitur à comæ ſtudioſis adulteri ſunt. Homerus enim puellarum deceptorem comæ nitidioris amantem facit; quaſi ad mulierum corruptelam coma exornaretur: & adulter is ipſe eſt, adulterorúmque omnium facilè princeps, in quem probroſum iſtud conuitium iactatur. Vnum verò genus hominum maximè ſuſpectum eſt, intráque muros omnium eiuſdem generis infeſtiſſimum. Nam pro quibus nos ne vim patiantur facta expeditione periclitamur, natis, inquam, & vxoribus, eaſdem, ſi caſus tulerit, adoleſcens aliquis elegantioris cultus quocumque libuerit terrâ marique raptus facilè abduxerit, aut ni terra marique, at angulo aliquo tenebriſue potietur. Atqui bello capta vxore eadem in coniuge charitas perſeuerare poteſt, ab adultera autem omnis eſt primùm è virorum animis ſublata beneuolentia:

A ται, τὰ μὲν πολλὰ πρὸς δόξαν ἐστὶν, ὀλίγα δὲ πρὸς ἀλήθειαν· ἓν δή τι καὶ τοῦτο πρὸς δόξαν ἐστὶν, αἱ ῥωννύμεναι τρίχες ἀπὸ τῆς κεφαλῆς τοῦ Διὸς, καὶ συγκινοῦσαι τὸν οὐρανὸν, ὃ τοῖς πλήθεσι καὶ τοῖς ἀγαλματοποιοῖς συνεχώρησεν. Ομήρου τοίνυν καὶ Λακεδαιμονίων ἐξῃρημένων, οὐδὲν ἔτι μέρος ὑπολείπεται τοῦ λόγου τοῦ Δίωνος· ἀλλὰ καὶ τούτων προσόντων, ὅπερ ἐλέγομεν, οὐκ ἔσθ' ὅ, τι καὶ περὶ φύσεως εἴρηκε τῶν τριχῶν, οὔτ' οἴκοθεν ἐξευρὼν, οὔτε παρὰ τούτων λαβών· οὐχ ὅ, τι ποτέ εἰσιν εἶπεν, οὐχ ὁποῖον ἐδίδαξεν, οὐχ ὡς B ἀγαθόν εἰσιν, οἷς ἂν ὑπάρξωσιν ἔδειξεν, οὐχ ὡς κακὸν οἷς οὐ πάρεισιν· ὁ δὲ λόγος οὑτοσὶ αὐτὰς τὰς περὶ μὲν τὰς οὐσίας ἐξητακὼς, φαλάκραν μὲν θεῖον οὖσαν ἐξεῦρε, καὶ τοῦ θείου συγγενῆ, καὶ τέλος τῆς φύσεως, καὶ σηκὸν ἀτεχνῶς τοῦ φρονοῦντος Θεοῦ, ἄλλα μυρία καὶ περὶ σῶμα καὶ ψυχὴν ἀγαθὰ, καθ' ἕκαστον ἐπεξιὼν, ὅπως τε ἔχει, καὶ διὰ τί· ὡς οὐδὲν ὅ, τι καὶ δίχα λαμπρᾶς αἰτίας προσήνεγκε, θριξὶ δὲ πέφηνεν ἅπαντα τἀναντία τούτων ὑπάρχοντα, ἀλογία, καὶ ζῷα, καὶ πᾶν ὅ, τι C τῆς ἐναντίας τοῦ θεοῦ μερίδος ἐστί. πεφήνασιν ἀθέρες τινὲς οὖσαι τοῦ ζώου, καὶ περικάρπια παίγνια φύσεως, ὕλης ἀτελοῦς ἐξανθήματα. προσήκειν δ' οἶμαι κατὰ γένος τε καὶ κατ' ἐπιτήδευμα διελέσθαι τοὺς ἄνδρας, οὓς ὅδε τε κἀκεῖνος ὁ λόγος ἐνεκωμίασεν. οὐκοῦν ἀπὸ μὲν τῶν φιλοκόμων, εἰσὶν οἱ μοιχοί. καὶ γὰρ Ομηρος ἐχόμενον τοῦ κέρα ἀγλαοῦ τὸν παρθενοπίπην ἐποίησεν, ὡς ἐπὶ διαφθορᾷ γυναικῶν ἠγλαϊσμένης τῆς κόμης· καὶ μοιχός ἐστιν αὐτὸς οὗτος. τὰ κράτιστα μὲν οὖν τῶν μοιχῶν, εἰς ὃν ἀπέρριπται τοὔνειδος. ἓν μὲν D δὴ τοῦτο γένος ἐπιβουλότατον, καὶ εἴσω τοῦ τείχους τῶν ὁμοφύλων πολεμιώτατον. ὧν γὰρ, ἵνα μὴ βιασθεῖεν, προκινδυνεύομεν στρατευόμενοι, θυγατέρων λέγω καὶ γυναικῶν, ταύτας ἂν οὕτω τύχῃ μειράκιον ὑπέρτρυφον ἄγει λαβὸν οἷ γῆς καὶ θαλάττης βούλεται· εἰ δὲ μὴ γῆς, ἢ θαλάττης, ἀλλὰ γωνίας, ἢ σκότου. καί τοι δορυαλώτου μὲν γυναικὸς, κἂν ἡ γνώμη τῷ γεγαμηκότι συμμείνειεν· ὁ δὲ μοιχὸς αὐτὸ τοῦτό ἐστιν, ὃ καὶ πρῶτον ἐσύλησε τῆς ψυχῆς τοῦ συνῳκηκότος τὴν εὔνοιαν·

ὥστε

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὥστε μὴ ἐξ ἡμισείας τἀνδρὶ γεγονέναι τὴν τοῦ γυναίου ζημίαν. εἰκότως οὖν ἐπ' αὐτοῖς, οἱ μὲν νόμοι τοὺς δημίους ὁπλίζουσιν· οἱ δὲ κηπουροὶ, τὰς Ἀττικὰς ῥαφανίδας φυτεύουσιν, αἷς εὐθὺς ἐπειδὰν ἁλῷ τις, τιμωρείας ἀπάρχονται. ἓν μὲν δὴ τοῦτο τοιοῦτο γένος, ὃ συχνὰς μὲν οἰκίας ἀναστάτους ἐποίησεν, ἐνίας δὲ ἤδη καὶ πόλεις· καὶ τοῦ συρράξαι τὰς ἠπείρους ἀλλήλαις, καὶ διαβιβάσαι τοὺς Ἕλληνας ἐπὶ τὰ Πριάμου σκῆπτρα, μοιχεία γέγονε πρόφασις. ἕτερον δὲ ὃ τούτου πολὺ χεῖρόν ἐστι, τοῦ τὸν Ἀλέξανδρον ἡμῖν ἀναδείξαντος, ὅθεν οἱ Κλεισθένεις καὶ Τίμαρχοι, καὶ πάντες οἱ πρὸς ἀργύριον τὴν ὥραν διατιθέμενοι, καὶ εἰ μὴ πρὸς ἀργύριον δὲ, ἀλλὰ πρὸς ἄλλο τι, καὶ εἰ μὴ πρὸς μηδοτιοῦν, ἀλλὰ διὰ τὴν ἐξάγιστον ἡδονὴν, καθάπαξ οἱ θηλυδρίαι, τριχοπλάσται πάντες εἰσίν. ἀλλ' οἱ μὲν ἐπὶ τῶν οἰκημάτων ἄντικρυς οὗτοι· καί τοι νικᾶν νομίζουσιν, ὡς ταύτῃ μάλιστα τὸ θῆλυ τοῦ γένους ἐκμιμησόμενοι· ὅστις δὲ λάθρα μὲν ἐστὶ πονηρὸς, δημοσίᾳ δὲ κἂν ἐξομόσαιτο, καὶ οὐδὲν ἄλλο παρέχεται γνώρισμα τοῦ θιασώτης εἶναι τῆς Κότυος· ἀλλ' εἰ μόνον ἓν τοῦτο φανείη, περὶ πλείστου τὰς τρίχας ποιούμενος, ὡς ἐναλείφειν τε αὐτὰς καὶ διατιθέναι κατὰ βοστρύχους, εὐθὺς ἅπασι πρόχειρον λέγειν, ὅτι ἄνθρωπος οὗτος τῇ Χίων θεῷ καὶ τοῖς Ἰθυφάλλοις ὠργίακεν. ὁ μὲν γὰρ Φερεκύδης θοἰμάτιον ἐπηλυγασάμενος, χρῶτι δῆλον ἔφη, καὶ δακτύλῳ τὴν νόσον ἐδείκνυε· παθηκότα δὲ μειράκιον ταῖς θριξὶ σημαινόμεθα. εἰ δὲ καὶ ἡ παροιμία σοφὸν, πῶς δὴ οὐχὶ σοφὸν, περὶ ὧν Ἀριστοτέλης φησὶν, ὅτι παλαιᾶς εἰσι φιλοσοφίας, ἐν ταῖς μεγίσταις ἀνθρώπων φθοραῖς ἀπολομένης ἐγκαταλείμματα περισωθέντα διὰ συντομίαν καὶ δεξιότητα; παροιμία δὴ καὶ τοῦτο καὶ λόγος ἔχων ἀξίωμα τῆς ὅθεν κατηνέχθη φιλοσοφίας τὴν ἀρχαιότητα, ὥστε βλοσυρὸν ἐπιβλέπειν αὐτῇ. πάμπολυ γὰρ οἱ πάλαι τῶν νῦν εἰς ἀλήθειαν εὐστοχώτεροι. τίς οὖν πότ' ἐστὶν ἥδε, καὶ τί βούλεται,

—οὐδεὶς κομήτης ὅστις οὔ.

Τὸ δὲ ἀκροτελεύτιον, αὐτὸς σὺ πρὸς τὴν ἠχὼ τοῦ τριμέτρου συνάρμοσον. οὐ γὰρ ἔγωγε φθέγξομαι τὸ δεινὸν ἐκεῖνο καὶ πρᾶγμα, καὶ ὄνομα. εὖγε ὅτι συνήρμοσας. πῶς οὖν, τί σοι φαίνεται;

adeò vt non dimidiata viris sit vxorum iactura, meritòq; legibus in eos armentur carnifices, Olitores verò Atticos raphanos ferant, quibus simul deprehensus est aliquis, in eum animaduertunt. Vna hæc itaque est hominum natio, quà infinitæ subuersæ sunt familiæ, nonnullæque itidem ciuitates, eadémque adulterij occasio continentes duas collatis inter se signis commisit, & Græcos ad expugnanda Priami sceptra concitauit. Est autem altera multò quàm illa deterior, qua Alexandrum nobis adulterij nomine fecit infamem, vnde Clisthenæ, & Timarchi primùm celebres, cæterique, quibus vænalis argento sui corporis species, aut nisi argento, alia tamen aliqua re, vel si nulla prorsus, at execrandæ saltem libidinis gratia: vnóque verbo effœminati omnes fucato comæ nitore gaudent. Ac palàm quidem ij qui in lupanari prostant: Quanquam hi sese victores putent, quasi hoc maximè modo muliebre genus imitari possint. Qui autem clàm nequissimus est, palàm tamen vel ipsum facinus eiurauerit, nec alio Cotyttonis sese sacrorum participem, ac sodalem esse indicio demonstrat, si hoc solùm deprehendatur, capillos ab eo magni fieri, vt delibutos habere velit, & in cincinnos intorqueat, hoc statim obuium dictu cuiuis est, hominem eum Chiorum deæ, ac Ithyphallorũ Orgia celebrasse. Enimuerò Pherecydes veste faciem obumbrãs, de cute, aiebat, manifestum est, digitóque morbum indicabat. Nos verò adolescentem pathicorum modo, muliebria appetentem capillis significamus. Quòd si sapiens dictum Prouerbium est, Quidni enim sapiens sit, cùm de iis ita sentiat Aristoteles vetustioris philosophiæ in maximis horum ruinis intercidentis, reliquias esse, & monumenta ob breuitatem ac scitam elegantiam seruata? Prouerbium igitur hoc est, sententiáque, cuius dignitas ab eiusdem ipsius est, vnde emanauit, vetustate philosophiæ, adeò vt graui ea trucique sit aspectu. Multò siquidem veteres nobis in veritate indaganda solertiores. Quódnam ergo istud prouerbium est?

---- *Nullus comatus, qui non.*

Tu porrò ad trimetri sonum extremum carminis accõmoda. Neq; enim ego grauem istam rem, noménve vnquam pronunciauero. Rectè sanè, quãdo tu ipse accommodasti. Ecquid igitur tibi videtur?

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Papæ! O miram veritatem! Oraculum proculdubiò est. Porrò huius veritas per se quidem iam tum manifesta est: at quàm multos habet testes, tam eos qui nunc vtuntur, quam qui olim vsi sunt. Quod enim immortalia facit prouerbia illud ipsum est, *Vsus eorum qui hæc vsurpant assiduus*, quos in memoriam reuocant res ipsæ. Nam quæ quotidianis euentibus obseruantur, in testimonium adducunt, ipsique exemplis testimonio sunt. Verùm quamuis ista sese hoc modo habeant, nihilominus Dio comæ patrociniũ admirabili quadam oratione edidit. Quid ergo Platone id euincente opus est, cùm Rhetorice fucandi, lenociniique aptandi ars ab eo oratore sit effecta? Non tu verò credideris capillorum tinctrices multò amabiliores, ac gratiores comas reddituras, homine lingua Græco in Theatro rem eiusmodi commendante? Magnas verò, vt opinor, gratias pro hac oratione habituri sunt, qui in Cybeles sacris versantur, elumbes, fractique homines, & quisquis iniquis oculis vicini vxorem intuetur, quorum vniuscuiusque caput, quasi vnguento, ita oratione perfudit: Magni enim fieri oportet, quod publicè laudatur ac honore afficitur: præsertim si is nominis gloriam insignem habeat, qui laudandum id susceperit: Nobis itaque ille in ciuitate perditissimorum hominum numerum auctiorem redditurus est: Caluitium autem quæ tandem illis altera ex parte opponit hominum genera? Quinam à nobis adulterorum loco viri laudati sunt? Ij nempe ex quibus in deorum templis sacerdotes, Antistites, ædituique fiunt, in literariis ludis præceptores ac pædagogi, in militari acie, si integræ sint, rectéque se habeant res, Imperatores, atque ordinum ductores: Vbique verò qui sagacitate, ac prudentia cæteris antecellere à plebe existimantur. Ego verò cantorem eum arbitror, cui Clytæmnestræ ab Agamemnone cura commissa est, ex nostro fuisse genere, Comato enim haud vnquam mulierem ex infami familia concredidisset. Prætereà magnum sermoni nostro confirmando à pictoribus indicium præbetur, si ad Archetypum atque exemplar non pingant, sed ab aliquo iisdem permittatur, vt formam studio, ac moribus excogitent vniuscuiusque consentaneam. Nam si quis mœchum, aut Cinædum in

βαβαὶ τῆς ἀληθείας! χρησμὸς ἄντικρυς. δήλη μὲν δὴ καὶ αὐτόθεν· ἀλλὰ καὶ ὅσους ἐφέλκεται μάρτυρας, τούς τε νῦν χρωμένους αὐτῇ, καὶ τοὺς ὅσοι προλαβόντες ἐχρήσαντο. τὸ γὰρ ἀπαθανατίζον τὰς παροιμίας, αὐτὸ τοῦτό ἐστιν ἡ συνέχεια τῶν χρωμένων, οὓς ἐφ' ἑαυτῶν ὑπομιμνήσκει τὰ πράγματα. ὁρώμενα γὰρ ἐπὶ τῶν ἑκάστοτε συμβαινόντων μαρτύρονται, καὶ μαρτυροῦσι τοῖς παραδείγμασιν. ἀλλὰ καίπερ τούτων οὕτως ἐχόντων, Δίων θαυμαστόν τι ὑπὲρ κόμης λόγον ἐξήνεγκε. τί οὖν ἔτι δεῖ Πλάτωνος ἐξελέγχοντος, ὁπηνίκα κομμωτικὴν ἄντικρυς ὁ ῥήτωρ ἀπέφηνεν τὴν ῥητορικήν; ἢ σὺ δοκεῖς τὰς τριχοβαφίας ἐρασμιωτέρας ἂν ἀποφῆναι τὰς τρίχας ἀνδρὸς Ἕλληνος, τὴν φωνὴν ἐπὶ θεάτρου τὸ κτῆμα ὑμνήσαντος; πολλὴν οἶμαι τοὺς ἐν τοῖς Κυβελίοις αὐτῷ τοὺς κατεαγότας ὑπὲρ τοῦ λόγου χάριν εἰδέναι, καὶ ὅστις ἀδίκοις ὀφθαλμοῖς ὁρᾷ τὴν τοῦ γείτονος, ὧν ἑκάστου τὴν κεφαλὴν ὥσπερ μύρῳ τῷ λόγῳ κατήντλησε. ζηλοῦσθαι γὰρ ἀνάγκη τὸ δημοσίᾳ τιμώμενον, ὅταν μάλιστα τύχῃ δόξαν ἔχων ὁ τοὺς ἐπαίνους διατιθέμενος. οὗτος μὲν οὖν κἂν αὐξήσειεν ἡμῖν ἐν τῇ πόλει τὸν τῶν ἐξωλεστάτων κατάλογον· φαλακρὰ δὲ ἄρα ποῖα ἄττα γένη τούτοις ἀντιπαρέχεται; τίνας ἡμεῖς ἄνδρας ἀντὶ μοιχῶν ἐπῃνέσαμεν; ἀφ' ὧν εἰσὶν ἐν μὲν τοῖς τεμένεσι τῶν θεῶν ἱερεῖς, καὶ προφῆται, καὶ ζάκοροι. ἐν δὲ τοῖς διδασκαλείοις διδάσκαλοι καὶ παιδαγωγοί· στρατιωτικῶν δὲ ταγμάτων ἐν ὑγιαίνουσι πράγμασιν, οἱ στρατηγοί τε καὶ οἱ ταξίαρχοι· ἁπανταχοῦ δὲ οἱ πλεῖον νοῦ ἔχειν ὑπὸ τῶν πολλῶν ἀξιούμενοι. οἶμαι δὲ ἐγὼ καὶ τὸν ἀοιδὸν, ὃν Ἀγαμέμνων τῇ Κλυταιμνήστρᾳ μελεδωνὸν ἀπολέλοιπε, τοῦ καθ' ἡμᾶς εἶναι γένους. κομήτῃ γὰρ οὐκ ἄν ποτε γύναιον ἐκ διαβεβλημένης οἰκίας ἐπίστευσε. μέγα δὲ καὶ οἱ ζωγράφοι παρέχονται τῷ λόγῳ τεκμήριον, ὅταν μὴ πρὸς ἀρχέτυπον γράφωσιν, ἀλλ' ἐπ' αὐτοῖς τις προσποιήσηται μορφὴν ἐξευρεῖν ἐπιτηδεύματι πρέπουσαν. τούτοις γὰρ ἂν μέν τις ἐκδῷ μοιχὸν, ἢ κίναιδον ἐν

πίνακι γράψαι, κομήτην ὑπολαβὼν ἀπέχει τοὐπίταγμα· ἂν δὲ φιλόσοφον ἐπαγγείλῃς ἢ ζάκορον, μέλλει τις ἑστάναι φαλακρὸς ὑπόσεμνος ἐν τῷ πίνακι. τοῦτο γάρ ἐστι τοὐπίσημον τοῦ νομίσματος. φιλοσόφοις οὖν καὶ ἱερεῦσι, καὶ τοῖς σωφρονικοῖς ἅπασι γένεσιν ἐχαρισάμην τὸν λόγον, ᾧ τά τε πρὸς τὸ θεῖον εὐσέβηνται, τά τε πρὸς ἀνθρώπους εὖ συμβεβούλευται. κἂν μὲν ἐξενεχθεὶς εἰς τὸ κοινὸν, εὐδοκιμήσῃ παρὰ τοῖς πλήθεσιν, ὥστ' ἤδη τοὺς φιλοκόμους αἰσχυνθέντας, αὐτοὺς μὲν ἐπιτηδεῦσαι μετριωτέραν κουρὰν καὶ σώφρονα· μακαρίσαι δὲ οἷς ὑπάρχει μηδὲ δεῖσθαι κουρέως, οὐκ ἐμοὶ χάριν ὑπὲρ τούτων ἰστέον· ἀλλ' ἔστω καὶ τοῦτο τῆς ὑποθέσεως, δι' ἣν ὁ φαυλότατος εἰπεῖν παρὰ τὸν ἄριστον εἶναι ὡς ἔδοξεν. Εἰ δὲ μὴ πείθω λέγων, ἐνταῦθα τις ἂν τοὐμὸν αἰτιάσαιτο, ὅτι μηδὲ μετὰ τῶν πραγμάτων ἀντέχοι ψιλῇ τῇ χάριτι Δίωνος· εἴη δὲ τῆς τῶν πολλῶν ὠφελείας εἵνεκα καὶ τόνδε τὸν λόγον ἀνειλῆφθαι ταῖς χερσίν.

A Tabella pingendum locauerit, Crinitum aliquem ac cincinnatum accipiens, habet quod præceperat. Sin philosophum, aut Sacerdotem locaueris, caluus in tabella stabit, authoritatis ac grauitatis aliquid prę se ferens. Eiusmodi enim est numi huius insigne. Quamobrem de philosophis, sacerdotibus, temperantibúsque omnibus benè sum hac oratione meritus, in qua & religiosè quæ ad deos attinent tractantur, & hominibus optimo consilio subuenitur. Quòd si publicata apud vulgus gloriam ac splendorem adepta fuerit, ita vt comæ studiosi pudore affecti ad temperationem modestiorémque tonsuram seipsos traducant, eósque beatos prædicent, B quibus neque tonsore opus est, mihi quidem gratiæ pro his nullæ debentur, sed materiæ id acceptum ferendum est, per quam is etiam, qui ad dicendum ineptissimus est, cum eloquentissimo homine collatus non contemnendus visus est. Sin nemini hac oratione persuadeo, meritò id mihi aliquis vitio vertet, qui vel materiæ vbertate fretus, nudæ Dionis eloquentiæ gratiæque resistere non potuerim. Vtinam verò hæc in plurimorum vtilitatem nobis assumpta in manus fuerit oratio.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

SYNESII DE PROVIDENTIA LIBER, siue Ægyptius.

PRÆFATIO.

A SCRIPTA quidem sub Tauri filiis prima huius operis pars, & adusque lupi Ænigma perlecta, quo potissimum tempore is qui deterior erat, excitata seditione præualebat. Quod autem sequitur de iis, quæ post reditum acta sunt, priori illi adtexuimus, flagitantibus optimis viris, ne mutilum, ac mancum opus in sola calamitatum narratione consisteret; sed quandoquidem quæ à Deo prædicta erant in eadem materia consummari videbantur, vnà & meliorem illorum fortunam persequeremur. Itaq; meditata iam, & inchoata tyrannidis euersione vnà cum rebus ipsis progressa est Oratio. Operæ pretium est autem id in ea impensius admirari, tam diuersis propositis eiusdem rei tractationem sufficere potuisse. Etenim infinita propemodum dogmata à nemine in hunc vsque diem definita in hoc figmento considerationis locum habuerunt, singuláque sunt accurratè discussa: Vitæ insuper in eo describuntur, quæ vitij esse possunt ac virtutis exempla, præsentiúmque rerum in hoc opere historia continetur, & ad vtilitatem perpetuò fabulæ huius varietas accommodatur.

ΣΥΝΕΣΙΟΥ ΛΟΓΟΣ ΠΕΡΙ ΠΡΟΝΟΙΑΣ, ἢ Αἰγύπτιος.

γρ. Αἰγύπτιοι, ἢ περὶ προν.

ΠΡΟΘΕΩΡΙΑ.

A ΓΕΓΡΑΠΤΑΙ μὲν ἐπὶ τοῖς Ταύρου παισί, καὶ τό γε πρῶτον μέρος, τὸ μέχρι τοῦ κατὰ τὸν λύκον αἰνίγματος ἀνεγνώσθη, καθ' ὃν μάλιστα χρόνον ὁ χείρων ἐκράτει τῇ στάσει περιγινόμενος· προσυφάνθη δὲ τὸ ἑπόμενον μετὰ τὴν κάθοδον, τῶν ἀρίστων ἀνδρῶν αἰτησάντων μὴ κολοβὸν ἐπὶ τῶν ἀτυχημάτων μεῖναι τὸ σύγγραμμα, ἀλλ' ἐπειδὴ τὰ προηγορευμένα κατὰ Θεὸν ἐδόκει περαίνεσθαι ἐπὶ τῆς αὐτῆς ὑποθέσεως, καὶ ταῖς βελ-
B τίοσιν αὐτῶν τύχαις ἐπεξελθεῖν. πραττομένης οὖν ἤδη τῆς τυραννικῆς καθαιρέσεως, συμπαρῆλθεν ὁ λόγος τοῖς πράγμασιν. ἄξιον δὲ ἐν αὐτῷ διαφερόντως θαυμάσαι, τὸ πολλαῖς ὑποθέσεσιν ἀρκέσαι τὴν μεταχείρησιν. καὶ γὰρ δόγματα συχνὰ τῶν μέχρι νῦν ἀδιακρίτων, χώραν τε εὗρε σκέψεως ἐν τῷ πλάσματι, καὶ ἕκαστα διηκρίβωται, καὶ βίοι γράφονται κακίας καὶ ἀρετῆς ἐσόμενοι παραδείγματα, καὶ τῶν παρεστώτων πραγμάτων ἱστορίαν
C ἔχει τὸ σύγγραμμα, καὶ διὰ πάντων ὁ μῦθος εἴργασται πρὸς τὸ χρήσιμον ποικιλλόμενος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A

ΑΙΓΥΠΤΙΟΣ, Η ΠΕΡΙ ΠΡΟΝΟΙΑΣ.

ΛΟΓΟΥ ΤΜΗΜΑ Α.

Ὁ ΜΥΘΟΣ Αἰγύπτιος. περιττοὶ σοφίαν Αἰγύπτιοι. τάχ' οὖν ὅδε καὶ μῦθος ὤν, μύθου τι πλέον αἰνίττοιτο, διότι ἐστὶν Αἰγύπτιος. εἰ δὲ B μηδὲ μῦθος, ἀλλὰ λόγος ἐστὶν ἱερός, ἔτι ἂν ἀξιώτερος εἴη λέγεσθαί τε καὶ γράφεσθαι. Ὄσιρις καὶ Τυφὼς, ἤστην μὲν ἀδελφώ, καὶ ἀπὸ τῶν αὐτῶν ἐγενέσθην σπερμάτων. ἔστι δὲ οὐ μία ψυχῶν καὶ σωμάτων συγγένεια. οὐ γὰρ τὸ τοῖν αὐτοῖν ἐπὶ γῆς ἐκφῦναι γονέοιν, τοῦτο προσήκει ψυχαῖς, ἀλλὰ τὸ ἐκ μιᾶς ῥυῆναι πηγῆς. δύο δὲ ἡ τοῦ κόσμου φύσις παρέχεται· τὴν μὲν φωτοειδῆ, τὴν δὲ ἀειδῆ· καὶ τὴν μὲν χαμόθεν ἀναβλύζουσαν, ἅτε ἐρριζωμένην κάτω ποι, καὶ τῶν τῆς γῆς χηραμῶν ἐξαλλομένην, C εἴ ποι τὸν θεῖον νόμον βιάσαιτο· ἡ δὲ τῶν οὐρανοῦ νώτων ἐξῆπται. καταπέμπεται μὲν γὰρ, ἐφ' ᾧ κοσμῆσαι τὴν περίγειον λῆξιν· ἐπιτάττεται δὲ κατιοῦσα διευλαβηθῆναι, μὴ ἐν ᾧ κοσμεῖ καὶ τάττει τὸ ἄτακτον καὶ ἀκόσμητον, αὐτὴ πελάζουσα αἴσχους τε καὶ ἀκοσμίας ἀναπλησθῇ. κεῖται δὲ Θέμιδος νόμος ἀγορεύων ψυχαῖς, ἥ τις ἂν ὁμιλήσασα τῇ τῶν ὄντων ἐσχατιᾷ τηρήσῃ τὴν φύσιν, καὶ ἀμόλυντος διαγένηται, ταύτην δὴ τὴν αὐτὴν ὁδὸν αὖθις ἀναρρυῆναι, καὶ εἰς τὴν οἰκείαν ἀναχυθῆναι πηγήν, ὥσπερ γε καὶ τὰς ἐκ τῆς ἑτέρας μερίδος D τρόπον τινὰ ἐξορμησαμένας, φύσεως ἀνάγκῃ εἰς τοὺς συγγενεῖς αὐλισθῆναι κευθμῶνας,

Ἔνθα φόνος τε κότος τε καὶ ἄλλων ἔθνεα κηρῶν,
Ἄτης ἐν λειμῶνι κατὰ σκότος ἠλάσκουσιν.

Αὕτη ψυχῶν εὐγένεια καὶ δυσγένεια, καὶ γένοιτ' ἂν οὕτω συγγενεῖς εἶναι Λίβυν ἄνδρα καὶ Παρθυαῖον, καὶ γένοιτ' ἂν οὕτως οὓς καλοῦμεν ἡμεῖς ἀδελφούς, κατὰ μηδὲν εἶναι τῇ ψυχῶν συγγενείᾳ προσήκοντας. ὅπερ ἐπὶ τοῖν Αἰγυπτίοιν παίδοιν, εὐθύς τε

SYNESII ÆGYPTIVS, SIVE DE PROVIDENTIA.

SECTIO PRIMA.

AEGYPTIORVM hæc fabula est, quorum eximia, & singularis est sapientia: forsitan ergo & hæc fabula cùm sit, quoniam ab Ægyptiis profecta est, fabulâ nihilominus ampliùs quid, maiúsque significabit: Si verò non illa quidem fabula, sed sacer potiùs sermo sit, eo dignior fuerit, quæ scriptis hominum & sermone commendetur. Osiris & Typho fratres quidem olim fuerunt, & ex eodem semine prognati: at non eadem est animorum, corporúmque cognatio; Nec enim ab iisdem in terra parentibus ortum habere, sed ex eodem fonte deriuari animorum naturæ consentaneum est, quem vniuersi natura duplicem constituit. Est enim lucidus alter clarissimúsque, alter obscurus & tenebris obsitus; Hic ex humo manans erumpit, vtpote infernè quibusdam quasi radicibus depressus, terrenísq; è latebris emergit, si quâ diuinæ legi vim inferre possit. Ille cœli ex humeris dependet, illinc enim ad terrenam hanc sortem administrandam mittitur, proficiscentiq; sedulò cauendum esse præcipitur, ne dum inconditam rerum congeriem concinno ordine digerit, ordinatque, ipse propius sese admouens, dedecore ac indiscreta confusione cumuletur: manétq. hæc Themidis animis omnibus imposita lex, vt quicumque in rerum extremitate versatus, naturam inuiolatam illibatamque seruauerit, is eadem via refundatur: & rursum in eum, vnde ortus est, fontem regeratur, non secus ac qui altera ex sorte quodammodo prodierunt in cognatos secessus, penetraliaque recipi naturæ postulat necessitas

Iræque, & cædes illîc, passimque malorum
Turba frequens, Ates tenebrosa per arua vagatur.

Animorum ista cùm nobilitas est, tum ignobilitas, indéque fieri potest, vt & Libycus homo cum Partho cognatus sit, & in his quos fratres appellamus, animorum nulla sit societas, quod in Ægyptiis fratribus statim ab ortu aliquot

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

indiciis significatum, & in adultis post- A
modùm euidentissimè comprobatum est:
Ex his enim qui iunior erat diuina quadã
sorte editus, atq; educatus, iam tum à puero audiendi auidus, fabularúmq; studiosus erat, fabula enim puerorum studium atq; disciplina est: Ac iam grandior factus eius sẽper eruditionis desiderio flagrabat, quæ tempora, ætatémq; superaret, patriq; non modò aures præbuerat, sed & quod quisq; solers aut exquisitum haberet, id verò auide deglutiebat. Et canino quidẽ primùm more, raptim omnia, ac simul nosse cupiebat: quod in his sanè ingeniis vsuuenit,
B quæ eximium de se aliquid, magnúmque repromittũt; Gestiunt enim, atq; ante tẽpus impatienter exsiliunt, quasi optatum iam tum animo sibi finem polliceantur. Deinceps verò lõgè ante pubertatem probo & bene morato sene sedatiorẽ se præstitit, vt omnia non solùm modestè audiret, sed & si quid dicere, aut de iis quæ audierat, aut quæ quoquo modo occurrerẽt, sciscitari vellet, cunctantẽ ac rubore perfusũ cognosceret. Quin & de via, ac sede Ægyptiis senib. facilè cedebat, cùm tamẽ eo esset parente natus, qui summum apud suos imperiũ administraret. Ac hæc accedebat æqualiũ reuerẽtia, naturáq; insita in
C eo erga homines cura, adeò vt vel in ea ætate vix inter Ægyptios vllus reperiri posset, cui nõ ab adolescẽte aliquid boni à patre esset impetratũ. Alter verò qui ætate maior Typhos appellabatur, ineptus, vt vno verbo dicã, ad omnia, planéq; rudis: Nã à Rege quidẽ Osiridi filio adsciti erãt non Ægyptię modò, sed peregrinę cuiusuis sapiẽtiæ magistri: sed idipsum Typhos mẽte penitus auersabatur, ludibrióq; habebat, quod ea re inertes, ac seruiles animos fieri existimaret: fratrẽ verò cùm animaduerteret honestè moderatéq; pręceptori operã dãtẽ, ingenuáq; animi verecũdia præditũ, metus hoc esse, ac formidinis arbitraba-
D tur: propterea quod nemo illũ vnquã aut pugnos impingẽtẽ, aut iactatis calcib. cuiquã insilientẽ, aut indecoro cursu agitatũ viderat, prǽsertim cũ agili ac repurgato esset corporis habitu, quod erat eius animæ, tãquam leue quoddã onus circumfusum: Sed neque Osiris vnquã auidis faucibus, tractimq; haurire, nec in cachinnos erũpere, nec immodico risu toto corpore quati, aut succussari solebat, quæ & in dies à Typhone agebãtur, & ea sola facinora liberorũ hominũ arbitrabatur, quod quisq. vellet, aut quod cuiq. pro re nata occurreret

A γινομένων ὑπεσήμαινε, καὶ τελουμένων λαμπρότερον διεδείχθη. ὁ μὲν γὰρ νεώτερος θείᾳ μοίρᾳ καὶ φὺς καὶ τραφεὶς, τότε ἐν βρέφει φιλήκοον ἦν, καὶ φιλόμυθον. ὁ γὰρ μῦθος, φιλοσόφημα παίδων ἐστί· καὶ ἐπιδιδοὺς ἤδη παιδείας ἀεὶ τὸν χρόνον ὑπερτεινούσης· τῷ τε πατρὶ τὰ ὦτα ὑπεῖχε, καὶ ὅ, τι ἕκαστος εἰδείη σοφὸν, περὶ ἅπαντα ἐλιχνεύετο, τὰ μὲν πρῶτα σκυλακηδὸν ἀθρόα πάντα ἀξιῶν εἰδέναι, ὥσπερ ἀμέλει ποιοῦσιν αἱ φύσεις, αἱ τὰ με-
B γάλα ὑπισχνούμεναι, σφαδάζουσι καὶ προεξανίστανται τοῦ καιροῦ, ἤδη τὸ τέλος ἑαυταῖς τὸ ἐραστὸν ἐγγυώμεναι. ἔπειτα μέντοι πολὺ πρὸ ἥβης ἡσυχαίτερός τε ἦν αὖ γεγονότος πρεσβύτου, καὶ σὺν κόσμῳ μὲν ἤκουε· δεῆσαν δέ ποτε καὶ αὐτὸν εἰπεῖν ἢ ἀνερησόμενον περὶ ὧν ἤκουσεν, ἢ ἐπ' ἄλλῳ τῳ, πᾶς ἂν ἐπέγνω διαμέλλοντα καὶ ἐρυθραινόμενον· καὶ ὁδῶν ἐξίστατο καὶ καθέδρας Αἰγυπτίων τοῖς πρεσβυτέροις, καὶ ταῦτα παῖς ὢν τοῦ τὴν μεγάλην ἀρχὴν ἄρχοντος· πρὶν δὲ αὐτῷ καὶ αἰ-
C δὼς ἡλίκων, καὶ ἐν τῇ φύσει μάλιστα τὸ ἀνθρώπων ἐπιμελεῖσθαι· ὥστε ἐν ἐκείνῳ τῆς ἡλικίας ὄντος, ἔργον ἦν Αἰγύπτιον εὑρεῖν ἄνθρωπον, ᾧ μὴ ἕν γέ τι ἀγαθὸν παρὰ τοῦ πατρὸς ἐπεπόριστο τὸ μειράκιον. ὁ δὲ πρεσβύτερος ὁ Τυφὼς, ἑνὶ λόγῳ, πάντα ἐπαρίστερος. σοφίας μὲν δὴ πάσης, ὅση τε Αἰγυπτία, καὶ ὅση ὑπερόριος, διδασκάλους ὁ βασιλεὺς Ὀσίριδι τῷ παιδὶ παρεστήσατο· ἀπεστυγήκει δὲ ὅλῃ γνώμῃ, καὶ κατεγέλα τοῦ πράγματος ὁ Τυφὼς, ὡς ἀγεννοῦς τε καὶ δουλευούσας τὰς γνώμας· ὁρῶν
D δὲ τὸν ἀδελφὸν φοιτῶντά τε ἐν τάξει, καὶ αἰδοῖ συζῶντα, τοῦτο δὲ ᾤετο φόβον εἶναι, δι' ὃ οὔτε πὺξ παίοντά τις εἶδεν, οὔτε λὰξ ἐναλλόμενον, οὔτε δρόμον θέοντα ἄκοσμον, καὶ ταῦτα κοῦφόν τε ὄντα, καὶ παρεσταλμένον καὶ ἐλαφρὸν τῇ ψυχῇ φορτίον τὸ σῶμα περικείμενον· ἀλλ' οὐδὲ χανδόν ποτε Ὄσιρις ἔπιεν, οὔτε ἐξεκάγχασεν, ὡς εἶναι τὸν γέλωτα βρασμὸν ὅλου τοῦ σώματος, ἅπερ Τυφὼς ἔδρα τε ὁσημέραι, καὶ μόνα ἔργα ἐλευθέρων ᾤετο, ποιεῖν ὅ, τι τις τύχοι καὶ βου-

λοιτο· ἐῴκει δὲ οὔτε τοῖς γένους τὴν φύσιν, οὐδ' A
ὅλως ἀνθρώπων τινὶ, καὶ καθάπαξ εἰπεῖν,
οὐδ' αὐτὸς ἑαυτῷ παραπλήσιος, ἀλλὰ
παντοδαπόν τι κακόν· νῦν μὲν γὰρ ἔδοξεν εἶναι
νωθής τε καὶ ἐτώσιον ἄχθος ἀρούρης, τοσαῦτα
ἀφ' ὕπνου γινόμενος, ὅσα γαστρίζεσθαι καὶ
ἄλλα ἐναποτίθεσθαι τοῦ καθεύδειν ἐφόδια·
νῦν δὲ καὶ τὰ μέτρια ἀμελῶν τῶν ἀναγκαίων
τῇ φύσει, ἐφ' οἷς σκιρτᾶν τε ἄμουσα, καὶ
παρέχειν πράγματα καὶ ἥλιξι καὶ ὑπερή-
λιξιν. ἐθαύμαζέ τε γὰρ ἰσχὺν σώματος, ὡς
τελεώτατον ἀγαθὸν, καὶ ἐχρῆτο κακῶς θύρας B
τε ἀπαράττων, καὶ βώλοις βάλλων, καὶ εἴ
τῳ τραῦμα ἦν, εἰ κακὸν ἄλλο ἐργάσαιτο, χαί-
ρων ὡς ἐπὶ μαρτυρίᾳ τῆς ἀρετῆς· ὤργα τε
ἄωρα, καὶ βιαιότατος ἦν ἐπιθέσθαι μίξεσι,
καὶ δὴ καὶ φθόνος μὲν αὐτῷ πρὸς τὸν ἀδελ-
φὸν ὑπετύφετο, μῖσος δὲ πρὸς Αἰγυπτίους,
ὅτι οἱ μὲν ὁ λεὼς, ἐθαύμαζον Ὄσιριν, καὶ ἐν
λόγοις καὶ ἐν ᾠδαῖς, καὶ οἴκοι καὶ ἐπὶ τῶν κοι-
νῶν ἱερῶν ἀγαθὰ αὐτῷ πάντα πανταχοῦ
πάντες παρὰ τῶν θεῶν ᾔτουν· ὁ δὲ τοιοῦτος ἦν
τε καὶ ἐδόκει τοιοῦτος. ταῦτ' ἄρα ὁ Τυφὼς, C
καὶ ἑταιρικόν τι συνεστήσατο παίδων ἀφρόνων,
ἐπ' ἄλλο μὲν οὐδέν· οὐδένα γὰρ ἐπεφύκει
φιλεῖν ἀπὸ γνώμης· ἀλλ' ἵν' εἶεν τινες αὐτῷ
στασιῶται μὴ φρονοῦντες τὰ Ὀσίριδος· ἦν
δὲ ἁπάντων ῥᾷστον ὠνήσασθαι τὴν γνώμην
αὐτοῦ, καὶ εὑρέσθαι τι παρὰ Τυφῶνος ὧν
δέονται παῖδες, εἰ μόνον ψιθυρίσαι τι τῶν φε-
ρόντων εἰς λοιδορίαν Ὀσίριδος. παιδόθεν μὲν
οὖν οὕτως ἡ φύσις αὐτοῖν τὴν διαφορὰν τῶν
βίων ὑπέσχετο· ὥσπερ δὲ ὁδῶν ἡ πρώτη
σχίζα καταβραχὺ διεστῶσα, προϊοῦσα πλέον
ἀεί τι ποιεῖ, καὶ τελευτῶσαι καταντῶσιν εἰς D
πλεῖστον τὸ ἀντικείμενον, οὕτως ἴδοι τις ἂν καὶ
ἐπὶ τῶν νέων γινόμενον, καὶ τὸ σμικρὸν εἰς δια-
φορὰν, πλεῖστον ἀφίστησι προϊόντας· οἱ δὲ οὐδὲ
κατὰ μικρὸν, ἀλλ' αὐτίκα τὴν ἐναντίαν ἐτρά-
ποντο, ἀρετὴν καὶ κακίαν τελείαν ἑκάτε-
ροι διαλαχόντες. ἐπιδιδόντων οὖν, συνε-
πεδίδου καὶ τὸ ἀντίξουν τῶν προαιρέσεων, καὶ
ἀριδηλότερα τὰ τεκμήρια παρειχέσθην
ἔργοις ἐνσημαινόμενα. Ὄσιρις μὲν οὖν εὐ-
θὺς ἀφ' ἥβης συνεστρατήγει τοῖς ἀποδεδει-
γμένοις, οὔπω μὲν ὅπλα διδόντος τοῖς τηλι-

perpetrare. Proinde nec generis similis & indoles, nec vllius omninò hominum, &, vt semel dicam, neque ipsa sui, sed varium erat, ac multiplex malum. Nunc quidem segnis, atque hebes, & telluris inutile pondus esse videbatur, tantumdem à somno euigilans, quantum aluo explendæ, infarciendóque iterum somni commeatui satis esset: Nunc verò vel mediocria ex iis, quæ naturæ necessaria erant, negligebat, vt & incõcinne saltaret, & æqualibus iuxtà, ac ætate prouectioribus negotium facesseret. Corporis quippe robur, tanquam bonorum omnium perfectissimum, in admiratione habebat, eóq; perperam vtebatur, aut ad effringendas fores, aut ad glebis impetendos obuios quósque, ac si cui vulnus inflictum, aut damni aliquid ab eo esset illatum, de eo, quasi de testimonio quodam virtutis exultabat: Quinetiam intempestiua libidine, ac præter ætatem turgebat, miráq; erat in inuadendis concubitibus violentia. Itaq; & inuidiâ in fratrem, & in Ægyptios odio exardescebat, quod populus quidem Osiridẽ suspiceret, cúmque in omni cantu ac sermone celebraret, nec domi tãtùm, sed in publicis etiã sacris bona ei omnia supplex à diis postularet: ipse verò & eiusmodi esset, & ab omnibus esse videretur: quæ cùm videret Typho, contubernalium quoddam sodalitium instituere cœpit omnium furiosorum, nec alio quidem consilio (nec enim is erat qui quenquam ex animo diligeret) sed vt suæ factionis satellites, & ab Osiride alienos sibi compararet: Erátq; cuiuis facile Typhonem sibi demereri, & ab eo nihil non eorum impetrare, quæ pueris ex vsu sunt, si quid tantum in Osiride contumeliosè insusurrasset. Ea igitur in pueris naturæ diuersitas vitæ quoque dissidium pollicebatur. Sed vt primum viarum diuortium, sensim diductum, protracto vlterius discrimine in longissimum tandem interuallum desinit, ita in pueris accidit; & vel minima studiorum disparitas, progredientes illos plurimum à se inuicem dissociat: At illi non pedetentim, sed subitò contraria in stadia deflexerunt, cùm vtriq; perfectam essent virtutẽ, ac vitium quadam sorte cõsecuti. Vnâ ergo cum ætatis incremento animorũ contrarietas inualescebat, quam euidentioribus indiciis opere ipso factisq; comprobarunt. Cæterùm Osiris vix pubertatem egressus, cum his qui duces creati erant, imperij militaris collegam agebat nondum quidem lege arma tantillis

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

permittente, sed is consilio iudicióque imperabat, cùm mentis instar esset, & exercitus præfectis, quasi manibus, vteretur: Tũ deinde natura eius plãtæ in modum augescente, maturiores in dies fructus edebat. Prætorianis verò militibus præpositus, regique ab aure factus, & Præfecturã Vrbis ac Senatus Principatũ adeptus augustiorem lõgè quàm acceperat, magistratũ reddebat: Alter ærario præfectus (visum enim parẽti erat vtriusque in minori occasione periculum facere) sibi ipsi pariter, atq; illi, à quo electus fuerat, dedecus labémq. aspergebat, publicę pecunię interuersæ sordiúmque, atque in ærario administrando stoliditatis conuictus: deinde in aliũ magistratum trãslatus, si fortè ei capessédo idoneus esse posset, multò sese turpius gerebat: & ea fœlicissimi regni pars, cui gubernãdæ Typho præfuerat, totũ hunc annum pro nefasto, atque inauspicato habebat: simul verò ad alios sese cõtulerat, vnà in eos calamitas omnis, ac pernicies traducebatur. Is fuit in regẽdis hominibus Typhonis animus. Priuatim quidẽ concinnè ac lasciuè saltabat, vnáq; cum eo ex Ægyptiis, aut peregrinis petulãtissimus quisque, qui eos secum cogebat, qui quiduis dicere, aut audire, patique, aut perpetrare pẽsi nihil haberent: ita vt eorũ cœnaculũ omnis impudicitiæ officina esset. Vigilãs porrò & stertebat ipse, & stertẽtes alios lubẽtissimè audiebat, admirabilẽ quandam eam esse Musicam existimãs: Laudes quoque, præmiáque ei delata, qui petulãtem hunc sonum lõgius produceret, ac rotundius cõtortiúsque efferret. Ex his autem vnus aut alter, idémq; omnium strenuissimus, frõtem ad omnia perfricuerat, nullúmq; genus turpitudinis detrectãs multa fortitudinis præmia auferebat, suppetebántq; insuper in propudiosæ licẽtiæ mercedem Magistratus, atq; imperia. Eiusmodi ergo domi fuit Typho. Posteaquàm verò sumptis publicæ rei gerẽdæ insignibus, habitúq; consederat, tunc apertè idipsum declarabat, variam, ac multiplicẽ esse nequitiam, hæc enim à virtute iuxta ac seipsa dissidet, eiusque partes sibi inuicẽ aduersantur. Quippe insolẽs ille suiq; opinione inflatus subinde in furorẽ agebatur, ferociúsq. Epirotico cane allatrãs aliam priuato homini, aliam familiæ, aliam vniuersæ ciuitati noxã infligebat, ac eò magis exultabat, quo grauius aliquod dãnũ ac calamitatẽ incusserat, quasi demũ dedecꝰ ex domestica socordia cõflatũ hominũ lachrymis elueret. Sed

A κοινωνοὺς τοῦ νόμου· γνώμης δὲ ἄρχων, οἱονεὶ νοῦς ὤν, καὶ τοῖς στρατηγοῖς χερσὶ χρώμενος. κἄπειτα ὥσπερ φυτὸν τῆς φύσεως αὐξανομένης, ἐξέφερε καρπόν τινα ἀεὶ τελειότερον· ἐπιστάτης δὲ δορυφόρων γενόμενος, καὶ ταῖς ἀκοαῖς πιστευθεὶς καὶ πολιαρχήσας, καὶ βουλῆς ἄρξας, ἑκάστην ἀρχὴν ἀπεδίδου παρὰ πολὺ σεμνοτέραν, ἢ παρελάμβανεν· ὁ δὲ ταμίας τε χρημάτων ἀποδειχθείς· ἐδεδοίκει γὰρ τῷ πατρὶ τῆς φύσεως ἀποπειρᾶσθαι τῶν παίδων ἐν ἐλάττοσιν ὑποθέσεσιν· ᾔσχυ-
B νεν ἑαυτόν τε καὶ τὸν ἑλόμενον, κλοπῆς τε δημοσίαν ἁλοὺς, καὶ δωροδοκίας καὶ ἐμπληξίας εἰς τὴν διοίκησιν. μετατεθεὶς δὲ καὶ εἰς ἕτερον εἶδος ἀρχῆς, μή ποτε ἄρα καὶ ἐναρμόσειεν, ὁ δὲ αἴσχιον ἔπραξε, καὶ χρηστῆς βασιλείας ἐκεῖνο τὸ μέρος τῆς ἀρχῆς οὗ Τυφὼς ἐπεστάτησεν ἐνιαυτὸν ὅλον ἀποφράδα ἤγαγεν. ἐπ' ἄλλους ἀνθρώπους ἧκε, καὶ τὸ οἰμώζειν ἐπ' ἐκείνους μετῄει. τοιοῦτος Τυφὼς ἄρχειν ἀνθρώπων· ἰδίᾳ μὲν ἐκορδάκιζεν, Αἰγυπτίων τε ὅστις ἀκοσμότατος καὶ ξένων, συνειλοχὼς τοὺς πάντα ῥᾳδίους εἰπεῖν τε καὶ ἀκοῦσαι, καὶ παθεῖν καὶ ποιῆσαι, ὡς εἶναι τὸ
C ἑστιατήριον παντοδαπῆς ἀκολασίας ἐργαστήριον· καὶ ἐγρηγορὼς αὐτός τε ἔρρεγκε, καὶ ἄλλων ἀκούων ἥδετο, μουσικήν τινα θαυμασίαν τὸ πρᾶγμα ἡγούμενος., ἔπαινοί τε καὶ τιμαὶ τῷ παρατείνοντι τὸν ἀκόλαστον ἦχον, καὶ τῷ μᾶλλον στρογγύλλοντι. εἷς δέ τις αὐτῶν ὁ μάλιστα ἀνδρειότατος, ἀπηρυθριάσει πρὸς ἅπαν, καὶ μηδὲν τῶν ἐπονειδίστων ὀκνήσας, ἀριστείων πολλῶν ἐτύγχανε, καὶ ἀρχαί τινες ὑπῆρξαν αὐτῷ μισθὸς αἰσχρᾶς παρρησίας. ὁ Τυφὼς οἴκοι μὲν δὴ τοι-
D οῦτος· ἐπειδὰν δὲ ἐν τῷ σχήματι τοῦ τὰ κοινὰ πράττειν καθίζοιτο, διεδείκνυ σαφῶς ὅτι πολυειδαπὸν ἡ κακία. καὶ γὰρ πρὸς ἀρετὴν καὶ πρὸς ἑαυτὴν στασιάζει, καὶ μερίδες αὐτῆς ἄμφω τὰ ἀντικείμενα. ὁ γέ τοι χαῦνος, αὐθὺς ἐμεμήνει, καὶ σκληρότερον ὑλακτῶν ἠπειρώτου κυνὸς συμφορὰν προσεπείβετο. τῷ μὲν ἰδιώτῃ, τὴν δὲ οἰκίᾳ, τὴν δὲ ὁλοκλήρῳ πόλει, καὶ ἐγάννυτό γε μεῖζον κακὸν ἐργασάμενος, ὡς τὴν ἀδοξίαν τῆς οἴκοι ῥαθυμίας, δακρύοις ἀνθρώπων ἀπονιπτόμενος· ἐν

ἀλλ' ἦν τις ὄνατο τοῦ κακοῦ· πολλάκις γὰρ ὢν πρὸς αὐτῷ δὴ τῷ δρᾶσαι δεινόν, ἢ παρενεχθεὶς τὴν γνώμην εἰς ἀλλοκότους ὑπονοίας ἐξέπιπτεν, ὥστε ἐοικέναι τοῖς νυμφολήπτοις περὶ τῆς ἐν Δελφοῖς σκιᾶς ἐρρωμένως διατεινόμενος. ἐν τούτῳ δὲ ὁ κινδυνεύων ἐσώζετο, περὶ οὗ μηδεὶς ἔτι λόγος ἐγίνετο· ἢ ληθάργῳ συνείχετο, καὶ καρηβαρὴς ἦν ἐπὶ χρόνον τινά, ὥστε ἀπεῖναι τῶν ἐν οἷς εἴη τὸν νοῦν. εἶτα ἀγείραντες ἑαυτόν, ἐρρυήκει μὲν καὶ ὥς, ἡ μνήμη τῶν ἔναγχος· ὁ δὲ ἐζυγομάχει πρὸς τοὺς ἐπὶ τῶν διοικήσεων, περὶ τοῦ πόσους ὁ μέδιμνος ἔχει πυρούς, καὶ πόσους κυάθους ὁ χοῦς, περιττήν τινα καὶ ἄτοπον ἀγχίνοιαν ἐπιδεικνύμενος. ἤδη δέ ποτε καὶ ὕπνος ἀφείλετο συμφορᾶς ἄνθρωπον, ἐπιπεσὼν Τυφῶνι μάλα εὐκαίρως, καὶ κατὰ τῆς καθέδρας ἦν ἂν ἐπὶ κεφαλὴν ὦσαι, εἰ μή τις ὑπηρέτης μεθεὶς τὴν λαμπάδα, ὑπήρεισεν. οὕτω πολλάκις τραγικὴ παννυχὶς εἰς κωμῳδίαν ἀπετελεύτησε. καὶ γὰρ οὐδὲ ἐχρημάτιζεν ἐν ἡμέρᾳ, ἅτε ἡλίῳ καὶ φωτὶ φύσις ἀντίξοος, καὶ σκότῳ προσήκουσα· σαφῶς δὲ εἰδώς, ὅτι πᾶς ὅτῳ καὶ σμικρὸν ἡ φρονήσεως μέτεστι, κατέγνωκεν αὐτοῦ τὴν ἀκριβεστάτην ἀμαθίαν, ὁ δὲ οὐχ ἑαυτὸν ᾐτιᾶτο τῆς ἀτοπίας, ἀλλὰ διὰ τοῦτο κοινὸς ἦν ἐχθρὸς τῶν νοῦν ἐχόντων, ὡς ἀδικούντων, ὅτι κρίνειν ἐπίστανται, βουλεῦσαι μὲν ἄπορος, ἐπιβουλεῦσαι δὲ ποριμώτατος. ἄνοια καὶ ἀπόνοια συνῆστην αὐτῷ, κῆρες ψυχῆς ἀπ' ἀλλήλων ῥωννύμεναι, ὧν ἄλλα κακὰ μείζω καὶ πανωλεθρότερα γένος ἀνθρώπων ἐκτρῖψαι, οὔτε ἔστιν, οὔτε μήποτε ἐν τῇ φύσει γένηται. ταῦτα ἕκαστα ὁ πατὴρ ἑώρα τε καὶ ξυνίει, καὶ Αἰγυπτίων προὐκήδετο. βασιλεὺς γὰρ ἦν καὶ ἱερεὺς καὶ σοφός· Αἰγύπτιοι δὲ λόγοι φασίν, ὅτι καὶ θεός. οὐ γὰρ ἀπιστοῦσιν Αἰγύπτιοι μυρίους καθ' ἕνα θεοὺς αὐτῶν βασιλεῦσαι, πρὶν ὑπ' ἀνθρώπων ἀρχθῆναι τὴν γῆν, καὶ γενεαλογηθῆναι τοὺς βασιλέας Πείρωμιν ἐκ Πειρώμιδος. ἐπεὶ οὖν μεθίστασθαι αὐτὸν θεῖοι νόμοι παρὰ τοὺς μείζους θεούς, καὶ παρῆν ἡ κυρία, συνελέξατο μὲν εἰς αὐτὴν πάλαι προηγορευμένον ἐξ ἁπάσης πόλεως Αἰγυπτίας ἱερέων τε ὅσαι φρῆτραι,

A hoc tamē vnum ex his malis commodum suppetebat; sępe enim cùm mox alicui periculum creaturus esset, aut temerè raptus in absurdas atque inauditas suspiciones transuersus agebatur, vt lymphatis, ac fanaticis similis esse videretur, de Delphica vmbra peruicacissimè contendens. Reus verò interim effugiebat, de quo nullum postmodùm verbū; aut veterno clāguerat, capitisque per aliquod tempus grauedine torpescebat, adeóq; quæ agebātur animo penitus excidebant. Deincépsq; vbi sese receperat, nihilo tamē secius omnis effluxerat rerum mox præteritarū recordatio:
B Ille autem cum dispēsatoribus obnixè hisce de rebus altercatur, quotnā medimnus tritici grana, aut Congius cyathos contineret, superuacuam quādam, & importunam animi solertiam præ se ferens. Nonnunquā & somnus opportunè Typhonem inuadens hominem eripuit imminēti exitio, quo quidem correptus ille ex sella in caput deturbatus esset, ni abiecta eum lāpade aliquis ex lictoribus sustentasset: Ita factum vt tragica pernoctatio sæpius in Comœdiam desierit: nec enim interdiu ius dicebat vtpote natura Solis & lucis inimica, tenebrisque accommodatior. Ac
C cùm id intelligeret neminem esse vel mediocri prudentia præditum, qui non summam in eo inscitiam esse iudicaret, non ille quidem suam stoliditatē accusabat, sed commune in sapiētes omnes odium profitebatur quasi accepta ab illis iniuria, quod iudicio, sagacitate valerent, homo vt consilij planè inops, sic insidiarum callidissimus artifex. Erat in eo vecordia cum furore coniuncta; quæ duo animi exitia mutuis opibus inualescūt, nec vllum aliud est in rerum natura, nec esse potest grauius malum, aut ad profligandum genus hominum efficacius. Hæc singula & videbat pa-
D ter, & intelligebat, Ægyptiorúmq; vtilitati prouidebat; Rex enim vnà, & sacerdos, & sapiens erat, eundémq; & Deum extitisse Ægyptiorum monumētis traditū est: Nec enim Ægyptiis incredibile est, infinita apud se numina sigillatim imperasse, priusquàm ad mortales terrarū imperium peruenisset, regúmque genus à maioribus vt Piromidis à Piromide recēseretur. Igitur postquàm ille Deorum legibus in maiorum gentium deos translatus est, ac præfinita iam dies aderat, ad eam quidem ex omnibus Ægyptiorum ciuitatibus, quod per præconem pridem edictum fuerat, cùm sacerdotum familiæ omnes,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

tum militaris indigenarum ordo conuenerat, quos omnes legis necessitas conuocabat; Reliquæ verò plebi, vt abesse liberum fuit, ita omnibus adeundi potestas concessa est, non vt in creando rege suffragatores, sed vt spectatores essent, subulcis tamen spectaculo interdictum, militibusque qui aut peregrini ipsi, aut ex peregrinis nati apud Ægyptios stipendia merebant: quam quidem ob causam filiorum natu grandiori longè inferior conditio fuit, ex subulcis enim & peregrinis hominibus Typhonis factio constabat, effera scilicet & numerosa plebe, quæque inueteratæ consuetudini morem gerens, nec contrà quicquam ausa, non graue illud, aut indignum dedecus, sed sibi ipsis quasi debitum arbitrabatur, vtpote iure, ac legibus irrogatum, & eorum generi quodammodo naturale. Porrò is est apud Ægyptios regum creãdorum ritus. Haud procul ab amplissima Thebarum ciuitate mons sacer est, & ex illius aduerso mons alius, medius inter vtrumque Nili fluuius intercipitur: ex his montibus qui è regione alterius est Libycus appellatur, in eóque cautum est toto apparatus tempore regni candidatos versari, ne quid de hac creatione intelligant; alter verò, qui & sacer est, Ægyptius dicitur. Eius in vertice tabernaculum regis est, cui & sacerdotibus proximè adsident ij, qui præ cæteris insigni sapientiæ genere commendantur, atque ita ad eximios quósque ac præstantissimos ordo progreditur, sedibus cuique pro sacrorum dignitate distributis: Ac illi quidem regem quoddam veluti cor ambientes primum orbem faciunt, cui proximus est alter militum circulus; quiquidem omnem collem eum circumsistunt, qui in porrecto monte alium montem facit papillæ instar assurgens, regémque vel longinquo spatio dissitis eminus conspicuum præbet: Imum iugum obsident, quibus spectaculo interesse conceditur, ea duntaxat quæ vident faustis acclamationibus prosequentes: At ij penes quos ius est omne creandi principis, simul diuinis rebus opera ab rege data est, & ab iis quorum id muneris est, motum est sacerdotum concilium, tum quasi præsente numine, communémque cum illis suffragiorum curam gerente, prolato alicuius ex candidatis nomine, milites quidem manus attollunt: Epulones verò, ac templorum Ædiles, & prophetæ calculos ferunt, pauci alioqui, sed quorum præcipua

A καὶ τὸ στρατιωτικὸν τὸ αὐτόχθον· οὗτοι μὲν ὑπ' ἀνάγκης τοῦ νόμου. τὰ δὲ ἄλλα μέρη τῶν δήμων ἐξῆν μὲν ἀπεῖναι, παρεῖναι δὲ οὐδεὶς εἴργετο, θεασόμενοι τὴν χειροτονίαν, οὐκ αὐτοὶ χειροτονήσοντες· συφορβοὶ δὲ εἴργοντο καὶ τῆς θέας, καὶ ὅστις αὐτὸς ἢ γένος ἀλλόφυλος ὢν ὁπλοφορεῖ μισθωτὸς Αἰγυπτίοις, καὶ τούτοις ἀπείρητο μὴ παρεῖναι. ταύτῃ καὶ παρὰ πλεῖστον ἔλαττον ἔσχεν ὁ πρεσβύτερος τῶν νέων. συφορβοί τε γὰρ ἦσαν καὶ ἀλλόφυλοι τὸ στασιωτικὸν τοῦ Τυφῶνος, δῆμος ἀπόπληκτος καὶ
B πολύς· ἀλλ' εἴκων ἔθει, καὶ οὐδὲ ἀναπειρώμενος, οὐδὲ δεινὸν τὴν ἀτιμίαν, ἀλλὰ προσῆκον ἡγούμενος, ἅτε νόμῳ καταδεδικασμένην, καὶ φύσιν οὖσαν ἤδη τοῖς γένεσιν. καθίσταται δὲ Αἰγυπτίοις ὁ βασιλεὺς τρόπῳ τοιῷδε. ἱερὸν ὄρος ἐστὶ παρὰ τὴν μεγάλην πόλιν τὰς Θήβας, καὶ ὄρος ἄλλο καταντικρύ, μέσον ἀμφοῖν τὸ ῥεῦμα τοῦ Νείλου· τῶν ὀρῶν τοῦτο μὲν τὸ καταντικρύ, Λιβυκόν, ἐν ᾧ αὐτοὺς δίαιταν ἔχειν νόμος τῆς παρασκευῆς τὸν χρόνον τοὺς ὑποψηφίους τῇ βασιλείᾳ, τοῦ μηδὲν ἐπαισθάνεσθαι τῆς αἱρέσεως· τὸ δὲ ἱε-
C ρόν, τὸ Αἰγύπτιον· σκηνὴ μὲν ἐπ' ἄκρου τῷ βασιλεῖ, καὶ περὶ αὐτὴν ὅσοι τῶν ἱερέων τὴν μεγάλην σοφίαν σοφοί, καὶ πρόεισιν ἡ τάξις εἰς ἅπαν τὸ ἀρισεδον, κατ' ἀξίαν τῶν τελετῶν τὰς χώρας μερίζουσα. οὗτοι μὲν ὡς περὶ καρδίαν τὸν βασιλέα κύκλος εἷς πρῶτος· οἱ δὲ στρατιῶται, κύκλος ἄλλος ἔχεται τούτου· καὶ οὗτοι μὲν ἔτι περὶ τὸν ὄχθον, ὃς ἐπὶ τοῦ διατείνοντος ὄρους, ὄρος ἐστὶν ἄλλο καθάπερ μαστὸς ἀνιστάμενος ἐν ἀπόπτῳ τὸν βασιλέα παρέχων, καὶ τοῖς διὰ πλείστου. περιεστῶσι δὲ τοῦ μαστοῦ τὴν ὑπώρειαν κατα-
D λαμβάνοντες, ὅσοις ἔξεστι ἐπὶ τῇ θέᾳ παρεῖναι. οὗτοι μὲν μόνον ἐπευφημοῦντες, οἷς ἂν ἐπαισθάνωνται· οἱ δὲ τὸ κῦρος ἔχοντες τῆς αἱρέσεως, ἐπειδὰν ἐπιθειάσηται βασιλεύς, καὶ οἷς τοῦτο τὸ ἔργον, ἅπαν κινήσωσι κωμαστήριον, ὡς ἂν τοῦ θείου παρόντος τε καὶ περὶ τὴν αἵρεσιν συμφροντίζοντος, ὀνόματός τινος ἀναδειχθέντος τῶν ὑποψηφίων τῇ βασιλείᾳ, στρατιῶται μὲν χεῖρας αἴρουσι· κωμασταὶ δὲ καὶ ζάκοροι καὶ προφῆται, ψηφοφοροῦσι πλῆθος ἔλαττον τοῦτο· δύναται δὲ παραπολὺ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πλεῖστον. προφητικὴ μὲν γὰρ ψῆφος ἑκατὸν χεῖρές εἰσι· κωμαστικὴ δὲ, εἴκοσι, καὶ ὁ ζάκορος δέκα δύναται χεῖρας· ἕτερον ὄνομα τῶν βασιλικῶν, καὶ ἐπ' αὐτῷ χεῖρες καὶ ψῆφοι· κἂν μὲν ἀγχώμαλον ᾖ τὸ πλῆθος, βασιλεὺς ἐπιψηφίσας θατέρᾳ μερίδι, παραπολὺ μείζω ποιεῖ· τῇ δὲ ἐλάττονι προσνείμας ἑαυτὸν, εἰς ἴσον καθίστησιν, ἔνθα ἀνατίθεσθαι δεῖ τὴν χειροτονίαν, καὶ τῶν θεῶν ἔχεσθαι, προσεδρεύοντάς τε πλείω χρόνον, καὶ ἀπλαστότερον ἁγιστεύοντας, ἕως ἂν οὐ διὰ παραπετασμάτων, οὐδὲ διὰ τῶν ἑκάστοτε συνθημάτων, ἀλλ' αὐτοπληθέντες αὐτοὶ τὸν βασιλέα ἀναδείξωσι, καὶ ὁ δῆμος αὐτήκοος γένηται τῆς παρὰ τῶν θείων ἀναρρήσεως. ταῦτα μὲν ὡς ἑκάστοτε τυγχάνοι, νῦν μὲν οὕτως, νῦν δ' ἐκείνως ἐγίνετο· ἐπὶ δὲ Τυφῶνός γε καὶ Ὀσίριδος θεοί τε οὐδὲν τῶν ἱερέων πραγματευσαμένων, τὴν πρώτην εὐθὺς ἐναργεῖς ἑωρῶντο, καὶ ἔταττον ἀφεστῶτες αὐτοὶ, καὶ διεκόσμουν ἕκαστος τοὺς σφετέρους ὀργιαστὰς, ἅπαντί τε δῆλον ἦν, ἐφ' ᾧ γε παρεῖσιν· καίτοι καὶ μὴ παρόντων, ἅπασα χεὶρ, ἅπασα ψῆφος τοῦ νεωτέρου τῶν βασιλικῶν παίδων τοὔνομα περιέμεινεν· ἀλλὰ τὰ μεγάλα, δεῦρο μείζοσι καὶ φροιμίοις προαναδείκνυται, καὶ τὸ θεῖον ἐπισημαίνεται παρὰ τοῖς πολὺ παρὰ τὸ εἰκὸς ἀποβησομένοις καὶ λῴοσιν οὖσι καὶ χείροσιν. Ὄσιρις μὲν οὖν, ὥσπερ θέμις ἦν, αὐτοῦ κατὰ χώραν ἔμενεν, οὗ τὴν ἀρχὴν διεβίβαστο· ὁ δὲ ἐσφάδαζεν, ἤσχαλλεν εἰδέναι τὰ περὶ τὴν χειροτονίαν, καὶ τέλος οὐκ ἦν ἐγκρατὴς ἑαυτοῦ, τὸ μὴ οὐκ ἐπιθέσθαι πείρᾳ, καὶ διαφθεῖραι ψήφους ἀφειδήσας οὖν ἑαυτοῦ τε καὶ νόμων βασιλικῶν, καὶ ἐφεὶς τῷ ῥεύματι, φερόμενος, νηχόμενος, ἅπαντα ποιῶν καὶ πάσχων, καταγέλαστος ὑπὸ τῶν ὁρώντων, καθίσταται πέραν τοῦ ποταμοῦ· καὶ ᾤετο μὲν λανθάνειν, πλὴν οἷς προσέλθοι τε καὶ ὑπόσχοιτο χρήματα, ἅπας δέ τις ἠπίστατο, καὶ ἐστύγουν αὐτόν τε καὶ τὴν ἐπίνοιαν. οὐ μὴν ἐλέγχειν ἐδόκει φύσιν παράφορον. ὃ καὶ συμβέβηκεν αὐτῷ βαρυσυμφορώτατον· αὐτὸς ὁρῶν, αὐτὸς ἀκούων, ἁπάσαις γνώμαις ἀπεψήφιστο, ἁπάσαις χερσὶν ἀπεκεχειροτόνητο· οἱ θεοὶ δὲ αὐτῷ καὶ ἀρὰν προσέβαλον, καὶ ἧκε μετάπεμπτος Ὄσιρις, ὁ μηδὲν πραγματευσάμενος, θεῶν, ἱερέων, ἁπάν-

A est ea in re authoritas: Prophetarum enim calculus centum manus æquat, Epulonum viginti, Ædilium decem: Alius ex creandis regibus nominatus est, statim de eo manibus, calculísque suffragium fertur; quòd si fortè anceps, ac vtrinque æqua multitudo fuerit, rex vtriuis factioni subscripserit, longè eam potiorem facit, sin minori suffragator accedat, alteri eam parem reddit: Tum demum diremptis comitiis numina consuluntur, quibus & diutius insistitur, & religiosius diuina tractantur, donec manifestè, ac sine vllo velamine, aut signis, quibus B sæpius vti solent, coram apparentes regem ipsum creauerint, populúsque factam à diis renunciationem intelligat. Atque hæc vtcumque res tulerit nunc hoc, nunc illo modo contigerant. Verùm in Typhonis, ac Osiridis suffragiis dij omnes securis, miniméque sollicitis sacerdotibus repentè sese palàm conspiciendos præbuerunt, diuisimque singula moderati suos quisque sacerdotes instruxerunt, nec vlli ignotum erat, quibus de causis interessent, quanquam, etiam absentibus iis manus omnis, omnísque calcu- C lus regis natorum iunioris nomen expectabat. Sed enim magna quæque apud nos augustioribus primordiis significantur, & quæ longè quàm credibile sit, secus euentura sunt, seu meliora, seu deteriora quibusdam à Deo portentis indicantur. Osiris itaque vti fas erat, quo primùm deductus est, eo sese continebat, ille autem moræ impatiens angebatur, quæque in comitiis fierent, scire gestiebat: demum temperare sibi non potuit, quin eius rei experimentum faceret, & suffragia corrumperet: Seipsum ergo iuxta, & regias leges aspernatus, præcépsque in flumen insiliens, raptus, natans, nihil non agens, patiénsve, spectantium D risu exceptus, fluuium traiecit, & latère quidem cæteros posse arbitrabatur, præterquàm quos conueniret, aut quibus pecunias polliceretur, verum id vnusquisque norat, ipsúmque adeò & eius consilia oderat, haud tamen visum est cuiquam furiosum hominem redarguere: quod & ipsi miserrimum accidit, præsens ipse, ipse audiens, omnium suffragiis reiectus, omnium manibus improbatus est: Diis quoque eum execrantibus; venitque accersitus Osiris cùm nihil ea de re anxius, atque sollicitus esset, diis, sacerdotibus, omnibus denique cum

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

sacris stemmatibus, sacrisque tibiis, ad fluminis ripam in occursum festinantibus, ad quam nauigium illud, cui nouus rex imponebatur, ex Libyca ora appulsurum erat. Magna iam tum è cœlo signa, indidémq; voces fœlicitatis nuntiæ, & omne prodigiorum genus, quibus quæ futura sunt, siue exigua siue maiora captantur, fortunatum Ægyptiis imperium portendebāt. Quapropter haudquaquam quieto animo futuri deterioris conditionis dæmones, haud placidè hanc hominum fœlicitatem laturi, sed impetum facturi, atque ob id iam iámque turgescere videbantur; & insidiæ aliquot significabantur. Postquā n itaque regiis sacris à parente initiatus est, apertè illi, certóque, vt qui certò scirent, cùm alia multa pronunciant, exuberantem scilicet bonorum copiam; tum fratrem admonent Ægyptiis, paternæque domi exitio genitum, nisi cuncta perturbare velit, ocius exterminandum esse, vt quæ regnante Osiride Ægyptiis futura erat fœlicitas, bonorúmque prouentus, eam nec videre, nec audire posset. Nullum enim bonum naturæ Typhonis esse tolerabile, duplicémque ipsi naturam animorum tradunt, & necessarium illud dissidium, quod cum superioribus animis, inferiores insitum habent. Rogabant idcircò euerteret naturam infestissimam, eámque à meliori, & diuina cognatione resecaret: nec eum puderet eius, quam homines appellant, affinitatis. Remittenti verò, ac cessim agenti, quæ & ipsi, & Ægyptiis, & finitimis, & Ægyptiorum imperio subditis toleranda erant, singula prædixerunt: neque enim, mediocrem, aut aspernabilem eam fore perniciem, neque quauis solicitudine manifestos, atque occultos illius conatus circumscribi, aut infirmari posse: tueri siquidem illum ac defensare potentissimum quoddam genus inuidorum dæmonum, quibus cùm ei esset naturæ necessitas, ab iisque in lucem editum, vt eo tanquam instrumento suorum in homines maleficiorum vterentur, ad quæ rectâ progressi in grandem sibi vtilitatem futurum Typhonem & genuerunt, & educarunt, & obstetricati sunt, & propriis moribus imbuerunt: Vnum tamen id illi deesse putant, quominus omnia ex sententia succedant, vt vires ei ex imperio, & potestatem concilient: ita enim futurum vt ex earum rerum concursu, perfectè quæ opus sunt omnia consequatur, cùm scilicet mala plurima & fa-

A τῶν ἁπλῶς ἅμα στέμμασιν ἱεροῖς, καὶ αὐλοῖς ἱεροῖς παρὰ τὴν ὄχθην ἀπαντώντων, οὗ τὴν βᾶριν ἔδει καταίρειν τὴν ἀπὸ τοῦ Λιβυκοῦ μέρους τὸν νέον βασιλέα ἀναλαμβάνουσαν· ἀπ' οὐρανοῦ τε εὐθὺς σημεῖα μεγάλα, καὶ αὐτόθεν ὀμφαί τε ἀγαθαί, καὶ ἅπαν εἶδος ὑφ' οὗ τὸ μέλλον θηρᾶται, καὶ μεῖον καὶ μεῖζον τὴν βασιλείαν Αἰγυπτίοις εὐηγγελίζετο· παρ' ὅσον ἐδόκουν οἱ τῆς χείρονος μερίδος δαίμονες οὐκ ἀτρεμήσειν, οὐδ' αὖ πρᾴως ἐνέγκαι τὴν ἀνθρώπων εὐδαιμονίαν, ἀλλ' ἐπιθήσεσθαι καὶ οἰδαίνειν ἐδόκουν. καὶ ἐπιβουλή τις ἐση-
B μαίνετο. ἐπειδὴ οὖν τὴν βασίλειον τελετὴν ὑπό τε τοῦ πατρὸς ἐτετέλεστο, προαγορεύουσιν αὐτῷ σαφῶς, ἅτε σαφῶς εἰδότες, τὰ μὲν ἄλλα πάντα, ἑσμούς δή τινας ἀγαθῶν, καὶ ὅτι χρεὼν εἴη τὸν ἀδελφὸν κακῇ μοίρᾳ καὶ Αἰγυπτίοις καὶ τῇ τοῦ πατρὸς ἑστίᾳ γενόμενον, εἰ μὴ μέλλοι πάντα συγχεῖν, ἐκποδὼν ποιεῖσθαι, τοῦ μήτε ὁρᾶν μήτε ἀκούειν τὰς διὰ τὴν Ὀσίριδος αὐτοῦ βασιλείαν εὐημερίας τε καὶ εὐετηρίας Αἰγύπτου. μηδὲν γὰρ ἀγαθὸν οἰστὸν εἶναι τῇ φύσει Τυφῶνος· παραδε-
C δώκασί τε αὐτῷ τὴν διπλῆν τῶν ψυχῶν οὐσίαν, καὶ τὴν ἀναγκαίαν ἀντίθεσιν, ἣν αἱ χαμόθεν ἔχουσι πρὸς τὰς ἄνωθεν. ταῦτ' ἄρα καθαίρειν τε ἠξίουν καὶ περιτέμνειν τῆς ἀγαθῆς τε καὶ θείας συστοιχίας φύσιν ἐχθράν, μηδὲν ἐπαισχυνθέντα τῆς ὑπ' ἀνθρώπων ὀνομαζομένης συγγενείας· μαλακισθέντι δὲ εἶπον ὅσα χρεὼν εἶναι παθεῖν αὐτόν τε καὶ Αἰγυπτίους, καὶ περιοίκους, καὶ ὅσων ἦρχον Αἰγύπτιοι· οὐδὲ γὰρ οὐδὲ ἀφανὲς τὸ κακὸν εἶναι, οὐδ' ἂν τὴν τυχοῦσαν ἐπιμέλειαν ἀρκέσειν τὰς ἐμφανεῖς τε αὐτοῦ καὶ λαθραίας ἐπιθέσεις ἀποταφρεῦσαί
D τε καὶ ἀμβλυνῶσαι. περιεῖναι γὰρ αὐτῷ προστάτας, χρῆμα ἰσχυρὸν δαιμόνων βασκάνων, ὧν εἶναι συγγενῆ καὶ παρ' ὧν εἰς γένεσιν προβεβλῆσθαι, ἵν' ἔχοιεν ὀργάνῳ χρῆσθαι τῆς εἰς ἀνθρώπους κακίας, ἐφ' ἣν ὁδῷ βαδίζοντες, καὶ ἐγεννήσαντο καὶ ἐθρέψαντο, καὶ ἐμαιώσαντο, καὶ εἰς τὸν οἰκεῖον τρόπον ἐπαιδεύσαντο, μέγα αὐτοῖς ἐσόμενον ὄφελος Τυφῶνα· ἓν ἔτι δεῖν οἴονται πρὸς τὸ πάντα ἀπέχειν αὐτῷ, ἰσχὺν τὴν ἀπὸ τῆς ἀρχῆς περιθεῖναι. οὕτω γὰρ ἔσεσθαι τέλεον ἐκ τελέου, μεγάλα κακὰ ποιεῖν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ποιεῖν καὶ βουλόμενον καὶ δυνάμενον· σὲ δὲ **A** δὴ καὶ στυγοῦσιν, ἔφη τις αὐτῶν, ὡς ἀνθρώπων μὲν κέρδος, σφῶν δὲ ζημίαν. συμφοραὶ γὰρ ἐθνῶν, εὐωχία φαύλων δαιμόνων. αὖθις οὖν καὶ πολλάκις ταῦτα ἐνουθέτουν τὸν ἀδελφὸν ἀποδιοπομπεῖσθαι, καὶ πόρρω ποι γῆς ἐρρεῖν, τὸ φύσει πρᾷον Ὀσίριδος εἰδότες τε καὶ ὁρῶντες, ὑφ' οὗ τελευτῶντες εἰπεῖν ἐξεβιάσθησαν, ὅτι χρόνον μέν τινα ἀνθέξει· λήσεται δὲ ἐνδοὺς καὶ καταπροδοὺς αὑτὸν καὶ πάντας ἀνθρώπους, ὀνόματος χρηστοῦ φιλαδελφίας, ἔργῳ τὰς **B** μεγίστας τῶν συμφορῶν ἀλλαξάμενος. ἀλλ' ὑμῶν γε, ἦ δ' ὅς, ἵλεων ὄντων καὶ ἀρωγῶν, οὔτε ὀρρωδήσω μένοντα τὸν ἀδελφὸν, καὶ ἐξάντης ἔσομαι τοῦ δαιμονίου μηνίματος. ῥᾴδιον γὰρ ὑμῖν ἢν ἐθέλητε καὶ τὸ παροφθὲν ἐξακεῖσθαι. ὑπολαβὼν δὲ ὁ πατὴρ, κακῶς ἔφη τοῦτο γινώσκεις, ὦ παῖ· ἡ γὰρ θεία μερὶς ἐν τῷ κόσμῳ πρὸς ἄλλοις ἐστὶ, τὰ μὲν πολλὰ κατὰ τὴν πρώτην ἐν αὐτῇ δύναμιν ἐνεργοῦσα, καὶ ἐμφορουμένη τοῦ νοητοῦ κάλλους. ἐκεῖ γὰρ ἄλλο γένος θεῶν ὑπερκόσμιον, ὃ συνέχει **C** μὲν πάντα μέχρις ἐσχάτων τὰ ὄντα· αὐτὸ δὲ ἀκλινές ἐστι καὶ πρὸς ὕλην ἀμείλικτον· ἐκεῖνο τοῖς μὲν φύσει θεοῖς τὸ μακάριον θέαμα· τὸ δὲ καὶ τὴν ἐκείνου πηγὴν ἰδεῖν, ἔτι μακαριώτερον. κατὰ ἐκεῖνο μὲν τῷ παρ' ἑαυτῷ μένειν, ὑπερπλῆρές ἐστιν ἀγαθῶν, ὑπερπλῆρες ὂν ἑαυτοῦ· τοῖς δὲ ἀγαθὸν τὸ πρὸς τὸν ἐκεῖ θεὸν ἐπεστράφθαι· οὐ μὴν ἁπλῆ τις ἐστὶν ἀγαθῶν οὐδὲ μονοειδὴς ἡ ἐνέργεια, ἀλλὰ καὶ μερίδων ἐπιμελοῦνται τοῦ κόσμου, τὴν ἐν τῇ θεωρίᾳ **D** πρᾶξιν ὅσον χωρεῖ καταβιβάζοντες εἰς τὸ ἐπιτρεπόμενον. τὸ μὲν οὖν εἰλικρινὲς αὐτῶν, εὐθὺς ὑπ' ἐκείνην μὲν τὴν προτέραν οὐσίαν τετάχαται· τάττουσι δὲ αὖθις τοὺς ἄγχιστα αὐτῶν, καὶ κάτεισιν ἐφεξῆς ἡ διαδοχὴ τῶν τάξεων μέχρις ἐσχάτων τῶν ὄντων, καὶ ἀπολαύει πάντα διὰ τῶν μέσων τῆς ἐπιμελείας τῶν πρώτων, οὐ μὴν ἐπίσης ἐστίν· οὐ γὰρ ἂν ἦν τὸ ἑξῆς· ἀλλ' ἀσθενεῖ κατιόντα τὰ ὄντα μέχρι πλημμελήσει καὶ παραχαράξει τὴν τάξιν·

cere volet, & poterit: te verò (aiebat ex iis aliquis) & hominũ vtilitati, & ipsorũ detrimẽto natũ odio prosequuntur. Gentiũ quippe calamitates prauorũ dæmonum epulæ sunt, & conuiuia. Hæc iterũ, ac sæpius hortabantur fraterno exitio procurari oportere, eũq; procul terrarũ sua cum pernicie, relegãdum esse, mite enim, & mansuetũ Osiridis ingeniũ perspexerãt; quod eos demũ impulit, vt eum per aliquod quidẽ tempus duraturum, mox tamen & se, & omnes mortales insciẽtẽ, ac imprudentem proditurũ esse dicerent, blandúmq; fraternæ charitatis nomẽ reipsa cum grauissimis calamitatib. permutaturũ. At vobis (inquit ille) propitiis, & bene fauẽtibus, neq; sospitem fratrem extimescam; & me à dæmonũ indignatione immunem illæsúmq; seruabo: facilè enim volentibus vobis est, vel idipsum quoque, quod incuria labefactatũ est, resarcire. Tũ pater sermonẽ excipiẽs. Perperã, inquit, hoc existimas, fili: diuina enim natura in hoc vniuerso aliis rebus occupatur, atque vt plurimum eam facultatẽ exercet, quæ in ea præcipua est, & intelligibilis pulchritudinis contemplatione satiatur. Nã illîc genus aliud deorum est mũdo sublimius, quod omnia quidem ad extrema vsq; fouet, atq; cõtinet, ipsum autem ad materiã & ad hæc inferiora demitti, flecti ve non potest. Porrò iis quidem qui natura dij sunt, fœlix est ista rerũ inferiorũ cõtẽplatio, altera autem deorũ, scilicet, superiorum, & ipsius vnde ista promanant fontis consideratio longe fœlicissima est: ex quo fit vt genus quidẽ illud deorum sublimius, cũ in seipso maneat, bonorum copia exuberet, quia seipso semper plenũ est: aliud verò inferiorũ genus suum ex eo bonum sortiatur, quod se ad sublimiorem diuinitatem conuertat. Neque tamen bonorum vna est, aut simplex efficacia, sed singularum totius vniuersi partium curam gerunt, in idque quod sibi commissum est quantum par est, eam quæ ex cõtemplatione oritur, actionẽ deriuant: atque qui ex iis puriore sunt, & sinceriore natura, statim primæ illi, ac principi naturæ subditi sunt, ab iisque vicissim qui proximi sunt instituuntur: ita fit vt seriatim ordinum illa successio ad eorum quæ sunt extrema vsque producatur, cunctáq; per ea quæ interiecta sunt superiorum prouidentiam, ac dispositionem, ad sese transmissam habeant, neque id tamen ex æquo; alioqui nulla esset continuata series, sed res ipsæ, quo per descensum à primis longius secesserunt, imbecilliores euadunt, donec peruerso, atque adulterato ordine penitus oberrauerint,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

in quo & res ipsæ esse desinunt: Cui simile quidpiam in inferioribus his rebus vsuuenit: Ea siquidem natura, quæ generationis particeps nullam certitudinem, aut constantiam habet, in corporea conditione infimam sedem obtinet, corruptionique maximè obnoxia est: cœlum autem ipsum principem locum sortitur, incorrumptúmque est, quadam animæ proportione respondens: Quod hi ergô illic, (deos inquit ostendens) hoc & dæmones sunt in hisce elementis perpetua agitatione constantibus, quorum temeraria est & præceps natura, quæque cùm plurimùm illinc discesserit, à concinna quoque diuinarum mentium dispositione abest longissimè. Quamobrem cùm fæx ista quodammodo rerum propriæ saluti tuendæ par non sit (fluxa namque est, neque ipsum esse sustinens, quod continua productione quadantenus æmulatur) dæmones verò, vtpote qui inferiori huic naturæ sint affines, deletrice atque exitiosa naturæ conditione præditi sint, necesse sanè est Deum sese interdum ad hæc inferiora conuertere, ac quædam auspicari initia; quibus præclarè ad tempus ista se habeant, quoad nimirum vis illa impellens in his perseuerat: Ac vt præstigiatorum sigilla, quæ fidiculis cientur etiam cessante eo à quo motus ille, agitatióque impressa est, incitantur, non multo id tamen tempore, propterea quod insitum non habent mouendi principium, sed quandiu vis impressa manet, nondúmque progressa, ab ortu suo remotior dissoluitur. Eadem planè ratione, Osiri charissimè, sic habeto: Quod rectè apud vos dispositum est cum diuina administratione vnà esse, & desinere, aliundéque esse profectum, idcóque animæ ipsæ rarò bonæ sunt, quanquam eiusmodi esse nonnũquam possint, & ipsa deorum administratio gubernatióque, cùm id munus obit, consentaneum quidem sibi quidpiam molitur, haud tamen priori illi vitæ, alia enim, eáque potiore fœlicitate gaudent, quoniam ei quod inferius est à superiori gubernari, quàm hæc inferiora disponere longè est nobilius, hoc enim auersione, illud conuersione illis accidit. Tu verò eiusmodi quoddam mysterium olim inspexisti, in quo bina oculorum paria præferuntur, quorum qui in inferiori loco sunt, superioribus diductis conniuent, illique vicissim clausis his patefiunt: Ergo ita tibi persuadeas, hoc esse contemplationis, & actionis Ænigma:

A ἐν ᾧ καὶ τὸ εἶναι τῶν ὄντων παύεται· γίνεται δέ τι περὶ τὰ τῇδε τοιόνδε. τὸ φύσει πλαῖον τῆς ἐν γενέσει φύσεως, τῆς τε σωματικῆς μοίρας τὸ ἔσχατον εἴληχε καὶ ἐπικηρότατον· οὐρανὸς δὲ τὸ πρῶτόν τε καὶ ἀκήρατον, καὶ ψυχῆς τὸ ἀνάλογον εἶδος ἐνείματο. ὅπερ οὖν οἵδε ἐκεῖ δεικνὺς ἔφη τοὺς θεούς, τοῦτο οἱ δαίμονες ἐν τοῖς πολυκλονήτοις στοιχείοις, φύσις ἔμπληκτος καὶ θρασεῖα καὶ τῷ πλήθει τῆς ἐκεῖθεν ἀποστάσεως, οὐκ ἐπαΐουσα τῆς εὐθημοσύνης τῶν θείων. οὐκ οὔσης οὖν τῆς ὑποστάθμης τῶν ὄντων
B πρὸς οἰκείαν σωτηρίαν ἀρκούσης· αὐτή τε γὰρ ὑπορρεῖ, καὶ οὐ παραμένει τὸ εἶναι· μιμεῖται δὲ αὐτὸ τῷ γίνεσθαι· καὶ τῶν δαιμόνων ἅτε συγγενῶν ὄντων τῆσδε φύσεως, ἀφανιστικὴν οὐσίαν λαχόντων, ἐπεστράφθαι μὲν ἀνάγκη τὸ θεῖον, καὶ ἐνδιδόναι τινὰς ἀρχὰς αἷς ἕπεται τὸ ἐνθάδε καλῶς ἐπὶ χρόνον, ἐφ' ὅσον ἡ ἔνδοσις ἤρκεσεν. ὥσπερ δὲ τὰ νευρόσπαστα ὄργανα κινεῖται μὲν, καὶ πεπαυμένου τοῦ τὴν ἀρχὴν τῆς κινήσεως ἐνδόντος τῇ μηχανῇ· κινεῖται δὲ οὐκ ἐπ' ἄπειρον· οὐ γὰρ οἴκοθεν
C ἔχει τὴν πηγὴν τῆς κινήσεως, ἀλλ' ἕως ἡ δοθεῖσα δύναμις ἰσχύει, καὶ οὐκ ἐκλύεται τῇ προόδῳ, τῆς οἰκείας ἀφισταμένη γενέσεως· τὸν αὐτὸν οἴου τρόπον, ὦ φίλε Οσιρι, τὸ μὲν καλῶς καὶ τὸ θεῖον ἅμα τε εἶναι καὶ οὐκ εἶναι τοῦδε τοῦ τόπου, καταπέμπεσθαι δὲ ἑτέρωθεν· καὶ διὰ τοῦτο ψυχαί τε ἀγαθαὶ μόλις, ἀλλὰ φανεῖεν ἂν ἐνταῦθα, καὶ ἐφορᾶσθαι θεῶν, ὅταν τοῦτο δρῶσιν, οἰκεῖα μὲν δρῶσιν, οὐ μὴν τῇ προτέρῃ ζωῇ· ἕτερον γὰρ αὖθις τὸ μα-
D κάριον, ὅτι τὸ ἀπολαύειν αὐτὸ κόσμου παρὰ τοῦ πρώτου τὸν πρῶτον, τοῦ κοσμεῖν τὰ χείρω μακαριώτερον. τὸ μὲν γάρ ἐστιν ἀπεστράφθαι, τὸ δὲ ἐπεστράφθαι. καί που τελετὴν ἐποπτεύσας, ἐν ᾗ δύ' ἔστον συνωρίδες ὀμμάτων, καὶ δεῖται τὰ κάτω μύειν, ὅταν δεδόρκῃ τὰ ὑπερκείμενα· τούτων δὲ μυσάντων, παρίσταται τὸ ἀνοίγεσθαι. οἴου τοίνυν αὐτὸ θεωρίας εἶναι καὶ πράξεως αἴνιγμα, τῶν μέσων παρὰ μέρος ἑκάτερον ἐνεργούντων,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A ἀλλ᾽ ἐν τοῖς τῶν τελεωτέρων πλέονι χρωμένων τῷ λῴονι, τῷ χείρονι δέ, ὅσα ἀναγκαῖα μόνον προσομιλούντων. ἔστιν οὖν καὶ ταῦτα ἔργα θεῶν, ἀναγκαῖα μὲν τῷ κόσμῳ δρώντων, οὐ μὴν προηγούμενα ἀγαθά, ὅτι καὶ ἄνθρωποι, νῦν μὲν οἰκουροῦσι μείω καὶ μείζω· νῦν δὲ φιλοσοφοῦσιν· ἀλλ᾽ ἐν τούτῳ θεσπεσιώτεροι. ἀπὸ τούτων οὖν συνίες ὅ, τι λέγω. μὴ ἀπαίτει τοὺς θεοὺς σαυτῷ προσεδρεύειν, ἔργον ἔχοντας προηγούμενον θεωρίαν τε καὶ τὰ πρῶτα μέρη τοῦ κόσμου, ἐν οὐρανῷ τε οὖσι καὶ πλεῖ- B στον ἀφεστῶσι, μήτε ἀπραγμάτευτον ἡγοῦ, μήτε ἀΐδιαν τὴν κάθοδον γίνεσθαι. τακτοὶ γὰρ χρόνοι κατακομίζουσιν αὐτοὺς κατὰ τὸ παράδειγμα τῶν μηχανοποιῶν, ἐνδώσοντας ἀρχὴν ἀγαθῆς ἐν πολιτείᾳ κινήσεως· τοῦτο δέ ἐστιν, ὅταν βασιλείαν ἁρμόσωσι, ψυχὰς συγγενεῖς δεῦρο κατακομίσαντες. θεία γὰρ αὕτη καὶ μεγαλομερὴς ἡ πρόνοια, δι᾽ ἑνὸς ἀνδρὸς ἐπιμεληθῆναι πολλάκις μυρίων ἀνθρώπων. αὖθις οὖν τὸ ἐντεῦθεν δεῖ πρὸς τοῖς αὐτῶν εἶναι· σὲ δὲ ἀπειλημμένον ἐν ἀλλοτρίοις, μεμνῆσθαι μὲν ὅθεν εἶ, καὶ ὅτι C λειτουργίαν τινὰ ταύτην τῷ κόσμῳ πληροῖς· πειρᾶσθαι δὲ σαυτὸν ἀνάγειν, ἀλλά μὴ τοὺς θεοὺς κατάγειν· ἔχειν δὲ προμήθειαν ἑαυτοῦ τὴν πᾶσαν, ὥσπερ ἐν στρατοπέδῳ ζῶντα ἐπ᾽ ἀλλοτρίας, ψυχὴν θείαν ἐν δαίμοσιν, οὓς εὔλογον γηγενεῖς ὄντας ἐπιτίθεσθαι καὶ ἀγανακτεῖν, ἤν τις ἐν τοῖς αὐτῶν ὅροις νόμοις ἀλλοφύλοις τηρῇ. ἀγαπητὸν οὖν ἀγρυπνῆσαι καὶ νύκτωρ καὶ μεθ᾽ ἡμέραν, μίαν ταύτην ἐπιμέλειαν ἔχοντα, μὴ ἁλῶναι κατακράτος ἕνα ὑπὸ πολλῶν, ξένον ὑπὸ αὐτοχθόνων. D ἔστι μὲν γὰρ τῇδε καὶ Ηρώων φῦλον ἱερὸν ἐπιμελὲς ἀνθρώπων, καὶ τὰ σμικρὰ ὠφελεῖν δυνάμενον, καὶ τὸ πρεσβύτερον ἀγαθόν. Ηρωος οὖν μετοικία τίς αὕτη, τοῦ μὴ ἄμοιρα τῆς λῴονος φύσεως τὰ τῇδε ὑπολείπεσθαι, καὶ χεῖρα ὀρέγουσιν ἐν οἷς δύναμις· ἀλλ᾽ ὅταν εἰς πόλεμον ψυχῆς ὕλη κινήσῃ τὰ οἰκεῖα βλαστήματα, σμικρὸν γίνεται θεῶν ἀπόντων τὸ ἐντεῦθεν ἀντίπαλον. ἰσχυρὸν γὰρ ἕκαστον ἐν τοῖς οἰκείοις·

dij enim omnes interiecti vicissim vtroque funguntur officio, ita tamen vt in potiori obeundo perfectiùs incumbant, ad id autem, quod est deterius exercendum sola necessitate adducantur. Hæc proinde & ipsa deorum munia sunt, quæ illi vniuerso quidem omnino necessaria præstare solent, non tamen præcipua: Non secus ac homines modò arctiùs, laxiúsve corporeis septis sese continent, modò sapientiæ nauant operam, in eóque propius ad diuinitatem accedunt: Ex iis igitur quæ dicam animo concipe. Ne tibi perpetuò deos adesse postulato, quorum primarium munus in contemplatione, & præcipuis mundi partibus situm est, quíque & in cœlo agunt, & sunt à vobis longè dissiti, neque facilem, ac nullo negotio paratum aut sempiternum illorum delapsum existimato: Certa temporum vicissitudine demittuntur, optimæ in gubernando incitationis, (quod Machinariorum opificum exemplo constat) quoddam quasi inuitamentum, & auspicatum daturi, quod tunc accidit, cùm ad temperandum imperij statum cognatæ huc animæ transmittuntur: Diuina enim hæc, & singularis prouidentia est, vnius interuentu prope infinitorum hominum curam suscipere. Ac ipsos quidem deinceps rerum suarum satagere, atque in iis versari necesse est. Te verò alienis rebus interceptũ & vnde sis meminisse oportet, & quoddam à te mundo huic officium adimpleri, enitendúmque vt tete erigas potius, quàm deos ipsos deprimas; sed & diligentissime tibi prospiciendum est quasi in peregrino solo in castris degenti, diuinæque inter dæmonas animæ, quos æquum est terra editos imminere, atque indignari, si quis intra suos fines peregrinis legibus vtatur. Bene itaque tecum agi putandum est, si noctes diésque insomnes agas, hac vna solicitudine defixus, ne te vnum quamplurimi peregrinum indigenæ violenter expugnent. Enimuero his in locis Heroum sacrum quoddam genus est de hominibus sollicitum, bonúmque in terris antiquius, à quo in minimis nonnihil adiumenti comparari possit. Heroum illa velut colonia est, ne expertes melioris naturæ sedes istæ relinquantur, & manum quidem, quoad possunt, vltro porrigunt; verum vbi materies bello animæ indicto suas in eam propagines, ac germina eduxit, leue est, & imbelle prorsus diis absentibus quòd illinc opponatur, quia in propriis quæque locis validiora sunt:

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

iam cùm illi ſuam imprimis in poteſtatem redigere volunt, tum hoc pacto adoriuntur: fieri non poteſt quin aliqua in terris animis hominum portio inſita ſit rationis expers; hanc qui è vulgo eſt palam præ ſe fert, ſapiens quaſi ſtrictim adhærentem gerit; nemo autem eſt qui ea ſit omnino deſtitutus: per hanc vti congenerem proditione facta dæmones animal inuadunt; Oppido enim ſimile eſt obſidioni quod tunc geritur; ac quemadmodum carbones facibus admotis citiùs incandeſcunt, quoniam ad concipiendum ignem, iampridem ſunt accommodati, ſic dæmonum natura perturbationibus plena, vel ipſa potius viuens, & mobilis perturbatio, ad animam accedens eius affectiones excitat, & ex naturali eiuſdem habilitate actionem elicit ſola id admotione perficiens: nam agenti id quod patitur ſimile ſemper efficitur; ita cupiditas, ita iracundia, & quæ his adfinia ſunt mala à dæmonibus inſtigantur, per congruas ſibi partes in animam irrumpentibus, quæ ipſorum aduentum naturali ſenſu percipiunt, mouentúrque, & ab illis, quo in animam inſurgant, robur accipiunt, donec animam aut penitus ſubegerint, aut capere ſe poſſe deſperent: certamen iſtud longe grauiſſimum eſt: nullum enim tempus, nullum modum, nullum oppugnandi locum intentatum relinquunt, & vnde nemo ſuſpicetur, inde etiam aggrediuntur; vndique laquei, vndique machinæ, vndique domeſtica bella concitantur, donec aut euicerint, aut ſpem omnem depoſuerint. Horum verò egregiorum certaminum, quorum tu coronam reportabis, ſpectatores è ſublimi dij ſunt; atque vtinam & poſteriorum auferas: vereor enim ne illis fœliciter confectis, in aliis victus abſcedas. Diuina namque animi portio cùm neque deteriori morem geſſerit, eámque ſæpius repreſſerit, & ad ſeipſam conuerterit, natura tandem illam roborari, ac ſolidiorem fieri patitur, vt & impetus omnes ſuſtineat, & velut ſplendore perfuſa, nullos amplius dæmonum illapſus recipiat, ita diuinum tunc, & vnum, integrum animal fit, eiuſmodíque eſt cœleſtis in terris arbos, quæ peregrinam inſitionem non admiſerit, ita vt fructus ex ea aliqui prodeant, ſed illud omnes in ſui ipſius naturam conuerterit, quare dæmones omni ſpe victoriæ abiecta, totis viribus poſterius certamen experiuntur, vt ſtirpem illam radicitus recidant, ac tanquam à ſe alienam diſperdant.

A οἱ δὲ πρῶτον μὲν * ἐθέλουσιν ἑαυτῶν ποιῆσαι· ἡ δὲ ἐπιχείρησις τοιάδε· οὐκ ἔστιν ἐπὶ γῆς εἰ μή τινα καὶ μοῖραν ψυχῆς ἄλογον ἔχοντα. καὶ ταύτην προβέβληται μὲν ὁ πολύς, περιήρτηται δὲ ὁ σοφός· ἔχειν δὲ ἀνάγκη πάντας. διὰ ταύτης ὡς διὰ συγγενοῦς ἐπὶ τὸ ζῷον ἔρχονται δαίμονες, προδοσίαν ποιοῦντες. ἀτεχνῶς γὰρ πολιορκίᾳ προσέοικε τὸ γινόμενον· ὥσπερ δὲ πάσχουσιν ἄνθρακες ὑπὸ δᾳδῶν· θᾶττον γὰρ ἐξάπτονται διὰ τὴν ἤδη πρὸς τὸ πῦρ ἐπιτηδειότητα· οὕτως ἡ δαίμονος φύσις ἐμπαθὴς οὖσα, μᾶλλον δὲ πάθος οὖσα ζῶν
B καὶ κινούμενον, πελάσασα ψυχῇ, τὸ ἐν αὐτῇ πάθος κινεῖ, καὶ παράγει τὴν δύναμιν εἰς ἐνέργειαν. παραθέσει γὰρ ἕκαστον δρᾷ· συνεξομοιοῦται δὲ ἁπλῶς τῷ ποιοῦντι τὸ πάσχον. οὕτως ἐπιθυμίαν, οὕτω θυμὸν ἐξάπτουσι δαίμονες, καὶ ὅσα ἀδελφὰ τούτων κακά, ψυχαῖς ὁμιλοῦντες διὰ τῶν προσηκόντων σφίσι μερῶν, ἅπερ τῆς παρουσίας αὐτῶν αἰσθάνεται φυσικῶς, καὶ κινεῖται, καὶ ὑπ᾽ αὐτῶν δυναμοῦται τοῦ νοῦ κατεξανιστάμενα, μέχρις ἂν κρατήσωσι τῆς ὅλης ψυχῆς, ἢ ἀπογνῶσι
C τὴν αἵρεσιν. οὗτος ἀγώνων ὁ μέγιστος· οὔτε γὰρ καιρός, οὔτε τρόπος, οὔτε τόπος ἐστίν, ὃν ἀνιᾶσι προσβάλλοντες, καὶ ὅθεν οὐκ ἄν τις οἴοιτο, κἀκεῖθεν ἐπιχειροῦσι. πανταχοῦ παγαί, πανταχοῦ μηχαναί, πάντα κινεῖ τὸν οἴκοθεν πόλεμον, ἕως ἂν ἐξέλωσιν, ἢ ἀπαγορεύσωσι· θεαταὶ δὲ ἄνωθεν οἱ θεοὶ τῶν καλῶν τούτων ἀγώνων, ὧν ἔσῃ στεφανηφόρος, ὡς εἴθε καὶ τῶν δευτέρων· ἀλλὰ δέος μὴ τούτους μὲν ἕλῃς, ἐν ἐκείνοις δὲ αἱρεθῇς. ὅταν γὰρ ἡ θεία μοῖρα τῆς ψυχῆς, μήτε ἀκολουθήσῃ τῇ χείρονι, καὶ ἀνακόψῃ πολλάκις αὐτήν, καὶ πρὸς ἑαυτὴν
D ἐπιστρέψῃ, φύσις ἐν τῷ χρόνῳ στομοῦται κἀκείνην, ὥστε ἀντέχειν ταῖς ἐμβολαῖς, καὶ οἷον γανωθεῖσα οὐκ ἔτι δέχεσθαι τὰς ἐκ τῶν δαιμόνων ἐπιρροάς. θεῖον οὖν οὕτως καὶ ἓν ὅλον τὸ ζῷον ὄντως τότε γίνεται· καὶ τοῦτό ἐστιν ἐπὶ γῆς φυτὸν οὐράνιον, ἐγκεντρισμὸν ἀλλότριον οὐ δεξάμενον, ὥστε ἐξ ἐκείνου φῦσαι καρπούς, ἀλλ᾽ εἰς τὴν ἑαυτοῦ φύσιν κἀκεῖνο μεταποιῆσαν· οἱ δὲ ἀπεγνωκότες αὐτοῦ, τότε δὴ παντελῶς ἤδη τὸν δεύτερον ἀγωνίζονται ἀγῶνα, ἐκκόψαι τε αὐτὸ καὶ τῆς γῆς ἐκτεῖψαι, ὡς ἂν μηδὲν σφίσι προσῆκον.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ γὰρ αἰσχύνονται τὴν ἧτταν, εἴ τις ἀλλόφυλος ὢν, ἐν τοῖς αὐτῶν τόποις κρατῶν περιέρχεται, τρόπαιον νίκης ὢν καὶ φαινόμενος. ὁ γὰρ τοιοῦτος οὐκ ἐν ἑαυτῷ μόνῳ ποιεῖ τὴν ζημίαν αὐτοῖς, ἀλλὰ καὶ ἑτέρους τῆς ἐπικρατείας αὐτῶν συναφίστησιν. ἀρετῆς γὰρ ζηλουμένης, ἔρρειν ἀνάγκη τὰ χείρω. διὰ ταῦτα μὲν ἐπιβουλεύουσιν ἀνελεῖν καὶ ἰδιώτην καὶ ἄρχοντα, πάντα ὁντινοῦν τὸν ἀφηνιάσαντα πρὸς τοὺς νόμους τῆς ὕλης. ἀλλ' ἐνταῦθα σὺ βασιλεὺς ὢν ῥᾷον ἅπαντος ἰδιώτου φυλάττοις. ἔξωθεν γὰρ ἐπιχειροῦσι, μὴ προχωρησάντων τῶν ἔνδοθεν, πολέμῳ καὶ στάσει καὶ ὅσα λωβᾶται σώματι, ὑφ' ὧν ἥκιστα ἂν αἱροῖτο βασιλεὺς προμηθὴς ὢν ἑαυτοῦ· ὡς ἔστιν ἄμαχον, ὅταν ἰσχὺς καὶ σοφία συγγένωνται· διαληφθῶσι δὲ ἀπ' ἀλλήλων, ῥώμη τε ἀμαθὴς, καὶ φρόνησις ἀσθενὴς, εὐκαταγώνιστοι γίνονται. ἠγάσω πάντως, ὦ παῖ, τὴν ἐν ταῖς ἱεραῖς εἰκόσι τῶν πατέρων ἐπίνοιαν, τὸν Ἑρμῆν. Αἰγύπτιοι διπλοῦν ποιοῦσι τὴν ἰδέαν τοῦ δαίμονος, νέον ἱστάντες παρὰ πρεσβύτῃ, ἀξιοῦντες, εἴπερ τις ἱερῶν μέλλει καλῶς ἐφορεύσειν, ἔννουν τε εἶναι καὶ ἄλκιμον, ὡς ἀτελὲς εἰς ὠφέλειαν θάτερον παρὰ θάτερον. ταῦτ' ἄρα ἡ σφὶγξ ἡμῖν ἐπὶ τῶν προτεμενισμάτων ἵδρυται, τοῦ συνδυασμοῦ τῶν ἀγαθῶν ἱερὸν σύμβολον, τὴν μὲν ἰσχὺν θηρίον, τὴν δὲ φρόνησιν ἄνθρωπος. ἰσχύς τε γὰρ ἔρημος ἡγεμονίας εὔφρονος, ἔμπληκτος φέρεται, πάντα μιγνύουσα καὶ ταράττουσα πράγματα· καὶ νοῦς ἀργὸς εἰς πρᾶξιν ὑπὸ χειρῶν οὐχ ὑπηρετούμενος. ἀρετὴ δὲ καὶ τύχη, μόλις μὲν, ἀλλ' ἐπὶ μεγάλοις συγγίνονται, ὥσπερ ἐπὶ σοῦ συνῆλθέτην. μηκέτ' οὖν ἐνόχλει τοῖς θεοῖς, οἴκοθεν ἐὰν ἐθέλῃς δυνάμενος σώζεσθαι. τούτοις γὰρ οὐκ ἔχει καλῶς ἀεὶ τῶν οἰκείων ἀποδημεῖν τοῖς ἀλλοτρίοις καὶ χείροσι φιλοχωροῦντας, εἰ μὴ καὶ ἀσεβὲς τὸ καλῶς κεχρῆσθαι ταῖς ἀπαρείσαις εἰς ἡμᾶς ἀφορμαῖς, πρὸς τὸ τηρεῖσθαι τάξει τε καὶ ἑπομένως τῷ δοθέντι κόσμῳ τὰ ἐπὶ γῆς. τούτου γὰρ ἀνάγκην ἐστὶ ποιούντων, τοῦ πάλιν αὐτοὺς ἥκειν πρὸ τῶν τεταγμένων χρόνων ἐπιμελησομένους τῶν τῆδε·

[A] Vinci enim illos pudet, dum externus aliquis in certamine superior, eorum in sedibus oberrat, qui victoriæ trophæum & sit, & esse videatur; is enim non in se vno ipsis detrimento est, sed alios præterea ex eorum ditione ad defectionem sollicitat; Etenim studiis hominum ad virtutem inflammatis pessundari peiora quæque necesse est: quibus de causis siue priuatum hominem, siue principatu, ac dignitate fungentem, siue quemlibet alterum materiæ iura contumacius detrectantem, ocyus amoliri conantur, in quo tamen cùm rex sis facilius tibi fuerit, quàm priuato homini prouidere.
[B] Extrinsecus enim appetunt, si malè intestini conatus successerint, bello, seditiõne, reliquísque corporis incommodis, quæ facilè nihilominus rex effugerit, si sibi ipsi prospexerit diligenter, vt demum firmissimum id propugnaculum sit, in quo cum prudentia, vis & potestas coniungitur: quæ si mutuo dissocientur, & inconsideratæ vires, & imbellis prudentia nullo negotio superantur. Omnino, ô fili, mirari tibi aliquando subiit patrium in sacris imaginibus commentum: Mercurium intelligo, quem duplici specie fingunt Ægyptij, iuuenem iuxtà senem collocantes, & idipsum præcipientes, si quis nostrum ritè sacra sit inspe-
[C] cturus, eum & sagacem, & fortem esse oportere; quando alterum sine altero parum adiumenti conferre potest: eadem ratione in sacrarum ædium vestibulis Sphingis effigies ponitur, sacrum vtriusque boni coniũgendi symbolum, quod qua parte bestia est, robur, ac vires corporis, qua verò parte homo est, prudentiam, & sagacitatem significat: vis enim corporis prudenti moderamine destituta præceps ruit, cuncta permiscens, atque confundens, miniméque idonea ad agendum ea mens est, quæ manuum officio caret: virtus autem & fortuna vix quidem vnquam, sed in maxi-
[D] mis tamen hominibus interdum coalescunt, quemadmodum in te coierunt. Desine itaque deos obtundere, qui, si velis, propriis tete opibus seruare possis; haud enim consentaneum est illos propriis sedibus relictis adeo libenter in aliena, & deteriora commigrare; nisi verò impium, aut irreligiosum est insitis in nobis subsidiis rectè vti posse, vt quæ in terra sunt, ad præscriptum moderamen congruo ordine, ac continuata successione foueantur: illud enim si commiseris, necesse erit ante præstituta tempora rursum eos ad hæc ima descendere, eorúmque curam capessere:

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Atqui nonnunquam dissoluto, aut marcescente eo concentu, qui ab ipsis antea fuerat temperatus, veniunt iterum vt eundem intendant, & quasi expirantem suscitent, gaudéntque hoc ipso opere, vt qui naturæ vniuersi quoddam istud munus exhibeant; aliàs perturbato illo, & planè disrupto, eorũ vitio, quibus commissus est, assecuti sunt, si nulla alia ratio hæc infima tueri possit. Quamobrem non minimis quibúsque, nec si in hac vel illa re delictum fuerit, Deus impellitur, aut eximius ille & singularis sit oportet, cuius gratia ex fœlici eo genere quisquam hûc adesse dignetur, sed vbi vniuersus ordo, & maxima quæque corrupta fuerint, tunc ventitare ipsos par est, vt alterius præbeant ordinationis initium. Non est ergo quod querantur homines, quibus sponte suscepta mala contingunt, neque quod deos appellent, quasi de seipsis minimè sint solliciti, prouidentia enim id vnâ exigit quod in eorum potestate situm est, alioqui in malorum sedibus mala versari mirum non est, sed id mirum si quidpiam hîc sit, quod non eiusmodi esse videatur: nam hoc inquilinum & alienum, & prouidentiæ acceptum referri debet, cuius beneficio si quis cessim non agat, vtatúrque paratis sibi ex ea subsidiis, potest omni parte esse fœlicissimus: non enim perinde est prouidentia, ac nuper editi infantis mater, quæ in omnibus iis, quæ aut aduolant, aut quoquo modo molesta sunt, repellendis cum negotio occupatur, quoniam ille adhuc imperfectus est, & propriis auxiliis destitutus; sed ei similis est, quæ aucto, & armis instructo puero, vti iam illum iubet, atque imminentia mala propulsare. Hæc tecum assidue meditare, hæc hominibus scitu dignissima esse persuasum habeto; hoc enim pacto, & prouidentiam esse aliquam existimabunt, & sibi ipsis prospicient, religiosíque simul & prouidi erunt, neque Dei curam putabunt à virtutis vsu dissidere. Vale, fratrémque, si sapis, reprime, ac tuum, & Ægyptiorum fatum prohibeto, id enim licet: sin remissiorem te, & indulgentiorem præbeas, sero tibi deos adfuturos existimato. Quæ cùm dixisset, eadem cum diis via decessit, hic autem in terris relictus est, terra neutiquam digna res, à qua subinde mala propulsare summo cum studio contendebat, non vi, aut imperio vsus, sed musis nempe, & Suadelæ sacra faciebat, sponte quemque sua legibus accommodans. Ac cùm à diis quæcumque aut aëris, aut aquæ,

A ἀλλά ποτε μὲν τῆς ἁρμονίας ἣν ἡρμόσαντο ἐκλυομένης τε καὶ γηρώσης, ἔρχονται πάλιν αὐτὴν ἐντενοῦντες, καὶ δὴ ἀποψύχουσαν ζωπυρήσοντες, καὶ τοῦτο δρῶσι χαίροντες, λειτουργίαν ταύτην τινὰ ἐκπιμπλάντες τῇ φύσει τοῦ κόσμου· ἄλλως τε ἥξουσιν ἐφθαρμένης τε αὐτῆς καὶ ῥαγείσης κακίᾳ τῶν παραλαβόντων, ὅταν μηδαμῶς ἄλλως οἷά τε ᾖ τὰ τῇδε σώζεσθαι. οὐκέτι ἐπὶ σμικροῖς, οὐδ' ὅταν ἁμαρτάνηται περὶ τὸ, καὶ τὸ, κινεῖται Θεός· ἢ μέγα τι χρῆμα ὁ εἷς ἐκεῖνος, δι' ὃν
B ἥξει τοῦ μακαρίου τις φύσεως ἐνταῦθα· ἀλλ' ὅταν ἡ σύμπασα τάξις καὶ τὰ μεγάλα φθείρηται, τότε δεῖ φοιτᾶν αὖθις ἐνδώσοντας ἀρχὴν ἄλλης διακοσμήσεως. μηδὲν οὖν ἀγανακτούντων ἄνθρωποι κακὰ αὐθαίρετα ἔχοντες, μηδὲ αἰτιάσθων τούσδε μὴ προνοεῖν σφῶν. ἡ γὰρ πρόνοια καὶ αὖθις ἀπαιτεῖ τὸ παρ' ἑαυτῶν εἰσάγειν. ἐπεὶ ἔν γε τῷ τόπῳ τῶν κακῶν, οὐ θαυμαστὸν εἶναι κακὰ, ἀλλὰ θαυμαστὸν, εἴ τι καὶ μὴ τοιοῦτον ἐνταῦθα. τοῦτο γὰρ μέτοικον καὶ ἀλλότριον, καὶ τοῦτο προνοίας δι'
C ἣν ἕξεστι μὴ ῥαθυμοῦντας, ἀλλὰ χρωμένους οἷς παρ' αὐτῆς ἔχομεν, πάντα πάντως εὐδαίμονας εἶναι. οὐ γάρ ἐστιν ἡ πρόνοια κατὰ τὴν μητέρα τοῦ νεογιλοῦ βρέφους, ἣν δεῖ πράγματα ἔχειν, ἀποσοβοῦσαν τὰ προσπετησόμενα καὶ λυπήσοντα· ἐκεῖνο γὰρ ἀτελές ἔτι καὶ οἴκοθεν ἀβοήθητον· ἀλλὰ κατ' ἐκείνην, ἥτις αὐξήσασά γε αὐτὸ καὶ ὁπλίσασα, χρῆσθαι κελεύει καὶ τὰ κακὰ ἀπορύκειν. ταῦτα φιλοσόφει τε ἀεὶ, καὶ τοῖς πᾶσιν ἄξια ἀνθρώποις εἰδέναι ἡγοῦ. καὶ γὰρ πρόνοιαν νομιοῦσι, καὶ ἑαυτῶν φροντιοῦσιν, εὐσεβεῖς τε καὶ ἐπιμελεῖς ἅ-
D μα γινόμενοι, καὶ οὐχ ἡγήσονται Θεοῦ τε ἐπιστροφὴν καὶ χρῆσιν ἀρετῆς στασιάζειν πρὸς ἄλληλα. ἔρρωσο· τὸν δὲ ἀδελφὸν εἰ σωφρονεῖς, κώλυε, τὴν σαυτοῦ τε καὶ Αἰγυπτίων εἱμαρμένην παραιρῶν· ἔξεστι γάρ. ἐνδοὺς γὰρ καὶ μαλακισθεὶς, ὀψὲ περιμενεῖς τοὺς Θεούς. εἰπὼν, ἀπῄει τὴν αὐτὴν τοῖς θεοῖς· ὁ δὲ ὑπελείπετο χρῆμα ἥκιστα τῆς γῆς ἄξιον, ὃς αὐτίκα προσεφιλονείκει τὰ κακὰ αὐτῆς ἐξορίσαι, μηδέν τι βίᾳ χρώμενος· ἀλλ' ἔθυε γὰρ πειθοῖ καὶ Μούσαις καὶ Χάρισιν, ἑκόντας ἅπαντας ἐναρμόζων τῷ νόμῳ· τῶν θεῶν δὲ ὅσα τε ἀὴρ φέρει,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A καὶ ὅσα ποταμοῦ δῶρα καὶ γῆς, ἁπάντων χορηγούντων ἄφθονα τῷ βασιλεῖ, ὁ δὲ τὰς μὲν ἀπολαύσεις ἀνίει τῷ πλήθει· αὐτὸς δὲ ἁπασῶν μὲν ῥᾳστώνην ἀπελίμπανεν· ἅπαντα δὲ πόνον ἀνῃρεῖτο, ὕπνου μὲν ὀλίγου, φροντίδων δὲ πλείστων μεταλαγχάνων, καθάπαξ εἰπεῖν, ἄσχολος ὢν ὑπὲρ τῆς ἁπάντων σχολῆς. ταῦτ' ἄρα καὶ καθ' ἕνα, καὶ κατ' οἴκους, καὶ κατὰ συγγενείας, καὶ πόλεις, καὶ νομοὺς ὅλους, ἀγαθῶν ἐπίμπλη πάντας ἀνθρώπους, τῶν τε εἴσω καὶ τῶν θυραίων. B ἀρετῆς τε γὰρ ζῆλον ἤσκησε, πρὸς ἓν τοῦτο πᾶν μάθημα, καὶ πᾶν ἐπιτήδευμα τάξας ἀσκεῖσθαι· καὶ γέρα προὔθηκε τοῖς ἀρίστοις ἄρχειν ἀνθρώπων, καὶ ποιεῖν ὁμοίους τοὺς ἀρχομένους· αὔξειν δὲ ἀνάγκη τὸ τιμώμενον. συνεπεδίδου δὴ παιδείας ἁπάσης ἔρως, ὅση τε τῆς γνώμης ἐστί, καὶ ὅση τῆς γλώττης. καὶ γὰρ τοὺς ἐν τῷ τοιῷδε διαφέροντας, οὐκέτ' ἦν ἀγελαίους ὁρᾶν, ἀλλὰ λαμπροὺς ταῖς παρὰ βασιλέως τιμαῖς τέχνην παρεχομένους ὑπηρέτιν φρονήσεως, ὅτι νοῦς πρέπουσι λέξεσιν ἀμπεχόμενος· τὸ δὲ εὖ τε καὶ χεῖρον ἐστάλθαι τὸν C αὐτόν, ὥσπερ ἄνδρα, καὶ εὐσχήμονα, καὶ ἀσχήμονα δείκνυσι. καὶ προπαιδείαν οὖν Ὄσιρις ἠξίου τιμᾶν· παιδείαν γὰρ ἀρετῆς ᾤετο πηγὴν εἶναι· εὐσέβειά γε μὴν, τότε δὴ μάλιστα πάντων καιρῶν Αἰγυπτίοις ἐπεχωρίασε. ταῦτα μὲν ψυχῆς ἀγαθά, καὶ εὐθηνοῦντο αὐτῶν ἐπὶ τῆς Ὀσίριδος βασιλείας Αἰγύπτιοι, ὡς ἐοικέναι τὴν χώραν ἀρετῆς διδασκαλείῳ, τῶν παίδων πρὸς ἕνα βλεπόντων τὸν ἡγεμόνα, καὶ δρώντων τε ἓν ὅ, τι ὁρῷεν, καὶ λεγόντων ἓν ὅ, τι ἀκούοιεν. D πλούτου δὲ αὐτὸς μὲν ἠμέλει· ὅπως δὲ πᾶσι παρείη, τούτου τὴν ἁπασῶν ἐπιμέλειαν εἶχεν, ἀδωρότατός τε ὢν καὶ φιλοδωρότατος. καὶ φόρους ἀνῆκε πόλεσι· καὶ ἀπορουμένοις ἐπέδωκε, καὶ τὸ πεπτωκὸς ἤγειρε, καὶ τὸ μέλλον ἰάσατο· τὴν μὲν εἰς μέγεθος ἦρε· τὴν δὲ εἰς κάλλος ἤσκησε· τὴν δὲ οὐκ οὖσαν προσέθηκε· τὴν δὲ ἐκλελειμμένην συνῴκισεν. ἀπολαύειν μὲν οὖν ἀνάγκη καὶ τὸν καθ' ἕνα τῶν κοινῶν ἀγαθῶν· ὁ δὲ οὐκ ἐπόνει καθιεὶς καὶ εἰς τὴν ὑπὲρ

terræue munera sũt, affatim omnia regi, cumulatéque suppeditarentur, earum ille rerũ vsum populo indulgebat, ipse omnia vitæ solatia respuebat, nullúmq; non laborẽ antiquiorem habebat, vt somni parcissimus, sic curarum solicitudinúmq; quamplurimarum particeps, & vt semel dicã, pro quiete, otióque omnium, ipse otij & quietis expers. Proinde & vnũquemq; sigillatim, & familias, & cognationes, & ciuitates, & prouincias vniuersas, omnes denique homines cum internorũ animi, tum externorũ bonorum omni genere cumulabat. Nam & virtutis æmulationẽ excitauit, ad id vnũ præcipiens omne studium, omnémq; disciplinã comparari, & iis præmia constituit, qui hominum regẽdorum peritia præ cæteris valerent, similésque sibi subditos præstare possent, id autẽ quod in honore est, inclarescere, atque augeri necesse est. Ita omnis eruditionis amor tã eius, quæ ad animi, iudicijque informationẽ pertinet, quã quæ in linguarum varietate posita est, noua in dies incrementa capiebat: nam qui in ea re præstarent cæteris, non iã gregarij plebeique erant, sed amplissimis ab rege honorib. afficiebantur, quod eam artẽ profiterentur, quæ artis, sapiẽtiæq; ministra est, sententiæ enim dum prodeũt ipsa quodammodo oratione vestiuntur, eæ verò si concinnè secúsve ornatæ fuerint, quod in homine accidere solet, aut speciosæ esse aut decore carere videntur. Osiris ergò illa liberaliũ disciplinarum rudimenta magni à suis fieri cupiebat, eruditionémq; fontẽ esse virtutis arbitrabatur. Pietas porrò, ac religio his maximè tẽporib. Ægyptiis vsitata, ac familiaris fuit. hæc erant animi bona, quæ tũ regnante Osiride mira apud Ægyptios vbertate floruerũt, vt ea ipsa regio virtutis scholæ quã simillima videretur, pueris vnũ rectorem, ac moderatorẽ intuentibus, vnũq; id faciẽtib. quod viderẽt, & quod audirẽt eloquẽtibus. Cæterũ diuitias ipse quidẽ neglectui habebat, aliis verò vt quã amplissimæ essẽt omni cura, ac diligentia prouidebat, vir vt in accipiendis muneribus restrictissimus, ita in dãdis munificẽtissimus, ac liberalissimus. Tributa siquidem ciuitatibus remisit, & in egenos largitione vsus est, cunctáq; quæ diruta, ac prostrata erant refecit, aut iam labentia, atque inclinantia resarciuit: ciuitates quâ ampliores, quâ venustiores reddidit, nouas aut extruxit penitus, aut desertas ciuibus frequentauit: Ac tametsi vnumquemq; necesse sit publicorum bonorũ esse participẽ; hic tamen graue sibi, ac molestũ minimè ducebat, vel ad huius, aut illius curam gerendã

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

sese demittere, adeóque illo regnante, nullo in homine mœror aut lacrymæ cerni potuerunt: neque Osiridem latebat quo cui opus esset, & quid quemque à fœlicitate retardaret; hic meritos sibi honores poscebat; concessit vltrò: Alter, quod libris totum se tradidisset, quærendis vitæ necessariis vacare non poterat, victum ei de publico procurauit; alium humanarum dignitatum tæderet, cui sua abundè ad victum suppetebant, publica tamen munera ægrè sustineret; nec ille clam Osiridem fuit, sed ab omni eum publico onere immunem fecit, haud importunè ab eo sollicitatus, sed ipse sponte sollicitans cùm nondum rogatus benigne condonaret, sapientiæ scilicet reuerentia liberum eum, & immunem, quasi Deo consecratum ratus esse oportere: Et, vt vno verbo dicam, nulla cuiquam res pro merito defuit, nisi si cui malum aliquod deberetur, cum eo verò pro meriti ratione non agebat; id enim magno studio efficere nitebatur, vt morum humanitate, & beneficiis etiam impudentissimos homines euinceret, ac sibi demereretur: eóque consilio fratrem eiúsque factiones facilè sese victurum sperabat, si virtutis magnitudine eorum animos immutaret, in hoc vno opinione falsus. Liuor enim non tam virtute reprimi, quàm exardescere, atque inflammari solet, qui cùm natura secundis rebus immineat, quo cumulatiùs obueniunt, eo & æmulatio, mœrórque in dies magis ac magis augetur. Quo tum infelix ille, & grauiter ingemiscens frater, Osiride imperante correptus est: sanè vt primum traditum ei regnum vidit, parum abfuit, quin moreretur, solo pessimum caput illidens, & columnis violenter impingens, multósque per dies cibo abstinuit, quamuis voracissimus esset, & quanquam vinosissimus, potu tamen sibi interdixit: somnum verò cùm maximè appeteret, peruigil agebat, insomniáque eum, quantumuis obnixè detrectantem inuadebant, oculis de industria conniuentibus, vt somni irritatione animus stimulante solicitudine leuaretur. Sed enim memoria ei qui illam deponere velit, peruicacissimè resistit; itaque oculos comprimenti malorum imagines obuersabantur, somnúmque si quando fortè raptim videret, somniando sese infœlicius habebat: quippe ob oculos recursabant collis ille, calculi, manus secundum fratrem sublatæ omnes, cumque libens expergisceretur, molestis imaginibus

A τοῦ ἔθνους φροντίδα, ὡς ἐπ' ἐκείνου λέγε-
σθαι, τὸ μηδένα ἀνθρώπων ὀφθῆναι δα-
κρύοντα· οὐδ' ἠγνόησεν Ὄσιρις, ὅστις ὅπου
δέοιτο, καὶ τί κωλύει, τὸν δεῖνα μακάριον εἶναι.
ὁ μὲν, δικαίας ἤρα τιμῆς, καὶ ἐπέδωκεν· ὁ
δὲ, ἐπὶ βιβλίοις προσανέχων, ἀσχόλως εἶχεν
ἐκπορίζειν τροφὴν, ἐν πρυτανείῳ σίτησιν
ἔδωκεν· ὁ δὲ τιμῆς μὲν ἀνθρωπίνης ἠ-
μέλει, καὶ τὰ προσιόντα αὐτὸν εὖ μάλα ἔβο-
σκε, λειτουργῶν δ' ἴσως ἤχθετο, οὐδὲ τοῦ-
τον ἠγνόησεν, ἀλλ' ἀνῆκε τῆς λειτουργίας,
οὐκ ἐνοχληθεὶς, ἀλλ' ἐνοχλήσας πρὶν
B αἰτηθῆναι δοῦναι, αἰδοῖ σοφίας ἀξιῶν τὸν
τοιοῦτον αὐτόνομον εἶναι καὶ ἄφετον, ὥσπερ ἱε-
ρὸν ἀνειμένον θεῷ. συνελόντα δ' εἰπεῖν, τῆς
ἀξίας οὐδεὶς ἡμάρτανεν, εἰ μὴ ὅτῳ κακόν
τι ὠφείλετο· τούτῳ δὲ οὐκ ἔνεμε τὴν ἀ-
ξίαν. φιλοτιμίαν γὰρ ἐποιεῖτο, πρᾳότητι
γνώμης καὶ χρηστοῖς ἔργοις καὶ τὸν ἀναιδέστα-
τον ἐκνικῆσαι. καὶ ταύτῃ γε ᾤετο τοῦ τε ἀ-
δελφοῦ καὶ συνωμοσίας αὐτοῦ περιέσεσθαι,
ἀρετῆς περιουσίᾳ μεταποιήσας τὰς φύσεις·
ἐν τούτῳ γνώμῃ σφαλλόμενος. βασκανία γὰρ
ὑπ' ἀρετῆς οὐ παύεται μᾶλλον, ἀλλ' ἐξά-
C πτεται. εἰ γὰρ φύσιν ἔχει τὸ ἀγαθοῖς ἐπιφύε-
σθαι, ὅσῳ περίεστι τἀγαθὰ, καὶ τὸ ἐπ' αὐ-
τοῖς λυπεῖσθαι συνεπιδίδωσιν· ὅπερ ἔπαθε
πρὸς τὴν Ὀσίριδος ἀρχὴν ὁ βαρύστονος
ἀδελφός. εὐθύς γε μὴν τὴν ἡγεμονίαν
παραλαμβάνοντος, μικρὸν ἐδέησεν ἀπολέ-
σθαι, τὴν κακὴν κεφαλὴν προσουδίζων τε
καὶ κίοσι προσαράττων· ἡμερῶν συχνῶν οὐ
προσηνέγκατο σῖτον, καί τοι βορώτατος ὤν,
ἀπεσείσατο ποτὸν, καί τοι φιλοινότατος ὤν.
ὕπνου μὲν ἐρῶν, ἄϋπνος διετέλει· ἐγρηγόρ-
D σει δὲ συνείχετο, καὶ μάλα ἀποδιοπομπού-
μενος, καὶ τὼ ὀφθαλμὼ μύων ἐπίτηδες, τοῦ
τὴν ψυχὴν ἀνεθῆναι τῶν κεντούντων τῆς
μνήμης· ἀλλ' ἔστιν ἡ μνήμη πρὸς τὸν ἐθέ-
λοντα καταθέσθαι φιλονικώτατον· ὥστε καὶ
μύσαντι, τῶν κακῶν ἡ φαντασία παρῆν, καὶ
ὕπνου δὲ, εἴ ποτε, παραδρέξαιτο, ὄναρ αὖ
ἀθλιώτερον ἔπραττεν, ἐν ὀφθαλμοῖς ὁρῶν
πάγον ἐκεῖνον, ψήφους ἐκείνας, χεῖρας ἐκεί-
νας ἐπὶ τὸν ἀδελφὸν ἀπαξαπάσας· καὶ διε-
ναστάντι δ' αὖ ἀσμένως μίσει τῆς χαλεπῆς

A ὄψεως, ἐπὶ χρόνον συχνὸν περιεβομβεῖτο τὰ ὦτα τῇ τῶν εὐφημούντων ἠχοῖ· οὔτε ἀτρέμας ἔχειν ὑπείχετο, τῆς ψυχῆς ἀγαλλούσης, καὶ προσκύπτοντα τῆς οἰκίας συμφοραὶ διεδέχοντο, καὶ ἐν λόγοις, καὶ ἐν ἔργοις, καὶ ἐν ᾠδαῖς τῶν ἁπάντων Ὄσιρις ἦν, ὡς μὲν καλὸς ἰδεῖν, ὡς δὲ σοφὸς εἰπεῖν ὁ νέος βασιλεὺς, καὶ τὸ μεγαλόφρον ὅτι οὐκ ἀλαζὸν, καὶ τὸ πρᾶον ὅτι ἀταπείνωτον. αὖθις οὖν ὑπενόστει καὶ κατεκλείετο, οὐκ ἔχων ὅ, τι τῷ ζῆν χρήσεται, οὔτ᾽ αὐτὸς, οὔθ᾽ ἡ γυνὴ, διωλύγιον ἄλλο κακὸν, ἑαυτῆς κομμώτρια, B θεάτρου καὶ ἀγορᾶς ἄπληστος, τὰς ἁπάντων βουλομένη τε καὶ οἰομένη ψυχὰς, πρὸς ἑαυτὴν ἐπεστράφθαι· παρ᾽ ὃ καὶ μείζω συμφορὰν ἐπεποίητο τῆς βασιλείας ἐκπεπτωκέναι τὸν ἄνδρα, ἐκείνως μὲν οἰομένη δημοσιεύσειν τὴν πολιτείαν ἐπὶ μείζονος ὑποθέσεως, καὶ καθηδυπαθήσειν τῆς ἐξουσίας. ἑαλώκει τε αὖθις ὁ Τυφὼς ἤδη πρεσβύτης ὢν, ὥσπερ παιδάριον Ἀφροδίτης ἀρχόμενον, καὶ ἦν αὐτῷ τὸ μέρος τῆς συμφορᾶς αἰδὼς τῆς ἀνθρώπου, πρὸς ἣν ἐπεφιλοτίμητο τὴν μεγίστην ἄρξειν ἀρχὴν, κἀκείνην τῆς C δυναστείας κοινώσεσθαι· ἡ δὲ καὶ ἐν ἰδιώτῃ βίῳ χρῆμα φανερώτατον ἦν, εὐδοκιμεῖν ἐν τοῖς πλεῖστον ἀντικειμένοις φιλοτιμουμένη, θηλυτάτη μὲν γυναικῶν τρύφημα προσεξευρεῖν, καὶ ἐπιποιῆσαι κάλλει, καὶ ἐνδεῶσαι τῇ φύσει· παραβολωτάτη δὲ ἀρρένων ἐπιθέσθαι σκέμματι, καὶ τολμῆσαι πεῖραν, ποικιλοπράγμων τε οὖσα καὶ καινοτόμος. παρεσκεύαστο δὴ πρὸς ταῦτά τε καὶ πρὸς τἄλλα, καὶ γυναῖκας ἑταιριστρίας, καὶ ἄνδρας πελάτας πάντας ὁμογνώμονας ἔχειν, καὶ χρῆσθαι πρὸς D ἃ ἐπεφύκει καὶ οἴκοι καὶ θύραζε. Ὀσίριδι δὲ καὶ ὅτι Γυναικωνῖτις ἦν, τὸ παιδάριον ἀνέμνησε τοῖς ἀνθρώποις ὁρώμενον, καί τοι τὸ παιδάριον ὁ Ὧρος, θέαμα σπάνιον ἦν· μίαν γὰρ ἀρετὴν Ὄσιρις ᾤετο γυναικὸς εἶναι, τὸ μήτε τὸ σῶμα αὐτῆς, μήτε τοὔνομα διαβῆναι τὴν αὔλιον. οὔκουν οὐδὲ τὸ ἐν ἄκρῳ γενέσθαι τῆς τύχης παρεκίνησε τοῦ καθεστῶτος τὴν σώφρονα, εἰ μὴ καὶ μᾶλλον ὑπὸ τῷ μεγέθει τῆς ἐξουσίας ἐκρύπτετο· ἐπεὶ μηδὲ αὐτὸς ὡς παρὰ τοῦτο εὐδαιμονέστερος ἐγαυνύσκετο·

offensus, diutius ei aures gratulantium vocibus personabant; neque quietem sustinebat excandescente animo; pedem verò domo efferentem, nulla non calamitas excipiebat: omnium in sermone factis carminibus Osiris celebrabatur, quãta in nouo rege, oris liberalitas, & sapientia esset, vtq; in eo animi magnitudo sine arrogantia esset, & sine abiectione humanitas; ad hæc subinde gradum referebat, rursúmque domi se abdebat, incertus quo se converteret, aut quam vitæ rationem iniret, cùm ipse, tum vxor eius, arduum quoddam, atque ingens malum, suiipsius ornatrix, ac theatri, forique insatiabilis, omnium in se animos conuerti credens, summéque desiderans: proinde maius sibi detrimentum ex eo accidisse ducebat, quod vir regno caruisset: illa enim ratione sperabat se maiori occasione rempublicam ita esse comparaturam, & per luxum, ac voluptatem imperio, atque potestate abusuram esse: Typho autem tum ætate prouectior, incredibili eius amore exardescebat, adolescentuli instar tum primum Venerem experientis, nec minima ei calamitatis pars mulieris pudor erat, coram qua summum se imperium adepturum, eámque in regni partem vocaturum ambitiosè iactauerat: illa verò etiam priuatim degens non obscurè ex duabus longe diuersissimis rebus gloriam affectare videbatur, cùm non modò mulieres omnes luxu, ac nouis in dies delitiis comminiscendis, fucandáque omni lenociniorum genere facie, & immoderata naturæ licentiâ superaret, verumetiam marium consilia audacissimè susciperet, temeréque tentaret, nouarum rerum studio, atque in rebus tractãdis solertia singulari: adhæc, aliáque id genus multa meretrices, clientésque, ac mercenarios eodẽ voluntatis ac studiorum consensu paratos habuerat, quibus domi forisue, ad quæ natura comparata erat exequenda commodè vteretur. Ositidi vero Gynæceum esse aliquando ab hominibus visus filius indicio fuit, quanquam raro admodum puer Horus in conspectum hominum prodiret: vnam enim hanc mulieris virtutem Osiris esse dictitabat, si neque corpus eius atriensi porta, neque nomen efferretur: quare nec modesta illa, & pudica mulier etsi summum fortunæ culmen attigisset, à receptis iam, & comparatis moribus desciuit, nisi forte quod præ potestatis magnitudine domi delitesceret, quando & ipse nihilo magis, quasi ex ea re fœlicior esset, exultabat

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

nimirum hoc intelligebat sibi, etiamsi imperij compos non fuisset, nihil ex eo tamen fœlicitatis decessurum, cuius quidem rei sibi ipsi quisque dispensator est, si vitæ probitatem sectari velit: propterea homines virtute, ac morum integritate præditos, siue priuatos, siue in aliquo magistratu, & dignitate constitutos in eadem versari hilaritate, ac tranquillitate videas: vniuersa enim hominum vita virtutis materia est: quemadmodum in Scena fabularum actores cernimus, quorum qui voci diligentissimè seruierit, is Creontem, aut Telephum nullo discrimine agere potest: neque ad præclarã, vehementémque vocis intensionem, aut ad theatrum suauissima carminis emodulatione detinendum plurimum intererit purpureásne, an pannosas vestes gerat, sed siue ancillam, siue heram, eadẽ gratia & concinnitate referet, vel si quam aliam personam induerit rectè eam vti gerat, ab eo Choragus postulat; ita nobis in maximo illo mundi totius actu vitas nobis, quasi personas, Deus, & fortuna circumposuit, neque aliud altero vitæ genus potius est, nec deterius, sed vnusquisque perinde vt potest eo vtitur. Ac qui bonus est vbicumq; honestè degere potest, seu mendicũ, seu monarcham assimulet, nec de persona plurimũ contendet; quandoquidem & tragœdiarum Actor is ridiculus fuerit, qui hanc renuat, aliã verò potius eligat: præsertim cùm qui anum præclare, ac cùm laude egerit, coronâ, & præconis voce celebretur, qui verò regis personã indecorè sustinuerit, omniũ sibilo, & procaci oris sonitu excipiatur, interdum lapidibus impetatur. Nullius nostrûm vita propria est, alienas verò extrinsecus circũfusas habemus. Nos autem eam facultatem, quæ intus his vtitur, quò præstantiorem, aut deteriorem facimus, palámque habemus, eo meliores, aut peiores sumus, viuentium quodãmodo fabularum actores, hinc illæ, quasi vestes quædam, indui, aut exui possunt. Cæterũ Osiris (is enim quid alienũ esset, quid peregrinum didicerat) fœlicitatẽ norat animo esse metiendam: sese igitur, domesticósq; omnes ita comparauerat, vt eodẽ omnes modo affecti, eodémq; animo præditi essent, neq; vel priuati, vel dignitatem aliquã gerẽtes, externas res vllo modo pertimescerẽt: alij cõtra (sensibus enim planè dediti erant, iudiciíque, ac mentis expertes, desides fortunæ amatores, & quod alienũ est, id sui esse propriũ existimãtes) turgebant inani quodã, & insolenti fastu, regnũ sollicitè obseruantes; quod vbi ad ipsos non peruasit, omni de seipsis abiecta

A ἀλλ᾽ ἤδει καὶ μὴ τυχὼν, οὐκ ἂν ἧττον εὐδαίμων γενόμενος. αὐτὸς γάρ τις ἕκαστος ἑαυτῷ τοῦ τοιούτου ταμίας, ἀγαθὸς εἶναι βουλόμενος. διὸ τοὺς μετ᾽ ἀρετῆς συζῶντας, ἰδιώτας τε ὄντας καὶ ἄρχοντας, ἴδοι τις ἂν ὁμοίως εὐθυμουμένους. ἅπας γὰρ βίος, ἀρετῆς ὕλη· καθάπερ ἐπὶ σκηνῆς ὁρῶμεν τοὺς τῆς τραγῳδίας ὑποκριτὰς, ὅστις καλῶς ἐξήσκησε τὴν φωνὴν, ὁμοίως ὑποκρίνεται, τόντε Κρέοντα καὶ τὸν Τήλεφον, καὶ οὐδὲν τὰ λουργῆ τῶν ῥακίων διοίσει, πρὸς τὸ μέγα καὶ καλὸν ἐμ-
B βοῆσαι, καὶ καταλαβεῖν ἠχοῖ τοῦ μέλους τὸ θέατρον. ἀλλὰ καὶ τὴν θεράπαιναν καὶ τὴν δέσποιναν μετὰ τῆς αὐτῆς ἐπιδείξεται μουσικῆς, καὶ ὅ, τι ἂν περιθῆται προσωπεῖον, τὸ καλῶς αὐτὸν ὁ χορηγὸς τοῦ δράματος ἀπαιτεῖ· οὕτως ἡμῖν Θεὸς καὶ τύχη περιτιθέασιν ὥσπερ προσωπεῖα τοὺς βίους ἐν τῷ μεγάλῳ τοῦ κόσμου δράματι, καὶ οὐδέν τι μᾶλλον ἕτερος ἑτέρου βίος βελτίων ἢ χείρων· χρῆται δὲ ὡς ἕκαστος δύναται· δύναται δὲ ὁ σπουδαῖος ἁπανταχοῦ καλῶς διαγί-
C νεσθαι, κἂν τὸν πτωχὸν, κἂν τὸν μονάρχον ὑποκρίνηται· διοίσεται δὲ οὐδὲν περὶ τοῦ προσωπείου· ἐπεὶ καὶ ὁ τραγῳδὸς γελοῖος ἂν γένοιτο, τὸ μὲν φεύγων, τὸ δὲ αἱρούμενος. καὶ γὰρ ἐν τῷ τῆς γραὸς εὐδοκιμῶν στεφανοῦταί τε καὶ κηρύττεται, καὶ ἐν τῷ τοῦ βασιλέως ἀσχημονῶν, κλώζεται καὶ συρίττεται, ἔστι δὲ ὅπῃ καὶ λίθοις βάλλεται. βίος γὰρ οὐδεὶς οἰκεῖος ἡμῶν· ἀλλοτρίους δὲ ἔξωθεν περικείμεθα· ἡμεῖς δὲ τὸ χρώμενον ἔνδοθεν, ἀμείνους καὶ χείρους αὐτοὶ ποιοῦντές τε καὶ δεικνύντες, ἀγωνισταὶ ζώντων δραμάτων. ταῦτ᾽ ἄρα ὥσπερ
D ἐσθῆτάς ἐστιν αὐτοὺς ἀμφιέσασθαι καὶ μεταμφιέσασθαι. Ὄσιρις μὲν οὖν· ἐπεπαίδευτο γὰρ, τί τὸ οἰκεῖον καὶ τί τὸ ἀλλότριον· μέτρον εὐδαιμονίας ἠπίστατο τὴν ψυχὴν οὖσαν· αὐτόν τε οὕτω καὶ τοὺς οἴκοι παρείχετο, τοὺς αὐτοὺς τὰς γνώμας, ἰδιώτας καὶ ἄρχοντας ἀνεκπλήκτους ὑπὸ τῶν ἔξωθεν. οἱ δὲ, αἰσθήσει τε γὰρ ἔζων, καὶ νοῦς ἀπῆν, ἐρασταὶ τύχης ἀμαθεῖς, οἰκεῖον ἑαυτῶν ἡγούμενοι τὸ ἀλλότριον, φύσης τε ἦσαν ἔμπλεῳ, τὴν βασιλείαν καραδοκήσαντες, καὶ ὡς οὐκ ἦλθεν ἐπ᾽ αὐτοὺς, ἀπεγνώκεσαν ἑαυ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὴν, καὶ οὐδὲν ἐνόμιζον εἶναι βιώσιμον· αὖθις τε καὶ πολλάκις εἰρῆσθαι ἄξιον, ἀνθρώποις ἀπαιδευσίας κανὼν, μὴ περιμένειν βίον, ὥσπερ ἐν τραπέζῃ μερίδα, ἥ τις περιαγομένη γένοιτο καθ' ἡμᾶς, ἵνα ἀνελώμεθα· ἀλλὰ αὐτὸν εἶναι τὸν προαρπάζοντα καὶ ὑφαιρούμενον. τυχὼν μὲν γὰρ ὁ τοιοῦτος, καταγέλαστος ἔσται, συμπότης ὢν ἄκοσμος, καὶ τῷ τιθέντι τὸ συμπόσιον ἀπεχθήσεται, τό γε ἐφ' ἑαυτῷ, ταράττων ἀνελευθερίᾳ τὴν τάξιν· μὴ τυχὼν δὲ, ταῦτά τε, καὶ προσέτι κλαύσεται παιδαρίου δίκην, τῆς περιενεχθείσης μερίδος καὶ εἰς τὸν πλησίον ἐλθούσης αὐτὸς ἐξεχόμενος· ὧν τὰ παραπλήσια Τυφῶνι πάντα παρῆν. καὶ γὰρ θεοῖς ἀπήχθετο, καὶ αὐτὸς ὠδύρετο, καὶ τὸ πρᾶγμα γέλως ἐγεγόνει τῷ πλήθει. οὐδὲ ὅτι γὰρ συχνῶν μηνῶν ἀνεπεπτώκει, καὶ καθημέραν ἐπίδοξος ἦν ἀποθανεῖσθαι, οὐδὲ τοῦτο ἔλεον, ἀλλ' ὀργὴν μὲν ἐκίνει τοῖς ἀνδρειοτέροις, γέλωτα δὲ τοῖς μαλακωτέροις τὰς γνώμας, ὡς ἤδη τὸ πρᾶγμα προοίμιον εἶναι καὶ ἐρώτημα πρὸς τοὺς ὠχριῶντας, μή τι τἀδελφῷ σου καλόν; κἂν ἀπολώλει δικαίως ὑφ' ἑαυτοῦ, γενόμενος ἔκδοτος τῷ κακῷ· νῦν δὲ ἡ παλαμναία γυνὴ, καὶ ἐν τοῖς δεινοῖς οὖσα λίαν γυνὴ, ἑαυτήν τε καὶ ἐκεῖνον ἐπανήγαγεν, ἀεί ποτε αὐτῷ ῥᾳδίως χρωμένη, καὶ τοῦ δακρύειν ἀφίστη δὴ πρὸς ἑαυτὴν ἀσχολοῦσα, πάθει πάθος ἐκκρούουσα, ἡδονῇ λύπην ἀποικοδομουμένη. οὕτως οὖν ἀνεπάλαισε, παρὰ μέρος εἴκων τοῖς ἐναντιωτάτοις κακοῖς. νῦν μὲν ᾤμωζε, νῦν δὲ ὤργα· παιδάριά τε ἀκολαστότερα, τότε δὴ καὶ πλείους μᾶλλον εἰς τὴν οἰκίαν εἰσερρύησαν, ~~καὶ κῶμοι~~, καὶ πότοι, οὗ συνδιαφέρειν αὐτοῖς τὸν χρόνον, καὶ τῆς ψυχῆς τὴν ἄλην παραμυθεῖσθαι· καὶ τἄλλα ἐμηχανῶντο, ὡς ἂν ἥκιστα τῶν Ὀσίριδος ἀγαθῶν μεμνῆσθαι σχολάζοιεν· καὶ κολυμβήθρας ἐποίουν, καὶ νήσους ἐν κολυμβήθραις, καὶ ἐν ταῖς νήσοις θερμὰ χειροποίητα, ἵνα γυμνοῖντό τε ἐν ταῖς γυναιξὶν ἐπαλλήλοις, καὶ ἀνέδην ἐπιθορνύοιντο. ἀμφὶ ταῦτα οὖσιν αὐτοῖς, καὶ ἡ τῆς τυραννίδος ἐπίθεσις ἐπὶ νοῦν ἔρχεται ὑποθήκῃ φαύλων δαιμόνων, οἳ τόν τε τρόπον ὑφηγοῦνται, καὶ τἄλλα ἀναφανδὸν ἤδη συν-

A spe, vitam sibi vitalem nequaquam esse ducebant. Sanè meritò id iterum ac sæpius inculcandum est mortalibus inscitiæ regulam esse, vitæ nostræ conditionem non expectare vt in conuiuij fercula, quæ circumlata ad nos, vt ea capiamus deuentura sunt, sed ipsum vi occupare, ac præripere. Eiusmodi namque si illorum compos fuerit, ridiculum sese præbebit, ineptus, ac inurbanus conuiua, & conuiuatoris offensionem incurret, sordida illiberalitate ordinem, quantum in se est, perturbans: sin minimè assequatur, præter hæc omnia pueri insuper in modum ploraturus est, è circumacta parte, eaque quæ ad proximum
B peruenit anxiè suspensus: quibus simillima Typhoni omnia contigerunt: nam & diis infensus erat, & acerbissimè lugebat, & ea res risu populi excipiebatur: neque enim quod is per multos menses mœrore elanguerat, quod quotidie iamiam moriturus videbatur, populi miserationem excitauit, sed fortiores quosque ad iracundiam, molliores, & remissiores ad risum prouocabat, itaut iam istud in prouerbium euaderet, sciscitarentúrque ab eo quem pallidum animaduerterent, num aliquod fratri bonum obtigisset? Ac sibiipsi quidem meritò
C mortem consciuisset, mali ipsius vehementia in transuersum raptus, ni execranda illa vxor, muliebrique supra modum in periculis animo sese iuxta, atque illum reduxisset, quæ cùm eo alioqui facili vteretur, tum maximè sui copiam faciens, à mœrore hominem, luctúque reuocauit, concitatum animi affectum alio affectu repellens, ac dolorem voluptate destruens; ita demum ad se rediit vicissim diuersissimis malis succumbens, cùm aliâs gemeret, aliâs libidine & voluptate turgeret. Tum verò maxima impudicorum puerorum multitudo cum pernicie domū irrupit, comessationésque, & compotationes frequentissimæ, vt earum
D rerum consuetudine tempus falleret, atque ægritudinem animi subleuaret: cæteráque est studio excogitata, vt in assiduo occupationum concursu quàm minima esset bonorum Osiridis recordatio: proinde piscinas extruxerunt, & in piscinis insulas, rursúsque in insulis Thermas arte, manúque factas, vt inter mulieres promiscuè nudarentur, palámque ac nullo discrimine inirent; quæ cùm agerent, ecce tyrannidis affectatio prauorum dæmonum subornatione in animum iis incidit, qui rei agendæ modum omnem, & rationem suggerebant, cæteráque iam tum apertè præ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

sentes, atque oberrantes instruebant: haud enim tolerabile iis visum est sua temere, & nullo honore pessum agi, cùm & prudentia vigeret, & pietas inualesceret, & omni iniuria depulsa, recepta in animos hominum concordia foret, bonorúmque omnium status integer, & florentissimus esset. Lacrymarum Ægyptiis nihil præter nomen relictum erat, fausta, ac læta omnia, omnia congruo ordine temperata, republica, quasi animali quodam, legem animæ instar complectente, & sese per seipsam mouente, partibúsque toti concentu quodam respondentibus: his dæmones extimulari, ea certatim adoriri, hominibus tanquam cognatis instrumentis ad id labefactandum vti. Itaque duobus in mulierum conclauibus adornatum, & conflatum hoc scelus est. Nam in regia ciuitate auxiliorum Præfecto ædes erant, qui cum exercitu ab Ægyptiis in expeditionem mittebatur: tum autem bellum ab his haud fœlici successu cum aliquot cohortibus gerebatur, quæ ab ipsis defecerant, populatáque, & direpta fuerant nonnulla Ægyptiorum oppida, dæmonibus hoc ipsum ad fabulæ actum molientibus. Ad illius ergo vxorem dies noctésque sæpius ventitans Typhonis vxor, barbaræ & stolidæ anui, veteratoria, & Cercopum artibus instructissima fœmina haud difficilè persuasit, sibi & eam curæ esse, & grauissimum, quod iampridem præuiderit, malum impendere, si Osiridi ex animi sententia res successerint, eum enim prod.tionem suspicari, bellúmque arbitrari ex compacto inter eos exerceri, Barbaris eodem animorum consensu castra dirimentibus. Certum est igitur, inquit, omni ipsum vi, aut artificio reuocare, simúlque arma deposuerit, abrogato imperio, malè eum téque, & liberos perdere, hos inquam ingenuos, hos præclaros alumnos, hos ipsos ante pubertatem interimere statuit, vnáque collacrymans blandè puerulorum mentum attrectabat, beneuolentiam miseratione simulans. At scythica anus statim lugere cœpit, iamiam mala ipsa coram intuituram se, & perpessuram existimans, illa verò noua quotidie indicia, signáque his addebat, quasi occulta in eos consilia renunciaret. Omnino enim regno profligandos Scythas, idque in dies Osiridem moliri, militares ordines supplentem, reliquáque prouidentem, vt cæsis, pulsisve barbaris soli per sese habitarent;

A διῴκουν, παρόντες τε καὶ συμπαρεόντες. οὐ γὰρ οἰστὸν ἦν αὐτοῖς ὁρᾶν τὰ σφέτερα ἀτίμως ἔρροντα, φρονήσεως ἀσκουμένης, εὐσεβείας ἐπιδιδούσης, ἀπεληλαμένης μὲν ἀδικίας, εἰσῳκισμένης δὲ ὁμονοίας, ἀγαθῶν ἁπάντων ἀνθούντων. τὸ δακρύειν Αἰγυπτίοις, ὄνομα λοιπὸν ἦν, πάντα εὔφημα, πάντα ἐν κόσμῳ, τῆς πολιτείας ὥσπερ ἑνὸς ζώου ψυχὴν ἐχούσης τὸν νόμον, καὶ κατ' αὐτὸν κινουμένης τῶν μερῶν τῷ παντὶ συμφωνούντων. ταῦτα ἐξοιστρᾷ, τούτοις ἐπιφύονται δαίμονες ὀργάνοις συγγενέσι χρώμενοι B ἀνθρώποις· τυροῦται δὴ τὸ κακὸν ἐν δύο γυναικωνίτισιν. ἑστία γὰρ ἦν ἐν τῇ πόλει τῇ βασιλίδι τῷ στρατοπεδάρχῃ τῶν ἀλλοφύλων, ὃς αὐτός τε καὶ τὸ πλῆθος Αἰγυπτίοις ἐδόκουν στρατεύεσθαι· τότε δὲ πόλεμόν τινα ἔπραττον οὐκ εὐτυχῆ πρὸς μοῖράν τινα αὐτῶν ἀποστᾶσαν, καὶ κῶμαί τινες Αἰγύπτιαι κακῶς ἐπεπράγεσαν, τῶν παρεσκευακότων ἐπὶ τὸ δρᾶμα δαιμόνων. παρὰ τὴν τούτου γυναῖκα φοιτῶσα μεθ' ἡμέραν καὶ νύκτωρ ἡ γυνὴ τοῦ Τυφῶνος, οὐ χαλεπῶς ἀναπείθει βάρβαρον γραῦν καὶ ἀνόητον, τὸ παιπάλημα τὸ C κερκώπειον, ὅτι τε αὐτῆς προκήδοιτο, καὶ ὅτι προορῷτο κακὸν ἐπ' αὐτοὺς ἧξον, εἰ Ὀσίριδι κατὰ νοῦν εἴη τὰ πράγματα. προδοσίαν γὰρ αἰτιᾶται, καὶ συγκείμενον πόλεμον οἴεται πολεμεῖσθαι, τῶν βαρβάρων ἐν κοινωνίᾳ γνώμης μερισαμένων στρατόπεδα. ἔγνωκεν οὖν, φησὶν, ἐπαναγαγεῖν τε αὐτὸν ἁπάσῃ βίᾳ καὶ μηχανῇ, καὶ ἐπειδὰν τάχιστα ἀπὸ τῶν ὅπλων γένηται, παραλύσας τῆς ἀρχῆς, κακῶς αὐτόν τε καὶ σὲ καὶ παῖδας ἀπολέσαι· τοὺς γνησίους δὴ τούτους τὰ πάγκαλα θρέμματα, καὶ τούτους ἔγνωκεν ἀποσφάξαι πρὸ ἥβης· καὶ ἅμα D ἐδάκρυσεν αὖ ὑπογενειάζουσα τὰ παιδάρια, εὔνοιαν οἴκτῳ προσποιουμένη· ἡ δὲ γραῦς ἡ Σκυθὶς, ᾤμωξεν αὐτίκα οἰομένη κατ' ὀφθαλμοὺς ὄψεσθαι τὰ δεινὰ, καὶ αὐτὴ πείσεσθαι. ἡ δὲ ἄλλο προστίθησι δεῖγμα, καὶ καθ' ἡμέραν ἄλλο, βουλεύματα δῆθεν ἐξαγγέλλουσα τῶν ἐπ' αὐτοὺς ἀπορρήτων. ὅλως γὰρ ἐκτριβήσεσθαι τὸ Σκυθικὸν ἐκ τῆς χώρας, καὶ τοῦτο ὁσημέραι πράττειν Ὄσιριν, καταλόγους τε ἀφανῶς πληροῦντα, καὶ τἆλλα προμηθούμενον, ὅπως ἐφ' ἑαυτῶν οἰκοῖεν Αἰγύπτιοι, τοὺς βαρβάρους ἢ κατακόψαντες, ἢ ἐξελάσαντες·

τοῦτο

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A τοῦτο δὲ ἔσεσθαι ῥᾷστον, ἐπειδὰν τὸν ἄρχοντα
σφῶν ἰδιώτην τε ἀποδείξῃ τὸ πινακίδιον
πέμψας, καὶ ὑπαγάγῃ τῷ νόμῳ. τούτου
διακεχειρισμένου, τοὺς ἄλλους οἴεται μικρὸν
ἔργον ἔσεσθαι. καὶ νῦν ὁ Τυφώς, φησὶν, οἴκοι
δακρύει. τὰ γὰρ ὑμέτερα φρονεῖ, καὶ τοῖς βαρ-
βάροις ἀεὶ πεπολίτευται, δι᾽ οὓς καὶ τῆς βα-
σιλείας ἡμάρτομεν, οὐ παραγενομένους ἐν τῷ
καιρῷ τῆς ἀναρρήσεως· ἐκείνως ἂν νῦν Αἰ-
γυπτίοις ἐμπαροινεῖν ἐξῆν, καὶ τὰ ἀγαθὰ
τὰ τούτων ἔχειν ὑμᾶς, ὡς ἀνδραπόδοις τοῖς
κυρίοις χρωμένους· ἀλλ᾽ οὔθ᾽ ὑφ᾽ ὑμῶν ὠφε-
B λήμεθα τότε, καὶ νῦν ἀδύνατοι βοηθεῖν ἐσ-
μὲν, συμφορᾷ μέν τοι κεχρήμεθα, τῶν δει-
νῶν ἤδη πελαζόντων τοῖς φίλοις. οὕτω κα-
ταστρατηγήσασα τῆς γραὸς, εἰς τοὔσχατον ἐκ-
δειματώσασα, ὡς δὴ ἀφύκτων ὄντων, ὡς
ἅλις εἶχεν, ἑτέραν προσβάλλει μηχανὴν,
τοῦ δέους ἐπανάγειν τὴν βάρβαρον, ἤδη μα-
θοῦσαν ἕπεσθαι παραγούσῃ τὴν γνώμην,
καὶ κατὰ μικρὸν ἐρρώννυ, καὶ ἐλπίδων ἐπίμ-
πλη· ἀλλὰ μέγα, ἔφη, τὸ βούλευμα, καὶ
C καινῆς δεῖ τόλμης, ἵνα μὴ ἐπ᾽ Ὀσίριδι ὦμεν
ζῆν, ὅτε βούλοιτο. ᾐνίξατο τὴν ἐπανάστασιν
ἀμυδρῶς τὸ πρῶτον· εἶτα προεδήλωσεν, εἶ-
τα ἀπεκάλυψε, κατὰ βραχὺ προσεθίζουσα,
τῷ τε ἀκροάματι καὶ τῷ τολμήματι, ἕως
τελευτῶσα τὴν περιδεᾶ θρασεῖαν ἐποίησε,
τὸ μηδὲν δεικνῦσα τὰ Ὀσίριδος, ἐκείνων ἐ-
θελόντων. ὁ γὰρ νόμος, ἔφη, καὶ ἡ συνήθεια
τῆς τιμῆς, καὶ τἀρχαῖον καὶ πάτριον, τοὺς
μὲν νωθεῖς ἑκόντας δουλοῖ· ὁ δὲ ἀφηνιάσαι
ἀσθενῶν πειρᾶται, καὶ ἐλεύθερός ἐστιν ὁ τὴν
ἰσχὺν ἔχων, ἢν μὴ καταπλαγῇ τῇ γνώμῃ
D πρὸς τὴν συνήθειαν· ὃ μὴ πάθωμεν ἡ-
μεῖς, ὑμῶν ἐν ὅπλοις ὄντων· Ὀσίριδος δὲ
οὐδὲν, ἀλλ᾽ ἢ θεοῖς τε εὐχομένου, καὶ νῦν
μὲν πρεσβείαις χρηματίζοντος, νῦν δὲ δί-
κας ἐκδικάζοντος, νῦν δὲ ἄλλο τι τῶν εἰ-
ρηνικῶν πράσσοντος. οὐ γὰρ μή ποτε κοι-
νωσαμένων καὶ συνεισαγαγόντων ἡμῶν μὲν
τὴν εὐγένειαν, ὑμῶν δὲ τὰς χεῖρας, Ὄ-
σιρις Σκυθῶν ἐπὶ κακὸν ἔσται. δόξετε γὰρ
οὐδὲ μέγα τι παραχαράττειν, οὐδὲ τὰ Αἰ-
γυπτίων κινεῖν, οὐδὲ μεθιστάναι τὴν πολιτείαν,
ἀλλὰ καθιστάναι καὶ διατιθέναι τῷ παντὶ λῷον,

A hoc autem facillimum fore, postquàm il-
lorum principem per codicillos præfectu-
ra amotum legibus subdiderit, quo inter-
empto cæteros leui negotio exterminatu-
rum se arbitratur. Vt nunc, inquiunt, Ty-
pho domi mœrens sedet, vobis enim im-
pensius fauet, suáq; in Rep. tractanda con-
silia in iuuandis barbaris semper colloca-
uit, propter quos & ipsi regno excidimus,
quoniam creationis tempore defuerunt:
quòd si factum esset, nunc Ægyptiis insul-
tare, eorúmque bona inuadere, ac iis tan-
quam mancipiis dominis vti liceret: sed
neque vos quicquam in ea re tum profui-
B stis, nec nos ad ferendum auxilium satis
virium habemus: sed imminentia tamen
amicorum mala infortunio nobis esse du-
cimus. Hunc in modum fraude circum-
uentam anum metu ac terrore percellens,
quasi nulla mali fuga superesset, vt abun-
dè factum esse duxit, aliud tentare cœpit,
vt barbaræ mulieri metum omnem adi-
meret, quæ iam animi sententiam in di-
uersa trahenti parere, & morem præbere
didicerat, hanc ergò paulatim nutantem
confirmans spe, ac fiducia implebat. Ma-
gnum verò, inquit, & arduum consilium
C est, nouáq; ad id audacia opus, vt non am-
pliùs vitæ nostræ ius in potestate sit Osiri-
dis arbitrióq; situm; obscurè primum sedi-
tionem, & rebellionem significauit, mox
apertiùs paulò, tandem manifestè detexit,
paulatim ei rei audiendæ, audactérq; sus-
cipiendæ mulierculam assuefaciens, do-
nec præ terrore consternatæ audaciam, a-
nimumque addidit, actum planè, si ipsis li-
buerit de Osiridis potestate esse prædicās:
Lex enim, inquiebat, ac vetustate patriis-
que moribus recepta dignitatis huius con-
suetudo; segnes quidem, & ignauos in vo-
luntariam seruitutem cōpellit: at qui con-
tumacius iugum excusserit, imbecillósq;
D & inualidos eos experietur, ísq; adeò liber
est, cui vires ad id idoneæ suppetunt, nisi
tēporis illum consuetudo deterreat, quod
à nobis queso absit, dum vos etiamnū in ar-
mis estis, cùm Osiris interim nihil aliud
quā aut diis supplicet, aut legatis ius dicat,
aut causas iudicet, aliòve quopiam pacis o-
pere, prędicatur. Nec.n. nobis generis no-
bilitatē, vobis manus viresq; in eiusdē facti
cōmunionem conferētibus, Osiridem cui-
quam Scytharū detrimēto fore putādum
est, neq; vos magnū quidpiā inouare, aut
Ægyptiorū iura rescindere, aut reip. statū
immutare, sed eam potiùs cōstituere, & ad
meliorē conditionē redigere videbimini,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

si Typhoni per vos imperium procuretur, A qui & eodem quo Osiris genere natus est: & ad eum ætatis meritò iustiùs Ægyptiorum imperij summa pertinet. Ita futurum est, vt non magna de veteri Reip. statu mutatione facta, neque ipso statim initio Ægyptij aduersùs vos congregari velint: Ac regni quidem habitus, insigniáque penes nos erunt, vestrum verò quicquid inde vtilitatis fuerit, vniuersáq; vobis Ægyptus, quasi in conuiuio epulanda præbebitur; tantùm viro id persuasuram te recipias, tu verò, inquit, vnà & idipsum persuadebis. Visum hoc vtrique est, simulque ac de reditu illius renunciatum est, hinc B ambigui de insidiis sermones sparsi, per subornatos præcursores, qui taciturnitatis simulatione, multò apertiùs, quàm qui alta voce prædicant, hoc ipsum publicabant, quod clàm habere velle videbantur: illinc occulti libelli terrorem incutiebant, quibus saluti consulendum esse præcipiebatur: mòx etiam aliquis palàm ex acie seruare se oportere dixit, idem & alter manifestiùs, tum alius, atque alius, omnes Typhonicæ factionis, & muliebris coniurationis socij: postremæ omnium in occursum euntes fabulæ totius artifices, ac machinatrices mulieres colophonem imposuerunt: Et Typho ipse, quasi alterius C negotij gerendi causa, ciuitate digressus clàm illum conueniens de imperio paciscitur, hortatur vt rem è vestigio aggrediatu:, séque, vel si vnà cum Osiride regia ciuitas profliganda sit, vltrò condonare, reliquam sibi Ægyptum satis esse: vnáque, ait, vt satellites tuos populata, & vastata fœlicissima ciuitate, communíque eorum, quæ in Ægypto præclara sunt domicilio, ditare possis. Et illam quidem optimus Typho, præ ciuium odio, barbaro homini propinabat, quod Osiridem omnes singulari beneuolentia prosequerentur: verùm Scytha facturum se id negat; sibi D enim & augustissimum Senatum, & modestissimam plebem, & ciuiles magistratus religioni esse, neq; sponte se in Osiridem, sed necessitate compelli, illo ipso scilicet cogente: quòd si vrbe seruata, incolumi, ac salua regione in suam potestatem venerit, id in lucro deputaturum se esse dixit; si nulla praætereà grauioris mali necessitas adferatur. Cæterùm fabula ipsa in enarrandis Osiridis incommodis haud libenter immoraturam se profitetur, nec enim humanum esse tristi, ac molestæ narrationi quenquam diutius insistere.

Τυφῶνι ἀρχὴν περιάπτοντες, γεγονότι μὲν ὅθεν Ὄσιρις, πρεσβυτέρῳ δὲ καὶ δικαιοτέρῳ βασιλεύειν Αἰγύπτου. ὥστε οὐδὲ τὴν ἀρχὴν Αἰγυπτίους εἰκὸς ἐφ' ὑμᾶς συστῆναι, μὴ κατὰ μέγα τῆς μεταβολῆς γινομένης περὶ τὴν πολιτείαν τὴν πάτριον. τὸ μὲν οὖν σχῆμα τῆς ἀρχῆς, ἡμέτερον ἔσται· τὸ δὲ ἀγαθὸν ὑμέτερον, καὶ Αἰγύπτου πάσης ὥσπερεὶ τραπέζης εὐωχηθήσεσθε. μόνον ὑφίστασο σὺ πείσειν τὸν ἄνδρα, καὶ σύ γε ἔφη συμπείσεις. οὕτως ἐποίουν· καὶ ἐπειδὴ περιπλανώμενος ἠγγέλλετο, τοῦτο μὲν, καίτοι πρόδρομοι τῆς ἐπιβουλῆς ἀφανῶς προεφθέγγοντο, ἐχεμυθίας προσποιήσει τῶν μέγα βοώντων φανερώτερον ἐξαγγέλλοντες, ἃ κρύπτειν εἰκάζοντο· τοῦτο δὲ, ἀσαφῆ γράμματα διεπέρατεν ἀσφάλειαν ἐπιτάττοντα. ἤδη δέ τις καὶ ἀναφανδὸν εἶπεν, ὅτι δεῖ σώζειν ἑαυτοὺς ἐκ τοῦ λόχου, καὶ ἄλλος ἀριδηλότερον, καὶ μάλα ἄλλος, καὶ ἄλλος, ἅπαντες οὗτοι στασιῶται Τυφῶνος, καὶ συνωμόται τῶν γυναικῶν. ἐπὶ πᾶσιν ὁ κολοφών, αἱ γυναῖκες ὑπαντιάζουσι, αἱ δημιουργοὶ τοῦ δράματος, καὶ Τυφὼς αὐτὸς ὡς ἐπ' ἄλλο τι προελθὼν τοῦ ἄστεος, λαθραίως αὐτῷ συγγίνεται, καὶ συντίθεται περὶ τῆς ἀρχῆς, καὶ πείθει χωρεῖν αὐτόθεν ἐπὶ τὸ ἔργον, εἰ δέοι καὶ συναπολέσθαι τὴν βασιλίδα πόλιν Ὀσίριδι, καὶ τοῦτο ἐφιείς, ὡς ἀποχρώσης αὐτῷ καὶ τῆς λοιπῆς Αἰγύπτου, καὶ ἅμα ἵνα σοί, φησί, πλουτοῖεν οἱ στασιῶται, πόλιν εὐδαίμονα καὶ κοινὴν ἑστίαν τῶν ἐν Αἰγύπτῳ λαμπρῶν ἠνδραποδισμένοι, καὶ διηρπακότες τὰ χρήματα. καὶ ταύτην ὁ μὲν χρηστὸς Τυφὼς προὔπινε, μίσει τῶν ἐνοικούντων διὰ τὴν ἐς Ὄσιριν εὔνοιαν· ὁ δὲ Σκύθης οὐκ ἔφη ποιήσειν. εἶναι γὰρ αὐτῷ σέβας βουλῆς τε ἱερᾶς καὶ δήμου σώφρονος, καὶ τῶν ἐν ἄστει γερῶν. καὶ γὰρ ἐπ' Ὄσιριν οὐκ ἐθελοντής, ἀλλ' ὑπ' ἀνάγκης ἔφη βαδίζειν, αὐτοῦ τὴν ἀνάγκην πεποιηκότος, κἂν προχωρῇ κρατεῖν ἐκείνου σωζομένου τοῦ ἄστεος, καὶ τῆς χώρας ἀκεραίου μενούσης, κέρδος ἔφη θήσεσθαι, τὸ μὴ κακοῦ μείζονος ἀνάγκην γενέσθαι. λέγει τοίνυν ὁ μῦθος οὐκ ἐμφιλοχωρήσειν τοῖς Ὀσίριδος πάθεσιν. οὐ γὰρ εἶναι φύσιν ἔχον, λιπαρῶς τινὰ προσκαρτερεῖν ἀνιαρῷ διηγήματι.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A ἄγονται δέ γε τῶν ἱερῶν δακρύων ἀποφράδες ἡμέραι μέχρι νῦν ἐξ ἐκείνου, καὶ οἷς θέμις ὁρᾶν, κινουμένας τὰς εἰκόνας αὐτῶν ἐποπτεύουσιν· ἐκεῖνο δὲ ἄξιον εἶναί φησι, καὶ κοινῆς ἀκοῆς· ὑπὲρ χώρας, ὑπὲρ ἱερῶν, ὑπὲρ νόμων, αὐτὸς ἑαυτὸν ἐγχειρίζει τοῖς εἰ μὴ λάβοιεν ἀνατεινομένοις ἅπαντα ἀπολεῖν, καὶ διαβαίνει τὸ ῥεῦμα ὁλκάδι, φρουρά τε εὐθὺς ἀμφ' αὐτόν, ὅποι ποτὲ γῆς ἢ θαλάττης, καὶ περὶ τοῦ τί χρὴ παθεῖν ἐκκλησία βαρβαρική. ἐνταῦθα ὁ μὲν Τυφῶς ἐδεῖτο ἀποθνήσκειν αὐτὸν ὡς ἀνυστὸν τάχιστά τε καὶ βιαιότατα· οἱ βάρ- B βαροι δὲ καίτοι ἀδικεῖσθαι πεπιστευκότες, νεμεσητὸν ἐποιοῦντο, καὶ ᾐδοῦντο τὴν ἀρετήν· φυγὴν δὲ ἐπέβαλλον, καὶ αὖ καὶ τοῦτο ᾐσχύνοντο, καὶ ἠξίουν οὐκ εἶναι τὸ πρᾶγμα φυγήν, ἀλλὰ μετάστασιν· χρήματα δὲ καὶ κτήματα ἔχειν εἴων, καὶ ταῦτα ὀρέγοντος αὖθις τοῦ Τυφῶνος· οἱ δὲ οὐδὲν μᾶλλον ἢ τῶν ἱερῶν ἥπτοντο. ὁ μὲν δὴ Θεοῦ τε πομπῇ καὶ ἀγαθῶν Ἡρώων ἐστέλλετο, χρόνοις εἱμαρμένοις ἐκστησόμενος. οὐ γὰρ ἦν θέμις τὰ χείρω κρατῆσαι ἐν Αἰγύπτῳ, καὶ δι' ἐλαχίστου μεταπεσεῖν εἰς ἀκοσμίαν ἅπαντα καὶ κατήφειαν τῆς ἱερᾶς C ψυχῆς ἐνδημούσης. ἵνα γὰρ ἐξῇ γενέσθαι ταῦτα, τὴν ἀρχὴν ἐπ' αὐτὸν συνέστησαν, ὧν ταῦτα ἔργα οἱ δαίμονες· οἷς ὑπηρέτην ὁ προβεβλημένος ὑπ' αὐτῶν πάλαι τε εἰς τὴν γένεσιν, καὶ τότε ἐναγχος εἰς τὴν τυραννίδα, παντοίων αὐτοὺς εὐωχεῖ συμφορῶν· φόροι μὲν εὐθὺς πολλαπλασίοις ταῖς πόλεσιν ἐπετάττοντο, ὀφλήματά τε οὐκ ὄντα ἐξηυρίσκετο, καὶ τεθαμμένα ἀνωρύττετο· ὁ μὲν ἐπιποτάμιος, ἠπειρωτικῶς λειτουργεῖν ἐτάττετο· πλοῖα δὲ ᾔτει τὸν ἠπειρώτην, ἵνα μηδεὶς ἄνθρωπος ὢν χαίρειν σχολάζῃ. ταῦτα δη- D μοσιώτατα τῶν κακῶν, καὶ ἔτι κοινότερον ἄλλο, τοὺς ὑπάρξοντας αὐτῷ καὶ ἐπιστησομένους τοῖς ἔθνεσιν, ὠνίους ἐξέπεμπεν, ἀπεμπολῶν δημοσίᾳ τὰς πόλεις. οἱ δὴ μισθωσάμενοί τινος ἐπιτροπείαν ἔθνους, καὶ ὅστις ὁ νεώτερος ἦν ἐπ' ἐνιαυτὸν ἕνα συγκειμένης τῆς ἐκμισθώσεως, ἠξίου τὸν ἐνιαυτὸν ἐκεῖνον αὐτῷ γήρως ἀκολάστου συναθροίζειν ἐφόδια. ἓν γάρ τι καὶ τοῦτο τῶν ἐπὶ Τυφῶνος ἐγίνετο· κατὰ γραμματεῖον ὡμολογεῖτο τῆς ἀρχῆς τὸν χρόνον

A Ex illo tamen tempore sacrarum lachrymarum atri & nefasti dies celebrantur, iisque, quibus fas est spectaculo interesse, motas atque agitatas eorum imagines inspiciunt. At illud memoratu dignum, profanísque auribus permissum ait: Osiridem sese pro patria, pro sacris, pro legibus iis commisisse, qui se, ni quamprimum dederetur, cuncta profligaturos comminabantur, nauigióque fluuium traiecisse, & præsidiis statim alicubi, seu terrarum, seu maris custoditum esse, déque eius capite habitam à barbaris concionem; in qua quidem Typho quàm citissimè eum interfici B postulabat; barbari verò, quamuis illatam sibi ab eo iniuriam crederent, virtutis tamen reuerentia id reprehensione minimè cariturum esse iudicarunt, exilióque mulctarunt, quãquam & hoc ipsis pudori fuit, nec tam exilium, quàm secessum esse voluerunt; bona autem, fortunásque, quantumuis à Typhone offerrentur, exuli concesserunt, & ab iis perinde vt à sacris rebus abstinuerunt: ita ille diis, ac bonis Heroïbus comitatibus, profectus est, certis postmodùm temporibus ab exilio reuocãdus. Nam deteriora quæque apud Ægyptios præualere, omniáq; tam citò perturbari, C & consternari fas non erat, quandiu sacer & diuinus animus in his sedibus versaretur: vt enim fieri ita liceret subinde ab ipso exordio praui illum dæmones adorti sunt, quorum propria hæc sunt officia, quibus ministrum sese præbẽs is, quem & pridem in lucem ediderãt, & nuperrimè ad tyrannidem euexerant, variis illos miseriis, atq; incommodis exercebat. Tributa iampridem multiplicia ciuitatibus imperata; nomina aut conficta, quæ nunquam fuerant, aut inducta iam, & obliterata rescribebantur; qui in aquis vitam exerceret, eadem cum continentis habitatoribus pendere cogebatur; mediteraneis contrà nauigia D imperabantur, ne quis in tanta pernicie calamitatis expers inueniri posset. Hęc ex malis præcipuè publica, quibus & aliud communius; Legatos, & prouinciarum præfectos publicè venundatis ciuitatibus, acceptóque pretio dimittebat, quiquidem conductâ prouinciæ alicuius præfectura, vel si quis adolescens esset, pacta in annum locatione, hoc ipso etiam profusissimæ senectutis subsidia sibi comparanda esse ducebat: vnum enim & illud ex iis fuit, quæ regnante Typhone perpetrabantur: per tabulas concepta stipulatione imperij tempus excipiebatur, si quis

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A pecuniam repræsentasset: cùm tamē priùs ei, quod nequitiæ insimularetur, imperium abrogaretur; hic in virtutis premium augustius aliquod dignitatis fastigium, & imperium in plures, & admensum gerendi magistratus tempus sortiretur. Quamobrem in luctu deinceps vbiq; omnes, & dolore versabantur, cùm sua quisq; infortunia recensere posset: populatim ac per curias omni malorum genere diuexabantur: ita vt eadem ex omni Ægypto in cœlum voce sublata publici plāctus clamor exaudiretur: & iam deos ipsos gentis huius miserebat, seséque ad vindictam accingebāt: B Sed id non priùs aggredi visum est, quam euidentior esset mutua vitij cum virtute collatio, vt hi etiam, qui tenuissima animi, sensúsque cognitione prædìti sunt, quid melius, quid peius dijudicare, illud amplecti, hoc declinare possent. Quocirca Typho Osiridis imperium ex hominum memoria funditus euellere, atq; abolere conatus est, idq; cùm plurimis aliis, tum hac potissimum via contendebat; quæ de causis anteà lata erant iudicia, nulla atq; irrita faciebat, damnatúmq; iudicio vincere oportebat, legatis cōtra quam data essent responsa decernebat; ex quibus hostes ij C erant, qui à diuina illa lingua nonnihil vtilitatis essent consequuti, quos cum ciuitate sua, ac genere ipso quamplurimis calamitatibus affici oportebat: duplici tamen desperatis iam rebus arte succurrebatur, si quis aut vxori pecunias obtulisset, hęc autem velut in prostibulo, palàm sedebat, ad corporis voluptates, obeundáq; negotia meretricum, & lenarum opera vtens, forúmque illud, quod ab Ægyptiis hactenus iudicarium appellabatur iudiciorū mercatum efficiens, qui cùm ea collocutus esset, mitiorem Typhonis animū experiebatur; Cùm enim cicurem se alioqui mulieribus, ac tractabilē præberet, tum quod regnum D ab iis partum esset, magno se beneficio deuinctū arbitrabatur; Vna hæc expediendæ difficultatis ratio iis, qui iniquo eo, & perdificili vterentur. Altera verò effugiendi ratio, si quis quempiam, ex diro illo sceleratorum hominum coëtu, Typhonis contubernalē adiisset (hi porrò magni, & fœlices dicebātur miseri atque adulterini homunciones) ad eos ergo cùm quis accessisset, probrosum in Osiridē cōuitiū iactandum erat, scita quadam vrbanitate conditum; quod ab iis fiebat, qui nullam virtutis curam habebant, nec turpe putabant lucrum ex quauis occasione captare;

A τοῖς καταθεμένοις ἀργύριον· πρότερον δὲ ὁ μὲν ἐπ' αἰτίᾳ κακίας, παρελύετο τῆς ἀρχῆς· τῷ δὲ μισθὸς ἦν ἀρετῆς πρεσβυτέρα τιμὴ, καὶ πλειόνων ἀρχὴ, καὶ χρόνος ἐπιμετρούμενος. ᾤμωζον οὖν τὸ ἀπὸ τοῦδε ἅπαντες ἁπανταχοῦ, κακὸν ἴδιον λέγειν αὐτῶν ἕκαστος ἔχοντες, καὶ κατὰ δήμους καὶ κατὰ βουλευτήρια πᾶσι κακοῖς ἠλαύνοντο, ὡς μίαν τινὰ φωνὴν ἀπ' Αἰγύπτου πρὸς οὐρανὸν αἴρεσθαι, τὴν ἠχὼ τοῦ κοινοῦ θρήνου· θεοὶ δὲ ἠλέουν τὸ γένος, καὶ παρεσκευάζοντο ὡς ἀμυνοῦντες. οὐ μὴν ἐδόκει, πρὶν ἐναρ- B γέστερον ἔτι παρ' ἀλλήλας ἀρετὴν καὶ κακίαν ἐξετασθῆναι, τοὺς καὶ τοῖς ἥκιστα νῷ χρωμένοις αἰσθητῶς, καὶ αἰσθήσει κρῖναι τὸ ἄμεινον καὶ τὸ χεῖρον, καὶ διῶξαί τε καὶ ἐκκλῖναι. ἐπέθετο τοίνυν ὁ Τυφὼς καὶ παντάπασι τὴν Ὀσίριδος βασιλείαν τῆς ἀνθρώπων μνήμης ἐκκόψαι, καὶ τοῦτο μετῄει πολλαῖς τε ἄλλαις ὁδοῖς, καὶ οὐχ ἥκιστα ταύτῃ· δίκας τε ἐκδεδικασμένας ἀναδίκους ἐποίει, καὶ ἔδει τὸν ἑαλωκότα κρατεῖν, καὶ πρεσβείαις ἀπεχρημάτιζεν, ἐν αἷς C ἐχθρὸς ἦν, ὅσοις ὑπὸ τῆς θεσπεσίας γλώττης ὠφέληντο· καὶ ἔδει συμφοραῖς ὁμιλεῖν, αὐτόν τε καὶ πόλιν καὶ γένος, ἐν ἀμηχάνοις τε ἦσαν ἐπ' αὐτὸν δύο μηχαναὶ, εἴ τις ἢ τῇ γυναικὶ χρήματα ἀπεμέτρησεν· ἡ δὲ ὥσπερ ἐπὶ τέγους φανερωτάτη προὐκάθητο, ἐπί τε τῷ σώματι καὶ ἐπὶ τοῖς πράγμασι ταῖς ἑταιριστρίαις μαστροποῖς χρωμένη, τὸ πάλαι καλούμενον Αἰγυπτίοις κριτήριον ἀποδείξασα δικῶν πωλητήριον· ὁ ταύτῃ διειλεγμένος ἐνετύγχανεν ἵλεῳ τῷ Τυφῶνι. ἄλλως τε γὰρ τιθασὸς ἦν καὶ χρηστοή- D θης τῇ γυναικωνίτιδι, καὶ ὡς αὐταῖς κατακτησαμέναις τὴν τυραννίδα χάριν ἠπίστατο. αὕτη εἷς ἐν ἀπόροις πόρος τοῖς πειρωμένοις αὐτοῦ δυσχερείας· καὶ ἕτερος, εἴ τις προσελθὼν ἑνὶ τῶν ἐκ τοῦ παλαμναίου συλλόγου τῶν ὁμοδιαίτων Τυφῶνι· οἱ δὲ ἐκαλοῦντο μεγάλοι τε καὶ μακάριοι, ἀνθρώπια δύστηνα καὶ παράσημα. τούτοις οὖν ἔδει προσελθόντα καταχέαι τινὰ λοιδορίαν Ὀσίριδος ἐνηρμοσμένην κομψείᾳ· καὶ ἐποίουν αὐτὸ, οἷς ἥκιστα ἀρετῆς ἔμελε, καὶ οἷς οὐκ αἰσχρὸν ἁπανταχόθεν κερδαίνειν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εὐθὺς οὖν ἠλλάττοντο τὴν τύχην, ὥσπερ τὴν γνώμην· εἰσέρρει γὰρ εἰς τὰ τυραννεῖα τὸ ῥῆμα, καὶ ἐπὶ τραπέζης ἐπόμπευε. χαριζομένοις οὖν ἀντεχαρίζετο· τοῦτο εἷς τις ἐποίει καὶ δεύτερος, καὶ ὠφελοῦντο μὲν, ἠδέσθην δὲ θεοῖς τε ἀπηχθημένοι καὶ ἀνθρώποις σώφροσιν· οἱ πλείους δὲ ἐκαρτέρουν. ἐγένετο δέ τις εἷς ἐμβριθὴς μὲν, ἀλλ' ὑπὸ φιλοσοφίας ἀγροικότερον ἐκτεθραμμένος, καὶ εἰς τὸ ἀστικὸν ἦθος ἀνομίλητος· καὶ οὗτος ηὕρητο μὲν παρ' Ὀσίριδος ὥσπερ ἅπαντες ἄνθρωποι πάμπολλα ἀγαθὰ, αὐτός τε μὴ λειτουργεῖν, καὶ τὴν πατρίδα ῥᾷον αὐτῷ λειτουργεῖν. πολλῶν δὲ ἐπὶ πολλοῖς τότε καὶ μέτρα ποιούντων, καὶ λόγους γραφόντων ὕμνους ἐς Ὄσιριν, καὶ δεικνύντων Ὀσίριδι χάριν δή τινα ἀντὶ χάριτος· ὁ δὲ ἦν μὲν εὐγνώμων ὥσπερ ἐκεῖνοι, καὶ μᾶλλον ἢ μᾶλλον ἐδύνατο, καὶ ἐποίει καὶ ἔγραφε, καὶ πρὸς λύραν ᾖδε τὸν τρόπον τὸν Δώριον, ὃν μόνον ᾤετο χωρεῖν βάρος ἤθους, καὶ λέξεως. οὐ μὴν ἐξέφερεν εἰς τὸ πλῆθος, ἀλλ' εἴ τις ἦν ἀκοὴ λόγων ἀρρένων ξυνιεῖσα, καὶ γαργαλίζεσθαι μὲν οὐκ ἀνεχομένη, ξυντετριμμένη δ' ἐπὶ τὴν καρδίαν, ταύτῃ τοὺς ἑαυτοῦ λόγους ἐπίστευεν· Ὄσιριν δὲ ᾔδει μὲν ὅτι μάλιστα τῶν τοιούτων ἀκουσμάτων ὄντα ἐφημέρων τε καὶ πολυχρονίων λόγων ἀκριβῆ γνώμονα· αὐτῷ δέ τι περὶ αὐτοῦ λέγειν ἀπεγίνωσκεν, ἅμα μὲν οὐκ οἰόμενος ἔργου λόγον ἀμοιβὴν ἰσοστάσιον· ἅμα δὲ ὑπὸ τῆς ἀγροικίας ᾗ συνετέθραπτο, δόξαν θωπείας αἰδούμενος· ἐπεὶ δὲ ὁ Τυφὼς βίᾳ παρειληφὼς Αἴγυπτον ἐτυράννει, ἐνταῦθα δὲ οὗτος ἔτι μᾶλλον ἄγροικος ἦν· τότε ἐξέφερε, τότε τοὺς λόγους ἐδείκνυ, πάντων φριττόντων τὴν ἀκοήν· ἀλλ' ἀσεβεῖν γὰρ ᾤετο, τὸ μὴ οὐκ ἀφανὴς εἶναι μισῶν τοὺς δεινὰ ἐργασαμένους τὸν εὐεργέτην. καὶ ἀρὰς ἠρᾶτο τὰς παλαμναιοτάτας Τυφῶνι, καὶ λέγων καὶ γράφων, καὶ οἴκοι καὶ ἐπ' ἀγορᾶς στωμύλος ἦν, ὁ πάλαι σιγῆς αἰτίαν δεξάμενος· ἀπὸ παντὸς γὰρ τῶν λόγων Ὄσιρις ἦν, ἀπὸ παντὸς γὰρ τῶν συλλόγων οἷς παρείη, τὰ Ὀσίριδος ᾖδετο, καὶ τοῖς οὐκ ἀνεχομένοις ἐπεπόρει τῶν διηγημάτων,

A Statim itaque fortunæ conditio, vt & animus immutabatur: Etenim in Tyrannicas ædes istud dicterium irrūpebat, & in mensa vltrò citróque traducebatur. Ergo ad gratiam obsequiosè loquētibus mutua officia rependebat. fecit hoc vnus, & alter, qui ex eo quidem nonnihil emolumenti reportabant, sed diis tamen, probísque hominibus infensos se esse, non dubitabant: maxima verò pars inuicta animi patientia sustinebat. Atq; vnus ex his rigidus cæteroquin, & grauissimus, sed præ philosophiæ tamen studio subrusticis & incultis moribus, & à ciuili hominum cōsuetudine alienissimis, cū plurimis ab Osiride benefi- B cijs, vt & cęteri mortales, affectus esset, immunitatémq; sibi, patriæ tributorū remissionē impetrasset, infinitis propemodum hominibus hinc carmine, hinc oratione scripta, Osiridis præconia celebrātibus, ac coram ipso, gratiæ habēdæ causa; recitantibus, ille non minus quidē, quàm alij grato, atque benigno animo erat, & eo magis quo maiorem eius faciendi facultatem habebat, multa scribere, ac cōmentari solebat, Doriósq; modos, quib. solis morū, ac verborū grauitatē inesse crederet, ad Lyram cōcinebat, non tamen in vulgus edebat: sed si quæ aures marium, & virilium C sermonum peritissimæ titillari nollent, & ad intima vsque cordis penetralia tritæ essent, iis quæ cōmentatus fuerat, concredebat: Osiridem autē norat eiusmodi Acroamatum quæ diuina essent, aut ætatem ferrent, accuratissimū iudicem, verùm coram ipso, & de ipso quicquā dicere recusabat, partim quod non æquam beneficiorū remunerationē oratione fieri persuasum habebat, partim quia ob insitam sibi rusticitatem adulationis suspicionem verebatur. At postquàm Typho vi, & armis Ægyptiorū tyrannidem inuasit, tum ille quidem lōgè agrestior, atq; ineptior visus est, tunc D enim sua in publicū prodere, tunc scripta à se carmina recitare cœpit, cunctis ad auditum horrore percussis: sed enim impiè facturum se existimabat, si eos apertè non insectaretur, qui benefactorem suum indignè crudeliterque tractassent. Typhonem igitur execratissimis diris, & vltimi exempli imprecationibus scripto, ac sermone deuouebat, domique, & in foro loquacissimus erat, cui silentium anteà crimini vertebatur: omni in sermone, omni in conuentu, cœtuque hominum cui interesset, Osiridis laudes prædicabat, reluctantes etiam, atque inuitos cre-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

neque senum, aut amicorum monita flectere, neque metus ipsum à proposito deterrere potuerunt; sed libero homine digno furore insanire videbatur: nec priùs abstitit, quam ad Typhonem lectis ex omni ciuitate optimis quibúsq; stipatum propius accedens, coram de fratris laudibus copiosè perorasset, monuissétque vt eius virtutem æmularetur, quo cum arctissima necessitate coniungebatur. Ille autem protinus excandescens, manifestéque sæuiens, eorum qui consederant verecundia motus manus ægrè continuit, sibique ex necessitate temperauit; ita tamen vt ex ipso vultu, variis hinc inde perturbationibus æstuantis animi indicia colligerentur, adeò in tam breui spatio mira in eo fuit colorum alternatio. Ab eo itaque tempore Typhoni factus est inimicior, peioréq; in dies successu, non modò ea quæ ab Osiride collata erant, omnia dilabi cœperunt, verum & alia prætereà à Typhone scelera adijciebantur. Nam quarum ille ciuitatum patrocinium susceperat, easdem pessimè infestabat, priuatímque ipsi malum consciscebat, ne vnquam sese domum reciperet, sed ibi, vbi erat perpetuò manem de aliorum, quos oderat, fœlicitate ingemisceret. Inter hæc incommoda versantem peregrinum deorum aliquis conspicuè apparens sua præsentia confirmauit, bonóq; animo esse iussit: nec enim annos, sed menses fatorum necessitate præfinitos esse dixit, quibus exactis Ægyptiorum sceptra ferarum quidem vngues sursum attollent, sacrarum verò auium rostra demittent; arcanum quoddam, secretumque symbolum, quam pridem picturam Obeliscis, sacrísque templorum septis insculptam cùm peregrinus non ignoraret, tum ei sacra hæc figuris exculpta monimenta Deus enarrauit, temporísque signum addidit: Cùm, inquit, sacrorum nostrorum ritum innouare cœperint, ij penes quos summa est regni potestas, tum demum haud multò pòst tempore Gigantas istos (barbaros, & peregrinos intelligebat) propriis furiis agitatos procul hinc abscessuros sperato: quòd si quicquam ex ea seditione supersit, neque tota simul extingatur, & in regia etiamnum Typho perseueret, non est tamen quod de deorum auxilio diffidas: aliud tibi symbolum habeto. Postquàm terræ circumfusum aërem impiorum halitu, ac respiratione coinquinatum, aqua, flammisque repurgauerimus; tunc cæteros sua quémque

A οὔτε νουθετούντων πρεσβυτέρων καὶ φίλων προὐτίμα, οὔτε δέος αὐτὸν ἔθραυε τῆς ὁρμῆς· μαινομένῳ δὲ ἐῴκει μανίαν τινὰ ἐλευθέραν. οὔκουν ἐπαύσατο, πρὶν αὐτῷ Τυφῶνι προσάξας ὅτι ἐγγυτάτω, συνειλεγμένων περὶ αὐτῷ τότε τῶν ἀπανταχόθεν ἐκκρίτων, μακρόν τε ἀποτεῖναι λόγον τῶν εἰς τὸν ἀδελφὸν ἐγκωμίων, καὶ νουθετῆσαι ζηλοῦν ἀρετὴν οὕτως ἐγγυτάτω προσήκουσαν. ὁ δὲ ἐπίμπρατο μέν, καὶ δῆλος ἦν ἐξοιστρούμενος, αἰδοῖ δὲ τῶν ἡλισμένων κα-
B τεῖχε τὼ χεῖρε, σωφρονῶν ὑπ' ἀνάγκης. εἰκάζειν δὲ ἐξῆν τῷ προσώπῳ τὴν γνώμην, ποικίλας παθῶν ἰδέας ἀμειβούσης· οὕτως ἐγίνετο. ὁ δ' ἀπὸ τοῦδε οἷον ἐχθίων ἐν ἐλαχίστῳ πάρεργως τε ἦν, καὶ κάκιον ἔπραττε, καὶ τὰ μὲν ἐρρήκει τὰ ἐπ' Ὀσίριδος ἀγαθά. προσεκακούργει δὲ ἄλλα, τάς τε πόλεις ὧν ὑπερηγόρει κλονῶν, καὶ αὐτῷ τι κακὸν ἴδιον μηχανώμενος, ὡς ἂν μηδέ ποτε ἀναλύσας οἴκοι γένοιτο· μένοι δὲ ὑπ' ἀνάγκης οἰμώζων, εὐτυχοῦντας ὁρῶν οἷς ἀπέ-
C χθοιτο. ἐν τούτοις ὄντα τὸν ξένον θεὸς ἀναρρώννυσιν, ἐναργής τε ὀφθείς, καὶ διακαρτερεῖν ἐπιτάξας. οὐ γὰρ ἐνιαυτούς, ἀλλὰ μῆνας ἔφη τοὺς εἱμαρτοὺς εἶναι, ἐν οἷς τὰ Αἰγύπτια σκῆπτρα, ἀνατενεῖ μὲν τὰς χηλὰς τῶν θηρίων· κάτω δὲ ἕξει τῶν ἱερῶν ὀρνέων τὰ κράνη· σύμβολον ἄρρητον τοῦτο. καὶ ἐπεγίνωσκε μὲν τὴν γραφὴν ὁ ξένος ἐγκεκολαμμένην ὀβελοῖς τε καὶ ἁγίοις σηκοῖς· ὁ δὲ Θεὸς αὐτῷ καὶ τὴν διάνοιαν τῆς ἱερογραφίας ἡρμήνευσε, καὶ δίδωσι σύνθημα χρόνου· ὅταν, ἔφη, καὶ τὰ περὶ τῆς ἁγιστείας ἡμῶν
D καινοτομεῖν ἐπιχειρήσωσιν οἱ νῦν ὄντες ἐν ταῖς δυνάμεσι, μετὰ βραχὺ προσδέχου τοὺς Γίγαντας, τούτους λέγων τοὺς ἀλλοφύλους, ἔσεσθαι ἐκποδὼν ποινηλατουμένους ὑφ' ἑαυτῶν· εἰ δὲ ὑπολείποιτό τι τῆς στάσεως, καὶ μὴ ἅμα πᾶν ἐκτρίβοιτο, μένοι δὲ ὁ Τυφὼς αὐτὸς ἐν τοῖς πρυτανείοις, σὺ δὲ μηδ' ὡς ἀπογίνωσκε τῶν θεῶν. σύμβολον ἄλλο σοι τοῦτο· ὅταν ὕδατι καὶ πυρὶ τὸν περὶ γῆν ἀέρα καθήρωμεν μεμολυσμένον ἐκ τῆς ἀναπνοῆς τῶν ἀθέων, τότε ἕψεται καὶ ἐπὶ τοὺς λοιποὺς ἡ δίκη, καὶ αὐτίκα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

προσεδέχου τὴν ἀμείνω διάταξιν, ἐκποδὼν γενομένου τοῦ Τυφῶνος. τὰ γὰρ τοιαῦτα τῶν τεράτων, ἡμεῖς πυρπολοῦντες καὶ καταβροντῶντες ἐλαύνομεν. ἐντεῦθεν τῷ ξένῳ, καὶ εὔδαιμον ἐδόκει τὸ πάλαι χαλεπόν, καὶ οὐκέτ' ἤσχαλλε πρὸς τὴν ἀναγκαίαν μονήν, δι' ἣν αὐτόπτης ἔμελλεν ἔσεσθαι τῆς θεῶν ἐπιφοιτήσεως. καὶ γὰρ οὐδὲ ἀνθρώπινον ἦν εἰκάσαι δύναμιν ἀθρόων ἐν ὅπλοις οὖσαν, καὶ ἐν εἰρήνῃ σιδηροφορεῖν νόμον ἔχουσαν, ἐξ οὐδεμιᾶς ἀντιστάσεως ἡττηθῆναι. ταῦτα ἐλογίζετο μὲν, ὅπως ἂν γένοιτο· λογισμοῦ δὲ ἐφαίνετο κρείττονα. ἐπεὶ δὲ οὐ συχνοῦ χρόνου διεξελθόντος, πονηρόν τι κόμμα θρησκεύματος, καὶ παραχάραγμα ἁγιστείας, ὥσπερ νομίσματος, ὅπερ νόμος ἀρχαῖος ἐξῴκιζε τῶν πόλεων, θύραζε καὶ πόρρω τειχῶν ἀποκλείων τὸ ἀσέβημα, ἐπὶ τοῦτο ὁ Τυφὼς οὐκ αὐτοπρόσωπος δέει τοῦ Αἰγυπτίου πλήθους, ἀλλὰ διὰ τῶν βαρβάρων εἰσφρῆσαί τε ἐπέθετο, καὶ ἱερὸν ἐν ἄστει δοῦναι, καταλύσας νόμους πατρῴους· αὐτίκα ὁ ξένος ἐπὶ νοῦν ἔβαλλεν, ὅτι τοῦτο ἄρα ἐκεῖνο τοῦ θεοῦ τὸ προαγόρευμα· τάχ' ἂν καὶ τὰ ἐφεξῆς ἴδοιμι. καὶ προσεδέχετο μαθὼν τότε, τὰ μὲν αὐτίκα ἐσόμενα περὶ Ὄσιριν· τὰ δὲ ἐς τοὺς οὔπω παρόντας ἐνιαυτούς, ὅταν Ὥρῳ τῷ παιδὶ γνώμη γένηται, συμμαχίαν ἑλέσθαι πρὸ τοῦ λέοντος λύκον· ὁ δὲ λύκος ὅστις ἐστίν, ἱερὸς λόγος ἐστίν, ὃν οὐχ ὅσιον ἐξαγορεῦσαι, οὐδὲ ἐν μύθου σχήματι.

A poena sequetur, statimque eiecto Typhone, meliorem rerum dispositionem, & ordinationem expectato, eiusmodi enim portenta flammis, ac fulminibus expiamus. Quæ cùm audiisset peregrinus, deinceps felix id ei beatúmque esse visum est, quod hactenus molestum erat, illámque ipsam manendi necessitatem impatienter ferre destitit, per quam aduenientium deorum spectaculo interesse debebat; fidem enim istud omnem humanæ coniecturæ superabat, stipatam armatorum manum, & pacis etiam tempore arma ferre B consuetam, nullo inuadente profligari. Hæc ille quidem, quî euenire possent, secum reputabat, sed nulla id cogitatio assequi posse videbatur: verùm non multò postmodùm elapso tempore, cùm pessimum quoddam superstitionis genus, adulteratósque numismatis instar sacrorum ritus (quibus veteri instituto ciuitatibus interdictúm est, vt impietas omnis proculcaretur) non ipse quidem per sese Typho introduxisset, plebem Ægyptiorum veritus, sed per barbaros violenter id agere conaretur, templúmque iisdem euersis patriis legibus, in ciuitate decerneret, tum denique peregrinus Dei hanc esse prædi- C ctionem in animum induxit: & forsan, inquiebat, cætera intueri dabitur; ac eos euentus præstolabatur, quos partim subinde circa Osiridis tempora, partim in aliud tempus futuros didicerat, tunc scilicet cùm Horus filius Lupum potiùs quàm Leonem belli sibi socium adsciuerit: Lupi verò nomen quid sibi velit, arcani, sacríque sermonis est, quem ne in fabulis quidem specie fas est in vulgus efferre.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A

ÆGYPTII SIVE LIBRI DE PROVIDENTIA.

SECTIO SECVNDA.

EXIN sequuta deorum prodigia, quandoquidem malis vbicumque omnibus plena erant omnia, ipsáque iam erat de prouidentia penitus ex animis hominum sublata sententia, cùm sceleratissimã opinionem quotidiana eorum quæ videbantur, experimenta comprobarent. Nullum quippe ex humanis rebus subsidium vsquam apparebat, barbaris perinde vt in castris statiua intra ciuitatem habentibus. Porrò illorum dux noctu terroribus exagitabatur, Corybantibus, vt opinor, ipsum incessentibus, interdiúque passim per exercitum tumultuabantur; idque cùm sæpiùs accidisset, mēte alienatos, ac instabiles eos reddidit: Oberrabāt itaque sigillatim, confertimq; omnes, lymphatorũ haud dissimiles, nunc stricto ense in bellum ingēti animi ardore cōcitati, nunc lugubri ac flebili voce exitium deprecantes, rursúmq; prosilientes, modò fugere, modò insequi videbantur, quasi occulta aliqua in ciuitate factione resisteretur: verùm ibidem neq; arma vlla erant, neq; qui iis vteretur inueniri poterat, omnésq; tanquam paratissima præda barbaris erant à Typhone dediti. Atque istud sanè manifestissimũ est vel munitissimis, atque instructissimis hominibus, nisi frustrà sibi parata ista esse velint, deorum auxilio opus esse, neque aliunde victoriam comparari posse: ex eo tamē, quod æquum sit ab eo, qui paratiora habuerit omnia, eos superari, qui insubide & inconsideratè de summa rerum decernunt, non desunt qui principi illi causæ suum in ea re meritum detrahant: quoties enim quod in nobis fuit consummatè præstitimus, superuacuũ Dei auxilium arbitramur, vt de iure sit ei victoriæ contendendum: cùm autem nullius intercessione peracta res est, ipsáque facti ratio soli illi secretiori causæ accepta ferenda; tum demum nihil aliud quam eorum, qui deos mortalia curare negant conuincendorum argumentum habemus

ΑΙΓΥΠΤΙΟΥ Η ΠΕΡΙ ΠΡΟΝΟΙΑΣ.

ΛΟΓΟΥ ΤΜΗΜΑ Β.

ΑΡΧΕΤΑΙ δὲ ὑποσημαίνειν ἐντεῦθεν τὰ τῶν
θεῶν· ἐπεὶ πάντα πανταχοῦ πάντων κακῶν ἔμ-
B πλεα ἦν, καὶ ἤδη τῆς τῶν ἀνθρώπων γνώμης ἐξερρύηκε δόξα προ-
νοίας, τῆς ἀσεβοῦς ἀπονοίας ἐκ τῶν ὁρωμένων μαρτυρουμένης, ἐφαίνετο μὲν οὐδὲν οὐδαμοῦ πρᾶγμα ἀνθρώπινον ἀλέξημα, τῶν βαρβάρων στρατοπέδῳ τῇ πόλει χρωμένων· τῶν δὲ ὅ, τε στρατηγὸς νύκτωρ ἐδειματοῦτο, Κορυβάντων οἶμαι προσβαλλόντων αὐτῷ, καὶ πανταχοῦ θόρυβοι κατελάμβανον μεθ' ἡμέραν τὸ στράτευμα τοῦτο πολλάκις γινόμενον, ἔκφρονάς τε αὐτοὺς ἀπο-
C δείκνυσι καὶ γνώμης ἀκρατεῖς, καὶ περιενόστουν καθ' ἕνα, καὶ κατὰ πλείους ἅπαντες ἐοικότες τοῖς νυμφολήπτοις, νῦν μὲν ξιφουλκίας πειρώμενοι, καὶ οἷον ἤδη πολεμησείοντες· νῦν δὲ αὖ πάλιν ἐλεεινολογούμενοι καὶ δεόμενοι σώζεσθαι· ἀναθορόντες τε αὖ, νῦν μὲν ἐῴκεσαν φεύγουσι, νῦν δὲ διώκουσιν, ὥσπερ εἰς τὸ ἄστυ κεκρυμμένης τινὸς ἀντιστάσεως· ἀλλὰ αὐτόθι γε οὔτε ὅπλον, οὔτε ὁ χρησόμενος ἦν, ἀλλ' ἦσαν ἑτοίμη λεία παρὰ Τυφῶνος ἔκδοτοι. ἔστι μὲν δὴ τοῦτο καὶ λίαν σαφὲς, ὅτι καὶ τοῖς εὖ παρεσκευασμέ-
D νοις, εἰ μὴ μέλλοιεν μάτην παρασκευάσασθαι, Θεοῦ δεῖ, καὶ τὸ κρατεῖν οὐχ ἑτέρωθεν· τὸ δὲ εἰκὸς εἶναι τὸν ἄμεινον παρεσκευασμένον κρατεῖν ἀνοίᾳ κρινόντων, ἀφαιρεῖταί τις τῆς ἀξίας τὴν αἰτίαν τὴν κρείττονα. ὅταν γὰρ ᾖ καὶ τὰ παρ' ἡμῶν ἐντελῆ, περιττὸς ὁ Θεὸς εἶναι δοκεῖ, καὶ ἀμφισβητεῖ τῆς νίκης παρεσκευασμένης· ἀμεσιτεύτου δὲ ὄντος τοῦ γινομένου, καὶ μόνου τὴν αἰτίαν ἔχοντος τἀφανοῦς, οὐδὲν ἀλλ' ἢ τῶν ἀπιστούντων ἐπιμελεῖσθαι θεοὺς ἀνθρώπων, φαινόμενοι ἔχομεν,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A οὐ λεγόμενον ἔλεγχον· ὁποῖον δή τι κἀκεῖνο ἐγένετο. οἱ θρασεῖς, οἱ νικῶντες, οἱ τεθωρακισμένοι, ὧν ἅπασα καὶ παιδιὰ καὶ σπουδή, μελέτη τις ἦν πολέμου καὶ παρατάξεως, ἱππεῖς ἐν ἀγορᾷ σὺν τάξει φοιτῶντες, ὑπὸ σάλπιγγι κατὰ λόχους κινούμενοι· καὶ γὰρ εἰ καπήλου τις δέοιτο, καὶ εἴ τις ὑποδηματοῤῥάφου, καὶ εἰ φαιδρῦναι τὸ ξίφος, τὴν ἑκάστου χρείαν ἅπαντες ἐδορυφόρουν, ὡς μηδὲ ἐν ταῖς ἀγυιαῖς διασπᾶσθαι τὴν φάλαγγα· οὗτοι τοὺς γυμνούς, τοὺς ἀόπλους, τοὺς καταπεπτωκότας τὰς γνώμας, τοὺς οὐδὲ εὐξαμένους νικᾶν, φυγῇ B φθάνοντες ὑπὸ σύνθημα κοινὸν ἀνεχώρουν τοῦ ἄστεος, παῖδας, γυναῖκας, καὶ τὰ τιμιώτατα κλέπτοντες, ὡς οὐκ ἐνὸν φανερῶς καὶ τὰ Αἰγυπτίων ἀνδραποδίζεσθαι. ταῦθ᾽ ἡ πληθὺς ὁρῶντες συσκευαζομένους αὐτούς, οὔπω τοῦ γινομένου ξυνιέντες, ἀλλ᾽ ἔτι μᾶλλον ἑαυτῶν ἀπέγνωσαν, ὥστε οἱ μὲν οἴκοι σφᾶς αὐτοὺς κατακλείσαντες εἶχον, ἐκεῖ περιμένοντες τὸ πῦρ· οἱ δὲ πυρὸς σίδηρον αἱρούμενοι, θανάτου κουφότερον ὄργανον ἡτοίμαζον, οὐκ ἐπί τινα πρᾶξιν, ἀλλ᾽ ἑαυτοὺς ὅταν ᾖ προτεινοῦντες C εἰς τὴν σφαγήν· οἱ δὲ πλεῖν ἐπεβάλλοντο, καὶ περιενόουν νήσους καὶ κώμας, καὶ πόλεις ὑπερορίους. ἐδόκει γὰρ ἅπαν τότε χωρίον ἐχυρώτερον εἶναι τῶν μεγάλων Θηβῶν, ἐν αἷς ἐπεποίητο τὰ Αἰγυπτίων βασίλεια. ὡς δὲ καὶ μόλις αὐτοὺς καὶ κατὰ βραχὺ προσήγαγον οἱ θεοὶ τῷ πιστεῦσαι τοῖς γινομένοις, τότε ἀναθαῤῥήσαντες προείλοντο σώζεσθαι, τοῦτο καὶ λίαν ἄπιστον εἰς ἀκοὴν ἔρχεται. γυνὴ πένης, μάλα πρεσβῦτις παρά τινα τῶν πλαγίων πυλῶν ἐργασίαν εἶχεν οὐκ εὐτυχῆ μὲν, ἀλλ᾽ ἀναγκαίαν, τὼ χεῖρε ὀρέγειν εἴ τις ἐμ- D βάλοιτο ὀβολόν. αὕτη μάλα μὲν ὄρθριος ἐπὶ τὴν ἀγυρτικὴν καθέδραν ἀφῖκτο· δειναὶ γὰρ αἱ τοῦ βίου χρεῖαι φύσιν ὕπνου παραλογίσασθαι· καθεζομένη δὲ τὸ εἰκὸς ἐποίει, τοὺς διεγειρομένους ἐπὶ τὰ ἔργα προὔπεμπεν ἀγαθαῖς φήμαις, καὶ τὴν ἡμέραν εὐηγγελίζετο καὶ ηὔχετο, καὶ τὸν θεὸν ὑπισχνεῖτο ἵλεων. πόῤῥωθεν οὖν ὁρῶσα τὸ δρώμενον ὑπὸ τῶν Σκυθῶν, ἐπειδὴ σαφῶς ἡμέρα τε ἦν καὶ οὐδὲν ἔληγον ὥσπερ οἱ φῶρες ἐκθέοντες καὶ εἰσθέοντες, πάντες σκευαγωγοῦντες, ἐνθύμιον ποιεῖται

A non sermone, sed reipsa euidentissimum: cuiusmodi & illud fuit. Audacissimi homines, victores, loricati, quorum studium omne, ludúsque nihil aliud fuit, quam belli assidua exercitatio, equites instructo agmine in forum ventitãtes, & ad buccinam manipulatim prodeuntes (nam si quis Propala aut sutore opus haberet, aut ensem detergere vellet, ad vniuscuiusque negotium exequendum cæteri satellitum more fungebantur, vt ne vel per vicos, etiam acies distraheretur) hi, inquam, nudos, inermes, quorum ne in voto quidem erat victoria, concitatè fugientes signo dato, ciuitate sese subducebant; B liberos, vxores, aut quod quisque charissimum haberet, furtim rapientes, quasi Ægyptiorum vxores palàm abducere, atque in seruitutem agere non possent: quos cùm sarcinas colligere, & conuasare plebs vidisset, neque rem vti se habebat, intelligeret, multò vtique magis desperare cœpit. Alij ergo occlusis foribus in domum se abdere, ibidémque incendium expectare: alij ferro potiùs, quàm igni delecto, leuiora mortis instrumenta comparare, non vt tentarent quicquam, sed vt sese dum opus foret iugulandos præberent: C alij nauigationem aggredi, insulas, oppida, vrbésque dissitas animo repetere, tunc enim nulla non regio amplissima Thebarum ciuitate, in qua Ægyptiorum regia erat, tutior videbatur: vt autem vix tandem à diis paulatímque ad fidem his quæ gerebantur adhibendam inducti sunt, tum demum confirmatis animis, dum saluti consulunt, eiusmodi quippiam incredibile ab his auditum est. Muliercula quædam paupertate, annísque confectissima ad transuersam ciuitatis portam infœlici, sed planè necessaria opera, porrectis, si quis obolum injiceret, manibus, quæstum facie- D bat: ac primo quidem diluculo ad circulatoriam cathedram sese conferebat: (vitæ siquidem egestas, atque inopia ad defraudandam somno naturam efficacissima est) inibique sedens quod consentaneum est agebat: ad opus festinantes fausta boni ominis precatione prosequebatur, fœlicémque huius diei euentum prædicebat, & conceptis votis propitium numinis fauorem pollicebatur: eminus itaque idipsum, quod à Scythis fiebat intuita (lucescebat enim iam tum, nec vllum isti latronum instar excurrendo irrumpendóque conuasandi modum faciebant) subinde ei in

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

animum incidit summam hanc esse Thebarum diem. Hoc enim ab iis eò fieri, quò nullum in ciuitate pignus relinquatur, atque ita quam citò secesserint, damni illius securos, quod ex suorum, eorúmq; quos populari vellent, contubernio sibi consciscere possent, facinus aggressuros: quare poculum istud, quo ærusscare solebat euertens grauissiméque cum gemitu conquerens ac deorum hominúmque fidem implorans: At vos, inquit, patriis finibus extorres vagósque Ægyptus tanquam supplices excipiens non modò supplicum duntaxat more non tractauit, sed & ciuitate, ac magistratibus donauit, & postremò rerum dominos fecit, vt nonnulli ex Ægyptiis Scytharum more degere instituerint, vberrimum nacti ex ea simulatione compendium; ita maior vestris, quàm domesticis institutis honor habetur. Sed quorsum ista? Cur has sedes deseritis? cur sarcinas componitis ac conuehitis? Non de his ex ingratitudine itidem à diis aduersus benefactores iudicium fertur: nam & sunt, &, vel, post Thebarum excidium venient aliquando. Hæc cùm dixisset pronam se in humum deiecit: Ad hæc Scytha quidam educto gladio mulieris caput amputaturus irruit, quam conuitiis incessere, & nocturnum opus prodere suspicabatur: Clàm enim ista etiamnum fieri existimabat, quod nemo ex iis qui senserant, indicare ausus esset: Et illa quidem ferro ocyus absumenda erat; Sed siue Deus aliquis, siue Deo quamsimillimus interuenit in hominis certè speciem apparebat, qui id indigne ferre visus, Scythámque in sese conuertens, irruentem sustinuit atque ictu occupato cæsum humi prostrauit: hinc alter in eum Scytha & confestim idem perpessus est; clamor deinde, & hominum concursus, hinc barbarorum, qui veterina, & sarcinaria iumenta, quæ in ipso exitu tempus anteuerterat relinquebant, ipsi autem mox egressuri, aut aliquantum iam progressi, nam, vt suis quamcitissime suppetias irent, gradum referebant, illinc verò populi turba frequens, quorum hic cæsus occumbit, ille Scytham obtruncat, & hunc rursum Scytha alius, ac vtrinque semper aut ab alio sternebatur aliquis, aut alium interimebat: populus enim, quicquid in manus venisset, eo, tanquam tumultuariis armis, vtebatur: Sed & vel cæsorum cor-

A τοῦτον ἔσχατον ἥλιον ὄψεσθαι Θήβας. δρᾶσθαι γὰρ ταῦτα, τοῦ μηδὲν ἐνέχυρον αὐτοῖς ἔχειν τὸ ἄστυ· ὥστε ἐπειδὰν τάχιστα ἀποσκευάσωσι, χειρῶν ἀδίκων ἄρξειν αὖθις, ἀδεεῖς ὄντας τοῦ μή τι παραπολαύσωσιν, ὁ μεσίων ὄντων τοῖς ἀδικουμένοις τῶν ἀδικούντων. τότε οὖν κύθωνα τὸν ἀργυρολόγον ἀνατρέψασα, καὶ συχνὰ ἄττα ἀποδυραμένη τε καὶ θεοκλυτήσασα, ἀλλ' ὑμᾶς γε, ἔφη, γῆς πατρῴας ἐκπεπτωκότας καὶ ἀλητεύοντας, ἐδέξατο μὲν Αἴγυπτος ὡς ἱκέτας· ἐχρήσατο δὲ οὐχ ὅσον μόνον ἱκέταις εἶ-
B χε καλῶς, ἀλλὰ καὶ πολιτείας ἠξίωσε, καὶ γερῶν μετέδωκε, καὶ τὸ τελευταῖον διὰ τοῦτο, κυρίους τῶν πραγμάτων ἐποίησεν. ὥστε ἤδη τινὲς Αἰγυπτίων Σκυθίζουσιν, ὠφελούσης αὖθις καὶ τῆς προσποιήσεως. αὐτὰ τὰ ὑμέτερα τῶν ἐπιχωρίων ἐντιμότερα. ἀλλὰ τί ταῦτα; τί μετασκηνοῦτε; τί δὲ σκευαγωγεῖτε καὶ συσκευάζεσθε; οὔ τί που ταῦτα ἐπὶ τοὺς εὐεργέτας δικάζουσιν ἀχαριστίᾳ θεοί; καὶ γάρ εἰσι καὶ ἥξουσιν εἰ καὶ κατόπιν Θηβῶν. ἡ μὲν εἰποῦσα, πρηνῆ κατέβαλεν ἑαυτήν· ἐφίσταται δέ τις
C Σκύθης τὴν κοπίδα ἀνασπασάμενος, ὡς ἀπαράξων τῆς ἀνθρώπου τὴν κεφαλήν, ἣν λοιδορεῖσθαί τε ὑπετόπασε, καὶ καταφανὲς ποιῆσαι τὸ νυκτερινὸν ἔργον. ᾤετο γὰρ ἔτι λανθάνοντας αὐτὸ δρᾶν, ἐπεὶ μηδεὶς τῶν ᾐσθημένων εὔτολμος ἦν ἐξελέγχειν· καὶ ἡ μὲν ἔργον ἂν ἐγεγόνει σιδήρου· ἐπιφαίνεται δέ τις εἴτε Θεός, εἴτε κατὰ Θεὸν ἑωρᾶτο δ' οὖν ἄνθρωπος, ὃς ἀγανακτῶν τε δῆλος ἐγένετο, καὶ κινήσας ἐφ' ἑαυτὸν τὸν Σκύθην ἐπιφερομένῳ τε ὑπαντιάζει, καὶ τὴν πληγὴν φθάσας συναίρει τε καὶ καταβάλλει· Σκύθης ἐπ' αὐτὸν ἄλλος, καὶ ταχὺ
D τὸ αὐτὸ ἐπεπόνθει. βοὴ δὲ ἐντεῦθεν, καὶ συνθέουσιν ἄνθρωποι, τοῦτο μὲν βάρβαροι, τοὺς σκευαγωγοὺς ἡμιόνους ἀφέντες, ὅσους ὁ καιρὸς πρὸς ἐξόδῳ κατείληφεν, ἤτοι μέλλοντες, ἢ προεξελθόντες. ἀνέλυον γὰρ ὡς δι' ἐλαχίστου τοῖς οἰκείοις ἀρήξοντες· τοῦτο δὲ ὅμαδος δήμου πολὺς ὤν· ὁ μέν τις ἀποθνήσκει πληγείς, ὁ δὲ ἀποκτείνει Σκύθην, καὶ τὸν ἀποκτείναντα αὖ Σκύθης ἄλλος, καὶ ἀεί τις ἔπιπτε, καὶ ἀεὶ τις ἔκτεινεν ἀφ' ἑκατέρας μερίδος. τῷ γὰρ δήμῳ καὶ τὸ παρατυχὸν ἅπαν ὅπλον ἦν ἀναγκαῖον. ἦν δὲ αὐτῷ καὶ τοὺς κειμένους σκυλεύοντι,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χρῆσθαι τοῖς ξίφεσι, καὶ ζώντων περιαιρουμένῳ. πλήθει γὰρ περιῆν τῶν ἀλλοφύλων, τῶν μὲν ἐστρατοπεδευκότων ὡς ποῤῥωτάτω τοῦ ἄστεος, ὡς ἂν ἥκιστα φοβοῖντο τὸν λόχον, ὃν οὐκ ὄντα αὐτοῖς ὁ Θεὸς ἀνεστήσατο τοῦ μεθεῖναι τὴν πόλιν, ἣν μέσην εἶχον ἐν ταῖν χεροῖν· οἱ δὲ, μείους ἐλάττων ἀνὰ τὴν πόλιν τοῦ πλήθους, ἀμφὶ τὰ ἔπιπλα εἶχον, τοῦ μηδὲν ἐγκαταλειφθῆναι. πολλαπλάσιοι οὖν ὡς εἶχον ἐλάττοσιν αὐτῶν συνεφέροντο τοῖς παρατυχοῦσιν ἀγχοῦ τῶν πυλῶν, καὶ τοῖς ἀεὶ προσγινομένοις ὡς ἐπὶ ἔξοδον. ἤρετό τε ἡ βοὴ μείζων, καὶ τὰ τῶν θεῶν ἐνταῦθα δὴ καὶ σαφῶς διάδηλα γέγονεν. ἐπειδὴ γὰρ αἴσθησις τοῦ θορύβου, τήν τε πόλιν ὁπόση τὸ μέγεθος ἦν, ἐπέσχε, καὶ εἰς τὸ στράτευμα τῶν ἀλλοφύλων ἐξίκετο, ἑκάτεροι τοὺς ἑτέρους πάλαι δεδιότες ὡς ἐπιθησομένους, τοῦ δήμου μὲν ἀνὴρ ἕκαστος ταύτην ἐκείνην οἰόμενοι τὴν κυρίαν ἡμέραν Αἰγυπτίῳ, καθ' ἣν ἀπερυθριάσαι τοῖς βαρβάροις συνέκειτο, γνώμην ἐποιοῦντο δρῶντές τι καὶ παθεῖν, καὶ ἔχειν ἐντάφιον ἀρετήν· ὡς τοῦ γε μὴ παθεῖν, οὐδὲ Θεὸς ἂν ἔδοξεν ἐγγυητὴς ἀξιόπιστος. ἐλωθοῦντο οὖν ἅπαντες ἐπὶ τὸ ἀεὶ ταραττόμενον, αὐτός τις ἕκαστος εἶναι βουλόμενος, οἰόμενος κερδαίνειν, εἰ διακινδυνεύσειεν ὑπολειπομένων ἔτι μαρτύρων. οἱ βάρβαροι δὲ, τήν τε ἔξοδον ἐκκεκλόφεσαν, καὶ πεφωρᾶσθαι νομίσαντες, τῶν μὲν ἐγκαταλελειμμένων ἠμέλουν· καίτοι πεμπτημόριά που μάλιστα τοῦ στρατεύματος ἦν· αὐτοὶ δὲ περὶ σφῶν αὐτῶν δείσαντες, μὴ ἐξέλθοιεν οἱ πολέμιοι, φυγὴν ἐποιοῦντο, καὶ ποῤῥωτέρω στρατοπεδεύουσι, χάριν εἰδότες, ὅτι τῷ πλέονι περιεσώθησαν, τῷ παντὶ κινδυνεύσαι μελλήσαντες· τῶν δὲ ἐγκαταλειφθέντων, οἱ μὲν ἐν ταῖς οἰκίαις, καὶ οὗτοι διὰ τὸ πάλαι θεοπληγεῖς τε εἶναι καὶ ὕποπτοι πείσεσθαι Σκύθας ὑπὸ Αἰγυπτίων κακὸν ἀνήκεστον, ἐπιδρομήν τε ἐπὶ τοὺς ἐξελθόντας ὡς ἐπὶ φυγάδας ᾤοντο γεγονέναι, καὶ αὐτίκα διαρπασθήσεσθαι τὸ στρατόπεδον, σφίσι δὲ ὄφελος ἂν γενέσθαι κατὰ χώραν αὐτοῦ μένουσιν, εἰ τά τε ὅπλα καταθεῖντο, καὶ ἱκέται καθίζοιντο. δόξαι γὰρ ἂν διὰ τοῦτο καὶ μόνοις ὑπολελεῖφθαι, τῷ μηδὲν κακὸν εἰργασ-

A pora spolianti, vel viuis eripienti, gladiorum copia fiebat, multitudine verò longè erat barbaris superior, quoniam alij quam longissimè à ciuitate castra posuerant, quo minus sibi timoris ab eo agmine esset, quod specie tenus Deus in eos commouerat, vt, quam in sua potestate ciuitatem haberent, missam facerent, reliqui verò numero ciuibus inferiores tota vrbe impedimenta curabant, ne quid in ea relinqueretur; Plures igitur cum paucioribus pro re nata congrediebantur, tam iis scilicet, qui ad portas peruenerant, quàm qui ex vrbe perpetuò ad egressum confluebant; clamórque iam increbrescebat, & deorum potestas tum clarissimè innotuit. Nam postquàm in vniuersam ciuitatem, quanta quanta erat, & in barbarorum exercitúm tumultuationis fama propagata est, vtrique iampridem aliorum impressionem metuentes, ciuium quidem vnusquisque statum, solemnémque Ægypto hanc esse diem arbitrati, in qua barbari pudorem omnem ex compacto deponerent, priusquàm oppeterent, strenui aliquid patrare, virturémque sepulturæ loco habere apud se statuebant, quando salutis tuendæ ne Deus ipse quidem satis idoneus sponsor esse videbatur. Ergo vbi maior tumultus erat, eò se violenter protrudebant, idque in lucro ponebant, si relictis adhuc testibus belli discrimen subirent: Barbari autem raptim seipsos subduxerant, & deprehensos se esse rati, spretis iis quos in vrbe interceptos reliquerant, (quanquam quinta hæc fermè pars exercitus erat) ipsi sibiipsis metuentes, ne ab hostibus inuaderentur, in fugam se conijciunt, longéque à ciuitate castra constituunt, gratum id in primis ducentes, quod cùm de toto exercitu periclitaturi essent, maxima parte incolumes euasissent. Eorum verò qui in vrbe relicti erant, nonnulli in ciuium adhuc ædibus versantes, quod iamdudum diuinitus perculsi Scythas ab Ægyptiis graue quidpiam perpessuros suspicarentur, in eos qui eruperant, tanquam in fugitiuos, incursionem factam, statimque diripienda esse castra persuasum habebant; sibi itaque suo loco manentes probè consulturos putabant, si positis armis supplices considerent, hoc enim pacto fidem facturos sese solos ideò remansisse, quod nullum

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Cúmq; hæc, velut multiplices quædam literæ sunt in tota rerum vniuersitate, tanquam in libro, descriptæ, quarũ aliæ Phenissæ, aliæ Ægyptiæ, Assyriæ aliæ sunt, quas qui sapiens est, legit: sapiens porrò is est, qui natura didicit, aliisq; alius in rebus est sapiens: & hic quidem magis, alter minus; Exempli gratia, Hic quidem syllabarum peritus est, ille dictionis integræ; alter oratione simul vniuersæ: Ita planè futura sapientes preuident, alij ex Astrorum, alij ex stabilium, ac permanentium, alij demq; ex discurrentium facium obseruatione, atq; notitia: Nonnulli in visceribus animalium ea legunt, quidam in garritu auium, & institione ac volatu: Sunt etiam, quibus quæ vulgò omnia dicuntur, literarum instar sunt futura manifestè declarantium, vti voces, & fortuiti occursus, aliis de causis facti, ita vt omnia omnibus significandi vi prædita sint. Itaq; si vlla in auibus inesset sapientia, artem illæ ex hominibus aliquã, quemadmodum ex iis facimus, ad futurorum notitiam instituissent: Siquidem nos illis, quemadmodum illæ nobis, noui, & peruetusti, ac secundi sumus. Oportebat enim, arbitror, vniuersitatis huius consentientis secum, conspirantisq; partes, vtpote quę eiusdem totius membra sint, mutua quadã necessitudine copulari. Ac fortasse Magorum incantationes nihil aliud sunt: nam à se inuicem attrahuntur, non minus, quàm significantur; Isque demum sapiens est, qui partium inter se mundi cognationẽ intelligit. Quippe aliud alterius beneficio ad se pertrahit, præsentia, tanquam pignora quædã habens eorũ quæ maximo interuallo dissita sunt. Cuiusmodi sunt voces, materiæ, figuræ; nõ secus atq; in nobis viscere aliquo malè affecto, aliud eodem modo afficitur: Ac digiti etiã morbus in inguen decũbit, tametsi quæ interiecta sunt multa, nihil mali sentiãt: Sũt.n. vnius animalis partes, inéstq; in his, potiùs quã aliis, quędã ad se inuicẽ affectio: inde igitur accidit, vt ad Deum aliquẽ, ex corũ numero, qui mũdi huius ambitu cõtinẽtur, lapis apud nos aliquis herbáve pertineat: quibus rebus cũ affectionis similitudine sit cõiunctus, naturę vi trahitur, ac pellicitur. Quẽadmodũ qui imã chordã pulsat, nõ proximã.i. sesquioctauã mouet, sed sesquitertiã ac Neten, atq; hoc ipsum antiquiori concordia promanat: inest.n. velut in cognatione, nonnulla etiã inter partes dissensio: Siquidem mũdus non vnũ absolutè quidpiam est, sed vnum ex multis conflatum:

A καὶ ἔστι ταῦτα γράμματα παντοδαπά, καθάπερ ἐν βιβλίῳ τοῖς οὖσι, τὰ μὲν Φοινίκεια, τὰ δὲ Αἰγύπτια, καὶ ἄλλα Ἀσσύρια· ἀναγινώσκει δὲ ὁ σοφός· σοφὸς δὲ ὁ φύσει μαθών· καὶ ἄλλος ἄλλα· καὶ ὁ μὲν μᾶλλον, ὁ δὲ ἧττον, ὥσπερ ὁ μὲν κατὰ συλλαβάς· ὁ δὲ ἀθρόαν τὴν λέξιν, ὁ δὲ τὸν λόγον ὁμοῦ· οὕτως ὁρῶσι σοφοὶ τὸ μέλλον, οἱ μὲν ἄστρα εἰδότες, ἄλλος τὰ μένοντα, καὶ ἄλλος τὰ πυρσὰ τὰ διάττοντα· οἱ δὲ ἐν σπλάγχνοις αὐτὰ ἀναγνόντες· οἱ δὲ ἐν
B ὀρνίθων κλαγγαῖς, καὶ καθέδραις, καὶ πτήσεσι· τοῖς δὲ καὶ τὰ καλούμενα σύμβολα, τῶν ἐσομένων ἐστὶν ἀείδηλα γράμματα, φωναί τε καὶ συγκύρσεις ἐπ' ἄλλῳ γινόμεναι, σημαντικῶν ὄντων ἅπασι πάντων· ὥστ' εἰ σοφία περὶ ὄρνισιν ἦν, τέχνην ἂν ἐξ ἀνθρώπων ὥσπερ ἡμεῖς ἐξ αὐτῶν, ἐπὶ τὸ ἐσόμενον συνεστήσαντο. καὶ γὰρ ἡμεῖς ἐκείνοις, ὥσπερ ἡμῖν ἐκεῖνοί γε, νέοι καὶ προπάλαιοι καὶ πανδέξιοι. ἔδει γάρ, οἶμαι, τοῦ παντὸς τούτου συμπαθοῦς τε ὄντος καὶ σύμπνου, τὰ μέρη προσ-
C ήκειν ἀλλήλοις, ἅτε ἑνὸς ὅλου μέλη τυγχάνοντα. καὶ μή ποτε αἱ μάγων ἴυγγες αὗται. καὶ γὰρ θέλγεται παρ' ἀλλήλων ὥσπερ σημαίνεται, καὶ σοφὸς ὁ εἰδὼς τὴν τῶν μερῶν τοῦ κόσμου συγγένειαν. ἕλκει γὰρ ἄλλο δι' ἄλλου, ἔχων ἐνέχυρα παρόντα τῶν πλεῖστον ἀπόντων, καὶ φωνὰς καὶ ὕλας καὶ σχήματα, ὥσπερ ἐν ἡμῖν σπλάγχνου παθόντος, ἄλλο συμπέπονθεν· καὶ τὸ τοῦ δακτύλου κακὸν, εἰς τὸν βουβῶνα ἀπερείδεται, πολλῶν τῶν μεταξὺ μὴ παθόντων· ἑνὸς γὰρ ἦν ἄμφω ζώου· καὶ ἔ-
D στιν αὐτοῖς ἢ μᾶλλον ἑτέρων πρὸς ἄλληλα. καὶ δὴ καὶ Θεῷ τινὶ τῶν εἴσω τοῦ κόσμου λίθος ἐνθένδε καὶ βοτάνη προσήκει, οἷς ὁμοιοπαθῶν εἴκει τῇ φύσει καὶ γοητεύεται· ὥσπερ ὁ τὴν ὑπάτην ψήλας, οὐ τὴν παρ' αὐτὴν τὴν ἐπόγδοον, ἀλλὰ τὴν ἐπιτρίτην καὶ τὴν νήτην ἐκίνησε. τοῦτο μὲν ἤδη τῆς πρεσβυτέρας ἐστὶν ὁμονοίας. ἔστι γάρ τις ὡς ἐν συγγενείᾳ τοῖς μέρεσι καὶ διχόνοια. οὐ γάρ ἐστιν ὁ κόσμος τὸ ἁπλῶς ἕν, ἀλλὰ τὸ ἐκ πολλῶν ἕν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A καὶ ἔστιν ἐν αὐτῷ μέρη μέρεσι προσήγορα καὶ μαχόμενα, καὶ τῆς στάσεως αὐτῶν εἰς τὴν τοῦ παντὸς ὁμόνοιαν συμφωνούσης, ὥσπερ ἡ λύρα σύστημα φθόγγων ἐστὶν ἀντιφώνων τε καὶ συμφώνων· τὸ δὲ ἐξ ἀντικειμένων ἓν, ἁρμονία, καὶ λύρας, καὶ κόσμου. Ἀρχιμήδης μὲν οὖν ὁ Σικελὸς, ᾔτει χωρίον ἔξω τῆς γῆς, ὡς ἑαυτὸν ἀντιταλαντεύσων ὅλῃ τῇ γῇ· ἐν αὐτῇ γὰρ ὢν οὐκ ἔχειν ἔφη δύναμιν πρὸς αὐτήν· ὁ δὲ εἰδὼς περὶ τὴν φύσιν τοῦ κόσμου σοφὸς, ἔξω τεθεὶς, οὐκ ἂν ἔτ' ἔχοι τῇ σοφίᾳ τι χρήσασθαι· αὐτῷ γὰρ ἐπ' αὐτὸν χρῆσθαι. B διεσπασμένης οὖν τῆς συνεχείας μάτην ἂν ἴδοι, καὶ ἄψυχα ἂν καταςημαίνοιτο σύμβολα. καὶ ὅσον γὰρ ἔξω τοῦ κόσμου θεῖόν ἐστιν, ἀπαθές ἐστιν ἀγοήτευτον·

—ὁ δ' ἀφθιμένος οὐκ ἀλεγίζει,
Οὐδ' ὄθεται.

Ἡ γὰρ νοῦ φύσις ἀμείλικτος· τὸ δὲ παθητικόν ἐστι τὸ θελγόμενον. τὸ μὲν δὴ πλάτος ἔν τε μαντείαις καὶ τελεταῖς, ἡ τῶν ἐν κόσμῳ παρέχεται πλῆθος καὶ συγγένεια· C διεστώτων μὲν ἡ πλῆθος, ἑνὸς δὲ ὄντων συγγένεια. καὶ τελετὰς μὲν, ἀλλὰ μηδὲ ὁ λόγος κινείτω, νόμῳ πολιτείας πειθόμενος, μαντικὴν δὲ ἀνεμέσητον ἀποδέξασθαι. καὶ δὴ τὸ ὅλον αὐτῆς ἐκ τῶν ἐνόντων ἐγκεκωμίασται· τὸ δὲ νῦν ἔχον, ἐστὶ τὴν ἀρίστην ἀποτεμομένην, ἐμφιλοχωρῆσαι τῷ περὶ αὐτὴν σκέμματι, χαρακτῆρα κοινὸν ἐπὶ πάσαις ἔχοντα τὴν ἀσάφειαν, ὡς μηδεμιᾶς ἀξιοῦν ἐλέγχων εἶναι τὸ ἐν ὁλοκλήρῳ τῇ φύσει θεωρούμενον. ὁ δὲ λόγος ἐδείκνυ καὶ τοῦτο σεμνὸν, ὥσπερ ἐν τελεταῖς τὸ ἀπόρρητον· οὕτως οὐδὲ τὰ χρη- D στήρια πᾶσι συνετὰ φθέγγεται, καὶ Λοξίας ἐκεῖθεν ὁ Πυθοῖ χρησμῳδὸς, ὅτι τὸ ξύλινον τεῖχος, ὃ τοῖς Ἀθηναίοις ὁ Θεὸς ἐδίδου σωτήριον, μάτην ἂν ἤκουσεν ἐκκλησιάζων ὁ δῆμος, εἰ μὴ Θεμιστοκλῆς ἀνέγνω τοῦ χρησμοῦ τὴν διάνοιαν· ὥστε οὐδὲ ἐνταῦθά γε ἀπόβλητος ἡ διὰ τῶν ὕπνων εἴη μαντεία, κοινὴν ἔχουσα πρός τε τὰ ἄλλα καὶ πρὸς τοὺς χρησμοὺς τὴν ἐπίκρυψιν. ἐπιθετέον δὲ μάλιστα

in eóque partes insunt, partibus affines, ac repugnantes conspirante ad vniuersi concordiam mutuò earum diuortio; vti Lyra contrariorum, ac consentientium sonorum constitutum modulamen est? Nam quod ex contrariis vnum fit tam in Lyra, quàm in mundo, concentus appellatur. atque Archimedes quidem Siculus locum aliquem extra terræ ambitum postulabat, quasi contrario se toti terræ pondere libraturus; negabat enim se, quandiu in ea esset, quicquam in eam virium habere; Verùm quisquis vllam circa mundi naturam peritiam est adeptus, si extra eundem constituatur, nihil iam peritia vti sua poterit; necesse enim erit, vt contra illud ipsum vtatur; Quare interrupta continuitate frustrà contueatur, & expertia animæ indicia obseruet. Quicquid enim diuinum extra mundum positum est, nullis omninò præstigiis allici potest;

Quicumque est liber, cura vacat omni,
Nec pensi illi quicquam.

Natura quippe mentis nullo modo inflecti potest, patibiléque hoc ipsum est quod mulcetur ac pellicitur. Quamobrem diuinationem, ac mysteriorum latissimam copiam, eorum quæ in mundo sunt multitudo, atque affinitas suppeditat; multitudo, inquam, discrepantium, affinitas verò coniunctorum, & vnum constituentium. Sed mysteria quidem nullomodò nostra attingat oratio, Reip. legibus obtemperans, diuinationem verò palàm efferre, reprehensione omni caret. Et verò totum ipsum genus, quoad licuit, hactenus collaudatum est, nunc quod ad præsens attinet, licet optimo illius genere seorsim sumpto, in eo considerando commorari, ita vt communem in omnibus notam obscuritatem habeant, nec vllius manifestum indicium esse putemus, id quod in vniuersa rerum natura spectatur. Atque id in hac re augustum ac religiosum esse oratio nostra demonstrabit; quale in mysteriis arcanum est. Sic neque oracula, perspicua omnibus responsa reddunt, indéq; loxias quasi flexuosus Pythius ille vates, quòd, verbi caussa, frustrà murum illum ligneum, quem Græcis salutarem Deus attribuebat, in concione populus audiisset, nisi Themistocles oraculi mentem agnouisset. vnde ne hac quidem parte repudianda per somnium diuinatio est, quæ communem non modò cum cæteris, verùm etiam cum oraculis obscurationem habet, sed opera in ea maximè disciplina collocanda,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

quòd à nobis illa & intra nos, atq; domestica sit & vniuscuiusque animi præcipua. Mens enim eorum quæ sunt formas in se continet, vt vetus philosophia testatur, cui & nos addiderimus, Animam itidem eorum quę scimus species complecti; quandoquidem eadem mentis ad animam proportio, atque comparatio est, quæ eius quod est ad id quod gignitur. Quare permutato quoque ordine eadem proportione, & primum tertio, & quarto secundum respondet, ac si versa vice acceperimus, nihilominus verè istud, & consentaneè scientiæ principiis vsurpabimus, atque ita demonstratum illud fuerit, quòd sumptum à nobis erat, inesse in anima eorum quæ oriuntur species; insunt porrò quidem omnes, sed eas duntaxat quæ conducibiles sunt, proponit, & phantasiæ velut speculum quoddam obijcit, per quam ea quæ illic permanent ab animali percipiuntur: Quò igitur modo neque mentis actiones intelligimus, antequam præses ac moderatrix facultas, id in commune renunciet, vt quicquid ad eum non peruenerit, animalis cognitionem effugiat, hîc neque earum rerum quæ in prima anima sunt, sensum vllum capimus, antequam earum imagines ad phantasiam perferantur: videtúrque hæc vita quædam inferior esse, & in quadam naturæ proprietate consistens. Quinetiam sensus ipsi penes eam resident, etenim & colores intuemur & sonitus audimus, & factionis acerrimum sensum percipimus, otiosis interim administris corporis partibus, ac nescio an sanctius quoddam sit illud sensuum genus: Illius sanè beneficio, & cùm diis identidem conuersamur, siue commonefacientibus, siue responsa reddentibus, siue alio modo prouidè nobis consulentibus; Adeóque si cui thesaurus somni munus obtigit, nihil admirandum censeo, neque si quis cùm imperitus obdormisset, posteaquàm in somnis, cùm Musis versatus sit, & nonnulla cum iis locutus fuerit, nonnulla item audierit, repentè poëta elegantissimus euadat, cuiusmodi ætas nostra tulit; neque hoc adeò incredibile videtur. Mitto ego & insidias detectas, & eos quibus medicus aliquis somnus omne à morbo periculum depulerit. Sed cùm ad perfectissimas rerum inspectiones ei animæ viam patefecerit, quæ neque earum vnquam desiderium conceperit, neque de ascensu cogitarit;

A μαθήσεων ταύτῃ, ἐν τῷ παρ' ἡμῶν αὕτη καὶ ἔνδοθεν καὶ ἰδία τῆς ἑκάστου ψυχῆς. νοῦς μὲν γὰρ ἔχει τὰ εἴδη τῶν ὄντων, ἀρχαία φιλοσοφία φησί· προσθείημεν δὴ ἂν ἡμεῖς, ὅτι καὶ τῶν γινομένων ψυχή, ἐπεὶ λόγος ἐστὶ νῷ πρὸς ψυχήν, ὅστις τοῦ ὄντι πρὸς τὸ γινόμενον. ἐναλλὰξ οὖν πρῶτον πρὸς τρίτον, καὶ δεύτερον πρὸς τέταρτον, καὶ ἀνάπαλιν λαβόντες, οὐδὲν ἧττον ἂν ἀληθεύοιμεν ὅροις ἐπιστήμης ἑπόμενοι. οὕτως ἂν ἀποδεδειγμένον εἴη τὸ ὑφ' ἡμῶν ἀξιούμενον, ὅτι

B τὰ εἴδη τῶν γινομένων ἔχει ψυχή. ἔχει μὲν οὖν πάντα· προβάλλει δὲ τὰ προσήκοντα, καὶ ἐναποδείξει τὴν φαντασίαν, δι' ἧς τὴν ἀντίληψιν τῶν ἐκεῖ μενόντων ἔχει τὸ ζῷον. ὥσπερ οὖν οὐδὲ τῶν νοῦ τῶν ἐνεργειῶν ἐπαϊόμεν, πρὶν τὴν κοινὴν τὴν ἐπιστατικὴν δύναμιν ἀπαγγεῖλαι, καὶ τὸ μὴ εἰς ἐκείνην ἧκον λανθάνει τὸ ζῷον· οὕτως οὐδὲ τῶν ἐν τῇ προτέρᾳ ψυχῇ τὴν ἀντίληψιν ἔχομεν, πρὶν εἰς φαντασίαν ἥκειν αὐτῶν ἐκμα-

C γεῖα, καὶ ἔοικεν αὕτη ζωή τις εἶναι μικρὸν ὑποβᾶσα, καὶ ἐν ἰδιότητι φύσεως στᾶσα. αἰσθητήρια γέ τοι πάρεσι κατ' αὐτήν. καὶ γὰρ χρώματα ὁρῶμεν, καὶ ψόφων ἀκούομεν, καὶ ἁφῆς πληκτικωτάτην ἀντίληψιν ἔχομεν, ἀνενεργήτων ὄντων τῶν ὀργανικῶν μορίων τοῦ σώματος. καὶ μή ποτε ἱερώτερον τοῦτο γένος αἰσθήσεως, κατ' αὐτό γέ τοι καὶ θεοῖς τὰ πολλὰ συγγινόμεθα νουθετοῦσι καὶ χρῶσι, καὶ τἄλλα προμηθουμένοις· ὥστε εἰ μέν τῳ γέγονε θησαυρὸς ὕπνου δῶρον, οὐκ ἐν θαυ-

D μαστοῖς ἄγω, οὐδ' εἴ τις καταδαρθὼν ἄμουσος, ἔπειτα ἐντυχὼν ὄναρ ταῖς Μούσαις, καὶ τὰ μὲν εἰπών, τὰ δὲ ἀκούσας, ποιητής ἐστι δεξιός, ὥσπερ ὁ καθ' ἡμᾶς χρόνος ἤνεγκεν, οὐδὲ τοῦτο τῶν λίαν ἐστὶ παραδόξων. ἐῶ δὴ ἔγωγε καὶ ἐπιβουλὰς καταμηνυθείσας, καὶ ὅσοις ὕπνος ἰατρὸς ἐξαίτη τὴν νόσον ἐποίησεν. ἀλλ' ὅταν εἰς τὰς τελεωτάτας τῶν ὄντων ἐποπτείας ὁδὸν ἀνοίξῃ τῇ ψυχῇ, τῇ μὴ ὀρεχθείσῃ ποτέ, μηδὲ εἰς νοῦν βαλομένῃ τὴν ἄνοδον,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A τοῦτο δ' ἂν εἴη τὸ ἐν τοῖς οὖσι κρυφαιότατον, φύσεως ὑπερκύψαι, καὶ συνάψαι τῷ νοητῷ τὸν ἐς τοσοῦτο πεπλανημένον, ὡς μηδὲ ὅθεν ἦλθεν εἰδέναι. εἰ δέ τις μέγα μὲν οἴεται τὴν ἀγωγήν, φαντασίᾳ δὲ ἀπιστεῖ, μή τοι καὶ κατ' αὐτὴν ποτὲ πελάσειν τὴν εὐδαίμονα συναφήν, ἀκουσάτω τῶν ἱερῶν λογίων ἃ λέγει περὶ διαφόρων ὁδῶν. μετὰ δὴ τὸν ὅλον κατάλογον τῶν οἴκοθεν εἰς ἀναγωγὴν ἀφορμῶν, καθ' ὃν ἔξεστι τὸ ἔνδοθεν σπέρμα αὐξῆσαι·

B Τοῖς δέ, (φησὶ) διδακτὸν ἔδωκε φάους γνώρισμα λαβέσθαι.

Τοὺς δέ, καὶ ὑπνώοντας ἑῆς ἐνεκάρπισεν ἀλκῆς.

Ὁρᾷς, ἀντιδιέστειλεν εὐμοιρίαν μαθήσεων. ὁ μὲν ὕπαρ, φησίν, ὁ δὲ ὄναρ διδάσκεται· ἀλλ' ὕπαρ μὲν ἄνθρωπός ἐστιν ὁ διδάσκων· τὸν ὑπνώοντα δὲ Θεός, ἧς ἐνεκάρπισεν ἀλκῆς, ὡς ταυτὸν εἶναι τὸ μανθάνειν τε καὶ τυγχάνειν. τὸ γὰρ ἐγκαρπίσαι καὶ πλέον ἐστὶ τοῦ διδάξαι. ἀλλὰ τοῦτο μὲν προειλήφθω παραστατικὸν τῆς ἀξίας τῆς κατὰ τὴν ἐν φαντασίᾳ ζωήν, πρὸς τοὺς C ἀπογινώσκοντας αὐτῆς καὶ τὰ ἐλάττω, ὡς οὐδὲν θαῦμα οὕτω γινώσκειν ὑπὸ περιττῆς σοφίας προσεστηκότας τοῖς ὑπὸ τῶν λογίων ἀποκηρύκτοις. φησὶ γάρ,

Οὐ θυσιῶν σπλάγχνων τ' ὄρμημα, τάδ' ἀθύρματα πάντα.

Καὶ φεύγειν αὐτὰ παρακελεύεται· οἱ δὲ ἅτε ὄντες ὑπὲρ τὸ πλῆθος, τέχνας μὲν ἐπὶ τὸ ἐσόμενον ἄλλος ἄλλας ἀπολαβόντες, ἀξιοῦσιν ἐργάζεσθαι· ὀνείρων δὲ ὑπερορῶσιν, ὡς προχείρου πράγματος, οὗ μέτεστιν ὁμοτίμως ἀμαθεῖ τε καὶ σοφῷ. τί οὖν εἰ ταύτῃ σοφός, D ὅτι τοῦ κοινοῦ πλέον τυγχάνει; ἐπείτοι καὶ τὰ ἄλλα ἀγαθά, καὶ τούτων γε μᾶλλον τὰ μέγιστα κοινότατα πρόκειται. „ ἡλίου γὰρ οὔτε „ θεσπεσιώτερον ἐν τοῖς ὁρωμένοις οὐδέν, οὔτε „ δημοσιώτερον. εἰ δὲ τὸ αὐτοπτῆσαι Θεὸν χρῆμα εὔδαιμον, τὸ διὰ φαντασίας ἑλεῖν, πρεσβυτέρας αὐτοψίας ἐστίν. αἴσθησις γὰρ αἰσθήσεων αὕτη, ὅτι τὸ φανταστικὸν πνεῦμα, κοινότατόν ἐστιν αἰσθητήριον, καὶ σῶμα πρῶτον ψυχῆς· ἀλλὰ τὸ μὲν ἐνδομυχεῖ, καὶ τὴν

hoc demum in eorum, quæ sunt, genere, occultissimum fuerit, naturam, inquam, transcendere, & cum intelligibili copulare eum, qui vsque eò aberrauerit, vt no quidem vnde venerit perspectum habeat: si quis verò viam ipsam, ductúmque, magnum esse aliquid opinetur, minimé; sibi de phantasia persuadeat vti per sese felicem illam coniunctionem præbere posse, audiat is de sacris literis quid de viarum diuersitate pronuntient. Igitur post plenam omnium subsidiorum enumerationem, quæ penes nos ad prouectionem illam habemus, secundùm quam insita nobis semina excitare, atq; augere possumus,

Notitiam, ait, edoctæ dedit his comprendere lucis;

Virium at his fructum in somnis dat habere suarum.

Vides vt felicem sortem à disciplina secreuerit: Hic, inquit, vigilans, alter somnians edocetur; sed per vigiliam homo est qui instituit; dormienti vero Deus, virium suarum fructum objicit, vt idem sit discere, quod assequi: Nam fructum objicere plus est quàm docere. Sed hæc hactenus proposita sunt, quo vitæ illius, quæ in phantasia est, dignitas declaretur, aduersùs eos, qui eidem vel minimis in rebus diffidunt. Quo modo sentire eos nihil miror, vt qui præ eximia sapientia iis defixi teneantur, quæ sunt sacrorum voluminum authoritate repudiata. Ita enim loquuntur

Sacra nihil curo, nec viscera: ludicra sunt hæc.

& vt ea fugiamus hortantur. At illi perinde ac supra vulgus hominum positi, artes alius alias ad notitiam futurorum seligentes, exercere contendunt; somnia ipsa negligunt, tanquam in propatulo posita, quorum ex æquo imperiti, ac sapientes participes sunt. Quid igitur ob id maximè sapientiam ea res habet, quod de communi plus cæteris assequitur? Siquidem & reliqua bona, multóque magis, quæ inter ea præcipua sunt, omnibus in commune maximè proponuntur. Nihil enim sole in rebus aspectabilius, aut diuinius, aut communius est. Iam verò cùm per sese Deum intueri res sit felicitatis plena; tum per phantasiam illius notitiam apprehendere, exquisitioris cuiusdam intuitus est: Sensus enim iste sensuum est, quoniam phantasiæ spiritus, is scilicet quo visiones & imagines concipiuntur communissimus omnium sensus est, ac primum animæ corpus. Sed hoc quidem in interio-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ribus residet, principiúmq; in sese animalis, tanquam ex arce continet, natura enim circum illud, vniuersum capitis opificium extruxit: Auditus verò, visúsque sensus non sunt, sed instrumenta sensus, & communis administræ, tãquam animalis ostiariæ, quæ ea dominæ renunciant, quæ extrinsecus sentiuntur, à quibus externa sensuum conceptacula pulsantur. Atque ille quidem quamuis sui parte perfectus sensus est, nam & toto spiritu audit, & toto videt, & cætera præstare potest omnia, vires autem suas, ac facultates, aliam alia parte distribuit; separatímque ex animali prodeunt singula: Ita velut rectæ quædam lineæ sunt quæ è centro deductæ, eôdem referuntur: Quæ omnes cõmuni in radice vna, eadémq; sũt, productione multiplices: Itaq; crassissimus, & animalis imprimis sensus ille est qui per externa se instrumenta profert, neque prius sensus est, quàm ad primùm omnium peruenerit, diuinior autem, & animæ finitimus est, sine intermedio, proximus sensus: iam cùm corporis sensus cognitionis gratia in pretio habeamus, propterea quod ea maximè scimus, quæ oculis subiecimus, si phantasiam reijciamus, quasi sensibus infideliorem obliti illud videmur, ne oculum quidem vera omnia demonstrare: sed alium quidem nihil, alium falso, idq; vel ex rebus ipsis quæ videntur, aut interiectis corporibus per quæ videntur, prouenit. (Nam refractione minora hæc, aut maiora videntur, & quæ in aqua sunt, maiora; remus autem quasi infractus oculis obijcitur) vel ex oculi ipsius imbecillitate: etenim cùm lippus est confusa omnia & indistincta cernit. Similiter quisquis phantasiæ spiritu malè affectus est, ne perspicua aut distincta visa postulet; Quæ sit autem illius ægritudo, quibúsve rebus lippitudinem contrahat aut crassior fiat, tum quibus repurgari, & defecari, & ad naturam reuocari possit, secretiore ex philosophia repetendum tibi est: à qua quibusdam cæremoniis perpurgatus diuinus efficitur, eáque quæ extrinsecus immissa sunt à sensibus euanescunt, antequam Deus in phantasiam introducatur. Adhæc quisquis illum honesta, ac naturæ consentanea viuendi ratione purum ac syncerum conseruat, prompta atque expedita vtitur, vt eo modò rursum maximè communis efficiatur. Quippe, animæ constitutionem spiritus iste percipit, nec affectione omni caret, velut testaceum

A ἀρχὴν ἔχει τοῦ ζῴου, καθάπερ ἐξ ἀκροπόλεως. περὶ γὰρ αὐτὸ πᾶσαν τὴν τῆς κεφαλῆς πραγματείαν ἡ φύσις ᾠκοδομήσατο· ἀκοὴ δὲ καὶ ὄψις οὐκ εἰσὶν αἰσθήσεις, ἀλλ᾽ αἰσθήσεως ὄργανα τῆς κοινῆς ὑπηρετίδες, οἷον πυλωροὶ τοῦ ζῴου διαγγέλλουσαι τῇ δεσποίνῃ τὰ θύραθεν αἰσθητά, ὑφ᾽ ὧν θυροκοπεῖται τὰ ἔξωθεν αἰσθητήρια. καὶ ἡ μὲν ἅπασι τοῖς μέρεσιν αὐτῆς, αἴσθησίς ἐστιν ἐντελής. ὅλῳ τε γὰρ ἀκούει τῷ πνεύματι, καὶ ὅλῳ βλέπει, καὶ τὰ λοιπὰ πάντα
B δύναται. διανέμει δὲ τὰς δυνάμεις, ἄλλην κατ᾽ ἄλλο, καὶ προκύπτουσιν ἐκ τοῦ ζῴου χωρὶς ἑκάστη, καὶ οἷον εὐθεῖαί τινες ἐκ κέντρου ῥυεῖσαι, καὶ εἰς τὸ κέντρον συννεύουσαι. μία μὲν πᾶσαι κατὰ τὴν κοινὴν ῥίζαν, πολλαὶ δὲ κατὰ πρόοδον. ζῳωδεστάτη μὲν οὖν ἡ διὰ τῶν προβεβλημένων ὀργάνων αἴσθησις, οὐδὲ αἴσθησις οὖσα πρὶν ἐπὶ τὴν πρώτην φθάσῃ· ἡ θειοτέρα δὲ καὶ ψυχῇ προσεχής, ἡ ἄμεσος αἴσθησις. εἰ δὲ τὰς σωματικὰς αἰσθήσεις διὰ τὸ γινώσκειν τι-
C μῶντες, ὅτι μάλιστα ἴσμεν ἃ τεθεάμεθα, φαντασίαν ἀποσκορακίζοιμεν, ὡς ἀπιστοτέραν αἰσθήσεως, ἐοίκαμεν ἐπιλαθομένοις, ὅτι μηδὲ ὀφθαλμὸς ἅπαντα ἀληθῆ δείκνυσιν· ἀλλ᾽ ὃ μὲν οὐδὲ δείκνυσιν· ὃ δὲ ψεύδεται, καὶ παρὰ τὴν φύσιν τῶν ὁρωμένων, καὶ δι᾽ ὧν ὁρᾶται· ταῖς γὰρ ἀποστάσεσιν ἐλάττω καὶ μείζω ταῦτα, καὶ τὰ καθ᾽ ὕδατος μείζω, ἡ δὲ κώπη κεκλασμένη προσπίπτει· καὶ παρὰ τὴν ἀδυναμίαν τὴν αὐτοῦ αὐτὸ τὸ ὄμμα· λημῶν γὰρ συγκεχυμένα καὶ ἀδιάκριτα δείκνυσι. καὶ ὅστις οὖν τὸ φανταστικὸν πνεῦ-
D μα νοσεῖ, μὴ ἀπαιτείτω σαφῆ, μηδὲ εὐκρινῆ τὰ θεάματα· ἥτις δὲ αὐτοῦ νόσος καὶ οἷς λημᾷ καὶ παχύνεται, καὶ οἷς καθαίρεται καὶ ἀπειλικρινεῖται, καὶ εἰς τὴν φύσιν ἐπάνεισι, τῆς ἀπορρήτου φιλοσοφίας πυνθάνου, ὑφ᾽ ἧς καὶ καθαιρόμενον διὰ τελετῶν, ἔνθεον γίνεται. αἵ τε εἰσκρίσεις πρὶν τὸν Θεὸν ἐπεισαγαγεῖν τὸ φανταστικόν, ἐκθέουσι. καὶ ὅστις αὐτὸ διὰ τοῦ κατὰ φύσιν βίου τηρεῖ καθαρόν, ἑτοίμῳ χρῆται· ὡς ταύτῃ πάλιν εἶναι κοινότατον. ἐπαΐει γὰρ τὸ πνεῦμα τοῦτο τῆς ψυχικῆς διαθέσεως, καὶ οὐκ ἀσυμπαθές ἐστι πρὸς αὐτό, κα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θάτερ᾽ τὸ ὀστρεῶδες περίβλημα. ἐκεῖνο μὲν γὰρ καὶ ἀντίθεσιν ἔχει πρὸς τὰς ἀμείνους τῆς ψυχῆς διαθέσεις. ἀλλά τοι τὸ πρῶτον αὐτῆς καὶ ἴδιον ὄχημα, ἀγαθυνομένης μὲν λεπτύνεται καὶ αἰθεροῦται· κακυνομένης δὲ παχύνεται καὶ γεοῦται. ὅλως γὰρ τοῦτο μεταίχμιόν ἐστιν ἀλογίας καὶ λόγου, καὶ ἀσωμάτου καὶ σώματος, καὶ κοινὸς ὅρος ἀμφοῖν· καὶ διὰ τούτου τὰ θεῖα τοῖς ἐσχάτοις συγγίνεται. ταύτῃ καὶ χαλεπόν ἐστιν αἱρεθῆναι διὰ φιλοσοφίας τὴν φύσιν αὐτοῦ. ἐρανίζεται γάρ τι προσῆκον ὡς ἐκ γειτόνων ἀφ᾽ ἑκατέρου τῶν ἄκρων, καὶ φαντάζεται μιᾷ φύσει τὰ τοσοῦτον ἀπῳκισμένα. τό γέ τοι πλάτος τῆς φανταστικῆς οὐσίας ἐξέχεεν ἡ φύσις εἰς πολλὰς μοίρας τῶν ὄντων· καταβαίνει γέ τοι μέχρι ζῴων, οἷς οὐκ ἔτι πάρεστι νοῦς, οὐδέ ἐστιν ὄχημα τό τε θειοτέρας ψυχῆς, ἀλλ᾽ αὐτὴ ταῖς ὑποκειμέναις δυνάμεσιν ἐποχεῖται, αὐτὴ λόγος οὖσα τοῦ ζῴου, καὶ πολλὰ κατ᾽ αὐτὴν φρονεῖ τε καὶ πράττει δεόντως. καθαίρεταί γέ τοι καὶ ἐν ἀλόγοις ὡς εἰσφορεῖσθαί τι κρεῖττον, γένη τε ὅλα δαιμόνων οὐσίωται τῇ τοιαύτῃ ζωῇ. ἐκεῖνα μὲν γὰρ καθ᾽ ὅλον αὐτῶν τὸ εἶναι εἰδωλικά τε ὄντα καὶ τοῖς γινομένοις ἐμφανταζόμενα· ἀνθρώπῳ δὲ τὰ πολλὰ καθ᾽ αὑτὴν καὶ μόνην ἢ μετ᾽ ἑτέρου πλείονα. τὰς γὰρ νοήσεις οὐκ ἀφαντάστους ποιούμεθα, πλὴν εἰ δή τις ἐν ἀκαρεῖ ποτε ἐπαφὴν ἔχειν εἴδους ἀΰλου· τὸ δὲ ὑπερκύψαι φαντασίαν, χαλεπὸν οὐχ ἧττον ἢ εὔδαιμον. „ Νοῦς γάρ, „ φησι, καὶ φρόνησις, ἀγαπητὸν ὅτῳ καὶ εἰς „ γῆρας ἀφίκοιτο, τὴν ἀφάνταστον λέγων. ὡς ἥ γε προβεβλημένη ζωή, φαντασίας ἐστὶν ἢ νοῦ φαντασίᾳ χρωμένου. τό γέ τοι πνεῦμα τοῦτο τὸ ψυχικόν, ὃ καὶ πνευματικὴν ψυχὴν προσηγόρευσαν οἱ εὐδαίμονες, καὶ θεὸς καὶ δαίμων παντοδαπός, καὶ εἴδωλον γίνεται, καὶ τὰς ποινὰς ἐν τούτῳ τίνει ψυχή. χρησμοί τε γὰρ ὁμοφωνοῦσι περὶ αὐτοῦ, τὰς ὄναρ φαντασίαις τὴν ἐκεῖ διεξαγωγὴν τῆς ψυχῆς προσεικάζοντες. καὶ ἡ φιλοσοφία συντίθεται παρασκευὰς εἶναι δευτέρων βίων τοὺς προτέρους, τῆς ἀρίστης ἕξεως ἐν ψυχαῖς ἐλαφριζούσης αὐτό, καὶ ἐναπομοργνυμένης κηλῖδα τῆς χείρονος.

A illud corporis inuolucrum, quod etiam meliori animæ dispositioni repugnat; Sed, vt primùm est & peculiare animæ vehiculum, tum cùm bona fit, subtilis & æthereus redditur, vbi in malum degenerauerit, crassescit & terrenus redditur: Omninò enim hoc eius quod ratione caret, & rationis meditullium est, itémque corporis, & eius quod corporis est expers, ac vtrorumque communis terminus, per quem diuina cum extremis copulantur. Ideò naturam illius philosophiæ beneficio difficile est inuestigare. aliquid enim
B quod suum est, tanquam è vicino, vtroque ex extremo mutuatur, & in eadem natura, tanto abs se interuallo seiuncta cogitatione complectitur: Cæterùm illam quæ est in phantasiæ natura vbertatem, ac copiam, plurimas in rerum partes natura transfudit; adeò vt ad ea vsque animalia descendat quæ mentis præsidio destituuntur, nec tum diuinioris animæ vehiculum est, sed ipsa subiectis, & inferioribus facultatibus, tanquam vehiculis, insidet, quędam velut per sese animalis ratio, multáque per se conuenienter sentit, ac molitur: purgationem nihilominus etiam in rationis expertibus recipit, vt aliquid excel-
C lentius introducatur. Et vniuersa quędam dæmonum genera naturam habent ex eiusmodi vita constantem: illa siquidem toto hoc quod sunt, simulachra sunt, & in iis quæ fiunt repræsentantur: in homine verò per se sola, aut plura cum altero efficit. Neque enim intellectiones à phantasia seiunctas formamus, nisi quis fortè breui aliquo momento expertem materiæ formam cognatione contrectauerit: Phantasiam autem penitus transcendere, difficile non minus, quàm beatum. Mens etenim, ait, & prudentia si cui in senectute contigerit, præclarè cum eo agi putandum est, de ea loquens quæ à phantasia separatur.
D Quando quæ in propatulo vita posita est, phantasiæ est, aut mentis phantasiæ ministerio vtentis. Porrò animalis ille spiritus, quam spiritu præditam animam beati viri nominant, Deus, ac dæmon multiformis, & simulachrum efficitur; in eóq; pœnas anima persoluit: Nam & oracula de eo cõsentiũt, dum animæ illis in locis statum iisce visis quæ in somnis objiciuntur, assimilem esse dicunt: & philosophia ipsa cõprobat priores vitas posteriorũ esse præparationes, cùm scilicet optimus animæ habitus spiritũ hunc subtiliorẽ reddit, contràq; deterior eidem labem, ac maculam inurit.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Quamobrem naturali quadam attractione vel in sublime tollitur ob calorem & siccitatem, eæque sunt animæ pennæ, (nec alio pertinere Heracliti dictum illud deprehendimus, cùm siccam animam sapientem esse tradit) vel cùm concretus & humidus euaserit, in terrenos recessus naturali propensione demergitur in sedem infimam abditus penitus atque impulsus. Hic enim locus humidis spiritibus cumprimis est consentaneus. Vbi infelix alioqui, & per supplicia exigenda vita est; verumtamen, labore & temporis diuturnitate, vitæque alterius instituto post repurgationem iterum emergere licet: Nam simulatque producta phantasia est, duplicatum ancipitis vitæ stadium decurrit: alternis modò deteriorum, modò meliorum consuetudine fruens; quam è cœlestibus orbibus princeps anima descendens mutuò accipit, eámque tanquam nauigium conscendens, corporea mundo sese immiscet: mox hoc sibi certamen propositum habet, vt aut secum eam reducat, aut certè ne vnà permaneat: vix enim accidit, vt eam minimè sequutam in terris deserat, quod fieri tamen aliquando potest neque enim cognitis mysteriis diffidendum prorsus est. Cæterùm fœdus ille reditus animis fuerit, nisi alienum reddiderint, sed in terris reliquerint, quòd è superiori sede commodatum acceperint. Atq; hoc vnus fortassis, aut alter, initiationis, atq; Dei beneficio consequatur: natura tamen ita comparatum est, vt quæ anima semel ei insita fuerit, aut pari cum ea vi connitatur, aut trahat illam, aut ab illa trahatur: omninò denique in eius consortio perseueret, donec eo vnde digressa est, redeat. quo fit vt si illa præ ignauia deorsum vergat, animam secum deprimat, quæ sibi prægrauari permiserit. Et hoc ipsum est cuius sacri libri terrorem nobis intentant,

Nec pessum inclines mūdi in depressa nigrātis,
Cui fundus semper substat malefidus, & Orcus
Sordidus, obscurus, simulachris lætus, ineptus.

Menti enim quí consentaneum est stolidam, ac stupidam vitam agere? verùm simulachro ob certam spiritus constitutionem interior sedes conuenit: Simile enim simili gaudet. Quòd si mens insuper vnum ex duobus coniunctione ipsa fiat, in delectationem, ac voluptatem immergitur. Quamquam supremum illud demum malorum est, ne præsentis quidem mali sensum vllū percipere: eorúmq; propriū est,

A ὁλκοῖς σφῶν φυσικοῖς, ἢ μετέωρος αἴρεται διὰ
θερμότητα καὶ ξηρότητα· καὶ τοῦτο ἄρα ἡ ψυ-
χῆς πτέρωσις, τό, τε αὖ ξηρὴ ψυχὴ σοφή, πρὸς "
οὐδὲν ἄλλο τοῦ Ἡρακλείτου τεῖνον εὑρίσκομεν·
ἢ παχὺ καὶ ὑγρὸν γινόμενον τοῖς χηραμοῖς τῆς
γῆς ἐνδύεται, ῥοπῇ φυσικῇ, φωλεῦον καὶ ὠ-
θούμενον εἰς τὴν καταγαίαν χώραν· τόπος γὰρ
οὗτος οἰκειότατος ὑγροῖς πνεύμασι. κἀκεῖ μὲν
κακοδαίμων τε καὶ ποιναῖος ὁ βίος· ἔξεστι δὲ πό-
νῳ καὶ χρόνῳ καὶ βίοις ἄλλοις καθηραμένην
ἀναδῦναι. γενομένη γὰρ ἀμφίβιον δίαυλον θεῖ,
B ἐν τῷ παρὰ μέρος ὁμιλεῖ τοῖς χείροσι καὶ τοῖς
κρείττοσιν· ἣν δανείζεται μὲν ἀπὸ τῶν σφαιρῶν
ἡ πρώτη ψυχὴ κατιοῦσα, κἀκείνης ὥσπερ
σκάφους ἐπιβᾶσα, τῷ σωματικῷ κόσμῳ συγ-
γίνεται. ἀγῶνα δὲ ἀγωνίζεται τοῦτον ἢ συνα-
γαγεῖν, ἢ μή τοι συγκαταμεῖναι. μόλις μὲν γάρ,
ἀλλὰ γένοιτ' ἂν ἀφεῖναι μὴ συνεπόμενον. οὐ
γὰρ θέμις ἀπιστεῖν ἐγνωσμένων τῶν τελετῶν· ἀγ-
αθὰ δ' ἂν ἐπάνοδος γένοιτο, μὴ ἀποδιδούσαις
τὸ ἀλλότριον, ἀλλὰ περὶ γῆν ἀπολιπούσαις,
ὅπερ ἄνωθεν ἠρανίσαντο, καὶ τοῦτο μὲν ἑνὶ καὶ
δευτέρῳ δῶρον ἂν γένοιτο τελετῆς καὶ Θεοῦ·
C φύσιν δὲ ἔχει τὴν ἅπαξ ἐγκεντρισμένην εἰς
αὐτὸ ψυχὴν, ἢ ὁμορροθεῖν, ἢ ἕλκεσθαι· πάν-
τως γε μήν τοι συνεῖναι μέχρι τῆς ὅθεν ἦλ-
θεν ἐπανόδου. ὥστε καὶ βρῖθον ὑπὸ κάκης συγ-
κατασπᾷ τὴν ἐφεῖσαν αὐτοῦ βαρυνθῆναι
ψυχήν. καὶ τοῦτ' ἔστιν ὃ δεδίττεται τὰ λόγια τὸ
νοερὸν ἐν ἡμῖν σπέρμα,

Μηδὲ κάτω νεύσῃς εἰς τὸν μελαναυγέα κό-
σμον,
Ὧ βυθὸς αἰὲν ἄπιστος ὑπέστρωταί τε καὶ
D ἅδης
Ἀμφικνεφής, ῥυπόων, εἰδωλοχαρής, ἀνόη-
τος.

Νῷ γὰρ πῶς καλὸν, βίος ἔμπληκτος καὶ ἀνόη-
τος· τῷ δὲ εἰδώλῳ διὰ τὴν ποιὰν τότε τοῦ
πνεύματος σύστασιν, ἡ κάτω χώρα προσήκει.
ὁμοίῳ γὰρ τὸ ὅμοιον ἥδεται. εἰ δὲ ἓν ἐξ ἀμφοῖν
τοῦ συνδυασμοῦ γένοιτο, ἐν ᾧ ὁ νοῦς ἂν ἐμβα-
πτισθείη τῷ ἥδεσθαι. καίτοι τοῦτο κακῶν μὲν
ὂν τὸ ἔσχατον, μηδ' ἐπαΐειν κακοῦ πα-
ρόντος· τοῦτο γάρ ἐστι μηδ' ἀναδῦναι ζη-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοιούτων. ὥσπερ ὁ σκίρρος, τῷ μηκέτι λυπεῖν, οὐδὲ ὑπομιμνήσκει τοῦ σώζεσθαι· καὶ διὰ τοῦτο ἀνάγωγον ἡ μετάνοια. ὁ γὰρ τὰ ἐν οἷς ἐστι δυσχεραίνων, φυγὴν μηχανᾶται· καὶ καθαρμοῦ τὸ μέγιστον μέρος ἡ βούλησις. ταύτῃ γὰρ ὀρέγει χεῖρα τὰ δρώμενά τε καὶ τὰ λεγόμενα· ἀπούσης δὲ ἄψυχος ἅπασα καθαρτικὴ τελετή, κολοβὸς οὖσα τοῦ μεγίστου συνθήματος. καὶ διὰ τοῦτο τῇδέ τε κἀκεῖ χρείαν τὴν μεγίστην τε καὶ ἀρίστην τῇ τάξει τῶν ὄντων αἱ κράσεις παρέχονται, τὸ λυπηρὸν ἀντεισάγουσαι, καὶ τῆς ἐμπλήκτου χαρᾶς τὴν ψυχὴν ἐκκαθαίρουσαι· αἵ τε παρ' ἀξίαν καλούμεναι συμφοραί, μέγα μέρος συμβάλλονται πρὸς τὸ λῦσαι τὴν σχέσιν, ἣν ἔχομεν πρὸς τὰ τῇδε. καὶ ἡ πρώτη πρόνοια διὰ τούτων εἰσάγεται τοῖς ἔχουσι νοῦν, δι' ὧν τοῖς οὐκ ἔχουσιν ἀπιστεῖται, ὡς οὐκ ἔστιν ὅπως ποτ' ἂν ἀποστραφείη τὴν ὕλην ψυχὴ μηδενὶ κακῷ περὶ τὰ τῇδε προσκόπτουσα. διὸ τὰς πολυθρυλλήτους εὐτυχίας οἴεσθαι δεῖ λόχον ἐπὶ ψυχὰς ἐξευρῆσθαι τοῖς ἐφόροις τῶν κάτω. ὥσθ' ὅτι μὲν ἂν ἐξελθούσαις γένοιτο πόμα ληθαῖον, ἄλλος εἰπάτω· εἰσελθούσῃ δὲ εἰς τὸν βίον ψυχῇ ληθαῖον ὀρέγεται πόμα, τὸ τῇδε ἡδὺ καὶ μειλίχιον. θῆσσα γὰρ κατιοῦσα τὸν πρῶτον βίον ἐθελοντής, ἀντὶ τοῦ θητεῦσαι δουλεύει. ἀλλ' ἐκεῖνο μὲν ἦν λειτουργίαν τινὰ ἐκπλῆσαι τῇ φύσει τοῦ κόσμου, θεσμῶν ἀδραστείας ἐπιταττόντων· γοητευθεῖσα δὲ ὑπὸ τῶν δώρων τῆς ὕλης, πάθος πέπονθε παραπλήσιον ἐλευθέροις ἐπὶ συγκείμενον χρόνον μεμισθωμένοις, οἳ κάλλει θεραπαίνης ἐρασθέντες, μένειν ἐθέλουσι, τῷ κυρίῳ τῆς ἐρωμένης δουλεύειν ὁμολογήσαντες· καὶ ἡμεῖς ἐοίκαμεν, ὅταν ποτ' ἀποβαθείας τῆς γνώμης ἡσθῶμεν ἐπί τῳ τῶν περὶ σῶμά τε καὶ θυραίων, ἀγαθῶν εἶναι δοκούντων, ὁμολογεῖν τῇ φύσει τῆς ὕλης, ὅτι καλή· ἡ δὲ τὴν συγκατάθεσιν ἡμῶν γραμματεῖον ἀπόρρητον δέχεται, κἂν ἀποχωρῆσαι ὡς ἐλεύθεροι βουλευσώμεθα, φυγάδας εἶναί φησι, καὶ ἐπανάγειν πειρᾶται, καὶ ὡς δραπετευόντων ἀντιλαμβάνεται, τὸ γραμματεῖον ἐπαναγινώσκουσα. τότε δὴ καὶ μάλιστα ῥώμης τε δεῖ τῇ ψυχῇ καὶ ἀρωγοῦ τοῦ

A qui emergere nequaquam cupiant: Sicut callosa durities, quod dolorem nullum amplius pariat, curationis ac salutis memoriam nullam adfert. Ideò extrahendi è malis vim habet pœnitentia: Quisquis enim ea molestè fert in quibus versatur; inde se omni ope subducere nititur: maximáque purgationis pars est voluntas, hinc enim & quæ fiunt & quæ dicuntur, dextram, vt ita dicam, porrigunt. Quæ si perfuerit animæ expers est quælibet expiatrix cæremonia, vtpote quæ præcipuè compacto consensúque mutilata sit. Proptereà hîc & illîc maximam, ac præci-
B puam ad vniuersi ordinem opportunitatem præbent, aptæ bonorum malorumq; temperationes, quæ molestiam vicissim adferunt, & à stolida lætitia animam repurgant, ac calamitates eæ, quæ præter meritum accidere dicuntur, plurimum momenti habent ad dissoluendam affectionem eam quâ infimis rebus adhærescimus. Nimirum per hæc prima in eos qui mente prædisti sunt prouidentia inuehitur: per quæ ij qui mente carent persuadere sibi nequeūt posse animam vnquam, quæ nihil aduersi hisce in rebus experta sit
C à materia reuocari. ob id ingentes illas ac celeberrimas felicitates putandum est ad animarum insidias ab inferorum præsidibus Dæmonibus esse comparatas, igitur quod digredientibus hinc animis obliniosum poculum præbeatur, ab alio dici malo. Ingredienti autem in vitam animæ pro obliuioso poculo porrigitur vitæ suauitas, atque iucunditas, nam cum mercenaria ad primam vitam sponte delabatur, pro mercenaria opera seruitutem suscipit; illud autem est munus quoddam, ac ministerium vniuersitati præstare ex Adrastiæ legum præscripto: sed materiæ quasi autoramentis illecta non dis-
D simile quiddam liberorum hominum, sed ad tempus conductorum patitur, qui ancillæ pulchritudine capti manere volunt, & cùm amicæ hero de seruitute paciscuntur. Ita nos videmur cùm ob corporeum atque externum aliquid, quòd bonum videatur, ex intimo corde voluptatem capimus, cùm materiæ natura stipulari quòd pulchra sit; at illa conuentionem nostram tanquam occultas tabulas accipit, & si, quasi nostri iuris recedere velimus, fugitiuos esse clamitat & retrahere nititur, & tanquam à domina fugientes collatis tabulis sibi vindicat: tum verò robore imprimis animæ opus est, & opitu-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

lante Deo; Quòd non leue certamen sit conuentionem suam præscriptione rescindere, ac fortassis etiam vim inferre: Nam tunc pœnæ quædam à materia, etiam præter fatum exortæ, contrà rebelles, & imperium illius detrectantes insurgunt: nec absurdè dixerimus id sibi ea experimenta velle, quæ subijsse Herculem, sacræ historiæ testantur, aut si quis alius in libertatem seipsum asserere viriliter conatus est; donec eò spiritum traduxissent, quò naturæ manus pertingere non possent. Quòd si intra eius limites saltus ille fuerit, deprimetur, & grauiora adhibenda erunt certamina: deinceps enim tanquam alienis non parcit, si verò de ascensu desperauerint, conatus istiusmodi pœnas reposcit: & vitas proponit non iam vtroque à dolio promptas, quas Homerus tacitè duas esse materiæ partes innuit, ipséque Iuppiter apud eundem illo in loco materiæ moderator Deus est, duplicis fati conditionis distributor: à quo nullum vnquam bonum syncerum, & sine mali admixtione transfusum est, licet deterioris nonnunquam puri putique particeps aliquis extiterit. Sed vita prorsus omnis eius animæ huc, & illuc errat, & fluctuat, quæ non illicò post primum descensum recurrerit. Vide igitur quantò interposito spatio spiritus iste in hac vita versetur. Imprimis enim postquàm deorsum anima delapsa est, nostra hæc oratio dixit prægrauatum hunc eousque descendisse, quoad in tenebricosam ac vndequaq; obscuram sedem incideret: Tum ascendentem illam insequutum esse quantum assequi posset, potest autem eousque, donec ad maximam oppositæ regionis distantiam peruenerit. Audi enim quid de hoc sacra carmina pronuncient.

Nec iam materiæ fæcem in prærupta relinquat,
Quin pars idolo splendenti in sede relicta est.

Hæc autem caliginosæ ex aduerso opponitur. Quanquam plus aliquid in his quispiam acutè peruideat: neque enim solam eam naturam, quæ illinc proficiscitur, ad cœlestes globos euehere videtur, sed etiam si quid ex ignis & aëris extremitate in simulachri naturam descendens attraxerit, antequàm terrenum putamen indueret: & hoc, inquit, cum meliori portione transmittit: non enim materiæ fæcem diuinum corpus appellauerit. Præterea rationi admodum consentaneum est,

A Θεοῦ· ὡς οὐ φαῦλος ἀγὼν, ὁμολογίαν ἑαυτοῦ παραγράψασθαι, τυχὸν δὲ καὶ βιάσασθαι. ποιναί τε γὰρ ὑλαῖαι τότε δὴ καὶ παρ' εἱμαρμένην κινοῦνται κατὰ τῶν ἀφηνιασάντων πρὸς τοὺς νόμους αὐτῆς. καὶ τοῦτο ἄρα αἱ καλούμεναι πεῖραι, ἃς Ηρακλέα τε ἀνατλῆναί φασιν ἱεροὶ λόγοι, καὶ εἰ δή τις ἕτερος ἐλευθερίαν κατὰ τὸ καρτερὸν ἐπεχείρησε, μέχρις ἐκεῖ ἂν τὸ πνεῦμα διαβιβάσωσιν, οὗ μὴ φθάνωσιν αἱ χεῖρες τῆς φύσεως· εἰ δὲ ἐντὸς ὅρων τὸ ἅλμα γένοιτο, καταπεσεῖται, καὶ δεῖ βαρυτέρων ἀγώ-
B νων. ἀφειδεῖ γὰρ ὡς ἀλλοτρίων ἤδη· κἂν ἀπογνῶσι τῆς ἀνόδου, δίκας αἰτεῖ τῆς ἐπιχειρήσεως· καὶ προβάλλει βίους οὐκ ἀπ' ἀμφοῖν ἐκ τῶν πίθων οὓς Ομηρος ἀπορρήτως αἰνίττεται μερίδας εἶναι δύο τῆς ὕλης, καὶ ὁ Ζεὺς αὐτῷ κατ' ἐκεῖνο τῶν ἐπῶν, Θεὸς ὑλάρχιός ἐστι, τοῦ διπλοῦ τῆς εἱμαρμένης διανομεύς· παρ' οὗ τὸ μὲν ἀγαθὸν οὐδέποτε ἀνεπίμικτον, ἤδη δέ τις ἀκράτου μετέσχε τοῦ χείρονος· ὅλως δὲ οἱ βίοι πάντες ἐν πλάνῃ, τῇ μὴ μετὰ τὴν πρώτην κάθοδον ἀναδραμούσῃ. θέα δὴ πόσῳ
C τῷ μέσῳ, τὸ πνεῦμα τοῦτο ἐμπολιτεύεται· ῥεψάσης μὲν κάτω ψυχῆς ἔλεγεν ὁ λόγος, ὅτι ἐβαρύνθη τε καὶ ἔδυ μέχρις ἐγκύρσῃ τῷ μεγανυγεῖ καὶ ἀμφικνεφεῖ χώρῳ· ἀνιούσῃ δὲ καὶ συνέπεται μέχρις οὗ δύναμις ἕπεσθαι· δύναται δὲ μέχρις ἂν εἰς πλεῖστον τὸ ἀντικείμενον ἥκῃ. ἄκουε γὰρ καὶ περὶ τούτου τῶν λογίων λεγόντων,

ΟΥ τῆς ὕλης κρημνῷ σκύβαλον καταλείψει,
D Αλλὰ καὶ εἰδώλῳ μερὶς εἰς τόπον ἀμφιφάοντα.

Οὗτος δὲ ἀντίθεσιν ἔχει πρὸς τὸν ἀμφικνεφῆ. καί τοι τί πλέον τις ἂν ἐν τούτοις ὀξυωπήσειεν. οὐ γὰρ μόνην εἰς τὰς σφαίρας ἀνάγειν ἔοικε τὴν ἐκεῖθεν ἥκουσαν φύσιν, ἀλλὰ εἴ τι καὶ τῆς πυρὸς καὶ τῆς ἀέρος ἀκρότητος εἰς τὴν εἰδωλικὴν φύσιν ἔσπασε κατιοῦσα, πρὶν τὸ γήϊνον ἀμφιέσασθαι κέλυφος, καὶ τοῦτο, φησί, τῇ κρείττονι μερίδι συναναπέμπει. ὕλης γὰρ σκύβαλον οὐκ ἂν εἴη τὸ θεσπέσιον σῶμα. καὶ λόγον δ' ἂν ἔχοι τὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κοινωνήσαντα φύσεως, καὶ εἰς ἓν συντελέσαντα, μή τοι παντάπασιν ἄμοιρα εἶναι, καὶ μάλιστα οἷς ἐκ γειτόνων ἡ χώρα· καθάπερ πῦρ ἐφεξῆς ἐστὶ τῷ κύκλῳ σώματι, καὶ οὐχ ὥσπερ γῆ τῶν ὄντων τὸ ἔσχατον. Εἰ δὲ τὰ κρείττω τοῖς χείροσιν εἴξαντα τῆς κοινωνίας ἀπέλαυσε, καὶ συνετέλεσεν εἰς ἰλὺν σῶμα ἀκήρατον, ὥσπερ ἰδιοποιηθὲν ὑπὸ τοῦ παραχωρηθέντος ἐν τῇ συνόδῳ κρατεῖν, τάχ' ἂν καὶ τὰ χείρω μὴ ἀντιτείναντα πρὸς τὴν ἐνέργειαν τῆς ψυχῆς, ἀλλ' εὐήνια καὶ κατάπειθῆ, αὐτά τε ὁμαρτήσαντα, καὶ τὴν μέσην φύσιν ἀστασίαστον παρασχόμενα, τῇ τῆς πρώτης ἡγεμονίᾳ, συνεξαιθεροῖτο ἂν καὶ συναναπέμποιτο, εἰ μὴ μέχρι παντὸς, ἀλλά τοι διαβαίνοι τὴν τῶν στοιχείων ἀκρότητα, καὶ γεύσαιτ' ἂν τοῦ ἀμφιφαοῦς. ἔχει γάρ τινα, φησὶν, ἐν αὐτῷ μερίδα, τουτ' ἔστιν ἐν τάξει τινὶ τοῦ κυκλικοῦ γίνεται. ἀλλὰ περὶ μὲν τῆς ἐκ τῶν στοιχείων μοίρας ταῦτα εἰρήσθω, καὶ ἀπιστεῖν ἔξεστι καὶ πιστεύειν· τὴν δὲ ἐκεῖθεν ἥκουσαν σωματικὴν οὐσίαν, οὐδεμία μηχανὴ κατὰ φύσιν ἀνιούσης ψυχῆς, μὴ οὐ συνεξᾶραι τοῦ πτώματος ἀναστᾶσαν, καὶ ταῖς σφαίραις ἐναρμοσθῆναι, τουτ' ἔστιν εἰς τὴν οἰκείαν φύσιν ὥσπερ ἀναχθῆναι. ἔσχαται μὲν οὖν αὗται δύο λήξεις, ἡ μὲν ἀμφικνεφὴς, ἡ δὲ ἀμφιφαὴς οὖσα, εὐμοιρίας τε καὶ κακοδαιμονίας τὰ ἄκρα νενεμημέναι. πόσας δὲ οἴει μεταξὺ χώρας ἐν τῷ κύτει τοῦ κόσμου, ἑτεροφαεῖς τε καὶ ἑτεροκνεφεῖς, ἐν αἷς ἁπάσαις δίαιταν ἔχει ψυχὴ μετὰ τοῦδε τοῦ πνεύματος, εἴδη τε καὶ ἤθη καὶ βίους ἀμείβουσα. ἀναδραμοῦσα μὲν οὖν ἐπὶ τὴν οἰκείαν εὐγένειαν ἀληθείας ἐστὶ ταμιεῖον, καθαρὰ γάρ ἐστι καὶ διαφανὴς, καὶ ἀκήρατος, Θεός οὖσα καὶ προφῆτις εἰ βούλοιτο· καταπεσοῦσα δὲ, ἀχλυοῦται καὶ ἀοριστεῖ καὶ ψεύδεται. τὸ γὰρ ὁμιχλῶδες τοῦ πνεύματος, οὐ χωρεῖ τὴν τῶν ὄντων ἐνέργειαν. μεταξὺ δὲ οὖσα, τῶν μὲν ἂν ἁμάρτοι, τῶν δὲ τυγχάνοι. χρωματεύσαις ἂν οὕτω καὶ δαιμονίαν φύσιν ἐν

A vt quæ in eiusdem naturę communionem venerint, & in vnum aliquando coaluerint, non omni inter se habitudine, atq; affectione careāt, eáq; presertim quæ sedem in vicino positam habēt: Quemadmodum ignis in orbem circumfuso corpori continens est, nec queadmodum terra quæ rerum omnium infima est. Quare si præstantiore natura prædita, deterioribus nonnihil cōcedentia in communionem cum iis venerint, & in fecem vnâ immortale corpus contributum sit, perinde ac si altera parte vsurpatum, propriúmque factum esset, cui in hac cōpositione superiores partes concessæ sunt; fieri potest vt quæ dete-
B rioris conditionis sunt, modò animę actionibus non obluctentur, sed morigera sint, & ad nutum accōmodata & ipsa quoque consequantur, ac dum mediæ conditionis naturam quietam, & inconcussam superioris imperio exhibent, in ætheris naturā vnà transeant vnáq; sursum transmittant: vt si non ad omne penitus spatium perueniant; saltem elementorum extremitates transcendant, & splendidissimā regionem degustent. Habet enim quandam, ait, in ea sortem, hoc est, in quadam orbis sede consistit. Sed de ea parte, quæ ex elementis petitur, hactenus dictum sit. quibus
C omnibus fidem habere, aut abrogare cuiuis licuit. Quod autē ad corpoream illam naturam attinet, quæ illinc cum anima delabitur, fieri nullo pacto potest, quin si secundùm naturam anima sursum redeat, vnâ ê lapsu sese erigens attollatur, & cœlestibus orbibus coagmentetur. Quod idē est atque ad naturam quodammodo reuocari. Hæ sunt ergo extremæ duæ sortes; quarum vna obscurissima est, altera splendidissima, quæ felicitatis & infelicitatis extrema inter se partitæ, continent. Quotnam verò in concauo huius orbis spatio interiectas regiones esse putas, partim sub-
D lucidas, partim subobscuras, in quibus omnibus cum eo spiritu degit anima, formas, atque mores vitásque identidem mutans? Atque hæc cùm in propriam nobilitatem redierit, veritatis, vt ita dicam, conditorium est; pura enim est, & pellucens, atque incorrupta, cùm, si velit, Deus sit, ac futurorum præscia: Vbi autem decidit, caligine repletur, & certis finibus caret, ac mendax est: quoniam spiritus tenebræ, rerum perspicuitatem non capiunt. Cùm autem in medio posita est, partim aberrat, partim veritatem assequitur. Quò etiam modò dæmonum naturam qualibet in serie,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

atq; ordine collocatam probare,& discernere possis. Etenim aut semper, aut plurimum vera dicere, diuinum est, aut diuino quamproximũ: quicquid autem in futuris prædicendis inconstans est, idipsum loci, atque sortis expers: affectibus obnoxia est eorum qui in materia volutantur,& ambitiosa naturæ cõditio. Sic enim quòd identidem confluit, Deum, atque augustioris dæmonis genus subit,& nonnũquam insilit, ac paratam naturæ præstantiori sedem occupat: Vnde etiam animæ quæ in hominibus est, deprehendere possumus rationem. Nam cuicumque phantasiæ spiritus defecatus est,& circũscriptu facilis, vt vigilans,atq; somnians veras rerum effigies, atq; imagines recipiat: hîc quãtum ad animæ figuram attinet, melioris sortis obtinendæ fidem ac promissionẽ habeat. Præcipuè verò ex visis, quæ sibi proponit,&in quib. occupat se, cùm à nullo extrinsecus impellitur, animalis spiritus statum,ac dispositionem inuestigamus. Ad quod diiudicandum nonnulla à philosophia indicia suppeditantur, quæ docet, quomodo educare ipsum oporteat, & vt ne vnquam erret, qua sit prouisione curandum. Optima porrò educatio est ex incũbente,atq; operi intẽdẽte vi semper agere;&, vt vno verbo dicam, quoad fieri potest, intelligibilẽ esse vitæ progressũ, quatenus absurdorum & temerè obijcientium se visorũ impetus anteuertamus: hoc.n.idem est,atq; ad prestantius cõuerti,& à deteriori abstractũ,& liberũ esse, nisi quantũ cum eo versari necessitas postulat: Nihil autem intelligibili illo ad agendũ incubitu iis perrũpendis aptius,quæ aduersus spiritum consurgunt; Quippe subtilẽ illum supra quàm dici potest,efficit,& ad Deũ attollit: Qui cùm ad id idoneus fuerit, mox diuinũ spiritũ ad animã quodã cognationis vinculo pertrahit. Quẽadmodum vbi præ crassitie cõuolutũ in se, ac diminutũ fuerit, sic vt definitas sibi ab formatrice hominis prouidẽtia sedes implere nequeat (sunt autẽ hæ cerebri cõceptacula) tũc natura vacuum in rebus non ferente, malignus in ea se spiritus insinuat. Tum verò quid non incõmodi ex eo detestãdi mali cõtubernio experiatur? Nam quæ ad id vnũ fabricatæ sunt sedes, vt in iis spiritus resideret, natura postulat, vt aut deteriore, aut meliore spiritu compleantur. Sed hæc impiorum hominum pœna est, qui diuinam in se portionem defœdarunt. Illud autem, pietatis finis est, aut fini proximum. Cæterùm cùm de di-

A ἡνιόχου τάξει. τὸ γὰρ ἢ πάντως ἢ παραμικρὸν ἀληθίζεσθαι, θεῖόν ἐστιν ἢ πέλας τοῦ θείου· τὸ δέ γε πλανῶν ἐν ταῖς προρρήσεσιν ἀληκτικόν ἐστι, τῶν ἀλινδουμένων εἰς ὕλην ἐμπαθὲς καὶ φιλότιμον. ταύτῃ γὰρ ὑποδύεται τὸ συῤῥέον " ἀεὶ καὶ Θεὸν καὶ πρεσβύ- γρ. σύῤῥεον
τερον δαίμονα, καὶ ἐνάλλεται, καὶ καταλαμβάνει τὴν εὐτρεπισθεῖσαν χώραν τῇ φύσει τῇ μείζονι· ἐν ἀνθρώπῳ τε οὔσης ψυχῆς, τάξιν αὖ ἐντεῦθεν φωράσαιμεν. ὅτῳ τὸ φανταστικὸν πνεῦμα καθαρὸν καὶ εὐόριστον, καὶ ὕ-
B παρ καὶ ὄναρ ἀληθῆ τῶν ὄντων ἐκμαγεῖα δεχόμενον, τοῦτο αὖ ὑπόσχεσιν ἔχει, τό γε ἐπὶ τῷ τῆς ψυχῆς σχήματι βελτίονος λήξεως· οὐχ ἥκιστα δὲ ἀπὸ τῶν φαντασμάτων, ἃ προβάλλει καὶ περὶ ἃ καταγίνεται, ὅτε μὴ ἔξωθεν ὑφ' ἑτέρου κινεῖται, ἐν ὁποίᾳ διαθέσει τυγχάνει τὸ ψυχικὸν πνεῦμα θηρώμεθα, χορηγούσης φιλοσοφίας εἰς τοῦτο κριτήρια, ὡς καὶ δεῖ τρέφειν αὐτὸ καὶ συνεπιμελεῖσθαι μή τοι ποτὲ πλανηθῶσι. τροφὴ δὲ ἀρίστη, κατὰ τὴν ἐπιβλητικὴν δύναμιν ἐνεργεῖν, καὶ καθάπαξ νοερὰν εἶναι τὴν
C προβολὴν τῆς ζωῆς ὅση δύναμις, τὰς τῶν ἀτόπων καὶ παραπετῶν φαντασμάτων ὁρμὰς προλαμβάνοντας. τοῦτο γάρ ἐστι πρὸς τὸ κρεῖττον ἐστράφθαι, καὶ ἄσχετον εἶναι τοῦ χείρονος, ὅσα ἀναγκαῖα μόνον προσομιλοῦντα· νοερὰ δὲ ἐπιβολὴ χρῆμα τῶν συνισαμένων ἐπὶ τὸ πνεῦμα τμητικώτατον. λεπτύνει γὰρ ἀῤῥήτως αὐτὸ καὶ πρὸς Θεὸν ἀνατείνει. τὸ δὲ γενόμενον ἐπιτήδειον, ἕλκει τῇ συγγενείᾳ πνεῦμα θεῖον εἰς ὁμιλίαν ψυχῆς· ὥσπερ ὅταν ὑπὸ πάχους συνελαθῇ καὶ γένηται μεῖον, ἢ ὥστε πληρῶσαι τὰς
D ἀποκληρωθείσας αὐτῷ χώρας, ὑπὸ τῆς διαπλασάσης προνοίας ἀνθρώπων, αἱ δέ εἰσιν ἐγκεφάλου κοιλίαι, τότε τῆς φύσεως οὐκ ἀνεχομένης ἐν τοῖς οὖσι κενοῦ, πονηρὸν πνεῦμα εἰσκρίνεται. καὶ τί οὐκ ἂν πάθοι γενομένη συνέστιος ἀποτροπαίῳ κακῷ. τὰς γὰρ ἐπ' αὐτῷ τούτῳ γενομένας τοῦ πνεύματος εἶναι χώρας, φύσις ἐστὶν ἢ χείρονος ἢ βελτίονος εἶναι πλήρεις· ἀλλὰ τοῦτο μὲν ἀθέων δίκη τῶν μολυνάντων τὸ ἐν αὐτοῖς θεῖον· ἐκεῖνο δὲ τέλος εὐσεβείας, ἢ ὅ,τι ἐγγὺς τοῦ τέλους. ἡμεῖς μὲν

οὖν

οὕτω περὶ τῆς δι' ὀνείρων μαντικῆς λέγειν ἐπιβαλλόμενοι, ὡς ἂν μὴ ἀτιμάζοιεν αὐτήν, ἀλλ' ἐπιτηδεύοιεν οἱ ἄνθρωποι, χρείαν τῷ βίῳ παρέχουσαν, ἐπὶ τοῦτο τὴν φανταστικὴν φύσιν προεξειργασάμεθα. ἐκ δὲ τοῦ λόγου τὸ μὲν ἐνθάδε χρειῶδες, ἔλαττον ἀναπέφηνε· καρπὸς δὲ ἀμείνων ὑγιοῦς πνεύματος, ἀναγωγὴ ψυχῆς, ἱερὸν ὄντως κέρδος, ὥστε καὶ μελέτη τῆς εὐσεβείας ἐστί, πειρᾶσθαι μαντικὸν ἡμῖν αὐτὸ εἶναι. καί τινες ἤδη διὰ τὸ τοιοῦτο, λιχνείᾳ δελεασθέντες προγνώσεως, τράπεζάν τε ἀπὸ φλεγμαινούσης, ἱερὰν καὶ ἄτυφον προὔθεντο, καὶ κοίτην ἡγνίσαντο καθαρὰν καὶ ἀμόλυντον. ὁ γὰρ ὅσα τῷ Πυθοῖ τρίποδι τῇ κλίνῃ χρησόμενος, πολλοῦ δεῖ μάρτυρας ἀκολασίας τὰς ἐν αὐτῇ νύκτας ποιήσασθαι· ὁ δὲ καὶ προσεκύνησε Θεὸν καὶ προσηύξατο. τὸ γὰρ δὲ πολὺ τὸ κατὰ μικρὸν συντιθέμενον, καὶ τὸ δι' ἄλλο γινόμενον εἰς μεῖζον ἀπετελεύτησεν, ἐρασθῆναι Θεοῦ προσιόντας, καὶ συναφθῆναί ποτε τοὺς οὐκ ἐπὶ τοῦτο τὰ πρῶτα ὁρμήσαντας. οὐκοῦν ἄξιον ἀμελεῖν μαντικῆς, ὁδοιπορούσης ἐπὶ τὰ θεῖα, καὶ παρυφιστάμενον ἐχούσης τὴν ἐν ἀνθρώπου δυνάμει τὸ τιμιώτατον. οὐδὲ γὰρ διὰ τοῦτο ἐλάττων ἡ τῇδε χρεία τῇ συνημμένῃ ψυχῇ τῷ Θεῷ, ὅτι τῆς ἐπαφῆς τῶν κρειττόνων ἠξίωται. οὔτε γὰρ ἀνεπίστρεπτός ἐστι τοῦ ζῴου, καὶ ἐκ περιωπῆς ἀποσκοπεῖται τὰ κάτω πολλῷ τρανότερον, ἢ μετ' αὐτῶν οὖσα, καὶ συμπεφυρμένη τοῖς χείροσιν· ὥστε μένουσα ἀτρεμής, δίδωσι τῷ ζῴῳ τὰ τῶν γινομένων ἰνδάλματα. καὶ τοῦτ' ἔστι τὸ λεγόμενον, κατιόντα μὴ κατιέναι, ὅταν ἀσχέτως ὁ κρείττων ἐπιμελῆται τοῦ χείρονος. ταύτην ἐγὼ τὴν μαντικὴν ἐμαυτῷ τε ἀξιῶ παρεῖναι, καὶ παισὶ καταλιπεῖν, ἐφ' ἣν οὐ δεῖ βαδίζειν συσκευασαμένους ὁδὸν μακρὰν ἢ πλοῦν ὑπερόριον, ὥσπερ Πυθῶδε καὶ ἐς Ἄμμωνος· ἀλλ' ἀρκεῖ καταδαρθεῖν χεῖρα νιψάμενον τε καὶ εὐφημήσαντα,

Ἡ δ' ὑδρηναμένη, καθαρὰ χροῒ εἵμαθ' ἑλοῦσα,
Εὔχετ' Ἀθηναίῃ.

οὕτως αἰτήσομεν ὄνειρον, ὥσπερ ἴσως Ὅμηρος ᾔτησε· κἂν ἐπιτήδειος ᾖς, πάρεστιν ὁ πόρρω Θεός·

uinatione per insomnia sermonem institueremus, vt ne ab hominibus contemneretur, sed eius potius studio tenerentur, vtpote quæ ad vitam plurimum vtilitatis adferat, ad id phantasiæ naturam indagauimus. Verùm ex oratione minor quidem in vsum præsentem vtilitas apparuit: fructus autem sani ac valentis spiritus longè præstabilior est, animæ subuectio, sacrum haud dubiè lucrum: adeóque studere vt hic nobis diuinandi vi sit præditus, quædam est pietatis exercitatio. Ac nonnulli eius rei desiderio, & præsagitionis auiditate deliniti, mensam sibi pro intemperante, & immoderata, sacram, & sobriam apposuerunt, & castum cubile, ac pudicum amplexi sunt: Quisquis enim lectulo suo, tanquam Pythio Tripode vti statuerit, longè abest, vt noctes in eo libidinis atque intemperantiæ testes facere velit, quin potius, & Deum adorat, & preces ad eum concipit; paulatímque quod accumulat, amplum atq; copiosum fit, & quod alterius gratia præstat, in maius aliquid desinit: vt qui primùm eo minimè tenderent, pedetentim ad amorem Dei, & cõiunctionem cum eo perueniant. Nequaquam igitur negligenda diuinatio est; quę ad diuina paulatim contendit, & quasi consectarium habet illud, quòd est in hominum facultate pretiosissimum. Non enim propterea anima Deo coniuncta minorem habet ad inferiora vsum & opportunitatem, quòd præstantiora contrectet: Neque enim animalis penitus curam abiicit, & inferiora longè clariùs, ac distinctiùs è sublimi despicit, quàm si vnâ cum ijs esset, & cum deterioribus misceretur: itaque immota ac stabilis persistens, eorum, quæ sunt, simulacra animali communicat. Atque hoc demum est, quod dicitur, sine ascensu descendere, cùm sine adhæsione liber ac solutus, melior deterioris curam suscipit. Hanc ego diuinandi solertiam & adesse mihi, & liberis meis relinquere cupio; ad quam nihil necesse est magno commeatu longum iter, aut in exteras oras nauigationem suscipere, veluti Delphos, aut ad Ammonis delubrum; sed post manuum ablutionem faustámque precationem dormire satis est,

Hæc vbi lota fuit, puróque incinxit amictus
Cecropiæ fert vota Deæ.

sic nos somnium postulabimus, sicut Homerus fortasse petiit; quòd si idoneus sis, ecce tibi longè dissitus adest Deus,

quando etsi nihil ad id molitus sis, dormientibus duntaxat offert sese: Ac in eo vniuersum initiationis negotium consistit, propter quam nullus vnquam de paupertate conquestus est, quasi hac parte minus diuitibus haberet. Atqui nonnullæ ceremoniæ, quæ ad futurorum præuisionem pertinent, quemadmodum Athenienses Trierarchas, ita Antistites suos, maximo ex censu delectos postulant: opúsque est ingenti admodum sumptu, & imprimis fortuna, quò vel Cretica aliqua herba, vel auis Ægyptia, vel Ibericum os comportetur, aut si quid aliud eius generis prodigiosum in occulto maris terræque sinu prouenit ac nutritur,

Quáque subit terras & quà Sol prodit ab ortu.

Hæc enim & his similia pleráque de ijs feruntur, qui externam diuinationem profitentur, quibus præstandis, cuiusdam priuati hominis fortunæ sufficiant? At insomnium videt cum iis qui medimnos quingentos possidet, tum qui trecentos duntaxat habet: Videt secundi census ciuis non minùs quàm qui prædium victus gratia extremis in finibus colit: quin & remex similiter, & mercenarius, qui cum aliis tributum pensitat, æquè ac qui ab inquilinis exigit: nihil Deo interest quis Eteobutades sit, aut nouitius aliquis seruus. Et quòd in ea diuinatione populare est, humanitatis est plenissimum, quod simplex, & artificij expers, admodum sapiens, quòd minimè violentum est, religiosum, quòd non aquam, aut saxum, aut hiatum terræ duntaxat occupat, hoc verò longè est diuinissimum: quòd autem ne in vna quidem actione districti ac impediti ob eiusmodi diuinationem simus, hoc primo sanè loco commemorari oportuit: Nemo enim magni aliquod momenti negotium, quod in manibus haberet derelinquens, domum sese dormiendi caussa recipit, quasi ita cum insomniis pepigerit: Verùm tempus illud quod animali necessario in naturam impendendum erat, cùm non possit illa perpetuò esse vigiliæ actionibus intenta, idipsum hominibus adfert, quòd vulgò dici solet maiorem opere ipso accessionem, voluntarium cum necessario connectens, & ad id quod est, vt bene sit, adiiciens. Contra verò futurorum præsagitiones aliæ, quæ variis ex rebus, & instrumentis arcessuntur, si cùm maximam vitæ partem obtineant, nonnihil cæteris vitæ necessitatibus,

A ὅτε γε καὶ μηδὲ ταῦτα πραγματευσαμένῳ ἑκάστοτε παραγίνεται μόνον καθαρθεῖσι, καὶ τοῦτ' ἔστιν ἡ πᾶσα πραγματεία τῆς τελετῆς, δι' ἣν οὐδείς πω πενίαν ὠδύρατο, ὡς ταύτῃ μειονεκτῶν τοῦ πλουσίου. εἶναι μέν τοι τὴν ἐπὶ ταῖς προγνώσεσι τελετὴν τοὺς ἱεροφάντας, ὥσπερ Ἀθηναῖοι τοὺς τριηράρχους, ἀπὸ τῶν μεγίστων τιμημάτων αἱρεῖσθαι, καὶ δεῖ δαπάνης συχνῆς καὶ τύχης οὐχ ἥκιστα συγκομίσαι Κρῆσσαν βοτάνην, καὶ πτερὸν Αἰγύπτιον, καὶ ὀστέον Ἰβηρικὸν, καὶ νὴ Δί' εἴ τι τεράστιον γῆς ἢ θαλάσσης ἐν παραβύστῳ φύεταί τε καὶ τρέ-

B φεται.

Ἠ μὲν δυσομένου ὑπερίονος ἠδ' ἀνιόντος.

λέγεται γάρ τοι καὶ ταῦτα καὶ πολλὰ τοιαῦτα περὶ τῶν τεχνώντων τὴν θύραθεν μαντικὴν, πρὸς ἅ τις ἂν ἰδιώτης ἀπὸ τῶν ὑπαρχόντων ἀρκέσειεν· ἐνύπνιον δὲ ὁρᾷ μὲν ὁ πεντακοσιομέδιμνος, ὁρᾷ δὲ ὁ τριακοσιομέδιμνος· ἀλλὰ καὶ ὁ ζευγίτης οὐδὲν ἧττον, ὁ τὴν ἐσχατιὰν ἐργαζόμενος, ὥστε ἀποζῆν· ἀλλὰ καὶ ὁ πρόσκωπος, καὶ ὁ θὴς ὁμοίως, ὅ, τε ἰσοτελὴς, καὶ ὁ τελῶν τὸ μετοί-

C κιον. διαφέρει δὲ οὐδὲν τῷ Θεῷ, τίς ὁ Ἐτεοβουτάδης, καὶ τίς ὁ μανῆς ὁ νεώνητος· καὶ τὸ δημοτικὸν αὐτῆς μάλα φιλάνθρωπον, καὶ τὸ λιτὸν καὶ αὐτοσχέδιον μάλα φιλόσοφον, καὶ τὸ μὴ βίαιον, εὐσεβὲς, καὶ τὸ πανταχοῦ παρεῖναι, καὶ μὴ καταλαβεῖν ὕδωρ, ἢ πέτραν, ἢ χάσμα γῆς, τοῦτο μέν τοί γε θειότατον· τὸ δὲ μήτε πρὸς μίαν πρᾶξιν ἀσχολεῖν ἡμᾶς διὰ τὴν τοιάνδε μαντικὴν γίνεσθαι, μηδὲ ἀφαιρεῖσθαι χρεὼν ὑπ' αὐτῆς, τοῦτο καὶ πρῶτον ἄξιον ἦν εἰρῆσθαι· οὐδεὶς γὰρ ἀπο-

D λιπών τι τῶν προὔργου καὶ ἐν χερσὶν, ᾤχετο καθευδήσων οἴκαδε, συγκείμενος αὐτῷ πρὸς ἐνύπνιον· ἀλλ' ὁ χρόνος ὃν ἀνάγκη τῷ ζώῳ δαπανᾶν εἰς τὴν φύσιν, οὐκ ἀρκούσης ἡμῖν τῆς οὐσίας εἰς ἐνέργειαν ἐγρηγόρσεως, οὗτος ἥκει κομίζων ἀνθρώποις, τοῦτο δὴ τὸ λεγόμενον, ἔργου μεῖζον τὸ πάρεργον, ἐπισυνάπτων τὸ αἱρετὸν τῷ ἀναγκαίῳ, καὶ τὸ εὖ εἶναι τῷ εἶναι. ἀλλ' αἵ γε προγνώσεις αἱ διὰ τῶν ποικίλων ὀργάνων παραγινόμεναι, ἀγαπητὸν εἰ τὴν πλείω μερίδα τοῦ βίου ἠμαρμέναι,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A προσχωρήσαι τι ταῖς λοιπαῖς ἁπάσαις καὶ χρείαις καὶ πράξεσιν· ὧν εἰ πολὺ πρός τινι γένοιο, χαλεπῶς ἂν εἰς αὐτὴν ἀπὸ τῆς μαντικῆς ὠφελοῖο. οὔτε γὰρ καιρὸς πάντως, οὔτε τόπος πάντως, δέξασθαι κατασκευὴν τελετῆς, οὔτε πᾶσα εὐμαρῆ συμπεριφέρειν τὰ ἐπ' αὐτὴν ὄργανα. ἵνα γὰρ ἄλλο μηδέν, ἀλλ' ἐφ' οἷς πρώην ἐστενοχωρήθη τὰ κολαστήρια, ἀπήνης ἐστὶν ἢ νεὼς κοίλης φορτία· μεθ' ὧν ἄλλα μέρη τῆς τελετῆς ἀπογραφῆς ἄνδρες καὶ μάρτυρες· οὕτω γὰρ εἰπεῖν ἀληθέστερον, τοῦ καθ' ἡμᾶς χρόνου πολλὰ διὰ τῶν ὑπηρετησάντων τοῖς νόμοις καταμηνύσαντος, ὑφ' ὧν B ἐξαγορευθέντα, δήμου βεβήλου γέγονε θεάματά τε καὶ ἀκροάματα. πρὸς οὖν τῷ σχέτλιον εἶναι συγκύπτειν εἰς τὰ τοιάδε, ὡς ἔγωγε πείθομαι, καὶ ἀπηχθημένον Θεῷ. τὸ γὰρ μὴ ἐθέλοντι περιμένειν ὁντινοῦν, ἀλλ' ὠθισμῷ τε μοχλείᾳ κινεῖν, ὅμοιόν ἐστι βιαζομένοις, ὃ μηδ' ἐπ' ἀνθρώπων γινόμενον ὁ νομοθέτης εἴασεν ἀτιμώρητον. πρὸς οὖν ἅπασι τούτοις, ἅπερ ἐστὶ χαλεπά, τοῖς οὕτω μετιοῦσι τὸ μέλλον ὑπάρχει καὶ τὸ διακόπτεσθαι τὴν ἐνέργειαν, καὶ ὑπερορίοις ἰοῦσιν ὥσπερ ἀπολείπειν τὴν τέχνην. ἔργον γὰρ οὐ μικρὸν ἁπανταχοῦ βαδί- C ζοντας σκευαγωγεῖν τὰ ἐπὶ ταύτην ἐφόδια· ἀλλὰ τῆς γε δι' ὀνείρων μαντικῆς αὐτὸς τις ἐστὶν ἕκαστος ὄργανον· ὥστε οὐδὲ βουλομένοις ἔξεστιν ἀπολιπεῖν τὸ χρηστήριον· ἀλλὰ καὶ μένοντι συνοικουρεῖ, καὶ ἀποδημοῦντι συμπαρέρχεται, καὶ συστρατεύεται, καὶ συμπολιτεύεται, καὶ συγγεωργεῖ, καὶ συνεμπορεύεται. ταύτην οὐδὲ οἱ νόμοι τῆς βασκαινούσης πολιτείας κωλύουσιν. οὐδ' ἂν εἰ βούλοιντο, δύναιντο. κατὰ γὰρ τῶν χρωμένων οὐκ ἔχουσιν ἔλεγχον. τί δ' ἂν καὶ ἀδικοῖμεν καθεύδοντες; οὐδ' D ἂν διατάξαιτο τύραννος ὀνείρων ἀθεάμονας εἶναι, οὐκ εἰ μή γε καὶ τὸ καθεύδειν ἐκ τῆς ἀρχομένης ἀποκηρύξειεν. ἀλλὰ τοῦ μὲν ἀνοήτου μέν ἐστιν, οἷς ἀδύνατα βούλεται· ἀσεβοῦς δέ, οἷς ἐναντία νομοθετεῖ τῇ τε φύσει καὶ τῷ Θεῷ. ἰτητέον οὖν ἐπ' αὐτὴν καὶ γυναικὶ, καὶ ἀνδρί, καὶ πρεσβύτῃ καὶ νέῳ, καὶ πένητι καὶ πλουσίῳ, καὶ ἰδιώτῃ καὶ ἄρχοντι, καὶ ἀστικῷ καὶ ἀγροιώτῃ, καὶ βαναύσῳ τε ῥήτορι.

& actionibus temporis impertiant, præclarè nobiscum agi putandum est: Quarum rerum si aliquâ penitus distineare, ægrè admodum ad eam adiumenti aliquid ex diuinatione compares: non enim omne tempus, neque locus omnis ceremoniæ istius præparationem admittit, neque perpetuò commodè, illius instrumenta circumferri possunt: Vt enim nihil aliud sit, certè ea ob quæ repleta & angustata supplicij loca sunt, plaustri sunt, aut concauæ nauis onera: quibuscum aliæ ceremoniarum partes sunt descriptores & testes: Sic enim verius est dicere. Postquam ætas nostra cùm plurima per legum ministros publicauit, à quibus in vulgus elata, prophanæ plebis spectacula & acroamata esse cœperunt. Præterquam igitur, quòd miserrimum sit, ad hæc sese demittere, vt opinor, & inuisum Deo (quippe non sponte sua venientem expectare quemlibet, sed contentione, ac impetu emoliri, violenter compellentibus simile est, quod etiam inter homines impunitum esse legislator noluit.) Sed præter hæc, quæ molestiæ habent vel plurimum, hoc insuper ijs accidit, qui ea ratione futurorum cognitionem ambiunt, vt in agendo sæpius interrumpantur, vtque cùm longinquam in regionem proficiscuntur, velut artem suam domi relinquant. Non enim parum negotij est quocumque pergas commeatus ad eam necessarios conuasare: diuinationis verò per somnium quisque sibi instrumentum esse potest. Atque ita, ne si velint quidem oraculum relinquere suum possunt, quòd & manentibus domi vnà permanet, & peregrè euntibus comes est, in militiam simul proficiscitur, rempub. simul administrat, simul agriculturam ac mercaturam exercet: quam neque inuidæ reipub. leges coërcent, nec vt maximè velint possunt, cùm nullum habeant ad eos qui vtuntur conuincendos indicium. Quanquam quid demum flagitij dormientes committamus? Neque sanè tyrannus vllus videri à nobis insomnia vlla vetuerit, non, inquam, nisi & somnum è regno suo penitus exterminauerit: sed stulti hominis est, dum ea quæ fieri nullomodo possunt, iubet: impij porrò dum naturæ atque Deo contraria iura decernit. Quamobrem ad eam & mulierculæ & viro, & seni & adolescenti, pauperi item ac diuiti, priuato, & magistratui, vrbano peræquè ac rustico, opifici ac oratori contendẽdũ est.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Non genus vllum, aut ætatem, aut conditionem, aut artem repudiat. omnibus vbique in promptu est, parata ad nutum futurorum interpres, optima consultrix, tacita: eadem sacrorum antistita & initiata, quæ bonum quidem renunciat, vt diuturnior voluptas sit, fructu boni præcepto. Imminentia autem mala detegit, quò præcaueri ac propulsari queant. Quicquid enim spes, qua hominum genus alitur, iucundum, ac suaue proponit, quicquid in metu inest cautum, atque vtile, id omne in insomniis reperitur, nec ab vlla re æquè in spem inducimur. Atqui totum hoc sperandi genus tam est in natura hominum abundans ac salutare, vt elegantioribus Sophistis illud in ore sit, ne vitam quidem homines esse toleraturos; si in eodem quo antea statu perseuerarent, facilè enim iis molestiis quæ hominum vitam circumstant, fatigatum iri, si non spem in eorum naturam Prometheus indidisset, velut constantiæ medicamentum, quod cùm degustauerint, id quod in expectatione est eo certiùs putant, quòd apparet: atque hæc tanta vi prædita est, vt qui compedibus vinctus attinetur, simul atque gestienti animo, sperare permiserit, è vestigio soluatur, & militet, & dimidiæ centuriæ præfectus sit, & paulatim centurio, inde imperator euadat; tum vincat, sacrificet, coronetur, mensam apponat, eámque si libeat, Siculam, aut si malit, Persicam: interim compedum & vinculorum obliuiscitur, quandiu imperator esse vult. Atque illud omne vera est somniantis visio, & vigilantis insomnium: in eandem enim rem subiectam concurrunt, phantasiæ scilicet naturam, quamquidem quoties simulachra fingere volumus vnum illud emolumentum affert, quòd vitam nostram hilaritate perfundat, & animam vaga & inconstanti spe deliniens, ab molestiarum sensu reficiat, ac recreet. Cùm autem suaptè sponte spem nobis aliquam proponit (quod quidem dormientibus euenit) somniorum promissionem tanquam aliquod à Deo pignus accipimus. Ideo nonnunquam posteaquam aliquis animum ad maiora tractanda, quæ sibi per somnium oblata fuerant, comparauit, duplicem ex eo fructum reportat, vt & ante rei adeptionem voluptatem percipiat, & cùm ea sibi contigerint, scienter vti possit,

A οὐ γένος, οὐχ ἡλικίαν, οὐ τύχην, οὐ τέχνην
ἀποκηρύττει. πᾶσι πανταχοῦ πάρεστι, προφῆ-
τις ἑτοίμη, ἀγαθὴ σύμβουλος, ἐχέμυθος. αὕ-
τη μυσταγωγός τε καὶ μύστις, διαγγείλασα μὲν
ἀγαθὸν, ὥστε μακροτέραν ποιῆσαι τὴν ἡδο-
νὴν, προαρπάσαντα τὴν ἀπόλαυσιν· κατα-
μηνύσασα δὲ τὸ χεῖρον, ὥστε φυλάξασθαι καὶ
προαποκρούσασθαι. καὶ γὰρ ὅσα ἐλπίδες αἱ τὸ
ἀνθρώπων βόσκουσι γένος, ὀρέγουσι χρηστά τε
καὶ μείλιχα, καὶ ὅσα φόβος ἔχει προμηθῆ τε
καὶ ὀνήσιμα, πάντα τοῖς ὀνείροις ἔνι, καὶ ὑπ᾽
οὐδενὸς οὕτως ἐλπίζειν ἀναπειθόμεθα. καί τοι
B τὸ χρῆμα τῶν ἐλπίδων οὕτως ἐστὶν ἐν τῇ φύ-
σει πολὺ καὶ σωτήριον, ὥστε φασὶν οἱ κομψοὶ
σοφισταὶ, μηδ᾽ ἂν ἐθελῆσαι ζῆν τοὺς ἀνθρώ-
πους, ἔχοντας ὡς ἐγένοντο τὴν ἀρχήν. ἀπα-
γορεύειν γὰρ ὑπὸ τῶν περικεχυμένων τὸν βίον
δεινῶν, εἰ μὴ τὰς ἐλπίδας αὖθις ἐνέχεεν εἰς
τὴν φύσιν ὁ Προμηθεὺς, διαμονῆς φάρμα-
κον, ὑφ᾽ ὧν παραγόμενοι πιστότερον ἡγοῦνται
τοῦ φαινομένου τὸ προσδοκώμενον· αἱ δὲ τοσαύ-
την ἔχουσι τὴν ἰσχὺν, ὥστε ὁ δεδεμένος ἐν
πέδαις, ὅταν ἐφῇ τῷ βουλομένῳ τῆς γνώμης
ἐλπίσαι, καὶ λέλυται καὶ στρατεύεται, καὶ αὐτί-
C κα διμοιρίτης ἐστὶ, καὶ μετ᾽ μικρὸν λοχαγὸς,
ἔπειτα στρατηγὸς, καὶ νικᾷ καὶ θύει, καὶ στεφανη-
φορεῖ, καὶ παρατίθεται τράπεζαν, εἰ μὲν βού-
λοιτο, Σικελικὴν, εἰ δὲ βούλοιτο, Μηδικήν.
καὶ μέν τοι τῶν πεδῶν ἐπιλήσμων ἐστὶν, ἕως εἶναι
βούλεται στρατηγός. καί τοι πᾶν τοῦτο, ὕπαρ
ἐστὶν ὀνειρώττοντος, καὶ ἐγρηγορότος ἐνύπνιον·
περὶ γὰρ ταυτὸν ὑποκείμενον ἄμφω συνίσταν-
ται, τὴν φανταστικὴν φύσιν, ἣν ὅταν μὲν
ἡμεῖς εἰδωλοποιεῖν ἐθελήσωμεν, ἓν τοῦτο παρέ-
χεται χρήσιμον· ἐπαλείφει τὸν βίον ἡμῶν εὐ-
D θυμία, καὶ κολακεύουσα τὴν ψυχὴν ταῖς πε-
πλανημέναις ἐλπίσιν, ἀναλαμβάνει τῶν δυ-
σχερῶν τῆς αἰσθήσεως· ὅταν δὲ αὐτεπίτακτος
ἡμῖν ἐλπίδα προβάληται· τοῦτο δὲ γίνεται κα-
θευδόντων· ἐνέχυρον ἔχομεν τοῦ Θεοῦ τὴν
τῶν ὕπνων ὑπόσχεσιν· ὥστε ἤδη τις εὐτρεπί-
σας τὴν γνώμην εἰς τὸ χρήσασθαι μεί-
ζοσι πράγμασιν, ἃ προὔτεινεν αὐτῷ τὸ
ἐνύπνιον, διπλοῦν ἠνέγκατο κέρδος, τό, τε
ἡσθῆναι πρὸ τῶν πραγμάτων, καὶ τὸ
παραγινομένοις ἐπισταμένως χρήσασθαι,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A τῷ πάλαι προεσκέφθαι περὶ αὐτῶν, ὡς προσηκόντων αὐτῷ τῷ βίῳ. ὥστε ἣν ὕμνησε τὴν ἐλπίδα ὁ Πίνδαρος περὶ ἀνδρὸς λέγων εὐδαίμονος, ὅτι ἄρα αὐτῷ γλυκεῖα καρδίαν ἀτάλλοισα κουροτρόφος συναορεῖ ἐλπίς, ἃ μάλιστα θνατῶν πολύστροφον γνώμαν κυβερνᾷ· φαίη τις ἂν οὐ περὶ τῆς ὕπαρ λέγεσθαι τῆς ἀπατηλῆς, ἣν ἡμεῖς ἑαυτοῖς διαπλάττομεν, ἀλλ' ὅλον τοῦτο μικροῦ μέρους ἐνυπνίων ἔπαινος εἴρηται τῷ Πινδάρῳ. ἡ δὲ περὶ τοὺς ὀνείρους οὖν μαντικὴ σὺν τέχνῃ μετιοῦσα τὸ πεφηνός, βεβαιοτέραν τὴν ἐλπίδα παρέχεται· ὥστε μὴ τοῦ φαυλοτέρου φύσεως δοκεῖν. ἡ δὲ
B Ὁμήρου Πηνελόπη, διττὰς ἀποτίθεται πύλας ὀνείρων, καὶ ποιεῖ τοὺς ἡμίσεις ἀπατηλούς, ὅτι σοφὴ τὰ περὶ ὀνείρων οὐκ ἦν. εἰ γὰρ ἠπίστατο τέχνην ἐπ' αὐτούς, πάντας ἂν διὰ τῶν κεράτων παρήνεγκε. πεποίηται γοῦν ἐξελεγχομένη καὶ ἀμαθίαν ὀφλισκάνουσα περὶ αὐτὴν δήπου τὴν ὄψιν, ᾗ μὴ δέον ἠπίστει.

Χῆνες μὲν μνηστῆρες· ἐγὼ δέ τοι αἰετὸς ὄρνις
Εἰμ' Ὀδυσσεύς.

C ὁ δὲ ἦν ὁμωρόφιος καὶ πρὸς ὃν ἠδολέχει διὰ τῆς ὄψεως. δοκῶ μοι διὰ τῶν τοιούτων ἀκούειν Ὁμήρου λέγοντος, ὡς οὐκ ἄξιον ἀπογινώσκειν ὀνείρων, οὐδὲ τὴν ἀσθένειαν τῶν χρωμένων, ἐπὶ τὴν φύσιν μετατιθέναι τῶν ὁρωμένων· παρ' ὃ μηδὲ Ἀγαμέμνων δίκαιός ἐστιν ἐγκαλεῖν ἀπάτην ὀνείρων, κακῶς ὑπολαβὼν περὶ τῆς νίκης τῆς μαντευτῆς,

Θωρῆξαί σ' ἐκέλευσε καρηκομόωντας Ἀχαιοὺς
Πανσυδίῃ· νῦν γάρ κεν ἕλοις πόλιν εὐρυάγυιαν.

D πρόεισιν οὖν ὡς αὐτοβοεὶ τὴν πόλιν αἱρήσων, ὅτι τοῦ πανσυδίῃ παρήκουσεν, ὅ φησιν, εἰ πρὸς ἕνα τὸ Ἑλληνικὸν ἐξοπλίσειε. τοῦ δὲ Ἀχιλλεύς τε καὶ ἡ Μυρμιδόνων φάλαγξ ἀπόμαχος ἦν, τὸ εὐψυχότατον τοῦ στρατεύματος. ἅλις ἐγκωμίων, καὶ καταβαλῶμεν· ἀλλ' ἡ παρὰ μικρὸν ἀγνωμοσύνης ἑάλωκα, ὅτι μὲν ἀγαθὴ συνεκπλεῦσαί τε καὶ συγκαταμεῖναι, καὶ συνεμπορεύσασθαι, καὶ συστρατηγῆσαι, καὶ πᾶσι πάντα συγκατεργάσασθαι.

quòd eam tanquam vitæ suæ conuenientem, longè antea meditatam, cogitatámque habeat. Quamobrem quæ à Pindaro celebratur spes, cùm ita de felici homine loquitur (quòd ipsi iucunda cor permulcens iuuenum altrix cõiuncta sit spes, quæ maximè mortalium versatilem animum gubernat) meritò quispiam negarit de ea quæ vigilantibus accidit, fallaci atque irrita, quam nobis ipsis effingimus. Sed vniuersum hoc exiguæ partis insomniorum præconium à Pindaro commemoratum est. Ergo diuinatio per somnium, quæ cum arte clarum aliquid, & manifestum quærit, firmiorem spem præbet, ita vt deterioris generis minimè esse videatur. Sed Homeri Penelope duplices somniorum portas proponit, dimidiásque fallaces esse adstruit, quòd somniorum imperita esset: quòd si illorũ artem calluisset, omnes profectò per corneas fores eduxisset. Argumento est, quòd coniuncta, & in manifesta hærens inscitia circa eam vtique visionem inducatur, cui perperam fidem abrogabat,

Anserum erunt mihi turba proci Iouis ales
Vlysses
Ipse ego sum.

At is sub eodem erat tecto, & cum eo per visionem loquebatur. in quo mihi perspicuè dicentem Homerum audire videor, non esse de somniis desperandum, neque vtentium imbecillitatem ad naturam esse eorum quæ videntur transferendam. Propterea neque Agamemnon rectè somnia fallacia redarguit, perperam prædictam illam victoriam accipiens.

Te iubet ille coma insignes armare Pelasgos
Prorsus: ita Priami lata oppida prendere possis.

Progreditur itaque quasi primo impetu vrbẽ inuasurus, cùm malè prorsus illud intellexisset, quòd ita demum ait, si ad vnum Græcos omnes armatos educat. Atqui interim Achilles, & Myrmidonum Phalãx, præcipuum exercitus robur, à prælio abstinebat. Sed de somniorum laude satis multa, nunc finem prædicandi faciamus. Atenim parum abfuit quin ingrati animi crimen susciperem: Nam quod illa quidem diuinatio aptissima sit, vt & nobiscum nauiget, & domi maneat, & mercatum eat, & exercitui simul præsit, & omnia cum omnibus ad exitum perducat

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Hæc sunt quæ paulò antè commemoraui, quę verò sũt ab ea in me collata beneficia, nondum in cōmune proposui. Quãquam nihil est quod cōmuniter cum hominibus æquè ac philosophari perficiat, multáque quæ vigilãtibus intellectu difficilia occurrerant, dormiẽtib. partim omnino aperit, partim ad dissoluendum vnâ aliquid suppeditat. Eiusmodi enim aliquid contingit vt nunc interroganti similis, nũc inuenire ipsa, atque excogitare videatur; mecũ verò nō rarò lucubrationes quasdã perfecit: Siquidem & sententiã sæpe præparauit & dictionẽ accommodauit, & hoc inducto aliud eius loco suppleuit; Interdũ vniuersã verborum structuram redundãtem, & vocum nouitate turgentẽ æmulatione recẽtis eloquẽtiæ ab vetere Atticorum lingua degenerantis interuẽtu Dei castigans, illa partim aliquid dicentis, partim quid sit illud dicentis; partim tumulos veluti quosdã protuberantes deiicere monstrantis, ad modestiam me reuocauit, & tumorẽ omnem cōpressit. Alias item cùm Venationi operam darem, machinas mecum ad capiendas feras excogitauit, quæ callidè discurrere, atq; occultari solent: deficiẽti verò, & iam reditũ paranti, constantiã imperauit mihiq; felicem fortunam ad certum diem promisit; vt deinceps libentius fidem adhibentes foris pernoctaremus: móxque vbi præstituta dies aduenerat, aderat & cũ ea fortuna, quæ mihi ferarũ retibus implicatarum & iaculis peremptarũ greges indicabat. Ac mihi quidẽ vita omnis in libris ac Venatione posita est: nisi si quãdo legationem susceperim, quòd vtinã nunquam mihi cōtigisset, vt ne tres in vita execrabiles & detestandos annos vidissem. Sed & tunc plurima ab ea, maximáq; sum beneficia consecutus. Namque cùm pręstigiatorum, animásq; ex inferis sollicitãtum Magorum insidias in me irritas fecit, mihi eas indicans, & ex omnibus periculis eripiens: tum publica negotia mecũ gessit, vt quam optimè ciuitatibus succederent, & ad Imperatoris colloquium me vnũ omniũ qui vnquam extitêre Græcorum audacissimũ produxit. Aliorum quidem alij inter deos curam suscipiũt. Hæc autem omnibus adest, vnicuiq; benignã se deam exhibens, & ad vigilãtium curas semper aliquid solerter excogitat. Vsq; eo sapiens est quiddam anima vulgarium ac forensium sensuũ fluctibus vacãs, qui in eam alienas res varias, ac multiplices introducunt. Nam quas habet rerum imagines, & quascumque ab

A ταῦθ' ἃ μικρὸν πρόσθεν εἶπον, τὰ δὲ εἰς αὐτὸν ἐμὲ παρ' αὐτῆς, οὔπω δημοσιεύσας. καί τοί γε οὐδὲν οὕτω συνδιατίθεται τοῖς ἀνθρώποις, ὡς συμφιλοσοφεῖ, καὶ πολλὰ τῶν ὕπαρ ἀπόρων, ἐπειδὰν καθεύδωμεν, τὰ μὲν ὅλα ἔφηνε, τὰ δὲ συνηυπόρησε. γίνεται γάρ τι τοιοῦτον, ὡς νῦν μὲν ἐοικέναι πυνθανομένῳ, νῦν δὲ αὐτὸν εἶναι τὸν ἐξευρίσκοντα καὶ διανοούμενον· ἐμοὶ δὲ θαμὰ καὶ συγγράμματα συνεξείργασται. καὶ γὰρ νοῦν ηὐτρέπισε, καὶ λέξιν ἐνήρμοσε. B καὶ τὸ μὲν διέγραψε, τὸ δὲ ἀντεισήγαγεν. ἤδη δέ ποτε καὶ τὴν ὅλην κατασκευὴν τῆς γλώττης ὑλομανοῦσάν τε καὶ φλεγμαίνουσαν ὀνομάτων καινότητι, ζήλῳ τῆς ἐκφύλου τῆς ἀρχαίας ἀτθίδος, ἡ δὲ διὰ θεοῦ νουθετήσασα, τὸ μέν τι εἰπόντος, τὸ δὲ τί ἐστιν εἰπόντος, τὸ δὲ δείξαντος, ὄγκους τινὰς ἀπολεαίνειν ἐκπεφυκότας τῆς γλώττης, ἐπανήγαγέ τε ἐς τὸ σῶφρον, καὶ τὸ οἶδος ἐκόλασε· καὶ κυνηγετοῦντί ποτε συνεπαλαμήσατο μηχανὰς ἐπὶ τὰ θέοντα καὶ κρυπτόμενα τῶν θηρίων· καὶ ἀπει- C πόντι δέ ποτε καὶ ἀναζευγνύντι προσεδρίαν ἐπέταξε, καὶ τὴν τύχην εἰς κυρίαν ὑπέσχετο, ὥστε ἤδη θυραυλῆσαι πιστεύσαντας· ἡ δέ, ἐπειδὴ παρῆν ἡ κυρία, καὶ ἡ τύχη παρῆν, ἥ γε ἀπέδειξεν ἐσμοὺς δικτυαλώτων * καὶ δορυαλώτων θηρίων. ἐμοὶ μὲν οὖν βίος βιβλία καὶ θήρα, ὅτι μὴ πεπρέσβευκά ποτε· ὡς οὐκ ὤφελον ἀποφράδας ἰδεῖν ἐνιαυτοὺς τρεῖς ἐκ τοῦ βίου. καὶ μέν τοι τότε πλεῖστα δὴ καὶ μέγιστα ὠνάμην αὐτῆς. ἐπιβουλάς τε γὰρ ἐπ' ἐμὲ ψυχοπομπῶν γοήτων ἀκύρους ἐποίησε, καὶ φήνασα, καὶ ἐξ ἁ- D πασῶν περισώσασα, καὶ κοινὰ συνδιῴκησεν, ὥστε ἄριστα ἔχειν ταῖς πόλεσι, καὶ ἐς τὴν βασιλέως ὁμιλίαν τῶν πώποτε Ἑλλήνων θαρραλεώτερον παρεστήσατο. ἄλλοις δὲ ἄλλων μέλει· ἡ δὲ πάρεστι πᾶσι δαίμων ἀγαθὸς οὖσα ἑκάστῳ, καὶ ἐπιτεχνωμένη τι ταῖς ἐν ἐγρηγορόσι φροντίσιν. οὕτω σοφόν τι χρῆμα ψυχὴ σχολάσασα τοῦ κατακλυσμοῦ τῶν ἀγοραίων αἰσθήσεων ἐπεισαγουσῶν αὐτῇ παντοδαπὸν τὸ ἀλλότριον. ἅ τε γὰρ ἔχει τὰ εἴδη, καὶ ὅσα παρὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νοῦ δέχεται, μόνη γινομένη παρέχει τοῖς ἐστραμμένοις A ἐπὶ τὰ εἴσω, καὶ τὰ παρὰ τοῦ θείου πορθμεύει. συγγενὴς γὰρ αὐτῇ καὶ Θεὸς ἐγκόσμιος οὕτως ἐγγύσῃ, τῷ τὴν φύσιν αὐτῆς ὁμόθεν εἶναι. τὰ μὲν δὴ γένη ταῦτα τῶν ἐνυπνίων, θεσπεσιώτερά ἐστι, καὶ ἢ πάντως, ἢ παρὰ μικρὸν πάντως, τρανὰ καὶ σαφῆ, καὶ ἥκιστα τέχνης δεόμενα. ἀλλὰ ταῦτα μόνοις ἂν παραγένοιτο τοῖς κατ᾽ ἀρετὴν ζῶσιν, εἴτε φρονήσει πεπορισμένην, εἴτ᾽ ἔθεσιν ἐγγινομένην. εἰ δέ ποτε καὶ ἄλλῳ τῳ, μόλις μὲν, ἀλλὰ γένοιτ᾽ ἂν, πάντως δὲ οὐκ ἐπὶ σμικρῷ δή τινι τῶν ἀρίστων γενῶν ἐνύπνιον τῷ τυχόντι παρέσται. B τὸ δὲ λοιπὸν καὶ πολὺ καὶ κοινότατον γένος, ἐκεῖνο ἂν εἴη τὸ ἠνιγμένον, καὶ ἐφ᾽ ὃ δεῖ τὴν τέχνην παρασκευάσασθαι. γένεσίν τε γὰρ ἔχειν ὡς οὕτως εἰπεῖν ἄτοπον καὶ ἀλλόκοτον, καὶ ὡς ἐκ τῶν τοιούτων βλαστῆσαν ἀσαφέστατον πρόεισιν. ἔχει γὰρ ὧδε περὶ αὐτοῦ· ὅσα φύσις ἔχει, πάντων ὄντων, γινομένων, μελλόντων· ἐπεὶ καὶ τοῦτο τρόπος ὑπάρξεως· εἴδωλα ἀπορρεῖ, καὶ τῆς ὑποστάσεως αὐτῶν ἀποπάλλεται. εἰ γὰρ ἕκαστον αἰσθητὸν, εἶδός ἐστιν ὕλῃ συνδυασθὲν, ἐφωράσαμεν δὲ τῆς ὕλης ἐν τῷ συνθέτῳ τὴν ἐκροὴν, ὁ λόγος αἱρεῖ C καὶ τὴν τῶν εἰδώλων φύσιν ἐξοχετεύεσθαι, ἵνα κατ᾽ ἄμφω τὰ μέρη, τὴν τοῦ ὄντος ἀξίαν ἀρνήσηται τὰ γινόμενα. τούτων ἁπάντων τῶν ἀπορρεόντων εἰδώλων, τὸ φανταστικὸν πνεῦμα, κάτοπτρόν ἐστιν ἐμφανέστατον. περινοστοῦντα γὰρ ἄλλως καὶ διολισθαίνοντα στάσεως, τῇ τε ἀοριστίᾳ τοῦ εἶναι καὶ τῷ παρὰ μηδενὸς τῶν ὄντων ἐπιγινώσκεσθαι, ἐπειδὰν ἐγκύρσῃ τοῖς ψυχικοῖς πνεύμασιν, εἰδώλοις μὲν οὖσιν, ἕδραν δὲ ἔχουσιν εἰς τὴν φύσιν τούτοις προσαπερείδονται, καὶ ὥσπερ εἰς ἑ- D στίαν αὐτὰ ἀναπαύονται. τῶν μὲν οὖν γινομένων ἅτε ἤδη προελθόντων εἰς τὴν τοῦ εἶναι ἐνέργειαν, σαφῆ τὰ εἴδωλα ἀποστέλλεται, μέχρις ἂν ὑπὸ χρόνου πλήθους ἀμενηνὰ καὶ ἐξίτηλα γένηται· τῶν δὲ ὄντων, ἅτε ἑστώτων ἔτι, μᾶλλον ἔμβια καὶ ἀριδηλότερα· ἀοριστότερα δὲ τῶν μελλόντων καὶ ἀδιάκριτα. προκυλινδήματα γάρ ἐστιν οὔπω προόντων, φύσεως ἀτελοῦς ἐξανθήματα, οἷα ἀποσκιρτῶντα καὶ ἐξαλλόμενα σπερ-

A mente excipit, sola cum est, iis præbet, qui ad interiora conuersi sunt, & quæ à diuina parte manant, traducit. Cùm ea quippe sic affecta mundanus Deus conuersatur, pro eo quod ex eodem fonte vtriusque natura deriuata sit. Quapropter genera hæc insomniorum diuiniora sunt & vel penitus, vel maxima ex parte clara atque perspicua, miniméque artis indigentia: sed hæc solis iis contingunt, qui virtutem in vita sectantur, siue prudentia consitam, siue moribus insitam. Quòd si cuiquam alteri vix illud quidem accidit, fieri tamen aliquando potest, omnino tamen non exiguæ alicuius rei gratia insomnium B aliquod ex præstantissimis illis generibus vulgari homini obiiciatur. Reliquum autem, & frequens, & tralatitium genus illud sanè fuerit, quòd inuolutum, & obscurè adumbratum est; ad quod ars est aliqua comparanda. Nam cùm ortum vt ita dicam absurdum & inusitatum sortiatur tum quasi ex eiusmodi prouenniens, obscurissimum progreditur. Sic enim ea sese res habet: Quæcumque in rerum natura sunt, omnium quæ sint, fuerunt & futura sunt (quando & hæc existendi quædam ratio est) simulachra quædam ex ipsorum substantia proueniunt. Nam cùm C vnumquódque eorum quæ sensu percipiuntur, forma sit cum materia coniuncta, deprehensa autem sit materiæ à nobis in composito fluxio; ratio vtique ipsa conuincit simulachrorum naturam deriuari, vt vtraque ex parte, ab eius quod eodem modò semper est, dignitate, quæ perpetuò oriuntur, degenerent. Horum omnium fluentium simulachrorum phantasiæ spiritus, clarissimum est speculum. Cùm enim temerè oberrantia, & à suo statu dilapsa præ naturæ suæ inconstantia, tum quod à nulla re agnoscantur, in animales spiritus inciderint, quæ simulachra alioqui sunt, sed in natura fixam ac stabi- D lem habent sedem, iisdem adhærescunt, & in iis, tanquam in certa domo conquiescunt. Cæterùm præteritorum, vtpotè quæ iam reipsa extitêre, perspicua simulachra mittuntur, donec longinquitate temporis paulatim euanescant. Præsentium verò, tanquam adhuc manentium, vitalia magis atque clariora sunt: futurorum demum incertiora minúsque distincta: sunt enim progressæ quædam nōdum præsentium volutationes, naturæ imperfectæ germina velut exilientia, atque erumpentia reconditorum seminum indi-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

cia: idcirco arte ad futurorum cognitionem opus est; quoniam adúbrata ex iis simulachra prodeunt, neque manifestè, velut ex ipsis, quæ reipsa sunt imagines: natura nihilominus admirabili constant, itáque sese habent, quòd ex rebus productis ortum habuerunt. Verumenimuerò tempus iam est vt de arte ipsa nonnihil dicamus, quanam ratione comparetur. Equidem optimum fuerit sic diuinum spiritum præparasse, vt mentis, atque Dei contemplatione dignus habeatur, nec vt vagorũ, atque errantium sit simulachrorum receptaculum. Optima verò educatio est, quæ Philosophiæ beneficio habetur, quæ perturbationes animi sedat, ac tranquillat, à quibus semel agitatis, spiritus, quasi sedes occupatur, deinde moderato ac frugali victu, qui minimè animali stimulos addat, miniméque in extremum corpus compellat. Alioqui ad primum vsque corpus agitatio ipsa perueniat, quòd tamen pacatum, & quietum esse oporteat. Verùm quoniam optare id quidem cuilibet facillimum est, efficere omnium difficillimum, nos autem id volumus, ne cui sit inutilis somnus; age, finem aliquem infinitis in rebus, ac terminum inuestigemus, hoc est, artem aliquam simulachrorum considerandorum instituamus. Sic autem sese habet. Non secus quàm qui mare nauigant, si fortè prius aliquando scopulus aliquis occurrerit, indéque præteruerti ciuitatem hominum viderint, quoties eundem scopulum intuentur, eandem quoque ciuitatem obseruant. Aut velut in ducibus contingit, quos tametsi nondum videamus, ex præcursoribus tamen venturos cognoscimus, quoniam cum ijdem apparuissent, semper antea sunt consecuti; ita simulachris identidem futurorum actionem annotamus: præcurrunt enim iisdem eadem, & similia similibus. Vti ergo gubernatoris vitium est, eodem apparente scopulo, non agnoscere, neque posse dicere, quamnam propè terram nauigium in solo versetur: & eiusmodi temerè nauigat: sic cui eadem sæpius oblata visio est, si non id obseruauerit cuius fuerit casus, aut fortunæ, aut actionis prænuncia, inconsideratè, vt nauigio gubernator, sic ille vita vtitur. Et nos etiam in summa aëris tranquillitate tempestates prędicimus, cùm circa Lunam aream viderimus, quòd sæpe eâ conspectâ, tempestas secuta sit.

A μάτων ἀποκειμένων αἰνίγματα. ταύτῃ καὶ δεῖ τέχνης ἐπὶ μελλόντων· ἐσκιαγραφημένα γὰρ ἀπ' αὐτοῦ παρέχουσιν εἴδωλα, καὶ οὐκ ἐμφανεῖς εἰκόνες, ὥσπερ ἀπὸ τῶν ὄντων· θαυμαστά γέ τοι τὴν φύσιν ἐστὶ, καὶ οὕτως ἔχοντα, ὅτι ἀπὸ μήπω γενομένων ἐγένετο. ἀλλ' ἤδη γάρ τι καὶ περὶ τῆς τέχνης ῥητέον, ὡς ἂν παραγένοιτο. ἄριστον μὲν οὖν οὕτως παρεσκευακέναι τὸ πνεῦμα τὸ θεῖον, ὡς ἐφορείας ἀξιοῦσθαι νοῦ καὶ Θεοῦ, ἀλλὰ μὴ δεξαμένην εἶναι τῶν ἀορίστων εἰδώλων· τροφὴ δὲ ἀρίστη διά τε
B φιλοσοφίας γαλήνην ἐμποιούσης παθῶν, ὑφ' ὧν κινηθέντων τὸ πνεῦμα, καθάπερ χώρα καταλαμβάνεται. καὶ διὰ μετρίας διαίτης καὶ σώφρονος, ἥκιστα μὲν ἐξοιστρούσης τὸ ζῶον, ἥκιστα δὲ ἐμποιούσης εἰς τὸ ἔσχατον σῶμα. φθάνοι γὰρ ἂν ὁ κλόνος μέχρι τοῦ πρώτου, τὸ δὲ ἀτρεμές τε δεῖ καὶ ἀκλόνητον εἶναι. ἀλλ' ἐπεὶ τοῦτο συνεύξασθαι μὲν ἁπλῶς τινὶ ῥᾴδιον, [illegible]γάσασθαι δὲ ἁπάντων ἀμηχανώτατον, ἡμεῖς δὲ βουλόμεθα μηδενὶ τὸν ὕπνον ἀνόνητον εἶναι, φέρε, ἵνα κἂν τοῖς ἀορίστοις ὅρον ζητήσωμεν, τοῦτ' ἔστι τέχνην περὶ τὰ εἴδωλα
C συστησώμεθα. ἔχει δὲ οὕτως· ὥσπερ ἐπὶ τῶν διαποντίων πλεόντων, ὅταν ποτὲ σκοπέλῳ τινὶ περιτύχωσι, κᾆτ' ἀποβάντες ἴδωσι πόλιν ἀνθρώπων, ὁσάκις ἂν τὸν αὐτὸν σκόπελον ἴδωσι, τὴν αὐτὴν πόλιν σημαίνονται· καὶ ὥσπερ ἐπὶ τῶν στρατηγῶν, οὓς οὐχ ὁρῶντες ἀπὸ τῶν προδρόμων ἴσμεν ὅτι παρέσονται. τῶν γὰρ αὐτῶν φανέντων, ἀεί ποτε παρεγένοντο· οὕτω καὶ τοῖς εἰδώλοις ἑκάστοτε σημαινόμεθα τὴν τῶν ἐσομένων ἐνέργειαν. πρόδρομα γάρ ἐστι ταῦτα τῶν αὐτῶν, καὶ ὅμοια τῶν ὁμοίων. ὥσπερ οὖν
D κυβερνήτου κακία ταὐτοῦ σκοπέλου φανέντος μὴ ἐπιγνῶναι, μηδ' ἔχειν εἰπεῖν πρὸς ἥν τινα γῆν τὸ σκάφος σαλεύει, καὶ ὁ τοιοῦτος ἀτέκμαρτα πλεῖ· οὕτως ὁ τὴν αὐτὴν ὄψιν πολλάκις ἰδὼν, εἰ μὴ κατεσημήνατο τίνος αὐτῷ προφῆτις ἐγένετο πάθους ἢ τύχης, ἢ πράξεως, ἀνοήτως χρῆται τῷ βίῳ, καθάπερ ὁ κυβερνήτης ἐκεῖνος τῷ σκάφει· καὶ τὰς διοσημείας προαγορεύομεν ἐν εἰρήνῃ βαθείᾳ τοῦ περιέχοντος, περὶ τὴν σελήνην ἅλως ἰδόντες, ὅτι πολλάκις ἰδόντων οὕτω, χειμὼν ἠκολούθησε.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τῇ μὲν ἴῃ ἀνέμοιο γαληναίης τε δοκεύειν· A
Ῥηγνυμένη ἀνέμοιο, μαραινομένη δὲ γαλήνης.
Ταὶ δύο δ' αὖ χειμῶνι περιξεχάοιντο σελήνην·
Μείζονα δ' αὖ χειμῶνα φέροι τριέλικτος ἀλωὴ,
Καὶ μᾶλλον μελανεῦσα, καὶ εἰ ῥηγνύατο μᾶλλον.

Vna tibi ventos prænunciat, atque serenum:
Interrupta quidem ventos, consumpta serenum:
Ast hiemem geminus Lunam dum circulus ambit:
Maioremque triplex hiemem feret area: quàque
Nigrior est, & rupta magis, hac sæuior instat.

οὕτως ἐπὶ πάντων καὶ Ἀριστοτέλης τε καὶ ὁ λόγος φησὶν, ἡ μὲν αἴσθησις μνήμην, ἡ δὲ μνήμη πεῖραν, ἡ δὲ πεῖρα τέχνην ἐποίησεν· B οὕτω καὶ τ' ἐπὶ τοὺς ὀνείρους βαδίσωμεν. ἠθροίσται μὲν οὖν ἐνίοις ἤδη βιβλία συχνὰ τῆς τοιαύτης παρατηρήσεως· ἀλλ' ἔγωγε τὴν αὐτῶν ἁπάντων καταγελῶ, καὶ ὀλίγον ὄφελος ἡγημαι. οὐ γὰρ ὥσπερ τὸ σῶμα τὸ ἔσχατον τῶν καθωμιλημένων στοιχείων ἡ σύνοδος, δύναται δέξασθαι τέχνην καθόλου καὶ λόγον τῇ φύσει συμπαρατείνοντα. ὡς γὰρ ἐπὶ τὸ πλεῖστον ὑπὸ τῶν αὐτῶν ταὐτὰ πάσχει, μικρᾶς οὔσης ἐν τοῖς ὁμοειδέσι τῆς διαφορᾶς τῆς πρὸς ἄλληλα· καὶ τὸ παρὰ φύσιν ἔχον ἐν αὐτοῖς, οὐ λανθάνει νοσοῦν, οὐδὲ χρώμεθα τῷ τοιούτῳ γνώμονι· C οὐχ οὕτως ἐπὶ τοῦ φανταστικοῦ πνεύματος, ἀλλὰ καὶ τῇ πρώτῃ φύσει διενήνοχεν ἄλλο ἄλλου. ἄλλο γὰρ ἄλλῃ σφαίρᾳ προσήκει τῷ πλείονι τοῦ φυράματος.

Ita in omnibus & Aristoteles, & ratio ipsa definit: Sensum quidem memoriam, hanc experientiam, experientiam demum artẽ procreasse: iisdem & nos vestigiis ad somniorum cognitionem gradiamur. Atque huius quidem obseruationis infiniti libri à quibusdam coaceruati sunt. Ego verò ea omnia derideo parúmque prodesse arbitror. Neque enim, velut infimum corpus, quòd nihil aliud est, quàm eorum, quæ vulgò elementa dicuntur, concursus, generalem quandam artem, ac rationem admittit, quæ naturæ suæ coæquetur quòd vt plurimum ab iisdem rebus eadem patiatur, cùm leue admodum insit in congeneribus corporibus inter se discrimen, idque quod in iis præter naturam sese habet, maléque affectum est, latêre non possit, nec illud tanquam normam adhibeamus: non ita inquam in phantasiæ contingit spiritu, sed secundum primam ipsam naturam, aliud ab alio differt: alius quippe alteri sphæræ conuenit, prout ampliori mole, ac velut massa constat.

Ἦ μάλα δὴ κεῖναί γε μακάρταται ἔξοχα πασέων
Ψυχάων ποτὶ γαῖαν ἀπ' οὐρανόθεν προχέονται.
Κεῖναι δ' ὄλβιαί τε, καὶ οὐ φατὰ νήματ' ἔχουσαι,
Ὅσσαι ἀπ' αἰγλήεντος ἄναξ σέθεν, ἠδὲ καὶ αὐτοῦ D
Ἐκ Διὸς ἐξεγένοντο, μίτου κρατερῆς ὑπ' ἀνάγκης.

Felices nimium, reliquis & sorte priores
Sunt animæ, ad terram quæ summo ex æthere fusæ:
Hæ quoque felices, & inenarrabile prorsus
Stamen habent, à te quæ Rex, splendente, vel ipso
Ab Ioue proueniunt, filo cogente subactæ.

καὶ τοῦτ' ἄρα ἦν ὅπερ ᾐνίξατο Τίμαιος, διδοὺς ἑκάστῃ ψυχῇ σύννομον ἄστρον· αἱ δὲ καὶ τῆς φύσεως ἐκστᾶσαι, τῷ φιλοχωρῆσαι περὶ τὴν ὕλην, ἡ μὲν ἧττον, ἡ δὲ μᾶλλον, ὡς ἑκάστη ῥοπῆς ἐδυστύχησε, τὸ πνεῦμα ἐμόλυνεν. ἐνοικίζονται δὴ σώμασιν οὕτως ἔχουσαι, καὶ γίνεται βίος ὅλος ἐν ἁμαρτίᾳ καὶ νόσῳ τοῦ πνεύματος, αὐταῖς μὲν παρὰ φύσιν διὰ

Et hoc ipsum est quod Timæus innuebat, vnicuique animæ cõtubernale sidus attribuens: at illæ à natura degenerantes, plus minúsque, prout quęque infelicitate quadam grauiore, aut leuiore momento deprimitur, spiritum inquinant. ita porrò affectæ in corporibus habitant: vitáque omnis earum per peccata, & spiritus ægritudinem traducitur: quòd huic quidem ob insitam nobilitatem præter na-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

turam euenit: animali verò ſecundum naturã; quòd ab ea ſic affecta eſt animatum: niſi fortè naturam illius, ordinem illum, ac ſeriem eſſe dixerimus, in quo à ſeipſo, vti vitio, ac virtute vſus fuerit, collocatur. Nihil enim tam varium eſt ac verſatile quàm ſpiritus. Quomodo igitur in rebus adeò natura, & lege, & affectione diſſimilibus eadem ab iiſdem repræſententur? Non ita ſanè, neque fieri iſtud vnquam poteſt. Quî enim accidere vnquam poſſit, vt turbida aqua, & pellucens, ac conſiſtens; item & agitata, ab eadem forma ſimiliter afficiantur. Iam verò ſi perturbatio iſta alio modo in alio contingat, pro colorum diuerſitate, & agitationes vario modo figurentur, vnum erit vtique genere ipſo ab exacta, accuratáque ſpecie aberrare. Quòd ſi diſcrimen reperiatur ſiue Phemonoe aliqua, ſiue cupiam Melampus, aut alius quilibet de eiuſmodi rebus in vniuerſum pronunciare ac conſtituere velit, rogemus ipſum, fierine natura poſſit vt rectum ac diſtortum ſpeculum, idque quod ex diſſimili materia conſtat, ſimilem eius quod oſtenditur effigiem repræſentet. Verùm illi opinor diſputationem de ſpiritu ne attigêre quidem: illud autem quod ei affine eſt quocumque ſe habeat modo, omnium canonem atque normam eſſe voluerunt. Neque ergo illud penitus tollo, eſſe aliquam in omnibus iis quæ inter ſe differunt conuenientiam, ac ſimilitudinem, ſed obſcurum ſi diſtrahatur, obſcurius euadit. Adde quòd, vt ante dictum eſt, futuræ rei præſilientis quodammodo ſimulachrum per ſeſe cognitu difficile ſit. Præterea longè operoſius eſt in vniuſcuiuſque moribus communi aliquod ſimile viſui deſcribere: Ob hæc minimè ſanè ſperandum eſt, poſſe communes omnibus leges definiri; ſed pro artis materia ſeipſum vnuſquiſque habeat. Inſcribat memoriæ, quaſnam res, & quando ſit expertus, quibúſque antegreſſis viſionibus, facilè circa hæc quæ cum vſu atque vtilitate exercentur, habitus cõparatur. Exercitationem enim vtilitas in memoriam redigit, præſertim cùm materiam ſubinde nacta fuerit. Quid autẽ ſomniis eſſe poteſt abundantius? aut quid ad peliciendum efficacius, quæ etiam ſtultos inuitant vt de ipſis aliquid cogitent. Ideo turpe eſt eos, qui quintũ & viceſimũ ætatis annum attigere, altero adhuc vate opus habere, nec à ſe pleraq; artis huius præcepta collegiſſe.

A τὴν προτέραν εἰληχέναι· τῷ ζώῳ δὲ κατὰ φύσιν· ὑπὸ γὰρ οὕτως ἔχοντος ἐψυχώθη· εἰ μὴ καὶ αὐτῷ φύσις ἐστὶν ἡ τάξις εἰς ἣν ὑφ' ἑαυτοῦ τάττεται κακίᾳ καὶ ἀρετῇ χρώμενον. οὐδὲν γὰρ οὕτως, ὥσπερ πνεῦμα εὐτράπελον. πῶς ἂν οὖν ἐν τοῖς ἀνομοίοις, καὶ φύσει, καὶ νόμῳ, καὶ πάθει, ταυτὰ ἂν ὑπὸ τῶν αὐτῶν ἐμφανίζοιτο. οὐκ ἔστι τοῦτο, οὐδ' ἂν γένοιτο. πῶς δ' ἂν γένοιτο τὸ τεθολωμένον ὕδωρ καὶ τὸ διαφανὲς, καὶ τὸ μένον, καὶ τὸ κινούμενον, ὑπὸ τῆς αὐτῆς μορφῆς ὁμοίως διατεθῆναι· εἰ δὲ καὶ ὁ θολὸς ἄλ- B λως ἐν ἄλλῳ κατὰ διαφορὰς χρωμάτων καὶ αἱ κινήσεις ἐν σχηματισμοῖς πλείοσιν· οὕτως ἂν ἓν μὲν εἴη τῷ γένει τὸ ἁμαρτεῖν τῆς ἀκριβοῦς εἰκόνος· εἰ δ' ἔστι διάφορον, εἴτ' οὖν Φημονόη τις, εἴτε τω Μελάμπους, εἴτε ἕτερός τις ἀξιώσει καθόλου τι περὶ τῶν τοιούτων ἀφορίζειν καὶ διατάττεσθαι, πευσόμεθα αὐτῶν, εἰ φύσιν ἔχει καὶ τὸ ὀρθὸν, καὶ τὸ διάστροφον κάτοπτρον, τὸ, τε ἐξ ἀνομοίων ὑλῶν, ὅμοιον ἀποδιδόναι τοῦ δεικνυμένου τὸ εἴδωλον· ἀλλ' ἐκεῖνοί γε οὐδὲ τὴν ἀρχὴν οἶμαι πεφιλοσοφήκασί τι C περὶ τοῦ πνεύματος. τὸ δὲ οἰκεῖον αὐτῷ ὅπως ποτε ἔχον, ἁπάντων ἠξίωσαν εἶναι κανόνα καὶ γνώμονα· καὶ ἔγωγε οὐκ ἀναιρῶ τὸ καὶ διὰ πάντων εἶναι τῶν διαφερόντων ἐμφέρειαν, ἀλλὰ τὸ ἀσαφὲς διασπώμενον, ἀσαφέστερον γίνεται. ἣν δὲ δήπου καὶ τὴν ἀρχὴν δυσεπίγνωστον τὸ τοῦ προεκθορόντος πράγματος εἴδωλον· ἔτι δὲ χαλεπώτερον ἐλθεῖν ἐν ἑκάστῳ τρόπῳ, κοινῷ φαντάσματι παραπλήσιον. διὰ ταῦτα μὲν ἀπογνωστέον, τοὺς κοινοὺς ἅπασι νόμους γενέσθαι· ἑαυτὸν δὲ ἣν ἕκαστος ὕλην ἐχέτω τῆς τέχνης· ἐγγραφέτω τῇ μνή- D μῃ, τίσι καὶ πότε συνηνέχθη πράγμασιν, ἐπὶ ποδαπαῖς ποτὲ ταῖς ὄψεσιν· οὐ χαλεπῶς ἕξις ἀθροίζεται περὶ τὸ σὺν χρείᾳ τινὶ μελετώμενον. ὑπομιμνήσκει γὰρ τῆς μελέτης ἡ χρεία, καὶ μάλιστα ὅταν εὐπορῇ τῆς ὕλης ἑκάστοτε. τί δ' ἂν ἐνυπνίων γένοιτο ἀφθονώτερον; τί δ' ἐπαγωγότερον; ἃ καὶ τοὺς ἠλιθίους ἐφέλκεται, περὶ αὐτῶν τι φροντίσαι. ὥστε αἰσχρὸν ἂν εἴη τοὺς τὰ δέκα ἀφ' ἥβης γεγονότας, ἑτέρου μάντεως ἔτι προσδεῖσθαι, ἀλλὰ μὴ παρ' ἑαυτῷ συνειλοχέναι τῆς τέχνης πάμπολλα θεωρήματα. σοφὸν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δ' ἂν εἴη καὶ γράφειν τά τε ὕπαρ καὶ ὄναρ ὁράματα καὶ συμπτώματα· εἰ μὴ πρὸς τὸ καινὸν τῆς ἐπινοίας ὁ τῆς πόλεως τρόπος ἀγροικίσεται. ἐπεὶ ἡμεῖς ἀξιώσομεν ταῖς καλουμέναις ἐφημερίσι, τὰς ὑφ' ἡμῶν ὀνομαζομένας ἐπινυκτίδας συντάττοντας, ἔχειν τῆς ἐν ἑκατέρᾳ ζωῇ διεξαγωγῆς ὑπομνήματα. ζωὴν γάρ τινα τὴν κατὰ φαντασίαν ὁ λόγος ἐτίθετο, νῦν μὲν βελτίω· νῦν δὲ χείρω τῆς μέσης, ὡς ἂν ὑγιείας ἔχῃ τὸ πνεῦμα καὶ νόσου. οὕτως οὖν εἴ τινα παρατήρησιν τε παρέργου ποιοῦμεν, ὑφ' ἧς ἡ τέχνη συναύξεται, οὐδενὸς ἡμῖν ἐκ τῆς μνήμης διολισθαίνοντος, καὶ τὰ ἄλλα ἀστεία τις ἂν εἴη ψυχαγωγία, ἱστορίᾳ τιμᾶν ἑαυτὸν ἐγρηγορότα τε καὶ καθεύδοντα· ἀλλὰ καὶ οἷς ἐπιμελές ἐστι τῆς γλώττης, οὐκ οἶδ' εἴ τις ὑπόθεσις αὐτὴ ταύτης ἑτέρα, παντοδαπὸν ἂν γύμνασμα γένοιτο τῆς ἐν τῷ λέγειν δυνάμεως. εἰ γὰρ τὰς ἐφημερίδας ὁ Λήμνιος σοφιστὴς ἀγαθὰς εἶναι διδασκάλους φησί, τοῦ περὶ ἁπάντων εὖ εἰπεῖν τῷ μηδὲ τῶν μειόνων ὑπερορᾶν, ἀλλ' ἀνάγκην εἶναι διὰ πάντων ἰέναι φαύλων τε καὶ σπουδαίων· πῶς οὐκ ἄξιον ἄγασθαι τὰς ἐπινυκτίδας εἰς ἑρμηνείας ὑπόθεσιν. ἴδοι δ' ἄν τις ὅσον τὸ ἔργον, ἐπιχειρήσας συμπαρατείνειν τὸν λόγον τοῖς φάσμασιν, ὑφ' ὧν χωρίζεται μὲν τὰ φύσει συνόντα· συνάγεται δὲ τὰ φύσει κεχωρισμένα· καὶ δεῖ τῷ λόγῳ τὸν μὴ πεφαντασμένον φαντάσαι· ἀλλ' οὔτι γε φαῦλον τὸ ἔργον, ἐν τῇ ψυχῇ γενόμενον ἀλλόκοτον κίνημα, διαβιβάζειν ἐφ' ἕτερον· ὅταν δὲ τῇ φαντασίᾳ ἐξωθῆται μὲν τοῦ εἶναι τὰ ὄντα, ἀντεισάγηται δὲ εἰς τὸ εἶναι, τὰ μηδαμῇ μηδαμῶς μήτε ὄντα, μήτε φύσιν ἔχοντα εἶναι, τίς μηχανὴ τοῖς οἴκοθεν ἀνεννοήτοις παραστῆσαι φύσιν ἀκατονόμαστον· ἡ δὲ ταῦτ' οὔτε εἴδη πολλὰ καὶ ἅμα πάντα, οὔτε σὺν χρόνῳ φέρουσα δείκνυσι· καὶ μέν τοι ταῦτα ὡς ἔχοι τε καὶ ὀρέγοιτο ἐνύπνιον. οἰόμεθα γὰρ ἅπαν ὅ, τι ἂν βούληται· ἐν οἷς ἅπασι καὶ τὸ διαγενέσθαι μὴ λίαν ἀσχημονοῦντα, τελεωτάτης ἂν εἴη ῥητορικῆς· νεανιεύεται δὲ ἡμῶν καὶ κατ' αὐτῆς ἤδη τῆς γνώμης, ἐνδιδοῦσά τι πλέον τοῦ οἴεσθαι. οὐδὲ γὰρ οὐδὲ ἀπαθῶς δια-

A Et verò consultum quidem fuerit quæ vigilantibus, ac dormientibus visa contingunt perscribere, nisi ad inuenti huius nouitatem rusticè æq; inurbanè se ciuitas gerat. Alioqui libet nobis ad ea quæ diurna acta dicũtur additis nocturnis, vt quidem appellamus, actis, habere vtriusque vitæ monimenta; Vitam enim phantasiæ quandam oratio modo nostra definiebat nunc mediocri meliorem, nunc deteriorem pro sanitate spiritus, aut ægritudine. Sic igitur si in obseruationē illam quâ nouis in dies incrementis augescit ars, incumbamus seriò, nulla re nobis è memoria effluente, B fuerit hæc honesta alioqui & elegans oblectatio, semetipsum tam vigilātē, quàm dormientem historiæ commendare. Præterea qui procurandæ linguæ desiderio tenentur, nescio an aliud argumentum inuenire possint, quod multiplicem æquè eloquentiæ facultatis exercitationem recipiat. Nam si diurna acta, hoc est Ephemeridas, præclaras esse magistras Lemnius Sophista doceat, de qualibet re appositè, benèque dicendi, quòd ne minima quidem aspernentur, sed necessario se ad omnia tā grauia, quā leuia demittant; quo C modo ad dicendi exercitationem & argumentum nocturna quæq; acta non magno in pretio habeātur? Hoc autem, quàm spissum opus, ac laboriosum sit, facilè intelligat qui cum visionib. orationē adæquare contenderit, à quibus & quæ natura sunt cōiūcta separātur, & quæ natura separata, coniunguntur, efficiendúmque est, vt quę alicui visa obiecta nō fuerint, eadē illi beneficio orationis obiiciantur. Neque factu leue, aut contemnendū est, peregrinam in anima, & inusitatam motionem in alterum posse transfundere: Cùm autē per phantasiam, & quæ sunt, à natura sua depellūtur, & quæ nullomodo neque sunt, neque esse D possunt natura, in naturam introducūtur, quænam tandē vis, ac facultas naturā appellatione carentē iis qui nihil apud se simile cogitarint, repræsentare possit? Phantasia verò nō ea tanquam varias imagines, nec simul omnia, nec cum tempore exhibet. Refert autem ea, vtut sese habent, & ab insomnio ministrātur. videre enim nos putamus quicquid ei collibuerit. Quorū omniū in descriptione nō turpiter, sed perpetuò cum decore versari, absolutissimā demum vim oratoris requirit. Siquidē illa iuuenili quadam licentia in animos etiam nostros & affectus inuadit, plus aliquid opinione sola suggerēs; Neq; enim ergâ ea

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

quæ videmus affectu caremus, sed partim vehementer assentimur & adhærescimus, partim non minus auersamur, crebræque circa hæc incantationes, ac præstigiæ in dormientes erumpunt. Voluptas verò tum longè blandissima obrepit, adeò vt in vigiliam etiam amores odiáque hominum animis imprimantur. Quare si quis non mortuum & inanimum sonare quidpiam velit, sed cuius gratia orationis vis quæritur, præstare studeat, vt eosdem affectus, easdémque opiniones, in auditorem traiiciat, viuis profectò, & animatis verbis opus est. Iam enim aliquis vnâ & victoriam obtinet, & ambulat, & volat, & vniuersa recipit, phantasia: oratio verò qui recipiat? dormit alter per somnium, per somnium videt, surrexitque dormiens, vt putat, & somnium iacens adhuc excussit, & de viso insomnio, prout nouit, aliquid philosophatur, & hoc ipsũ somnium est: sed illud duplex: postea fidem non adhibet, creditque quod præsens est verum esse visum, & viua esse quæ duntaxat apparent. Deinceps ergo validum prælium oritur, & aduersus semetipsum aliquis certamen somniat, relinquere gestiens, atque excitari, & suiipsius experimentum capere, & fraudem deprehendere; Ac Aloidæ quidem, quòd contra deos Thessalicos mõtes, tanquam muros obiicerent, supplicio sunt affecti. Dormientem verò nulla lex Adrastiæ prohibet, quominus & Icaro felicius à terra sese subuehat, & Aquilas volatu trãscendat, quin ipsos quoque supremos orbes exuperet. Ergo aliquis eminus terram intuetur, & eam etiam quæ in Luna non videtur obseruat. Licet verò insuper & cum sideribus colloqui, & cum occultis in mundo diis versari. Atque hoc quod dictu difficile est tunc nullo negotio peragitur. Manifestè sese exhibent dij, nec vlla tamen rei huius inuidia est: Paulò post enim ad terram non venit, sed in ea iam est, nam nihil adeò somniorum proprium est, ac intermedium supprimere, & sine tempore quoduis efficere, inde cum ouibus colloquitur & balatum esse sermonem existimat, & loquentes audit, vsqueadeò noua, & ampla est argumentorum copia, si quis ipsi committere orationes suas audeat: ego enim & fabulas suspicor ex insomniis licentiam accepisse, quibus & pauo, & vulpes, & mare interdum loquuntur. Sed hæc exigua sunt, si cum somniorum libertate conferantur,

A κείμεθα περὶ τὰ θεάματα, ἀλλ' ἰσχυραὶ μὲν αἱ συγκαταθέσεις τε καὶ προσπάθειαι, ἀποστρεφόμεθα δὲ οὐχ ἥκιστα· καὶ αἱ συχναὶ περὶ ταῦτα μαγγανεῖαι καθεύδουσιν ἐπιτίθενται· ἥ τε ἡδονὴ τότε δὴ καὶ μάλιστα μειλιχώτατον, ὡς ἐναπομόργνυσθαι ταῖς ψυχαῖς μίση καὶ ἔρωτας εἰς τὴν ὕπαρ ζωήν. Εἰ δή τις βούλοιτο μὴ ἄψυχα φθέγγεσθαι, ἀλλ' ὅπου χάριν ἐσπουδάσθη ὁ λόγος ἐπιπλεῖ, ἐν ταὐτῷ πάθει, καὶ ταῖς αὐταῖς ὑπολήψεσι καθιστάναι τὸν ἀκροατήν, κινουμένων ἂν δέοιτο τῶν ῥημάτων. ἤδη δέ τις ἅμα καὶ νικᾷ, καὶ βαδίζει, καὶ ἵπταται, καὶ χωρεῖ πάντα ἡ φαντασία. πῶς δ' ἂν λέξις χωρήσειε; καὶ καθεύδει τις ὄναρ, καὶ ὄναρ ὁρᾷ, καὶ διανέστη καθεύδων ὡς οἴεται, καὶ τὸν ὕπνον ἀπεσείσατο κείμενος, καὶ φιλοσοφεῖ τι περὶ τοῦ φανέντος ὀνείρου καθὰ οἶδε, καὶ τοῦτο ὄνειρος, ἀλλ' ἐκεῖνο διπλοῦς· εἶτ' ἀπιστεῖ, καὶ οἴεται τὸ πρότερον ὕπαρ εἶναι, καὶ ζῶν τὰ φαινόμενα. ἐντεῦθεν ἀνὰ κράτος ἡ μάχη, καὶ ὀνειρώττει τις ἀγῶνα πρὸς αὐτόν, ἀπολιπεῖν τε καὶ διεγείρεσθαι, καὶ πεῖραν λαβεῖν ἑαυτοῦ, καὶ τὴν ἀπάτην φωρᾶσαι. οἱ μὲν οὖν Ἀλωάδαι κολάζονται τὰ Θετταλῶν ὄρη τοῖς θεοῖς ἐπιτειχίζοντες· καθεύδοντι δὲ οὐδεὶς Ἀδραστείας νόμος ἐμποδών, τὸ μὴ οὐκ ἀπᾶραι τῆς γῆς εὐτυχέστερον Ἰκάρου, καὶ ὑπερπτῆναι μὲν ἀετούς, ὑπεραίρω δὲ καὶ αὐτῶν γενέσθαι τῶν ἀνωτάτω σφαιρῶν· καὶ τὴν γῆν τις ἀποσκοπεῖται πόρρωθεν, καὶ οὐδὲ ὁρωμένην τῇ σελήνῃ σημαίνεται. ἔξεστι δὲ καὶ ἄστρασι διαλέγεσθαι, καὶ τοῖς ἀφανέσιν ἐν κόσμῳ συνεῖναι θεοῖς. τό γέ τοι χαλεπὸν λεγόμενον, τότε ῥᾷστον γίνεται· θεοὶ φαίνονται ἐναργῆς, οὐδὲ τούτων μέν τοι φθόνος οὐδεὶς. μετὰ γὰρ μικρὸν ἐπὶ γῆς οὐδὲ ἦλθεν, ἀλλ' ἔστιν. οὐδὲν γὰρ οὕτως ἐνυπνίων, ὡς τὸ κλέψαι τὸ ἐν μέσῳ, καὶ μὴ σὺν χρόνῳ ποιῆσαι· εἶτα προβατίοις τε διαλέγεται, καὶ τὴν βληχὴν ἡγῆται φωνήν, καὶ λεγόντων ξυνίησιν. οὕτω μὲν καινόν, οὕτω δὲ πολὺ τὸ πλάτος τῶν ὑποθέσεων, εἴ τις αὐταῖς ἐπαφιέναι τοὺς λόγους θαρσήσειεν. ἐγὼ γὰρ οἶμαι καὶ τοὺς μύθους ἐξουσίαν παρὰ τῶν ἐνυπνίων λαβεῖν, οἷς καὶ ταὼς καὶ ἀλώπηξ καὶ θάλαττα φθέγγονται. ὀλίγα ταῦτα πρὸς τὴν αὐτονομίαν τῶν ὕπνων· ἀλλὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀλλὰ καίτοι ἐλαχίστη μερὶς τῶν ἐνυπνίων ὄντες οἱ μῦθοι, ὅμως ὑπὸ τῶν σοφιστῶν ἠγαπήθησαν εἰς παρασκευὴν ἑρμηνείας· καίτοι γε οἷς ἀρχὴ τῆς τέχνης ὁ μῦθος, πρέπον ἂν γένοιτο τέλος ἐνύπνιον· καὶ πρόσεστι τὸ μὴ μάτην ἠσκηκέναι τὴν γλῶτταν, ὥσπερ ἐπὶ τῶν μύθων· ἀλλ' ἔτι καὶ γνώμη σοφώτερον. ἴτω δὴ πᾶς ὅτῳ σχολὴ καὶ εὐμάρεια ζωῆς, εἰς ἀναγραφὴν τῶν τε ὕπαρ καὶ ὄναρ αὐτῷ συμπιπτόντων· δαπανάτω τι τοῦ χρόνου, ἀφ' οὗ κράτιστον μὲν τὸ περιγινόμενον ἀπὸ τῆς διανοίας τοῦ γράμματος, ἀγεῖραι τὴν μαντικὴν ἣν ὑμνήκαμεν, ἧς οὐδὲν ἂν γένοιτο πρᾶγμα πολυωφελέστερον. οὐ μὴν οὐδὲ ἡ λέξις ἀπόβλητον, τὸ τῶν πραγμάτων ἐφόλκιον. φιλοσόφῳ μὲν γὰρ γένοιτο παίγνιον, χαλῶντι τοῦ τόνου, καθάπερ οἱ Σκύθαι τὰ τόξα· ῥήτορι δὲ αὐτὴν ἐπιγράψωμεν κολοφῶνα τῶν ἐπιδείξεων. ὡς οὐκ ἐν καιρῷ μοι δοκοῦσιν ἐμμελετᾶν τὴν δεινότητα Μιλτιάδῃ, καὶ Κίμωνι, καί τισι καὶ ἀνωνύμοις, καὶ πλουσίῳ καὶ πένητι τοῖς ἐκ πολιτείας ἐχθροῖς, ὑπὲρ ὧν ἐγὼ καὶ πρεσβύτας ἀνθρώπους εἶδον ἐν θεάτρῳ ζυγομαχοῦντας· καί τοι γε ἤστην ἐπὶ φιλοσοφίᾳ μάλα σεμνώ, καὶ εἱλκέτην ἑκάτερος αὐτοῖν ὡς εἰκάσαι, τάλαντα πώγωνος· ἀλλ' οὐδὲν αὐτοὺς ἐκώλυσεν ἡ σεμνότης λοιδορεῖσθαί τε καὶ ἀγανακτεῖν, καὶ τὼ χεῖρε παρεκτείνειν ἀκόσμως, ἐν τῷ διαπίπτεσθαι λόγους ἀποτάδην ὑπὲρ ἀνδρῶν, ὡς ἐγὼ τότε ᾤμην ἐπιτηδείων, ὡς δὲ ἔφθασαν οἱ μεταδιδάξαντες οὔτε ὄντων, οὔτε γενομένων ποτέ, μὴ ὅτι ἐπιτηδείων, ἀλλ' οὐδὲ τὴν ἀρχὴν ἐν τῇ φύσει. ποῦ γὰρ ἂν εἴη πολιτεία τοιαύτη γέρας ἀριστεῖ διδοῦσα κτεῖναι πολίτην ἀντιπολιτευόμενον, καί τοι γε ὅστις ἐνενηκοντούτης ὢν πλάσμα ἀγωνίζεται, εἰς ποῖον καιρὸν ἀνατίθεται τὴν τῶν λόγων ἀλήθειαν. ὅλως δὲ οὐδὲ ἐπαΐειν μοι δοκοῦσι τοῦ τῆς μελέτης ὀνόματος, ὅτι φησὶ δι' ἄλλο σπουδάζεσθαι· οἱ δὲ τὴν παρασκευὴν τέλος ἥγηνται, καὶ τὴν ὁδὸν ὡς ἐφ' ὃ δεῖ βαδίζειν ἠγάπησαν. τὴν γὰρ μελέτην ἀγῶνα πεποίηνται. ὥσπερ εἴ τις ἐν παλαίστρᾳ χειρονομήσας, ἀξιώσῃ παγκράτιον

A & tamen quantumuis exigua somniorum pars fabulæ sint, Sophistæ eas ad eloquentiæ copiam, & apparatum amplexi sunt: Quanquam iis quibus artis initium à fabula deductum est, cõsentaneus finis somnium esse potest, idque insuper accedit, quòd nõ frustrà, vt in fabulis, lingua exerceatur, sed & animo sapientiores efficiamur: Quæ cùm ita sint cõparet se, quisquis otio & vitæ cõmoditatibus abundat, ad ea describẽda, quæ vigilantibus, ac dormientibus cõtingunt, partem in eo tempore aliquã atq; otij collocet, vnde eximius quidem ex scripti sentẽtia fructus colligitur, B vt diuinãdi vis, quam tantoperè prædicauimus, acquiratur; qua re nulla vtilior excogitari potest. sed neq; reijcienda dictio est, quoddã velut rerum cõsectarium: hic philosopho ludus fuerit aliquid de cõtentione remittenti; quemadmodum Scythæ arcus suos relaxare solent; Et oratoribus hunc declamationum ad põpam & ostentationem factarum, velut Colophonem præscribemus. Qui nõ satis opportunè videntur dicendi facultem in Miltiadis aut Cimonis laudib. exercere, aut plerisq; aliis nomine carẽtibus, aut in diuite, ac paupere à se inuicẽ in Reipublicæ administra- C tione dissidentibus. pro quibus senes aliquãdo in theatro rixantes videre memini: & erãt illi tamẽ ex philosophis grauitatis, ac maiestatis plenissimi; ac vterq; quãtum conijci poterat barbæ põdo aliquot trahebat. Sed nihil illis tanta grauitas obstitit, quin sibi mutuò cõuiciarẽtur, & fremerẽt, & indecorè manus agitarent, cùm prolixè de iis viris sermones instituerẽt, quos tum quidẽ necessitudine cum iis aliqua coniũctos arbitrabar; vt autẽ ab aliis postmodũ edoctus sum, ne in viuis quidem fuerãt, ne dum erãt necessitudine quidẽ coniũcti, ac neq; vllo modo in rerũ natura extiterant. Vbinã.n. gẽtium extaret Resp. quæ ei, qui D se optimè gessisset, præmiũ illud decerneret vt ciuem cõtrarias in Reip. administratione partes sequentẽ, interficiat? Quãquã qui nonagesimũ annũ agens in ficto argumẽto contẽdit quodnã in tẽpus disciplinarum veritatẽ differt: Omninò verò declamationis, atq; exercitationis nomẽ intellexisse mihi nõ videtur, quòd sese alterius gratia tractari profiteatur: illi verò præparationẽ suã pro fine habẽt, viámq;, tãquam illud quo tẽdere oporteat, amplexantur. Certamen enim iustum ex ipsa exercitatione faciunt. Quemadmodũ si quis consertis in palæstra manibus, Pancratij nomine

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

in Olympicis à præcone proclamari vellet: tanta in hominibus cùm mentis siccitas, tum verborum inundans copia reperitur; vt nonnulli sint, qui tametsi nihil habeant quod dicant, dicere tamen possint, cùm fructum ex seipsis capere aliquem eos oporteret, vti Alcæus, & Archilochus fecêre, qui vterque facundiam suam in propriæ vitæ descriptionem contulit. Vnde & eorum memoria, quæ illis iucunda, aut molesta contigerunt, insequentis temporis est successione propagata. Neque enim vana, & inania consectantes lucubrationes ediderunt, velut recens illa sapientum natio in confictis argumentis facere solet, neque opes suas in alterius præconium insumpserunt, vti Homerus, & Stesichorus, qui Heroum quidem genus Poëmatibus suis gloriosius atq; illustrius reddiderunt, nósque ad studium virtutis inde vtilitatem aliquam cepimus: ipsi autem quod ad se pertinet neglecti iacuerunt, de quibus nihil aliud dicere possumus, nisi quod elegantes poëtæ extiterunt. Quare quisquis famæ apud homines & existimationis in posteros proferendæ cupiditate flagrat, consciusque sibi ipsi est, posse immortali memoria digna res tabulis inscribere, audacter nouam illam, & inusitatam nostram scribendi rationem ingrediatur, séque temporis memoriæ committat. Præclarus is custos est, quoties fauente Deo aliquid eius fidei commendatur.

A ἐν Ὀλυμπίᾳ κηρύττεσθαι. τοσοῦτος ἄρα νοῦ μὲν αὐχμός, ἐπομβρία δὲ λέξεων τοῖς ἀνθρώποις κατέχει, ὡς εἶναί τινας οἳ δύνανται λέγειν οὐκ ἔχοντες ὅ,τι δεῖ λέγειν, δέον ἀπολαύειν ἑαυτῶν, ὥσπερ Ἀλκαῖός τε καὶ Ἀρχίλοχος, οἳ δεδαπανήκασι τὴν εὐστομίαν εἰς τὸν οἰκεῖον βίον ἑκάτερος. καὶ τοίνυν ἡ διαδοχὴ τοῦ χρόνου τηρεῖ τὴν μνήμην, ὧν τε ἤλγησαν, ὧν τε ἥσθησαν. οὔτε γὰρ κενεμβατοῦντας τοὺς λόγους ἐξηνέγκαν, ὥσπερ τὸ νέον τουτὶ τὸ σοφὸν γένος ἐπὶ συμπεπλασμέναις ταῖς ὑποθέσεσιν. οὔτε ἑτέροις κατεχαρίσαντο τὸ σφέτερον ἀγαθόν, ὥσπερ Ὅμηρος καὶ Στησίχορος,
B τὸ μὲν Ἡρωϊκὸν φῦλον διὰ τῆς ποιήσεως αὐτῶν ἐπικυδέστερον ἔθεσαν· καὶ ἡμεῖς ὠνάμεθα τοῦ ζήλου τῆς ἀρετῆς· αὐτοὶ δὲ τό γε ἐφ' ἑαυτοῖς ἠμελήθησαν· περὶ ὧν οὐδὲν ἔχομεν εἰπεῖν, ἢ ὅτι ποιηταὶ δεξιοί. ὅστις οὖν ἐρᾷ τοῦ παρ' ἀνθρώποις, ὡς ἔπειτα λόγου, καὶ συνοῖδεν ἑαυτῷ δυναμένῳ τίκτειν ἐν δέλτοις ἀθάνατα, μετίτω τὴν παρανομουμένην ὑφ' ἡμῶν συγγραφὴν θαρρῶν· ἑαυτὸν παραδιδότω τῷ χρόνῳ. ἀγαθὸς ἐστὶ φύλαξ, ὅταν κατὰ Θεὸν τι πιστευθῇ.

ΣΥΝΕΣΙΟΥ ΕΠΙΣΤΟΛΑΙ.

SYNESII EPISTOLAE.

ΝΙΚΑΝΔΡΩι.

Παιδας ἐγὼ λόγους ἐγεννησάμην, τοὺς μὲν ἀπὸ τῆς σεμνοτάτης φιλοσοφίας, καὶ τῆς συνναόυ ταύτῃ ποιητικῆς· τοὺς δὲ ἀπὸ τῆς πανδήμου ῥητορικῆς· ἀλλ' ἐπιγνοίη τις ἂν ὅτι πατρός εἰσιν ἑνὸς ἅπαντες, νῦν μὲν εἰς σπουδὴν, νῦν δὲ εἰς ἡδονὴν ἀποκλίναντες. ὁ δὴ παρὼν οὗτος λόγος ἧς τινος μὲν ἐστὶ μερίδος, ἀπὸ τῆς ὑποθέσεως αὐτοῦ κατερεῖ· παρ' ἐμοῦ δὲ οὕτως ἠγαπήθη διαφερόντως, ὡς ἥδιστ' ἂν αὐτὸν εἰσποιῆσαι φιλοσοφίᾳ, καὶ τοῖς γνησίοις ἐγκρῖναι. ἀλλὰ τοῦτο μὲν οὔ φασιν ἐπιτρέψειν, οὐδὲ οἱ νόμοι τῆς πολιτείας· δεινοὶ γάρ εἰσιν εὐγενείας προστάται. ἔχει δὲ κέρδος, ὅ,τι ἂν αὐτῷ λάθρα χαρίσωμαι· καὶ πολλὰ τῆς σπουδαίας μερίδος εἰς αὐτὸν εἰσῴκισα. ἂν μὲν οὖν καί σοι δοκῇ, κοίνωσαι τὸν λόγον τοῖς Ἕλλησιν· ἀποψηφισθεὶς δὲ, ἐπανίτω παρὰ τὸν πέμψαντα. τὰς πιθήκους γάρ φασιν, ἐπειδὰν τέκωσιν, ὥσπερ ἀγάλμασιν ἐνατενίζειν τοῖς βρέφεσιν, ἀγαμένας τοῦ κάλλους. οὕτως ἐστὶν ἡ φύσις φιλότεκνον· τὰ δὲ ἀλλήλων ὁρῶσιν, ἅπερ ἐστὶ, πιθήκων παιδία. ἑτέροις οὖν ἐπιτρεπτέον ἐξετάζειν τὰ ἔκγονα.

NICANDRO. I.

A Filios ego libros sustuli, alios quidem ex augustiori philosophia, atque eius contubernali Poëtica; alios verò ex publicè prostituta Rhetorica: Sed hoc facilè quispiam norit, vno omnes ex patre esse editos, nunc ad seria, nunc ad voluptatem declinante: Atque hoc sanè præsens opus cuius sit partis ex ipso argumento declarabit: A me verò vsqueadeò adamatum est vt libentissimè ipsum in philosophiam asciturus, atque inter legitimos adoptaturus fuerim. Sed B hoc concessuras se negant, vel Reipublicæ leges. Sunt enim nobilitatis propugnatrices acerrimæ: id verò lucro deputo quicquid clàm illi indulsero: Ac plurimum seriæ in illud partis contuli. Itaque si tibi ita videbitur Græcis librum hunc communicato; sin damnatus fuerit, ad eum qui misit redeat. Simias enim ferunt, postquàm pepererint, in fœtibus suis tanquam simulachris obtutus defigere, pulchritudinem demirantes. Adeò natura eius quod pepererit amans est: Aliorum porrò inuicem vident id quod sunt, simiarum esse partus. Quamobrem aliis permittēda in sobolem inquisitio est.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

fauor enim corrumpendis suffragiis efficacissimus est. Ob id Lysippus Apellem ad tabellas admittebat, & Apelles Lysippum.

A αἱ γὰρ εὔνοιαι, δειναὶ δεκάσαι τὰς ψήφους· διὰ τοῦτο Λύσιππος Ἀπελλῆν εἰς τὰς γραφὰς εἰσῆγε, καὶ Λύσιππον Ἀπελλῆς.

Ioanni, 2.

Ἰωάννῃ.

Timoris vacuitas maxima, est legum timor. Te verò puduit videri eas semper metuere. Quare inimicos reformida, ac cum iis etiam iudices, si non furentur: sin furentur quidem, tu verò non ampliùs dederis, nihilominus cauendum. Pro legibus enim irascuntur, cùm largitores insuper nacti fuerint.

Ἀφοβία μεγίστη, τὸ φοβεῖσθαι τοὺς νόμους· σὺ δὲ αὐτοὺς ᾐσχύνθης ἀεὶ φαίνεσθαι φοβούμενος. τοιγαροῦν δέδιθι τοὺς ἐχθρούς, καὶ μετὰ τούτων τοὺς δικαστάς, ἂν μὴ κλέπτωσι· κἂν κλέ- B πτωσι μέν, μὴ σὺ δὲ ᾖς ὁ τὰ πλείω διδούς, οὐδὲν ἧττον εὐλαβητέον. ὀργίζονται γὰρ "ὑπὲρ τῶν νόμων, ὅταν καὶ "μισθοὺς προσλάβωσιν.

γ. μάχον
γ. μισθοδοτῶν.

Euoptio fratri. 3.

Τῷ ἀδελφῷ Εὐοπτίῳ.

Tertia die quàm obierat Æschines, consobrina cum primùm ad sepulchrum venit. Neque enim, opinor, sponsis fas est ad funus progredi: Sed & in purpura tunc erat, & pellucidum ei reticulum, aurúmque ac lapillos suspenderat, atque induerat, ne sponso mali esset ominis. Itaque bicipiti in cathedra sedens, atque argenteis, vt aiunt, fulcris, multis de intempestiua hac calamitate conquerebatur, quasi aut antè, aut secundùm nuptias mori illum oportuerit. Nobis insuper pro eo quod essemus in eo infortunio, succensebat. Vix igitur septima die expectata, qua die funebre conuiuium celebraueramus, se, & nugacem anum nutricem mularibus bigis imponens, cum insignibus omnibus ornamentis rectâ Teucheira solemni pompa profecta est. Quippe septimo ab hinc die tænia redimiri, ac turrita, more Cybeles, circumire debet. Nobis quidem nulla iis rebus illata iniuria est, nisi quòd palàm omnibus eo exemplo fit, admodum stupidos nobis esse consanguineos. Cui autem iniuria fit, Harmonius est, ianitoris pater, vt diceret Sappho: cætera quidem frugi homo ac moderatus: sed

Τρίτη μὲν ἦν Αἰσχίνῃ κειμένῳ· ἡ δὲ ἀδελφιδῆ τότε πρῶτον ἧκεν ἐπὶ τὸν τάφον. οὐ γὰρ οἶμαι νομίζεται νυμφευτρίαις βαδίζειν ἐπ' "ἐκφο- C ράν· ἀλλ' ἐν φοινικίδι καὶ τότε, καὶ διαφανὴς ὁ κεκρύφαλος, καὶ χρυσία καὶ λίθοις ἐξήρτητό τε καὶ περιέκειτο, ἵνα μὴ τῷ νυμφίῳ σύμβολος ἀπαίσιος γένηται. καθεζομένη "γοῦν ἐπ' ἀμφικεφάλου καθέδρας, φασίν, ἀργυρόποδος, πολλὰ κατεμέμφετο τὴν ἀκαιρίαν τῆς συμφορᾶς· ὡς ἢ πρότερον ἐχρῆν, ἢ μετὰ τὸν γάμον ἀποθανεῖν. καὶ πρὸς ἡμᾶς, ἐφ' οἷς ἐδυσχεραίνομεν "ἐμήνιε. μόλις δὴ οὖν περιμείνασα τὴν ἑβδόμην, καθ' ἣν ἡμεῖς εἱστιάκειμεν τὸ δεῖπνον τὸ ἐπιτάφιον, αὐτήν τε καὶ τὴν φλήναφον γραῦν τὴν τιτθίδα, ἐπὶ τὸ ζεῦγος ἀ- D ναβιβασαμένη τὸ ὀρεικόν, πληθούσης ἀγορᾶς, ἅπασι τοῖς παρασήμοις ἐπόμπευεν εὐθὺ Ταυχείρων ἐλαύνουσα. μέλλει γὰρ καὶ εἰς τὴν ἐπιοῦσαν ἑβδόμην ταινιώσεσθαί τε, καὶ πυργοφόρος καθάπερ ἡ Κυβέλη περιελεύσεσθαι. τούτοις ἡμεῖς μὲν οὐδὲν ἀδικούμεθα, πλὴν εἰ καταφανεῖς γεγόναμεν, λίαν ἀναισθήτους ἔχοντες συγγενεῖς· ὁ δὲ ἀδικούμενος, Ἁρμόνιός ἐστιν ὁ τοῦ θυρωροῦ πατήρ, ὡς ἂν εἴποι Σαπφώ, τὰ μὲν ἄλλα σώφρων, καὶ μέτριος ἐν τῷ καθ' ἑαυτὸν βίῳ γενόμενος· ἀλλ'

γ. ἐκφορ
γ. οὖν.
γ. ἐμήνι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὑπὲρ εὐγενείας ἀμφισβητῶν τῷ Κέκροπι διετέλεσε. τούτου τὴν … Κέκροπος τὴν θυγατριδῆν ὁ θεῖος Ἡρ… θυρωρὸς, εἰς Σωσίας τε καὶ Τιβίους ἀπέδο… πλὴν εἰ μή τι λέγουσιν, ὅσοι καὶ τὸν νυμφίον ἡ…ν, μητρόθεν ἀποσεμνύνουσι, γενεαλογοῦντες αὐτὸν ἀπὸ τῆς ἐν φήμῃ Λαΐδος. ἡ γὰρ Λαῒς, ἔφη τις ἤδη λογογράφος, ἀνδράποδον ἦν Ὑκκαρικὸν, ἐκ Σικελίας ἐωνημένον· ὅθεν ἡ καλλίπαις ἡ τεκοῦσα τοῦ πρεσβεύοντος· καὶ αὐτὴ πάλαι μὲν ἐπαλλακεύετο ναυκλήρῳ δεσπότῃ· ἔπειτα μέντοι ῥήτορι, καὶ τούτῳ δεσπότῃ· τρίτῳ μετ' ἐκείνους ὁμοδούλῳ καὶ λάθρα τῇ πόλει· ἔπειτα B λαμπρῶς τῇ πόλει, καὶ προέστη τῆς τέχνης· ἧς ἐπειδὴ τὴν ἐργασίαν ὑπὸ χαλαρᾶς ῥυτίδος κατέλυσε, τὰς ἐν ἡλικίᾳ παιδοτριβεῖ, καὶ τοῖς ξένοις ἀντικαθίστησιν. ὁ υἱὸς ὁ ῥήτωρ, ἀφεῖσθαί φησι τῆς ἀνάγκης τοῦ νόμου, μητέρα τρέφειν ἑταίραν. ἄπαγε τοῦ νόμου. τοῖς γὰρ οὕτω γεγονόσιν, ἀποδέδεικται μὲν ἡ μήτηρ, ὁ δὲ λοιπὸς τῶν γονέων, ἀμφισβητήσιμος. ὅσον οὖν ἀμφοτέροις παρὰ τῶν εὖ γεγονότων ὀφείλεται, τοῦτο πᾶν ἥκειν ἔδει παρὰ τῶν ἀπατόρων εἰς τὰς μητέρας.

…εικόν.

A qui de nobilitate perpetuò cum Cecrope contenderit. Huius plus quàm Cecropis neptem, patruus Herodes & Ianitor in Sosias & Tibios distraxit. Nisi fortè aliquid dicunt qui sponsum nobis, materno ex genere celebrant, huius originem ad famosam illam Laïdem referentes. Laïs enim (vt est à quodam olim authore proditum) Hyccaricum erat mancipium è Sicilia emptum: è qua felix illa prole sua mulier orta est nobilis viri mater. Ipsa autem olim quidem naucleri domini pellex fuerat, tum Oratoris, & huius etiam B Domini; tertij secundùm hos conserui: & clàm quidem in vrbe prostabat, demum palàm in vrbe; artique præfuit, quàm simul prælaxæ cutis rugis exercere desiit ætate maturas edocet, suíque loco peregrinis substituit. Nam eius filius Orator necessitate ait se legis exsolui, quominus meretricem alat matrem. Apage hanc legem: Nam qui ita in lucem editi sunt, his pro certo comperta mater est: Alter ê parentibus ambiguus. Itaque quantum vtrisque ab bene natis debetur, hoc ab in- C certo patre natis in matres conferri oporteret.

Τῷ αὐτῷ.

Λύσαντες ἐκ Βενδιδείου περὶ δείλην ἑῴαν, μόλις ὑπὲρ μεσοῦσαν ἡμέραν, τὸν Φάριον Μύρμηκα παρηλλάξαμεν, δίς που καὶ τρὶς ἐνσχεθείσης τῆς νεὼς τῷ τοῦ λιμένος ἐδάφει. εὐθὺς μὲν οὖν καὶ τοῦτο κακὸς οἰωνὸς ἐδόκει, καὶ σοφὸν ἦν ἀποβῆναι νεὼς, ἐκ πρώτης ἀφετηρίας οὐκ εὐτυχοῦς· ἀλλὰ φυγεῖν τὸ παρ' ὑμῶν ἔγκλημα δειλίας ᾐσχύνθημεν. καὶ διὰ D τοῦτο

Οὔπω ἔτ' ἔσκεν ὑποτρέσαι … ἀναδῦναι.

Ὥστε κἄν τι συμβῇ, δι' ὑμᾶς ἀπολούμεθα. καίτοι τί δεινὸν ἦν ὑμᾶς τε γελᾶν, καὶ ἡμᾶς ἔξω κινδύνων ἑστάναι. ἀλλὰ τῷ Ἐπιμηθεῖ, φασὶ,

Τὸ μὲν μέλειν οὐκ ἦν, τὸ μεταμέλειν δ' ἐνῆν·

Ὥσπερ ἡμῖν. τότε γὰρ ἐξὸν σώζεσθαι, νῦν πρὸς ἐρήμοις ἀκταῖς συναυλίαν ὀλοφυρόμεθα, καὶ πρὸς Ἀλεξάνδρειαν ὁρῶντες, ὡς οἷόν τε,

…ωνεός.

…ῷ εἴ π…
…αίη.

Eidem. 4.

Soluentes è Bendidio ante matutinum crepusculum ægrè supra medium diem Pharium Myrmecem fleximus, cùm bis vel ter circiter nauis ad portus solum esset illisa. Subinde igitur vel hoc sinistrum omen visum est: consultúmque fuisset naue exscendere sub primis veluti carceribus inauspicatis: sed puduit nos timiditatis à vobis argui, ac D propptereà,

Non iam fugere aut trepidare licebat.

Adeóque siquid mali contigerit, vestri causa peribimus. Quanquam quid demum graue erat vos quidem ridere, nos extra omnia pericula versari? sed Epimetheo, vt aiunt,

Curare deerat, pœnitere haud defuit,

quemadmodum nobis. Nam cùm seruari tum liceret, nunc desertis in littoribus concentu quodam plangimus, Alexandriámque quoad fieri potest intúentes,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

& matrem Cyrenem, quarum hanc quidem cùm haberemus reliquimus, illam inuenire non possumus, iis perfuncti, & experti, quæ ne per somnium quidem sperauimus. Audi enim, ne tibi omninò gaudere vacet : ac primùm quemadmodum sese nobis nauticum supplementum habuerit. Gubernator quidem mortem ex desperatione optabat ære alieno obstrictus. Cúmque nautæ duodecim omnes essent, (tertius enim & decimus gubernator erat) suprà dimidiam quidem partem cum ipso gubernatore Iudæi omnes erant infidum genus ac piè etiam ab se fieri persuasum, si quam multis Græcis hominibus mortis causam attulerint. Cæteri gregarij erant, Agricolæ, qui anno superiori nondum remum attigerant. vniuersè verò hi & illi aliqua omninò corporis parte mutilati. Quamobrem quandiu nihil erat periculi, iocari inter se, séque inuicem appellare non nominibus suis; sed ex infortuniis, claudus, herniosus, scæuola, Strabus: singuli vnum aliquod insigne habebant, nobisque idipsum non mediocri erat oblectamento. In ipsa porrò necessitate nullus iam risui locus erat, sed ob hæc ipsa ingemiscimus, qui vectores sumus suprà L. quorum quarta fermè pars fœminæ sunt, plæræque iuuenes & formosæ : verùm non est quod inuideas. Nam cortina appensa nos secernebat, eadémque munitissima, non ita pridem conscisci veli frustum, temperantibus hominibus par Semiramidis muro. Ac nescio an non vel Priapus ipse temperaturus fuerit, si cum Amaranto nauigaret, cùm nullo vnquam nos vacare tempore siuerit ab extremi discriminis metu. Qui imprimis posteaquàm Neptuni templum quod apud nos est, sumus prætergressi, totis velis nauigans rectà Taphosiridem petere constituerat, Scyllámque periclitabatur, quàm abominari in libris solemus. Quod vbi animaduertimus & vociferati sumus, non ante quam proximè in discrimen ipsum venimus, ægrè vi compulsus scopulis conflictari destitit : inde auerso nauigio quasi resipiscens in altum immitti, aliquandiu quidem prout potera[illegible] cum fluctibus colluctans. Mox autem [illegible] secundat vehemens : quo repentè [illegible] aspectu ablati sumus, statimque [illegible] actuarias binis

A καὶ πρὸς τὴν μητέρα Κυρήνην· ὧν τὴν μὲν ἔχοντες ἀπελίπομεν, τὴν δὲ εὑρεῖν οὐ δυνάμεθα, ἰδόντες τε καὶ παθόντες, ἃ μηδὲ ὄναρ ἠλπίσαμεν. ἄκουε γὰρ, ἵνα μηδὲ σὺ πάνυ χαίρειν σχολάζῃς· καὶ πρῶτον ὅπως ἡμῖν εἶχε τὰ τοῦ πληρώματος· ὁ μὲν ναύκληρος ἐθανάτα κατὰ χρέως ὤν. ναυτῶν δὲ ὄντων δυοκαίδεκα τῶν πάντων· τρισκαιδέκατος γὰρ ὁ κυβερνήτης ἦν· ὑπὲρ ἥμισυ μὲν καὶ ὁ κυβερνήτης, ἦσαν Ἰουδαῖοι, γένος ἔκσπονδον καὶ εὐσεβεῖν ἀναπεπεισμένον, ἢν ὅτι πλείστους ἄνδρας Ἕλληνας ἀποθανεῖν αἴτιοι γένωνται. τὸ δὲ λοιπὸν, B ἀγελαῖοι, γεωργοὶ, πέρυσιν οὔπω κώπης ἡμμένοι. κοινῇ δὲ οὗτοί τε κἀκεῖνοι, πεπηρωμένοι πάντως ἕν γέ τι "μέρος τοῦ σώματος. τέως μὲν οὖν ὡς οὐδὲν δεινὸν ἦν ἡμῖν, ἐκωμῳδοῦντο, καὶ ἐκάλουν ἀλλήλους, οὐκ ἀπὸ τῶν ὀνομάτων, ἀλλ' ἀπὸ τῶν ἀτυχημάτων, ὁ χωλὸς, ὁ κηλήτης, ὁ ἀριστερόχειρ, ὁ παραβλώψ. ἕκαστος ἕν γέ τι εἶχε τὸ ἐπίσημον, καὶ ἡμῖν τὸ "τοιοῦτον οὐ μετρίαν παρεῖχε τὴν διατριβήν· ἐν τῇ χρείᾳ δὲ οὐκ ἔτι γέλως ἦν, ἀλλ' ἐπὶ τούτοις αὐτοῖς ἀπῳμώζομεν, ὄντες ἐπι- C βάται πλεῖν, ἢ πεντήκοντα, τριτημόριόν που μάλιστα γυναῖκες· αἱ πλείους νέαι, καὶ ἀγαθαὶ τὰς ὄψεις. ἀλλὰ μὴ φθόνει. παραπέτασμα γὰρ ἡμᾶς ἀπετείχιζε, καὶ τοῦτο ἐρρωμενέστατον, οὐ πάλαι διερρωγότος ἱστίου τεμμάχιον, σωφρονοῦσιν ἀνθρώποις τὸ τεῖχος τὸ Σεμιράμιδος. ἴσως δὲ κἂν ὁ Πρίαπος ἐσωφρόνησεν, Ἀμαράντῳ συμπλέων. ὡς οὐκ ἔστιν ὁπότε σχολάζειν ἡμᾶς εἴασεν, ἀπὸ τοῦ δεδιέναι τὸν ἔσχατον κίνδυνον· ὅστις πρῶτον μὲν ἐπεὶ τὸν παρ' ὑμῖν τοῦ Ποσειδῶνος νεὼν κατεκάμψαμεν, ἄρας ὅλοις ἱστίοις ἠξίου πλεῖν εὐθὺ D Ταφοσίριδος, καὶ ἀπεπειρᾶτο τῆς "σκύλλης, ἣν ἐν τοῖς γραμματίοις ἀποξενιαζόμεθα. συννενοηκότων δὲ ἡμῶν καὶ "ἀνακεκραγότων, οὐ πρὶν ἢ ἐν χρῷ γενέσθαι τοῦ κινδύνου, μόλις ἐκβιασθεὶς, ἀπέστη τοῦ διαναυμαχῆσαι πρὸς τὰς σπιλάδας. ἐντεῦθεν ἀποστρέψας τὴν ναῦν ὥσπερ ἐκ μετανοίας ἐπαφίησι τῷ πελάγει, τέως μὲν ὡς ἐδύνατο καὶ πρὸς κῦμα παραβαλλόμενος. ἔπειτα δὲ καὶ νότος συνεπιλαμβάνει λαμπρὸς, ὑφ' οὗ ταχὺ μὲν τὴν γῆν ἀπεκρύπτομεν· ταχὺ δὲ μετ'

γρ. μέλος τοῦ.

γρ. τοιοῦτο

γρ. κοίλ

γρ. ἀνα-γότων.

τῶν ὁλκάδων ἧμεν τῶν διαρμενίων, αἷς οὐδὲν ἔδει Λιβύης τῆς καθ' ἡμᾶς, ἀλλὰ πλοῦν ἕτερον ἔπλεον. σχετλιαζόντων δὲ ἡμῶν καὶ ἐν δεινῷ ποιουμένων τὸ ἀπηρτῆσθαι τοσοῦτον τῆς γῆς, ὁ Ἰαπετὸς Ἀμάραντος, ἐπὶ τῶν ἰκρίων ἑστὼς, ἐτραγῴδει τὰς παλαμναιοτάτας ἀράς. οὐ γὰρ δὴ "πτησόμεθα ἔφη· ὑμῖν δὲ πῶς ἄν τις καὶ χρήσαιτο, οἳ καὶ τὴν γῆν, καὶ τὴν θάλατταν ὑποπτεύετε. οὐκ, ἤν γέ τις αὐταῖς" χρῷτο καλῶς, ὦ λῷστε Ἀμάραντε, πρὸς αὐτὸν ἔφην. ἡμῖν δὲ οὐδὲ Ταφοσίριδος ἔδει· ζωῆς γὰρ ἔδει· καὶ νῦν τοῦ πελάγους τί δεῖ. ἀλλὰ πλέωμεν, ἔφην, εὐθὺ Πενταπόλεως, ἀπέχοντες τῆς γῆς, ὅσον μέτριον, ἵν' εἴ τι καὶ χαλεπὸν· οἷα δὴ τὰ θαλάττης, ἄδηλον δὲ δήπου, καὶ ἔστι καὶ παρ' ὑμῖν λέγεται· λιμήν τις ἡμᾶς ἐκ τοῦ σχεδὸν ὑποδέξοιτο· οὐκοῦν ἔπειθον λέγων· ἀλλ' ἐξεκεκώφει τὸ κάθαρμα, ἕως ἄνεμος ἀπαρκτίας ἐπεβίασεν πολὺς, κῦμα ἐλαύνων ὑψηλὸν καὶ τραχύ. οὗτος ἄφνω προσπεσὼν, τὸ ἱστίον ἔμπαλιν ὤθησε, καὶ τὰ κυρτὰ κοῖλα πεποίηκεν· τὴν δὲ ναῦν ἐγγὺς ἦλθεν ἐπὶ πρύμναν ἀνατετράφθαι. μόλις δ' οὖν αὐτὴν κατεστήσαμεν· καὶ ὁ βαρύστονος Ἀμάραντος, τοιοῦτον, ἔφη, τὸ τέχνῃ ναυτίλλεσθαι. προσδέχεσθαι γὰρ αὐτὸς πάλαι τὸν ἐκ πελάγους ἄνεμον, καὶ διὰ τοῦτο μετέωρος πλεῖν. καὶ ἱέναι γὰρ νῦν ἐγκάρσιος, ἐνδιδόντος τοῦ διαστήματος προστιθέναι τῷ μήκει. τοῦτον δὲ εἶναι τὸν πλοῦν τὸν ἡμέτερον, οὐκ ἄν, εἴ γε παρὰ τὰς ἀκτὰς ἐπλέομεν. [illegible] γὰρ ἂν τῇ γῇ. καὶ ἡμεῖς ἀπεδεχόμεθα λέγοντος, ἕως ἡμέρα τε ἦν, καὶ τὰ δεινὰ οὔπω παρῆν. ἤρξατο γὰρ δὴ μετὰ τῆς νυκτὸς, ἀεὶ προϊόντος ἐπὶ μεῖζον τοῦ κλύδωνος. ἡμέρα μὲν οὖν ἦν, ἣν τινα ἄγουσιν οἱ Ἰουδαῖοι παρασκευήν. τὴν δὲ νύκτα τῇ μετ' αὐτὴν ἡμέρᾳ λογίζονται, καθ' ἣν οὐδενὶ θέμις ἐστὶν ἐνεργὸν ἔχειν τὴν χεῖρα, ἀλλὰ τιμῶντες διαφερόντως αὐτὴν, ἄγουσιν ἀπραξίαν. μεθῆκεν οὖν ἐκ τῶν χειρῶν ὁ κυβερνήτης τὸ πηδάλιον, ἐπειδὴ τὸν ἥλιον εἴκασεν ἀπολελοιπέναι τὴν γῆν· καὶ καταβαλὼν ἑαυτὸν, πατεῖν παρεῖχε τῷ θέλοντι ναυτίλων. ἡμεῖς δὲ τὴν μὲν ὕστερον αἰτίαν οὐκ εὐθὺς ἐπὶ νοῦν ἐβαλλόμεθα· ἀπόγνωσιν δὲ τὸ πρᾶγμα οἰόμενοι, προσῄειμεν, ἐλιπαροῦμεν μὴ καταπροέσθαι

A velis instructas accessimus, quibus nihil erat in Libya nostra negotij, sed cursum alium insistebant. Quiritantibus porrò nobis ac grauiter conquerentibus quòd tam procul à terra auecti essemus, Iapetus ille Amarantus in tabulatis stans diras vltimique exempli imprecationes canebat. Neque enim auolabimus nos, inquit, vobis autem quid faciat quisquam, qui & terram, & mare formidatis? Nequaquam, siquis benè iis vtatur, optime Amarante, inquam, ad illum. Nobis verò nihil Taphosiride opus fuit; vi- B ta enim opus fuit: & nunc quid alto nobis opus est? Sed tendamus, inquam, Pentapolim, quantùm sat est à terra dissiti, vt si quid difficile accidat, cuiusmodi in mari multa sunt: hoc autem incertum vtique & est, & à nobis dicitur: è proximo nos portus aliquis recipiat. Sed nihil dicendo persuadere potui. Obsurduerat enim scelus, donec vehemens à Septentrione ventus incubuit, tumentésque atque asperos fluctus conciuit. Hic subitò irrumpens velum in diuersum com- C pulit cauáque ex tumidis fecit. Nauis ipsa parum abfuit quin in puppem euerteretur. Ægrè quidem illam composuimus. Atque ille mœroris ac gemitus author Amarantus: Tanti est, inquit, ex arte nauem texere. Ventum enim è mari sese pridem expectare, ob idque in alto nauigare. Nunc enim obliquo cursu contendere, quoniam longitudini addere aliquid ex interuallo licet. Talem esse nauigationem nostram non vtique si littus legeremus. Nauis enim illideretur. Et nos dicentem probabamus, quoad lucescebat, necdum periculum ap- D petebat: cœpit enim vnà cum nocte magis ac magis attollente sese fluctu. Erat tum dies quam Iudæi Parasceuem vocant, cuius noctem cum sequenti die computant, quâ die nulli manum licet operi admouere, sed imprimis eam veneratione prosequentes ab omni labore feriantur. Dimisit ergo clauum è manibus gubernator, simul occidisse solem coniectatus est, ac prostratus cuilibet se vectorum calcandum praebuit. Nos veram rei causam non enim intelligebamus, sed desperationem hoc ipsum esse rati, orauimus eum, ne vltimam

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A spem proderet? Nam & documani fluctus instabant tumultuante secum ipso mari. Hoc autem accidit cùm cessante vento nondum excitati ab eo fluctus considunt, sed valida semel agitatione concepta, præualenti flatui obnituntur, decumbentique vehementius contrario sese impetu opponunt. Opus enim mihi fuit turgidis, & grandibus verbis, ne mala ingentia infrà dignitatem explicarem. Eiusmodi porrò nauigatione vtentibus tenui, vt aiunt, è funiculo vita suspensa est. Quòd si legis doctor idem, & gubernator fuerit, quo B esse nos animo oportet? Postquàm igitur quid sibi claui abiectio vellet intelleximus: Rogantibus enim nobis nauem vt præsentibus periculis eriperet, librum quendam legebat; persuaderi posse desperantes, adhibere vim cœpimus. Ac generosus quidam miles, nauigant autem nobiscum Arabici plerique ex equitum ordine, educto gladio caput homini sese amputaturum minatus est, nisi scapham gubernaret. At ille ipsissimus Maccabæus in dogmate suo nihilominus perstiturus videbatur. Media tandem nocte suaptè sponte ad gubernacula sese admouet. C Nunc enim, ait, lex facere istud permittit, quoniam planè de vita periclitamur. Ad hoc sublatus denuò tumultus, virorum planctus, mulierum vlulatus: Quiritati omnes: Deorum fidem implorare, charissimos quoque recordari. Vnus hilaris erat Amarantus, quasi mox creditores fraudaturus. Me verò in tantis malis, per numen illud iuro quod philosophia veneratur, Homericum illud terrebat, ne fortè verùm istud esset, mortem in aquis præfocatorum animorum vnà interitum esse. Ait enim quadam in ope- D ris parte,

Interiit salsis epotis fluctibus Aiax.

Lethum in mari summum omnium exitium esse significans. sane neminem interiisse ait, sed vnusquisque,

Moriens delapsus ad Orcum est.

Ac propterea in duabus inferiis, minor Aiax nusquam toto dramate inducitur, quasi apud inferos eius anima non esset. Quinetiam Achilles ille fortissimus, ac in

A μηδέπω τὰς ἐσχάτας ἐλπίδας. καὶ γὰρ δὴ καὶ ἐπεῖχον αἱ τρικυμίαι, τοῦ πελάγους καὶ πρὸς ἑαυτὸ στασιάσαντος. γίνεται δὲ τοῦτο, ὅταν μὴ τῷ λήξαντι πνεύματι καὶ τὰ παρ' ἑαυτοῦ συναποπαύσηται κύματα· ἀλλ' ἰσχυρὸν ἔχοντα τὸ ἐνδόσιμον τῆς κινήσεως, ὑπαντιάζῃ τῇ τοῦ πνεύματος ἐπικρατείᾳ, καὶ ἀντεμβάλλῃ ταῖς ἐμβολαῖς. ἔδει γάρ μοι καὶ φλεγμαινόντων ὀνομάτων, ἵνα μὴ τὰ μεγάλα κακά, σμικροπρεπέστερον διηγήσωμαι. τοῖς οὕτω ἐν τῷ τοιῷδε πλέουσιν, ἀπὸ λεπτοῦ φασὶ μίτου τὸ ζῆν ἠρτῆσθαι. εἰ B δὲ καὶ ὁ κυβερνήτης νομοδιδάσκαλος εἴη, τίνα δεῖ ψυχὴν ἔχειν; ἐπεὶ δ' οὖν συνήκαμεν τὸν νοῦν τῆς ἀπολείψεως τῶν πηδαλίων· δεομένων γὰρ ἡμῶν σώζειν ἐκ τῶν ἐνόντων τὴν ναῦν, τὸ βιβλίον ὑπανεγίνωσκε· πειθοῦς ἀπογνόντες, ἀνάγκην ἤδη προσηγόμεθα. καί τις στρατιώτης γεννάδας· συμπλέουσι δὲ ἡμῖν Ἀράβιοι συχνοὶ τῶν ἀπὸ τοῦ τάγματος τῶν ἱππέων· τὸ ξίφος σπασάμενος, ἠπείλησε τὸν ἄνθρωπον τὴν κεφαλὴν ἀποκόψειν, εἰ μὴ ἀντιλήψοιτο τοῦ σκάφους. ὁ δὲ αὐτόχρημα Μακκαβαῖος, οἷος ἦν ἐγκαρτερῆσαι τῷ δόγματι. μεσούσης δὲ ἤδη τῆς C νυκτός, ἀναπείθεται παρ' ἑαυτοῦ πρὸς τῇ καθέδρᾳ γενέσθαι. νῦν γάρ, φησίν, ὁ νόμος ἐφίησιν, ἐπειδὴ νῦν σαφῶς τὸν ὑπὲρ τῆς ψυχῆς θέομεν. πρὸς τοῦτο αἴρεται θόρυβος ἐξ ἀρχῆς, ἀνδρῶν οἰμωγή, γυναικῶν ὀλολυγή. ἅπαντες ἐθεοκλύτουν, ἐποτνιῶντο, τῶν φιλτάτων ὑπεμιμνήσκοντο· μόνος Ἀμάραντος εὔθυμος ἦν, ὡς αὐτίκα δὴ παραγράψων τοὺς δανειστάς. ἐμὲ δὲ ἐν τοῖς δεινοῖς, ὄμνυμί σοι θεὸν ὃν φιλοσοφία πρεσβεύει, τὸ Ὁμηρικὸν ἐθράττεν ἐκεῖνο, μὴ ἄρα ἀληθὲς εἴη, τὸν καθ' ὕδατος θάνατον, ὄλεθρον εἶναι καὶ αὐτῆς τῆς ψυχῆς· λέγει γάρ ἐστιν ὅπου D τῶν ἐπῶν·

Αἴας δ' ἐξαπόλωλεν, ἐπεὶ πίεν ἁλμυρὸν ὕδωρ.

Τὸν ἐν θαλάττῃ ἀκριβεστάτην ἀπώλειαν εἶναι τιθέμενος. οὐδένα γοῦν ἄλλον ἐξαπολωλέναι φησίν, ἀλλ' ἕκαστος ἀποθνήσκων,

—ἄϊδός δ' ἐβεβήκει.

Ταῦτ' ἄρα καὶ ἐν δυοῖν νεκύαιν ὁ μικρὸς Αἴας οὐδαμοῦ τοῦ δράματος εἰσενήνεκται, ὡς τῆς ψυχῆς οὐκ οὔσης ἐν ᾅδου· καὶ Ἀχιλλεύς, ἀνὴρ οὐ-

ψυχρότατός τε καὶ φιλοκινδυνότατος, ἀποδειλιᾷ πρὸς τὸν ἐν ὕδατι θάνατον, ὅν γε καὶ λευγαλέον καλεῖ. τούτοις ἐλίττων τοὺς λογισμούς, ὁρῶ τοὺς στρατιώτας ἅπαντας ἐσπασμένους μαχαίρας· καὶ πυθόμενος ἐμάνθανον παρ᾽ αὐτῶν, ὡς καλὸν ἐπὶ τοῦ καταστρώματος ὄντας ἔτι, πρὸς τὸν ἀέρα τὴν ψυχὴν ἐρυγεῖν, ἀλλὰ μὴ πρὸς κῦμα χανόντας. τούτους αὐτοφυεῖς Ὁμηρίδας ἐνόμισα, καὶ ἐθέμην τῷ δόγματι. εἶτα κηρύττει τις ἐξαρτᾶσθαι χρυσίον, οἷς ἐστι· καὶ οἷς ἦν, ἐξήρτητο, καὶ χρυσίον, καὶ ὅ, τι ἄξιον χρυσίου· καὶ αἱ γυναῖκες αὐταί τε ἐσκευάζοντο, καὶ τοῖς δεομένοις ἀρπεδόνας διένεμον. πάλαι καταδεδειγμένον τοῦτο ποιεῖν. νοῦν δὲ ἔχει τοιοῦτον. φέρειν δεῖ τιμὴν ἐντάφιον τὸν ἐκ ναυαγίου νεκρόν· ὁ γὰρ περιτυχὼν καὶ κερδάνας, νόμους Ἀδραστίας αἰδεῖται, μὴ οὐχὶ μικρόν τι μέρος ἀποδάσασθαι τῷ χαρισαμένῳ τὸ πολλαπλάσιον. καὶ οἱ μὲν ἦσαν πρὸς τούτοις. ἐγὼ δὲ παρακαθήμενος τὸ παλαμναῖον βαλάντιον, τὴν παρακαταθήκην τοῦ ξένου ἔκλαιον· ὡς οἶδεν ὁ ξένιος, οὐκ εἰ τεθνηξοίμην, ἀλλ᾽ εἰ ὁ Θρᾷξ ἀποστερήσοιτο τῶν χρημάτων, ἕνεκεν ὧν καὶ ἀποθανὼν ἂν ᾐσχυνόμην. ἐνταῦθα μέν γε τὸ ἐξαπολωλέναι κέρδος ἦν, καὶ συναπολωλέναι καὶ ἀποδρᾶσαι τὴν αἴσθησιν. ὃ δὲ ἐποίει παρὰ πόδας τὸν κίνδυνον, οὐχ ἕτερον ἦν, ἀλλ᾽ ὅτι πᾶσιν ἱστίοις ἡ ναῦς ἐφέρετο. ὑποτεμέσθαι δὲ οὐκ ἦν· ἀλλὰ πολλάκις ἐπιχειρήσαντες τοῖς καλωδίοις, ἀπηγορεύκειμεν, τῶν τροχῶν ἐνδακόντων, καὶ ὑφώρμει δέος οὐκ ἔλαττον, εἰ καὶ διαφευξοίμεθα ἐκ τοῦ κλύδωνος, οὕτως ἔχοντας ἐν νυκτὶ πελάζειν τῇ γῇ. φθάνει δὲ ἡμέρα, καὶ ὁρῶμεν τὸν ἥλιον, ὡς οὐκ οἶδα εἴ ποτε ἥδιον. τὸ δὲ πνεῦμα ῥᾷον ἐγίνετο τῆς ἀλέας ἐπιδιδούσης, καὶ ἡ δρόσος ἐξικμασμένη παρεῖχε ἡμῖν χρῆσθαι τοῖς καλωδίοις, καὶ τὸ ἱστίον μεταχειρίζεσθαι. ὑπαλλάττειν μὲν οὖν ἱστίον ἕτερον νόθον οὐκ εἴχομεν, ἠνεχυρίαστο γάρ· ἀνελαμβάνομεν δὲ αὐτό, καθάπερ τῶν χιτώνων τοὺς κόλπους· καὶ πρὶν ὥρας εἶναι τέτταρας, ἀποβαίνομεν οἱ τ. θνα. προσδοκήσαντες, ἐν ἐσχατιᾷ τινὶ πανερήμῳ· καὶ οὔτε πόλιν οὔτε ἀγρὸν ἐχούσῃ γείτονα, σταδίοις ἑκατόν που πρὸς τοῖς τριάκοντα κατόπιν ἀγροῦ. ἡ μὲν οὖν ναῦς ἐσάλευεν ἐπὶ μετεώρου· λιμὴν γὰρ ὁ τόπος οὐκ

ἐπιθ. ἢ θάνατον, ἢ θνησιμαῖοι.

A periculis ſubeundis audaciſſimus, mortem nihilominus in aquis perhorreſcit, quam exitialem etiam nuncupat. Hęc dum apud me animo reuoluo, ecce tibi milites omnes ſtrictis gladiis video, ſciſcitatúſque ab illis audio: Optimum eſſe quandiu in foris adhuc ſtant, animum in auras effundere, non in fluctus, oſcitantes. Hos ego ſponte editos illos Homericos arbitrabar, eique ſententiæ aſcribebam. Tum proclamatum à quodam eſt, ſuſpenderent è collo, quibuſcúmque auri aliquid eſſet. Quibus erat, ſuſpenſum eſt, non aurum modò, ſed quicquid auro æſtimabile fuit.
B Mulieres ipſæ cùm adornabant ſeſe, tum fila iis qui indigerent, diuidebant; pridem ad id faciendum edoctis omnibus. huius autem rei gratia fit. Sepulturæ pretium conferri à naufragis conuenit. Qui enim in eos inciderit, & compendij iſtud fecerit, Adraſtiæ leges verebitur, ne non exiguam ei lucri partem aſpergat, à quo tantò plura ſit conſequutus. Atque illi quidem iis rebus occupabantur. Ego verò ſedens infelix illud marſupium, hoſpitis depoſitum deflebam: Nouit hoſpitum præſes Deus, non quòd moriendum mihi eſſet, ſed quòd concreditis
C pecuniis Thrax ille defraudandus, quem vel mortuus erubeſcerem. Hîc igitur, & emori lucrum, & vnà emori & moriendi ſenſum effugere. Quod verò diſcrimen adeò in proximo faciebat, nihil erat aliud, quàm quòd paſſis velis nagium ferebatur. Contrahere autem non licebat. Nam cùm ſæpiùs rudentes aggrederemur, fatigati eramus, admordentibus trochleis: nec lenior metus inceſſebat, nec vel è tempeſtate emerſi ita comparatis omnibus noctu littori ſuccederemus. Commodùm intereà dies exoritur, ſolémque aſpicimus, atque
D haud ſcio an vnquam iucundiùs. Remittere deinceps flatus cœpit, augeſcente tepore, atque euanidus paulatim ros moliri rudentes, ac vela tractare permiſit. Cæterùm ſubdititium alterius loco velum ſupponere minimè potuimus; oppigneratum quippe erat, Refecimus ergo iſtud ipſum, perinde ac tunicarum ſinus: Et ante horas quatuor ad deſertam quandam ſolitudinem appellimus nos, quibus mors ſingulis momentis obuerſabatur, cui neque ager vicinus, neq; ciuitas erat, centum fermè & triginta ab agro ſtadiis diſſitæ. Ac nauis quidem in alto fluctuabat: locus enim ille importuoſus erat, & vna

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

in anchora fluctuabat, altera quippe distracta erat: Tertiam vero Anchoram Amarantus non habuit. Itaque simul optatissimam tellurem attigimus, amplecti, veluti spirantem matrem, cœpimus, hymnósque Deo gratulatorios de more concinentes, adiecimus & recentem illam fortunam, è qua præter opinionem seruati fuimus, biduum deinceps ibidem commorati dum pelagus deſæuiret. Sed cùm iter facere nuſquam poſſemus, nemine mortalium comparente, rurſum mari nos commiſimus, ſtatimque prima luce ſoluentes ſecundo vento tota illa & inſequenti die nauigauimus, qua inclinante vnà & flatus defecit, magnóque in mœrore fuimus. Optari vero rurſum à nobis ſerenitatem oportebat: erat tum exeuntis menſis tertius decimus. Tanto autem impendente diſcrimine, cùm in idem aſtrorum coïtus & famoſa, illa fortuita, concurſura eſſent, quibus, vt aiunt, nemo ſecurus vnquam ſe commiſit; cúmque in portu conſiſtere oporteret imprudentes rurſum in altum euecti ſumus. Ipſa porrò tempeſtas à Septentrionalibus ventis cœpit, plurimúmque ea interlunij nocte pluit. Deinde flatus ruebant, & mare admodum agitabatur. Circa nos verò ea fiebant, quæ in talibus accidere eſt, ne bis eoſdem caſus recenſeam. Profuit tum ipſa nonnihil tempeſtatis magnitudo: fragor primùm ex antenna auditus: Cúmq; intentis rudẽtibus firmare nauem inſtituiſſemus, ſubinde media illa confracta propè nobis omnibus exitio fuit. Sed cùm exitio non fuiſſet, hoc ipſum nobis ſalutem attulit. Neque enim alio modo ventorum vis ſuſtineri poterat. Rurſum autem tractatu difficile velum erat, nec ad contrahendum volubile. Hunc ferè in modum excuſſo mirum quantum violento impetu deinceps diem noctémque continuato curſu ferebantur: Qua circiter ſecundùm galli cantum non animaduertimus tantillum abfuiſſe quin ſcopulo illideremur in tantum prominenti, breuem vt Cherſoneſum efficeret: Ad hæc clamore ſublato ſimul atque quidam ad terram vt appelleremus hortatus eſt, ingens coorta vociferatio eſt, minimeque conſentiens: Nautis quidem perhorreſcentibus, nobis præ ignorantia manus complaudentibus, inuicémque complectentibus, nec gaudij magnitudinem capientibus. Dicebatur maximum

A ἦν, καὶ ἐσάλευεν ἐπ' ἀγκύρας μιᾶς. ἡ ἑτέρα δὲ ἀπημπόλητο· τρίτην γὰρ ἀγκύραν Ἀμάραντος οὐκ ἐκτήσατο. ἡμεῖς δὲ, ἐπεὶ τῆς φιλτάτης ἠψάμεθα γῆς, περιεβάλλομεν, ὥσπερ ἔμψυχον οὖσαν μητέρα· καὶ ἀποθύσαντες ὕμνους τῷ θεῷ χαριστηρίους, ὥσπερ εἰώθειμεν, προσεθήκαμεν αὖθις καὶ τὴν ἔναγχος τύχην, ἀφ' ἧς παρὰ δόξαν ἐσώθημεν, δύο ἑξῆς ἐπιμείναντες ἡμέρας, ἕως ἂν ἀφυβρίσῃ τὸ πέλαγος. ἐπεὶ δὲ ἀπορία ἦν ὁδῷ χρήσασθαι, μηδενὸς ἀνθρώπων ὁρωμένου, πάλιν ἐπετολμήσαμεν τῇ θαλάσσῃ· καὶ
B ἄραντες εὐθὺς ἀρχομένης ἡμέρας, ἐπλέομεν ἐκ πρύμνης ἀνέμῳ πᾶσαν αὐτὴν καὶ τὴν ἐπιγινομένην ἡμέραν· ἧς ἤδη ληγούσης, τὸ πνεῦμα ἀπέλιπεν ἡμᾶς, καὶ ἡμεῖς ἠνιάθημεν. ἐμέλλομεν δὲ ἄρα ποθήσειν γαλήνην. ἦν μὲν οὖν τρισκαιδεκάτη φθίνοντος. ἐπῃωρημένου δὲ τοσούτου κινδύνου, μελλούσης εἰς ταυτὸ συνδραμεῖσθαι τῆς τε συνόδου τῶν ἀστέρων καὶ τῶν πολυθρυλλήτων τυχαίων, ἃ μηδείς ποτε, φασί, πλέων ἐθάρρησε, καὶ δέον ἡμᾶς ἐλλιμενίζειν, οἱ δ' ἐλελήθειμεν αὖθις ἀναδεδραμηκότες ἐπὶ τὸ
C πέλαγος. ἡ δὲ στάσις ἤρξατο μὲν ἀπὸ τῶν ἀρκτικῶν πνευμάτων· καὶ ὗσέ γε πολλὰ κατὰ τὴν συνοδικὴν νύκτα· ἔπειτα ἤκμαζε τὰ πνεύματα, καὶ ἡ θάλασσα κυκεὼν ἐγεγόνει. τὰ δὲ περὶ ἡμᾶς, οἷα εἰκὸς ἦν ἐν τοῖς τοιούτοις, ἵνα μὴ πάθη παραπλήσια δὶς ἀφηγώμεθα. ἐν οἷς ἦν, ὤνησέ τι τὸ μέγεθος τοῦ χειμῶνος· τὸ κέρας ἐπέτριγε, καὶ ἡμεῖς ᾠόμεθα περιτονίζειν τὴν ναῦν· εἶτα κατεάγη μέσον, ἐγγὺς μὲν ἦλθεν ἀπολέσαι πάντας ἡμᾶς. ἐπεὶ δὲ οὐκ ἀπολώλεκεν, αὐτὸ δὴ τοῦτο καὶ περιέσωσεν· οὐ γὰρ ἦν ἄλλως ἐνέγκαι τὴν βίαν τοῦ πνεύματος. πάλιν δὲ δυσπειθὲς ἦν τὸ ἱστίον, καὶ
D οὐκ εὔτροχον εἰς καθαίρεσιν. οὕτως οὖν παρὰ δόξαν ἀποφορτισάμενοι τῇ ἀπληστίᾳ τῆς βιαίας φορᾶς, ἡμέραν ἑξῆς καὶ νύκτα ἠνέχθημεν· ἧς ἤδη περὶ δευτέρας οὔσης ὀρνίθων ᾠδήν, ἐλάθομεν ἐγχρίψαντες ἀκαρῆ πέτρᾳ προβεβλημένῃ τῆς γῆς, ὅσον εἶναι βραχεῖαν Χερρόνησον. βοῆς δὲ γινομένης, ἐπειδή τις παρενεγύησεν αὐτῇ γῇ πελάσαι, θροῦς ἤρθη πολύς, καὶ ἥκιστα ξύμφωνος, τῶν μὲν ναυτῶν πεφρικότων, ἡμῶν δὲ ἐξ ἀπειρίας τὼ χεῖρε ἐπικροτούντων, καὶ περιβαλλόντων ἀλλήλους, καὶ οὐκ ἐχόντων ὅπως χρησόμεθα τῷ πλήθει τῆς χαρᾶς. ἐλέγετο δὲ ὁ μέγιστος

αἴτιος εἶναι τῶν περιστάντων ἡμᾶς κινδύνων. ἤδη δὲ ὑποφαινομένης ἡμέρας, καταστείχει τις ἄνθρωπος χωρικῶς ἐσταλμένος, καὶ δείκνυσι τῇ χειρὶ τόπους ὑπόπτους, καὶ ἑτέρους οὓς ἔδει θαρρῆσαι. καὶ τέλος μόνος ἦλθεν ἐπὶ κελητίου δισκάλμου· ὅπερ ἐξάψας τοῦ πλοίου, μεταχειρίζεται τὸ πηδάλιον. ὁ δὲ Σύρος ἄσμενος ἐξέστη τῆς προεδρίας· ἀναλύσας δὲ σταδίους οὐ πλείους, ἢ πεντήκοντα, τήν τε ναῦν ἐνορμίζει λιμενίσκῳ χαρίεντι· Ἀζάριον οἶμαι καλοῦσιν αὐτό· καὶ ἡμᾶς ἐπὶ τῆς ἠιόνος ἀπεβίβασε, σωτὴρ καὶ δαίμων ἀγαθὸς ἀποκαλούμενος. καὶ μετὰ μικρὸν ἑτέραν ὁλκάδα εἰσήλασε, καὶ '' μάλα ἄλλην, καὶ πρὶν ἑσπέραν εἶναι, πέντε γεγόναμεν ὑπὸ τοῦ θεσπεσίου πρεσβύτου περισωθεῖσαι φορτίδες, πρᾶγμα ἐναντιώτατον τῷ Ναυπλίῳ ποιοῦντος. καὶ γὰρ οὐχ ὁμοίως ἐκεῖνος τοὺς ἀπὸ τοῦ χειμῶνος ἐδείξατο. ἐς δὲ τὴν ὑστεραίαν, ἄλλοι κατῆραν, ὧν ἔνιοι τῶν προλαβόντων ἡμᾶς ἦσαν ἀπὸ Ἀλεξανδρείας ἡμέρᾳ· καὶ νῦν ὁλόκληρος ἐσμὲν στόλος, ἐν νεωρίῳ μικρῷ. ἐπεὶ δὲ ἡμῖν ἤδη καὶ τὰ ἐφόδια κατεδήδοτο· οὐ γὰρ ὄντες ἐθάδες ἀτυχεῖν, οὐδ' ἐλπίσαντες ὑπερήμεροι γενέσθαι, μέτριά γε ἐνεθέμεθα, καὶ οὐδὲ τούτοις μετρίως ἐχρώμεθα· ὁ δὲ πρεσβύτης καὶ τοῦτο ἠκέσατο, διδοὺς μὲν οὐδέν· οὐ γὰρ οὐδ' ὅμοιος ἦν ἔχοντι· δείξας δὲ πέτρας, ἐν αἷς ἄριστον ἔφη καὶ δεῖπνον ἑκάστης ἡμέρας κεκρύφθαι τοῖς βουλομένοις πονεῖν, ἐντεῦθεν ἰχθυώμενοι, ζῶμεν ἡμέραν ἑβδόμην ἤδη, οἱ μὲν ἐντελεῖς, μυραίνας τε καὶ καράβους εὐμεγέθεις αἱροῦντες· τὰ δὲ μειράκια ἐπὶ κωβιοῖς '' εὐτυχεῖ καὶ ἰούλοις. ἐγὼ δὲ καὶ ὁ θρησκευτὴς ὁ Ῥωμαῖος, ἐπὶ ταῖς λεπάσι ῥωννύμεθα. ἡ δὲ λεπάς, ὄστρεόν ἐστι κοῖλον, ὅπερ ἐπειδὰν λάβηται πέτρας, ἀπισχυρίζεται. τὰ μὲν οὖν πρῶτα, γλίσχρως ἐζῶμεν ἀπὸ τῆς θήρας, περιεχόμενος ἕκαστος ὅτου καὶ λάβοιτο· ἐδίδου δὲ δῶρα οὐδεὶς οὐδενί. νῦν δὲ ἐν ἀφθονωτέροις ἅπαντες ἀπὸ τοιᾶσδε αἰτίας. αἱ γυναῖκες ταῖς γυναιξίν, αἱ Λίβυσσαι ταῖς πλεούσαις. βούλοιντο μὲν ἂν καὶ τὸ τῶν ὀρνίθων γάλα παρασχεῖν· παρέχουσι γοῦν ὅσα αὐταῖς ἀήρ τε φέρει καὶ γῆ, τυρούς, ἄλευρα, πέμματα ἐκ κριθῶν, κρέα ἄρνεια, ἀλεκτορίδας, ὠὰ ἀλεκτόρεια. ἤδη δέ τις καὶ ὠτίδα ἔδωκεν, ὄρνεον ἐκτόπως ἡδύ· ἰδὼν δὲ ἀγροῖκος ἐπεῖποι ταών.

καὶ πάλιν.

εὐωχεῖ.

A hoc omnium hactenus fuisse periculum. Cùm iam diluxisset, homo quidam rustico habitu nobis innuit, manúque infida loca demonstrat, quibus tutò committere nos possemus: Tandem & ipse biremi veloce aduectus est, quâ nauigio alligata gubernaculum accipit. Nec ægrè Syrus hoc illi honore cessit: qui cùm non plura quinquaginta stadiis relegisset nauem vix ad exiguum quendam, sed amœnum portum appellit (Azarium, opinor, vocant) & nos ad littus exponit, seruator ac genius bonus ab omnibus appellatur. Breuique posteà eodem actuariam subduxit, rursúmque & B aliam, ita ante vesperam quinque fuimus ab diuino illo sene seruatæ onerariæ naues, contra quam Nauplius ille quondam. Neque enim similiter ab tempestate ille naues excepit. Postridie alij delati sunt, inter quos nonnulli vno ante nos die Alexandria soluerant: Nunc iusta classis sumus in angusta admodum statione. Sed cùm iam cibaria defecissent: quippe nondum eiusmodi casibus assueti, nec præstitutum tempus supergressuros rati, modicos commeatus imposueramus, nec iis modicè tamen vtebamur. Huic malo remedium idem ille C senex adhibuit, non quidpiam erogans, nam neque habenti similis erat, sed scopulos indicans, inter quos latitare quotidianas iis epulas dixit, qui laborare vellent: indidem piscatu septimum iam diem vitam toleramus: Robustiores, murænas & locustas ingentes capiunt: Adolescentes gobiorum & polyporum copia beatos se putant. Ego verò, & Romanus ille monachus Conchis quas lepidas vocant, corpus firmamus: Est autem lepas ostreum concauum, quòd vbi saxum apprehenderit, adhærescit. Ac initio sanè eo venatu parcè admo- D dum viuebamus, quod cuique primum occurreret, id arripientes, nec alteri quicquam alter impertiebatur. Nunc maiori omnes in copia versamur, ex eiusmodi occasione. Mulieres mulieribus, Libycæ, vectricibus vel gallinarum lac libenter præbuerint: Præbent vtique quicquid cœlo illo terráque gignitur, caseum, farinam, liba hordeacea, veruecinas carnes, Gallinas, oua gallinacea. Iam & otidem nonnulla obtulit auem suauitate imprimis exquisitam, si quis rusticus videat, Pauonem esse dixerit.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A Illæ igitur, id genus munuscula ad naues deferunt; ea verò quæ acceperint omnibus communicant: illi verò de venatu suo iam nobis offerunt. Aliúsque super alium venit, super virum puer; super puerum vir, munus ad me identidem aliquod ferens: hic homo captum pisciculum, alius aliud. omninò boni saltem aliquid ex iis quæ in saxis inueniuntur. Neque enim libet mihi à mulieribus quicquam accipere, tuáque hoc ipsum causa ne cum iis fœdus vllum intercedat: Posteáque cùm id iureiurando inficiandum erit, in negando hæream. Alioqui quid prohibet præsentibus vti deliciis? adeò multæ vndecumque circumfluunt. Ac tu quidem virtuti hanc incolarum munificentiam tribuas quam in hospitas præ se ferunt: hoc autem longè aliud est quod nec memoratu indignum fuerit, in tanta præsertim otij abundantia. Veneris ira, quantum conijci potest, in ea regione versatur. Parem certè cum Lemniadibus calamitatem experiuntur: Mammæ feminis suprà modum assurgunt, nec pro pectoris ratione, adeò vt infantes non per axillam, sed ex humeris sublatam papillam exsugant. Nisi fortè dixerit quispiam Hammonem & Hammonis terram non magis ouium quàm puerorum nutricem esse; proindéque hominibus iuxta ac pecudibus largiores, & ampliores lactis fontes à natura esse datos, ad idque capaciora vbera seu vasa necessaria fuisse. Itaque quando de viris audiunt (quibus aliquod cum externis commercium fuit) non eam esse vniuersi sexus conditionem, haudquaquam credunt. simul verò ac peregrinam in mulierem inciderint, humaniter excipiunt, nihilque non faciunt, donec sinum perscrutentur. Quæ porrò cognouerit, alteri statim dicit, séque inuicem aduocant, quemadmodum Ciconas ferunt: Illæ ad spectaculum frequentes concurrunt, ob idque munera secum adferunt. Commodùm verò nobis ancillula ex Ponto quædam erat, quam natura cum arte consentiens supra formicas vberibus incisam, & contractam effinxerat. Circa illam studium omne mulierum erat, plurimúmque ab his compendij faciebat: adeò vt triduo ante finitimæ opulentiorésque fœminæ illam ad sese ex alterius domo vicissim accerserent. Illa vsque eo procax erat, vt etiam corpus nudaret. Hoc tibi Drama comicum ex Tragico cùm nobis Deus ipse temperauit,

A αὗται δὴ καταχομίζουσιν ἐπὶ τὴν ναῦν τὰ δῶρα· αἱ δὲ δεξάμεναι κοινοῦνται τοῖς βουλομένοις· οἱ δὲ ἡμῖν ἤδη τὰ ἀπὸ τῆς θήρας δωροῦνται· καὶ ἥκει τις ἄλλος ἐπ' ἄλλῳ, παῖς ἐπ' ἀνδρὶ, καὶ ἀνὴρ ἐπὶ παιδὶ, φέρων ἀεί τι μοι ξένιον, ὁ μὲν ἠγκιστρωμένον ἰχθύδιον, ὁ δὲ ἄλλος ἄλλο τι· πάντως ἕν γέ τι ἀγαθὸν, ὧν φέρουσι πέτραι. ἐμοὶ γὰρ οὐκ ἔστι βουλομένῳ τὰ παρὰ τῶν γυναικῶν δέχεσθαι, σὴν χάριν καὶ τοῦτο, ἵνα μή τις ἐκεχειρία μοι πρὸς αὐτὰς γένηται, κἄπειτα ἐπειδὰν ἐξόμνυσθαι δέῃ, διαπορείην ἀρνού-
B μενος· ἐπεὶ τί γε ἐκώλυε τὸ ἐπὶ τοῖς ἐπιτηδείοις τρυφᾶν. οὕτω πολλὰ πολλαχόθεν συρρεῖ. σὺ μὲν οὖν ἀρετὴν λογιῇ τὴν φιλοφροσύνην τῶν ἐγχωρίων, ἣν εἰς τὰς ἐπιξενουμένας ἐνδείκνυνται· τὸ δὲ ἑτεροῖόν ἐστιν, οἶμαι ἄξιον εἶναι καὶ διηγήσασθαι, καὶ ταῦτα ἐπὶ τῆς νῦν ἐμοὶ παρούσης σχολῆς· μήνιμα Ἀφροδίτης ὡς εἰκάσαι κατέχει τὴν χώραν· δυστυχοῦσι γοῦν ὥσπερ αἱ Λήμνιαι· αὗται γὰρ ὑπερμαζῶσι, καὶ ἀσυμμέτρως ἔχουσι τῶν στέρνων, ὥστε τὰ βρέφη μὴ διὰ μάλης, ἀλλὰ δι' ὤμου
C αὐτὸν τῆς θηλῆς ἀναβεβλημένης. εἰ μή τις εἴποι τὸν Ἄμμωνα, καὶ τὴν Ἄμμωνος γῆν, οὐ μᾶλλον εἶναι μηλοτρόφον ἢ κουροτρόφον ἀγαθὴν· αἰνεῖναι δὲ τὴν φύσιν ἀνθρώποις ὁμοίως καὶ κτήνεσι δαψιλεστέρας καὶ ἁδροτέρας τὰς τοῦ γάλακτος πίδακας, καὶ εἰς τοῦτο δεῖν ἁδροτέρων ὑδάτων τε καὶ θυλάκων. μανθάνουσαι δὴ παρὰ τῶν ἀνδρῶν, οἷς τισὶ συμβόλαιον γέγονε πρὸς ἄνθρωπον ὑπερόριον, ὅτι μὴ πᾶν τὸ θῆλυ τοιοῦτόν ἐστιν, ἀπιστοῦσι· καὶ ἐπειδὰν λάβωνται γυναικὸς ξένης, φιλοφρονοῦνται καὶ πάντα δρῶσιν, ἕς τ' ἂν τὰς ἀγκάλας διερευνή-
D σωνται. ἡ ἰδοῦσα, λέγει πρὸς ἄλλην, καὶ καλοῦσιν ἀλλήλας ὥσπερ οἱ Κίκονες, αἱ δὲ συμφοιτῶσιν ἐπὶ τὴν θέαν, καὶ ἐπὶ τούτῳ δωροφοροῦσιν. ἡμῖν δὲ ἦν καὶ τῶν ἐκ πόντου θεραπαινίδιον, ὃ συνελθοῦσαι τέχνη καὶ φύσις, ὑπὲρ τοὺς μύρμηκας ἔντομον ἔδειξαν. ἀμφὶ τοῦτο ἦν ἅπασα σπουδὴ, καὶ τοῦτο παρὰ τῶν γυναικῶν πλεῖστα ἐνεπορεύετο· καὶ μετεπέμποντο αὐτὸ προτεραῖα ἄλλη πρὸ ἄλλης, γυναῖκες τῶν ἀστυγειτόνων εὐδαίμονες. τὸ δὲ οὕτοι σφόδρα ἰταμὸν, ὥστε καὶ ἀποδύσασθαι. τοῦτό σοι δρᾶμα ἐκ τραγικοῦ κωμικὸν, ὅ τι δαίμων ἡμῖν ἐνήρμοσε, κἀγὼ

γρ. ἀρίστη
γρ. ἡμῖν.
γρ. γὰρ.

κἀγὼ τοῖς πρὸς σὲ γράμμασι. καὶ οἶδα μὲν ἐκτείνας τὴν ἐπιστολὴν εἰς μῆκος τοῦ μετρίου μεῖζον· ἀλλ' ὥσπερ τοῦ συνεῖναί σοι κατὰ πρόσωπον, οὕτω καὶ τοῦ γράφειν ἀπλήστως *ἔχω· ἅμα δὲ οὐδὲ ἐλπίσας ἔτι σοὶ διαλέξεσθαι, νῦν ἐπειδὴ ἔξον, ἐμφοροῦμαι. ἀλλὰ κἂν ταῖς ἐφημερίσι περὶ ἃς ἐσπούδακα, τὴν ἐπιστολὴν *ἐφαρμόσας, ὡς συχνῶν ἡμερῶν ἔχοιμ' ἂν ὑπομνήματα. ἔρρωσο, καὶ τὸν υἱὸν Διόσκορον κέλευε μετὰ τῆς μητρὸς καὶ τῆς τίτθης, ἃς ἐγὼ καὶ φιλῶ, καὶ ἐν ἀδελφαῖς ἄγω. ἀσπάσασθαι τὴν σεβασμιωτάτην καὶ θεοφιλεστάτην φιλόσοφον, καὶ τὸν εὐδαίμονα χορὸν τὸν ἀπολαύοντα τῆς θεσπεσίας αὐδῆς. ἐκ πάντων δὲ μάλιστα τὸν ἱερώτατον πατέρα Θεότεκνον, καὶ τὸν ἑταῖρον ἡμῶν Ἀθανάσιον· τὸν δὲ ὁμοψυχότατον ἡμῖν Γαΐον, ὃν οἶδ' ὅτι φρονῶν ὅσα ἐγὼ, μετὰ τῶν συγγενῶν τάττεις. μετ' ἐκείνων γοῦν προσειρήσθω, καὶ ὁ θαυμάσιος γραμματικὸς Θεοδόσιος, ὃς εἰ καὶ μάντις ὢν ἔκρυπτεν ἡμᾶς· προγνοὺς γὰρ ἐν οἷς ἐσόμεθα, κατέβαλε τὴν προθυμίαν τῆς σὺν ἡμῖν ἀποδημίας· ἀλλ' οὕτω ἔγωγε αὐτὸν καὶ φιλῶ, καὶ ἀσπάζομαι· σὺ δὲ μηδέποτε πλεύσειας. εἰ δέ ποτε πάντως δεήσοι, ἀλλὰ μή τοι φθίνοντός γε μηνός.

*ἔχων. *ἐπαρ- μις.

tum idem meis ad te literis facio. Scio A me longiùs quàm par est epistolam protulisse, sed quemadmodum coram tecum agendo, sic & scribendo expleri nequeo. Præterea cùm me tecum amplius collocuturum diffidam nunc quatenus licet desiderium meum expleo. Quanquam si epistolam hanc ad Ephemeridas meas accommodare vellem, quæ cum studio confeci, plurimarum dierum commentarios haberem. Vale, & filium Dioscorum cum matre & amita, quas ego amo, & sororum loco habeo, valere ex me iubeas. Necnon reuerendæ ac Deo carissimæ Phi- B losophiæ magistræ felicique illi choro, qui diuina voce fruitur salutem plurimam dicito. Inter cæteros verò sanctissimo imprimis Patri Theotecno & sodali Athanasio. Gaium verò animo nobis coniunctissimum non dubito te idem quod ego sentientem inter cognatos nostros ascribere. Cum illis ergo hunc salutato, vnaque egregium illum Grammaticum Theodosium, qui quidem vates cùm esset, celare de eo nos voluit. Cùm enim quæ nobis euentura essent præuideret, proficiscendi nobiscum voluntatem deposuit. Nihilominus ego & amo & saluto. Tu verò caue C vnquam mari te commiseris, sin omninò necesse aliquando fuerit, at non exeunte saltem mense istud feceris.

Τοῖς πρεσβυτέροις.

Ἀγαθὸν πεποιθέναι ἐπὶ κύριον, ἢ πεποιθέναι ἐπ' ἄνθρωπον· ἀλλὰ τοὺς ἐκ τῆς ἀθεωτάτης αἱρέσεως Εὐνομίου πυνθάνομαι Κουιντιανόν ὄνομα, καὶ τὴν ἐπὶ στρατοπέδου θρυλλουμένην ὑπ' αὐτῶν δυναστείαν προστησαμένους, μοιχᾶσθαι πάλιν τὴν ἐκκλησίαν, καὶ ψευδοδιδασκάλους τινὰς ἐφιστάναι παγίδα τῶν ἀκεραιοτέρων ψυχαῖς, οὓς ἔναγχος οἱ παρὰ Κουιντιανοῦ σταλέντες, ἐπ' αὐτὸ τοῦτο καταπεπλεύκασιν ἄγοντες. ἡ γὰρ δίκη, πρόσχημα τῆς ἀσεβείας ἐστί· μᾶλλον δὲ ἀγὼν ὑπὲρ ἀσεβείας. οὗτοι τοίνυν οἱ νόθοι πρεσβύτεροι, οἱ νεήλυδες ἀπόστολοι τοῦ διαβόλου τε καὶ Κουιντιανοῦ, μὴ λάθωσιν ὑμᾶς ἐμπηδήσαντες οὗ ποιμαίνετε ποιμνίῳ· μὴ λάθωσιν ὑμᾶς τῷ σίτῳ τὸ ζιζάνιον παρασπείροντες. κατάδηλοι πᾶσίν εἰσιν αἱ τούτων καταφυγαί. ἴστε τίνες ἀγροὶ δέξαιντ' ἂν αὐτούς· ἴστε τίνες οἰκίαι τοῖς λῃσταῖς ἀνεῳ-

Sacerdotibus 5.

Bonum est confidere in Domino, quàm confidere in homine. Sed eos audio qui ex impia Eunomij secta sint, Quintianum nescio quem, illámque in exercitu potentiam, quam identidem iactant, prætendentes, rursum D adulterari Ecclesiam & falsos doctores simpliciorum animorum laqueos præfigere. Ad quos deducendos eiusque solius rei gratia qui missi nuper à Quintiano sunt, nauigarunt. Causa igitur illa impietatis color est, siue potius pro impietate certamen. Quamobrem videte ne adulterini isti presbyteri, nouique Diaboli & Quintiani Apostoli, clam vobis cui præestis gregi, insiliant, néve clàm, tritico lolium asserant. Nota omnibus sunt illorum perfugia. Scitis quinam illos agri suscipiant, scitis quænam ædes latronibus pateant,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A sagaci fures odoratu perscrutamini: Mosaicam illam benedictionem consectamini, qua eos benedixit qui aduersus sceleris reos in castris animum, manusque mouerunt: Illud verò par est ad vos vsurpari fratres: honesta honestè fiant. Amputetur omnis lucri causa contentio, omnia Dei causa suscipiantur. Non eandem esse virtutis atque nequitiæ materiem oportet. Cursus ille pro pietate est, pro animabus certandum, ne quas ab Ecclesia prædentur, quod iam in consuetudinem illis abiit. Quisquis autem per Ecclesiæ tuendæ speciem marsupium auget, atque hoc ipso quod iis temporibus vtilis videatur, quæ vim animi efflagitant, sibi potestatem conciliat, is est quem nos extra Christianum consortium amandatum volumus. Non mancam virtutem fecit Deus, non illa societate nequitiæ indiget. Non Deo milites deerunt, Ecclesiis idonei, commilitones inueniet: hîc quidem mercedis expertes, sed in cœlis plena mercede donandos. Eiusmodi vos sitis. Honestum est enim, & iis benè precari, qui strenuè sese gerunt; & iis qui secus, imprecari. Quicunque igitur molliùs egerit, ac rem prodiderit: aut qui persecutus quidem fuerit, sed alienorum aliquid rapuerit, is apud Deum minimè sit innoxius. Hoc ipsum duntaxat in medium adducite, ac prauos illos argentarios, qui diuinum dogma numi instar adulterant, circunducite, facite omnibus manifestos quales ij sint. atque ita infames Ptolemaidis finibus expellantur: quicquid rei cum iis importatum est, secum non appensum auferentes. Qui secus faxit, apud Deum execratus esto. Quisquis nefarium conuentum videns negligit, aut audiens audire dissimulat, aut lucri ab iis contage infectus est, hos pro Amalecitis haberi præcipimus, à quibus nihil auferri manubiarum licet. De eo qui acceperit, illa Dei vox est. Pœnitet me quod Regem constituerim Saul: sed vestri nulla illum in re pœniteat, verùm & curæ vos Deo sitis, & vobis Deus.

γασι. μετέλθετε τοὺς φῶρας ῥινηλατοῦντες· ζηλωταὶ γίνεσθε τῆς εὐλογίας τῆς Μωσαϊκῆς, ἣν εὐλόγησε τοὺς ἄνδρας, οἳ κατὰ τῶν ἠσεβηκότων ἐν * τῇ παρεμβολῇ, καὶ γνώμην καὶ χεῖρας ἐκίνησαν. γρ. ταῖς παρεμβολαῖς.
ἐκεῖνο δὲ εἰπεῖν ἄξιον πρὸς ὑμᾶς ἀδελφοὶ, τὰ καλὰ καλῶς γινέσθω· ἡ ὑπὲρ κέρδους ἔρις ἀνῃρήσθω· ἅπαντα διὰ τὸν Θεὸν ἐγχειρείσθω. οὐ δεῖ τὴν αὐτὴν ἀρετῆς εἶναι καὶ πονηρίας ὑπόθεσιν· ὑπὲρ εὐσεβείας ὁ δρόμος· ὑπὲρ ψυχῶν ἀγωνιστέον, μή τινας ἀπὸ τῆς ἐκκλησίας συλήσωσιν, ὅπερ ἔθος ἤδη πεποίηνται. ὃς δ' ἂν τὴν ἐκκλησίαν προϊστησάμενος, αὔξῃ βαλάντιον, καὶ διὰ τοῦ δοκεῖν εἶναι χρήσιμος ἐν καιροῖς ἀπαιτοῦσι δριμύτητα, δυναστείαν ἑαυτῷ κατεργάζηται, οὗτός ἐστιν ὃν ἡμεῖς συνόδου Χριστιανῶν ἐκκηρύττομεν. οὐκ ἐποίησεν ὁ Θεὸς ἀτελῆ τὴν ἀρετήν· οὐ δεῖται πονηρίας συμμάχου· οὐκ ἐπιλείψουσι στρατιῶται τῷ Θεῷ πρέποντες ἐκκλησίαις· εὑρήσει συμμάχους ἐνταῦθα μὲν ἀμίσθους, ἐν οὐρανῷ δὲ ἐντελομίσθους. ὑμεῖς οὕτω γίνεσθε· καλὸν γὰρ καὶ κατορθοῦσι συνεύξασθαι, καλὸν δὲ καὶ παραβαίνουσιν ἐπαράσασθαι. ὅστις ἂν οὖν μαλακίσηται καὶ προδῷ, καὶ ὅστις ἂν ἐπεξέλθῃ μὲν, ἁρπάσῃ δέ τι τῶν ἀλλοτρίων, μὴ ἀναίτιος γένοιτο τῷ Θεῷ. ἓν τοῦτο μόνον εἰς μέσον ἑλκύσατε, καὶ τοὺς τραπεζίτας τοὺς πονηροὺς τοὺς καθάπερ νόμισμα τὸ δόγμα τὸ θεῖον παραχαράττοντας, περιενέγκατε· πᾶσι ποιήσατε καταφανεῖς οἵτινές εἰσι. καθ' οὕτως ἄτιμοι τῶν Πτολεμαΐδος ὅρων ἀπελαυνέσθωσαν, ὅ, τι σὺν αὐτοῖς ἧκει χρῆμα πρὸς ἀμεταγώγητον ἀποφέροντες. ὁ δὲ παρὰ ταῦτα ποιῶν, ἐπάρατος τῷ Θεῷ. ὅστις ἀσεβῆ σύνοδον ἰδὼν παρεῖδεν, ἢ ἀκούσας παρήκουσεν, ἢ κέρδει παρ' αὐτῶν ἐμολύνατο, τούτους ἡμεῖς Ἀμαληκίτας εἶναι διατατόμεθα, παρ' ὧν οὐκ ἔξεστι κομίσασθαι λάφυρον. περὶ δὲ τοῦ λαβόντος φησὶν ὁ Θεὸς, Μεταμεμέλημαι, ὅτι ἐβασίλευσα τὸν Σαούλ. ἀλλ' ὑμῶν ἐπὶ μηδενὶ μεταμέλοιτο· ἀλλὰ μέλοι μὲν ὑμῶν τῷ Θεῷ, μέλοι δὲ ὑμῖν τοῦ Θεοῦ.

Anysio 6.

Carnas verò etiamnũ moras nectit, neq; aut sponte aut necessitate iustus efficitur.

Ἀνυσίῳ.

Ὁ δὲ * Καρνᾶς, ἔτι μέλλει, καὶ οὔτε ἑκὼν, οὔτε ὑπ' ἀνάγκης γίνεται δίκαιος. γρ. Ἀκαρνᾶς.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Χρὴ δὲ ἥκειν αὐτὸν ἵνα εἰδῶμεν ὅ, τι καὶ λέγει, καὶ οἷς ποτὲ ὀφθαλμοῖς ἡμᾶς ἀντιβλέψεται, παρ' ὧν ἠξίωσε καὶ ἀκόντων, ὃν κέκλοφεν ἵππον ὠνήσασθαι, ἵνα μὴ στρατιώτης, φησίν, ἄνιππος ᾖ. προτείνει δὲ κομιδῇ σμικρὸν ἀργύριον, καὶ μὴ ἀποδιδομένοις οὐκ ἀποδίδωσιν· ἀλλ' οἴεται σὺν δίκῃ τὸν ἵππον ἔχειν, καὶ ταῦτα οὐκ ὢν Ἀγαθοκλῆς, ἢ Διονύσιος, οἷς αἱ τυραννίδες ἐπέτρεπον οὕτω πάνυ πονηροῖς εἶναι· ἀλλὰ Καρνᾶς ὁ Καπφαροδίτης, ὃν οὐ χαλεπὸν ἐπαναγαγεῖν εἰς τοὺς νόμους. ἂν οὖν ἀγάγῃ τις αὐτὸν ὡς σέ, μηδὲ ἡμεῖς ἀγνοήσωμεν, ἵνα τοὺς κατὰ πρόσωπον αὐτὸν ἐλέγξοντας ἀπὸ Κυρήνης καλέσωμεν.

A Venire autem illum oportet, vt sciamus ecquid tandem dicat, quibusque nos oculis intuebitur, à quibus vel inuitis quem erat equum furatus, emere contendit, ne miles, inquit, sine equo sit: Offert verò pretium sanè quam exiguum, neque non vendentibus reddit, sed iure habere se equum illum arbitratur: Præsertim cùm neque Agathocles sit, nec Dionysius, quibus tyrannica imperia, vt ita nequam essent, concesserint. Sed Carnas Cappharodita, quem reuocare ad leges non sit difficile: Quare si quis eum B ad te deducat, fac istud intelligamus, vt è Cyrene arcessamus qui illum in os conuincant.

Θεοδώρῳ καὶ τῇ ἀδελφῇ.

Πῶς δοκεῖτε, δέδηγμαι τὴν καρδίαν, ἐκδεδομένου λόγου κατὰ τὴν πόλιν, ὅτι δεινῇ τινὶ καὶ πέρα δεινῆς ὀφθαλμίᾳ παλαίεις, ἀπειλούσῃ ταῖς ὄψεσι κίνδυνον. ἔπειτα πέφηνεν ὁ λόγος ψευδής· καὶ οἶμαι * παμπόνηρος ἄνθρωπος προφάσεως * εἰλημμένος, τοῦ τῆς ὀφθαλμίας ὀνόματος, ἦρεν ἐπὶ μέγα τὴν φήμην, καὶ ἐτραγῴδησε. τράπειτο μὲν οὖν εἰς ἐκεῖνον αὐτὸν, ἅττα ὑμῶν κατεψεύσατο· τῷ δὲ Θεῷ χάρις, ὅτι παρέσχεν ἡμῖν ἀκοῦσαι καλλίονα. χρὴ δὲ μὴ τὸ λεγόμενον, ἄστροις τὰ καθ' ὑμᾶς σημαίνεσθαι· μηδ' ὅ, τι λέγει φήμη πυνθάνεσθαι· ἀλλὰ μάλιστα μὲν ἔχειν συνόντας, εἰ δὲ μὴ γράμμασιν ὑμετέροις ἐντυγχάνειν, καὶ παρ' ὑμῶν τὰ περὶ ὑμῶν εἰδέναι· ἀλλ' ὑμεῖς ἡμῶν λίαν ἀμελεῖτε, ὥσπερ ἴσως ὁ Θεὸς βούλεται.

χ. ὡς
χ. ὑμμένος,

Theodoro & Sorori 7.

Quemadmodum putatis me esse animo cruciatum, cùm per vrbem fama diuulgatum esset te graui & plus quàm graui oculorum morbo conflictari, qui visui periculum minitaretur? Postea mendax ille rumor apparuit. ac pessimus, opinor, aliquis occasionem de ocularis morbi nomine na-C ctus, adiecit famæ plurimùm, & cum ingenti commiseratione narrauit. Sed vertant in eius caput omnia, quæ de vobis mentitus est: Deo autem gratiæ sint, quoniam de vobis audire meliora concessit: Par est autem non astris, quod aiunt, vestras mihi res significari, neque quæ famâ nuntientur requirere, sed maximè quidem præsentibus vobis frui, sin minus, at literas à vobis accipere, & vestra à vobis intelligere. Sed vos oppidò nos negligitis, quod ita fortasse Deo visum fuerit.

Τῷ ἀδελφῷ.

Οὐ μὴ ἐρεῖς ὡς ἔλαθεν ὑμᾶς ὁ διακομιστὴς τῶν πανηγυρικῶν γραμμάτων. ἀλλ' ἰδόντες περιεωράκατε, καὶ οὐκ ἔδοξεν ὑμῖν ἄξιον εἶναι τὸν ἀδελφὸν ἐν μνήμῃ ποιήσασθαι, καὶ ἐπιθεῖναι πρὸς αὐτὸν γράμμα, μηνύον ὅπως ἔχετε καὶ ἐν τίσιν ἐστέ. ἐμοὶ γὰρ οὐκ ἀμελές ἐστιν εἰδέναι τὰ περὶ ὑμῶν. ἀλλ' ἐπείπερ ἐν ἅπασι λυποῦμαι τοῖς ἐμαυτοῦ, βουλοίμην ἂν ἐν τοῖς ὑμετέροις εὐφραίνεσθαι· ὑμεῖς δὲ καὶ ταύτης με τῆς παραμυθίας ἀφῄρησθε. χρῆν δὲ οὐχί· καὶ γὰρ εἰ μὴ γεγόναμεν ἀπὸ τῶν αὐτῶν, τροφαὶ κοιναί, καὶ παιδεῖαι κοιναί·

Fratri 8.

D Non istud dixeris, latuisse vos eum, qui solemnes literas portabat; Quin cùm eum vidissetis, neglectui habuistis, nec vobis satis dignum visum est fratris recordari, & ad eum literas dare, quibus quemadmodum haberetis & quonam in statu essetis, indicaretis. Neque enim mihi de rebus vestris audire nihil curæ est, sed quandoquidem omnibus in meis rebus afficior mœrore, de vestris gaudere plurimùm vellem: At vos eo me solatio priuastis. Minimè verò factum oportebat: Nam etsi minus iisdem parentibus nati essemus; communis certè educatio, disciplina eadem.

Quid enim non commune habuimus? omnia omnino nos inuicem conciliarunt. Verumenimvero graue est (vt aiunt) aduersis rebus vti, cúmque difficile alicui tempus acciderit, ibi cum alia omnia tum & fratrum animi & amicorum comprobantur. Mihi verò satis fuerit vel ab aliis aliquid de vobis accipere: Sit modò bonorum largitor Deus: Eiusmodi enim de vobis nuncium audire cupio.

A καὶ τί γὰρ, οὐχὶ κοινόν; πάντα διὰ πάντων ἡμᾶς ἀλλήλοις ᾠκείωσεν. ἀλλὰ γάρ ἐστιν, ὥσπερ λέγεται, δυσπραγία πρᾶγμα δεινόν· καὶ ὅταν ἥκῃ τινὶ χρόνος ἀντίξοος, ἐνταῦθα τά, τε ἄλλα πάντα, καὶ ἀδελφῶν γνῶμαι καὶ φίλων ἐλέγχονται· ἐμοὶ δὲ ἀποχρήσει καὶ παρ᾽ ἑτέρων πυνθάνεσθαι τὰ περὶ ὑμῶν. μόνον ὁ Θεὸς ἀγαθῶν εἴη νομεύς. τοιούτου γὰρ ἐρῶμεν τοῦ περὶ ὑμῶν ἀκροάματος.

Theophilo Archiepiscopo 9.

Θεοφίλῳ Ἀρχιεπισκόπῳ.

B Longa te & felix senectus maneat: vir sanctissime ac sapientissime. Nam & alioqui ingens vitâ tuâ lucrum eris, superstes, & maxima scholæ Christi accessio, solemnium librorum numerus vnà cum annis excrescens. Nam qui hocce anno missus est liber & voluptate ciuitates affecit, & profuit, hoc quidem sententiarum grauitate, illud verò suauitate verborum.

Βαθύ σε γῆρας καὶ λιπαρὸν περιμείνειεν, ἁγιώτατε καὶ σοφώτατε. τά, τε γὰρ ἄλλα τῷ βίῳ κέρδος ἂν εἴης σωζόμενος, καὶ μεγίστη προσθήκη τῷ διδασκαλείῳ τοῦ Χριστοῦ γὰρ, ὁ τῶν πανηγυρικῶν βιβλίων ἀριθμὸς, τοῖς ἐνιαυτοῖς συναυξανόμενος. ὡς ὅ γε τῆτες καταπεμφθεὶς λόγος, καὶ ἧσε τὰς πόλεις καὶ ὤνησε· τὸ μὲν τῷ μεγέθει τῶν νοημάτων, τὸ δὲ τῶν ὀνομάτων τῇ χάριτι.

Philosophiæ Magistræ Hypatiæ 10.

Τῇ Φιλοσόφῳ Ὑπατίᾳ.

C Tibi ipsi ac per te felicissimis sodalibus salutem dico, beata domina, olim quidem libenter criminaturus quòd nullis à vobis dignatus essem literis: iam verò video me à vobis omnibus contemni, pro eo quod nihil quidem mali facio, in plerisque verò infortunatus sum, & quantum infortunatus quisquam esse potest. Verùm si vestras literas accipere possem, ac istud intelligere, quónam in statu versemini (omnino verò secundiore vtimini, ac meliorem genium experimini) dimidia ex parte duntaxat aduersis premerer, in vobis beatus: Nunc vel hoc vnum in iis malis est, quæ mihi contigerunt: vnà cum liberis meis etiam & amicis & omnium beneuolentia D sum frustratus. Et quod caput est, diuinissimæ animæ tuæ, quam ego mihi solam permansuram speraueram cum hac genij mei infestatione, tum hisce fatorum fluctibus superiorem.

Αὐτήν σε καὶ διὰ σοῦ τοὺς μακαριωτάτους ἑταίρους ἀσπάζομαι, δέσποινα μακαρία, πάλαι μὲν ἂν ἐγκαλέσας ἐφ᾽ οἷς οὐκ ἀξιοῦμαι γραμμάτων· νῦν δὲ οἶδα περιεωραμένος ὑφ᾽ ἁπάντων ὑμῶν, ἐφ᾽ οἷς ἀδικῶ μὲν οὐδὲν, ἀτυχῶ δὲ πολλὰ, καὶ ὅσα ἂν ἄνθρωπος ἀτυχῆσαι δύναται. ἀλλ᾽ εἴπερ εἶχον ἐντυγχάνειν ὑμετέραις ἐπιστολαῖς, καὶ μανθάνειν ἐν οἷς διατρίβετε· πάντως δὲ ἐν ἀμείνοσίν ἐστε, καὶ καλλίονος πειρᾶσθε τοῦ δαίμονος· ἐξ ἡμισείας ἂν ἔπραττον πονήρως, ἐν ὑμῖν εὐτυχῶν. νυνὶ δὲ ἕν τι καὶ τοῦτο τῶν χαλεπῶν ἐστιν, ἅ με κατείληφεν. ἀπεστέρημαι μετὰ τῶν παιδίων, καὶ τῶν φίλων, καὶ τῆς παρὰ πάντων εὐνοίας· καὶ τὸ μέγιστον, τῆς θειοτάτης σοῦ ψυχῆς, ἣν ἐγὼ μόνην ἐμαυτῷ ἐμμένειν ἤλπισα κρείττω καὶ δαιμονίας ἐπηρείας, καὶ τῆς ἐξ εἱμαρμένης ῥύμης.

Presbyteris 11.

Τοῖς * πρεσβυτέροις.

* γρ. τοῖς ἱερεῦσι.

Neque ego vobis antea superior eram, omni robore ac machinis sacerdotium detrectans: Neque nunc memet vicistis; sed diuinum profectò fuit quod nondum tunc, & nunc primum ita sit factum. Equidem non vnam mortem pro ea functione subijssem.

Οὔτε πρότερον ὑμῶν ἐγὼ περιῆν, ἁπάσῃ ῥώμῃ καὶ μηχαναῖς ἐκκλίνας ἱερωσύνην, οὔτε νῦν ὑμεῖς ἐμοῦ κεκρατήκατε· ἀλλὰ θεῖον ἄρα ἦν, καὶ τὸ μήπω τότε, καὶ τὸ νῦν ἤδη. ἐγὼ δὲ πολλοὺς ἂν θανάτους ἀντὶ τῆσδε τῆς λειτουργίας εἱλόμην.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὐ γὰρ κατ' ἐμαυτὸν εἶναι τὸν κόσμον ἐλογιζόμην τοῦ πράγματος. τοῦ Θεοῦ δὲ ἐπινεύσαντος, οὐχ ὅσα ἤτουν, ἀλλ' ὅσα ἠβούλετο, εὔχομαι τὸν δεδομένον νομέα τοῦ βίου, γενέσθαι καὶ τοῦ νεμηθέντος προστάτην. ὁ γὰρ ἐννεάσας τῇ κατὰ φιλοσοφίαν σχολῇ καὶ θεωρίᾳ τῶν ὄντων ἀπράγμονι, καὶ τοσοῦτον ὁμιλήσας φροντίσιν, ὅσον ἀφοσιώσασθαι τῷ μετὰ σώματος βίῳ, καὶ ταῖς πολίταις γεγονέναι πόλεων, πῶς ἀρκέσω μερίμναις ἐχούσαις συνέχειαν; ἢ πῶς ἐμαυτὸν ἐπιδοὺς ὄχλῳ πραγμάτων, ἔτι προσβαλῶ τοῖς νοῦ κάλλεσιν, ἃ μόνης ἐστὶ καρποῦσθαι τῆς μακαρίας σχολῆς; ἧς χωρὶς ἐμοὶ καὶ τοῖς ὁμοίοις ἐμοὶ, ἅπας ὁ βίος ἀβίωτος. ἐγὼ μὲν οὐκ ἂν εἰδείην· τῷ Θεῷ δὲ, φασὶ, πάντα δυνατὰ καὶ τὰ ἀδύνατα. ἀλλ' εἴ τε οὖν ὑπὲρ ἐμοῦ χεῖρας ἱκέτιδας ἄρατε πρὸς Θεὸν, καὶ τῷ τε ἐν ἄστει δήμῳ, καὶ ὅσοι κατ' ἀγροὺς ἢ κωμητικὰς ἐκκλησίας αὐλίζονται, ταῖς ὑπὲρ ἡμῶν εὐχὰς, καὶ κοινῇ καὶ καθ' ἕνα πᾶσι παρεγγυήσατε. εἰ γὰρ μὴ ἔρημος ἀπολειφθείην Θεοῦ, τότε γνώσομαι τὴν ἱερωσύνην, οὐκ ἀπόβασιν οὖσαν φιλοσοφίας, ἀλλ' * ἐπανάβασιν.

γρ. ἐπίβασιν.

A Neque enim satis mihi accommodatam rei dignitatem arbitrabar. Sed quoniam mihi Deus non quod cuperem, sed quod ipse vellet, imposuit. Eundem illum precor qui vitæ gubernator extitit, eius esse quod in gubernando dedit, moderatorem. Qui enim in philosophiæ otio, ac minime negotiosa rerum contemplatione ætatem contriuit, tantúmque vitæ curis ac molestiis tribuit, quantum ad eam quæ in hoc corpore degitur vitam ac ciuile in rebus publicis officium satis esset; quî continuis illis curis possum sufficere? aut quî meipsum negotiorum turbis implicans in eas mentis pulchritudines ani- B mum possum defigere, quibus frui beati cuiusdam est otij, sine quibus mihi ac mei similibus vita vniuersa vitalis esse non potest. Equidem assequi minimè possum; Deo verò omnia, vt aiunt, possibilia, etiá quæ fieri non possunt. Vos igitur ipsi supplices pro me ad Deum manus tendite, atque & vrbanæ multitudini, & quæcumque in agris, aut in paganis Ecclesiis degit, meo nomine preces publicè priuatímque vniuersis indicite. Nam si à Deo derelictus non fuero, tum agnoscam sacerdotium non descensum esse à philosophia, sed ascensum. C

Κυρίλλῳ.

Ἴθι παρὰ τὴν μητέρα τὴν ἐκκλησίαν, ἀδελφὲ Κύριλλε, ἧς οὐκ ἀπεκόπης, ἀλλ' εἰς καιρὸν ἐχωρίσθης· ὃς * ταῖς τῶν ἁμαρτημάτων ἀξίαις διώρισται. δοκῶ γὰρ εἰδέναι σαφῶς, ὅτι τοῦτ' ἂν πάλαι καὶ ὁ κοινὸς ἡμῶν πατὴρ ὁ τῆς ὁσίας μνήμης ἐποίησεν, εἰ μὴ τὸ χρεὼν ἔφθασε. τὸ γὰρ ἐν μέτρῳ τάξαι τὴν τιμωρίαν, γνώμης ἦν εὐθὺς ὑπισχνουμένης συγγνώμην. αὐτὸν οὖν ἐκεῖνον τὸν ὅσιον ἱερέα, νόμιζέ σοι δεδωκέναι τὴν κάθοδον, καὶ πρόσελθε τῷ Θεῷ καθαρευούσῃ πάθους ψυχῇ, καὶ ἀμνηστίαν ἐχούσῃ κακῶν. ἀλλὰ καὶ διὰ πάσης εὐφήμου μνήμης ἄγε τὸν ἱερὸν ἐκεῖνον καὶ θεοφιλῆ πρεσβύτην, τὸν ἀποδείξαντά σε πρόεδρον δήμου. πάντως σοι καὶ τοῦτο οὐκ ἀπόθυμιον.

γρ. ὃ καὶ

Cyrillo 12.

Vade ad matrem Ecclesiam, Cyrille frater, à qua minimè abscissus, sed ad tempus separatus es, quod pro criminum merito definiri solet. videor enim manifestò scire istud ipsum pridem, & communem nostrum ac sanctæ memoriæ patrem fuisse facturum, si non ante fatalis necessitas occupasset; Si quidem pœnæ modum constituere animi iudicium erat statim veniam pollicentis. Itaque sanctum illum sacerdotem tibi reditum concessisse existima, & ad Deum accede vacuo D prauis affectibus animo, & malorum priorum oblito. Sed & plena prædicatione memoria prosequere sacrum illum, & Deo carum senem, qui te populo præfecit. Omnino tibi & istud minimè ingratum.

Πέτρῳ πρεσβυτέρῳ.

Θεὸς ἡγείσθω παντὸς ἔργου καὶ λόγου· τὸν δὲ διακομιστὴν τῶν πανηγυρικῶν γραμμάτων, ἃ καταγγέλλει τὴν κυρίαν τῆς ἑορτῆς ἡμέραν ἐννεακαιδεκάτην τοῦ Φαρμουθὶ μηνὸς, ὡς τῆς

Petro Presbytero 13.

Initium operis omnis, ac sermonis Deus esto. Solemnium literarum latorem, quibus constituta festiuæ celebritati dies indicitur, ad decimum nonum mensis Aprilis, ita vt

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

quæ proximè illam antecedit nox, Resurrectionis mysterio consecrata sit, hunc & abeuntem, & redeuntem omni cum humanitate prosequimini, ac iumentorum mutatione vtrinque dimittite: qui vt ne Ecclesiis vetus & patria consuetudo intercideret, mediis sese hostium telis commisit, per suspectam regionem iter suscipiens. Eædem literæ & ciuitati persuadent, vt pro nobis Deum precetur. Iam enim inde eam oportet suæ erga me imprudentiæ sensum capere, quæ quidem ad sacerdotium euexit non eum cui ad Deum adeundi, ac pro vniuerso populo supplicandi esset fiducia, sed qui vt seruari ipse posset, populo deprecatore opus haberet. Præsertim cùm in idem tempus inciderit coacta huc synodus, plurimorum scilicet Sacerdotum concursus, quem præsentis status temporis conuocauit, tùm cùm ad vos scribere sum aggressus. Quod si nihil eorum dicere potui, cuiusmodi audire soletis, mihi quidem ipsi condonandum erit; vobis autem culpæ tribuendum, quoniam diuinarum scripturarum ignarum, earundem peritis anteposuistis.

A ἐπὶ ταύτην ἀγούσης νυκτὸς τὸ ἀναστάσιμον ἐχούσης μυστήριον, τοῦτον καὶ προσιόντα καὶ ἐπανιόντα φιλανθρωπίας ἁπάσης ἀξιώσατε· καὶ ἀμοιβῇ ζώων ἐφ' ἑκάτερα πέμψατε, ὅστις ὑπὲρ τοῦ μὴ γενέσθαι ταῖς ἐκκλησίαις ἐλλιπὲς ἔθος ἀρχαῖον καὶ πάτριον, μέσοις ἑαυτὸν τοῖς τῶν πολεμίων ὅπλοις ἐπέδωκεν, ὑποστὰς ὁδοιπορῆσαι δι' ὑπόπτου τῆς χώρας. ταῦτα καὶ πείθει τὴν πόλιν ὑπὲρ ἡμῶν εὔχεσθαι. δεῖ γὰρ αὐτὴν ἐντεῦθεν ἤδη τὴν τῆς ἐφ' ἡμῖν ἀβουλίας αἴσθησιν δέξασθαι, ἥτις ἐκάλεσεν εἰς ἱερωσύνην, οὐχ ᾧ παρρησία τίς ἐστι πρὸς Θεὸν
B ὅλου δήμου διαβαίνειν προσδέξασθαι· ἀλλ' ὅστις αὐτὸς ὑπὲρ τοῦ σωθῆναι, δεῖται γενέσθαι δημαιτήτος. ἐπεὶ καὶ τῆς ἐνθάδε συνόδου· πλῆθος δὲ συχνῶν ἱερέων· συντυχία τίς ἦν, ἣν* ὁ νῦν καιρὸς ἤθροισεν, ἐπιθεμένῳ μοι γράψαι πρὸς ὑμᾶς. εἰ δὲ μηδὲν ἔσχον εἰπεῖν, *οἵων ἀκούειν εἰώθατε, συγγνώμη μὲν ἐμοὶ τοῦτο, ἔγκλημα δὲ ὑμῖν, ὅτι τὸν οὐκ εἰδότα τὰ λόγια τοῦ Θεοῦ, τῶν εἰδότων ἀντείλεσθε. γρ. ἑόρτ. γρ. ὧν

Anysio 14.

C

Ἀνυσίῳ.

Sic filij parentes propugnant: Acceptum habeo beneficium. Carnas supplex mihi fuit, cuius supplicationem sanctiorem Deus ipse reddidit. Quî enim sacerdotis est, iudicatum, ac prehensum hominem sua præsertim causa pati, ieiunij tempore? Quamobrem qui illum adduxit, non dimisit; sed ereptus illi homo est. Quòd si coactus huius pœnas ab eo repetas, eò deuenerimus vt in eos humanitate vteremur, qui nos iniuria affecissent, eos verò afficeremus, qui nullam nobis intulissent.

Οὕτως ἀμύνουσι γονεῦσι παῖδες· ἀπέχω τὴν χάριν. Καρνᾶς ἱκέτης μου γέγονεν, οὗ τὴν ἱκεσίαν ὁ Θεὸς αἰδεσιμωτέραν ἐποίησε· ποῦ γὰρ ἱερέως εἰς ἰδίαν ὑπόθεσιν περιιδεῖν ἀγώγιμον ἄνθρωπον ἐν νηστίμοις ἡμέραις; ὅστις οὖν ἤγαγεν αὐτὸν, οὐκ ἀφῆκεν, ἀλλ' ἀφῃρέθη τὸν ἄνθρωπον. ἂν οὖν ὑπὲρ τοῦ βεβιάσθαι τοῦτον δῷ δίκην, περιέστημεν ἡμεῖς εἰς τὸ τοῖς μὲν ἠδικηκόσι γενέσθαι φιλάνθρωποι, αὖθις δὲ τοὺς οὐδὲν ἀδικοῦντας ἠδικηκέναι.

D

Philosophiæ magistræ 15.

Τῇ φιλοσόφῳ.

Eô sum infortunij redactus, vt hydroscopio opus habeam: iube mihi fabricari ac coëmi. Tubulus est Cylindri figuram habens tybiæ magnitudine atque forma. Hic in vna recta linea incisiones habet, quibus aquarum libramentum cognoscimus. Obturat enim illum altera ex parte conus, æquabili positura insertus, ita vt communis sit amborum basis, coni videlicet, atque

Οὕτω πάνυ πέπραγα πονήρως, ὥστε ὑδροσκοπίου μοι δεῖ. ἐπίταξον αὐτὸ χαλκευθῆναί τε καὶ * συνωνηθῆναι. σωλήν ἐστι κυλινδρικὸς, αὐλοῦ καὶ σχῆμα καὶ μέγεθος ἔχων. οὗτος ἐπί τινος εὐθείας δέχεται τὰς κατατομὰς, αἷς τὴν ὑδάτων τὴν * ῥοπὴν ἐξετάζομεν. ἐπιπωματίζει γὰρ αὐτὸν ἐκ θατέρου κῶνος κατὰ θέσιν ἴσην ἐγκείμενος, ὡς εἶναι κοινὴν βάσιν ἀμφοῖν τοῦ κώνου τε καὶ γρ. συνωθῆναι, ἢ συνεισωθῆναι. γρ. ῥοὴν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῦ σωλῆνος. αὐτὸ δὴ τοῦτό ἐστι τὸ Βαρύλλιον. A ὅταν οὖν εἰς ὕδωρ καθῇς τὸν αὐλὸν, ὀρθὸς ἑστήξει, καὶ παρέξει σοι τὰς κατατομὰς ἀριθμεῖν· αἱ
γρ. ῥυπῆς
δὲ τῆς * ῥοπῆς εἰσὶ γνωρίσματα.

tubuli. Hoc ipsum est, quod Baryllium appellant. Iam cùm tubulum in aquam deposueris, erectus subit, vt in eo incisiones facilè numerare possis; ex quibus libramentum cognoscitur.

Τῇ αὐτῇ.

Κλινοπετὴς ὑπηγόρευσα τὴν ἐπιστολὴν, ἣν ὑγιαίνουσα κομίσαιο, μῆτερ καὶ ἀδελφὴ καὶ διδάσκαλε, καὶ διὰ πάντων τούτων εὐεργετική· καὶ ἅπαν ὅ,τι τίμιον καὶ πρᾶγμα καὶ ὄνομα· ἐμοὶ δὲ τὰ τῆς σωματικῆς ἀσθενείας, ψυχικῆς αἰτίας ἐξῆπται· κατὰ μικρὸν με δαπανᾷ τῶν B
γρ. παρελθόντων
παιδίων τῶν * ἀπελθόντων ἡ μνήμη· μέχρις ἐκείνου ζῆν ἄξιον Συνέσιον, μέχρις ἦν ἄπειρος τῶν τοῦ βίου κακῶν· εἶτα ὥσπερ ῥεῦμα ἐπισχεθὲν, ἀθρόον ἐρρύη, καὶ μετέβαλεν ἡ γλυκύτης τοῦ βίου. παυσαίμην ἢ ζῶν, ἢ μεμνημένος τῶν υἱέων τοῦ τάφου· σὺ δὲ αὐτή τε ὑγιαίνοις, καὶ ἄσπασαι τοὺς μακαρίους ἑταίρους, ἀπὸ τοῦ πατρὸς Θεοτέκνου, καὶ ἀπὸ τοῦ ἀδελφοῦ Ἀθανασίου ἀρξαμένη, πάντας ἑξῆς· καὶ εἴ τις αὐτοῖς προσγέγονεν, ὡς εἶναι σοι καταθύμιος· ἐμὲ δὲ δεῖ χάριν ὀφείλειν αὐτῷ, διότι σοι καταθύμιός ἐστι· κἀκεῖνον ὡς φίλον φίλτατον ἄσπασαι παρ' ἐμοῦ. τῶν ἐμῶν εἴ C
γρ. μέλει, οὐ
τι σοι μέλει, καλῶς ποιεῖς· καὶ εἰ μὴ * μέλει, οὐδὲ ἐμοὶ τούτου μέλει.

Eidem 16.

Decumbens in lecto hanc epistolam dictaui, quam incolumis accipias precor, Mater ac soror, & magistra, & in his omnibus benè de me merita; & si qua alia res est appellatione honorifica. Mihi verò corporis imbecillitas ab animi ægritudine occasionem habet. Paulatim me conficit liberorum morientium recordatio. Eô vsque viuere Synesium par erat, quousque vitæ malorum expers fuerit. Postea velut coërcitus torrens vno impetu decidit, mutatáque vitæ omnis est iucunditas. Vtinam aut viuere desinam, aut sepulchri liberorum meminisse. Tu verò & ipsa valeas, & beatos à me sodales saluta, à Theotecno patre & fratre Athanasio incipiens, deinceps vniuersos: ac si quis ad eos accesserit, qui tibi ex animo sit. Me autem gratiam ei debere oportet hoc ipso, quod ex animo tibi sit, & huic tanquam amico amicissimo à me salutem dicito. Mearum rerum si quid tibi curæ est, rectè facis: sin nihil curæ est, neque mihi curæ istud est.

Ἡλιοδώρῳ.

γρ. τῷ δὲ
Πολλὰ κἀγαθὰ γένοιτο τῷ * δεῖνι, δι' εὐφήμου μνήμης τὴν σὴν ἄγοντι σεμνοπρέπειαν,
γρ. ἐμπεπληκότι
καὶ τὰς ἁπάντων ἀκοὰς * ἐκπεπληκότι τῶν ἐπαίνων τῶν κατὰ σοῦ, ὀφειλομένων τῇ χρυσῇ σου ψυχῇ καὶ γλώττῃ. πλὴν ἀλλὰ παρὰ πόδας
γρ. εὐφημίας.
ἀποδίδως τὴν χάριν τῆς * εὐλογίας, ἀντευ- D φημεῖται γὰρ ὑπὸ μυρίων ὅσων τῶν σῶν ἐραστῶν, οἷς ἅπασιν ἐγὼ τῶν πρωτείων ἀμφισβητῶ· μᾶλλον δὲ οὐκ ἀμφισβητῶ· συγχωροῦσι γὰρ ἅπαντες.

Heliodoro 17.

Plurima illi homini bona eueniant, qui magnificentiam tuam sanctissima recordatione prosequitur, auréſque omnium tuis laudibus impleuit, cùm animæ, tum linguæ aureæ nomine tibi debitis. Veruntamen subinde illi prædicationis gratiam refers, vicissim enim innumerabilium tui amatorum prædicatione fertur, quibuscum omnibus de principatu contendero: vel non contendo potiùs, vltrò enim mihi ab omnibus conceditur.

Τῷ ἀδελφῷ.

Ὁ δεῖνα βουλευτὴς μέν ἐστι πόλεως, ἐν ᾗ τοὺς
γρ. ἐγεννησάμεθα
παῖδας * ἐγεννησάμην. τρόπον οὖν τινὰ πάντας Ἀλεξανδρείας ὡς πολίτας ὑφ' ἡμῶν τιμᾶσθαι καὶ

Fratri 18.

Hic Senator quidam eius vrbis est in qua liberos sustuli. Itaque omnes quodammodo Alexandrinos, tanquam populares coli à nobis atque obseruari

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

conuenit. huic verò contingit cum beato Theodoro affinitas, singularis memoriæ viro, nullâque in re contemnendus ab iis, qui hîc principem in Rep. locum obtinent. Ij ad me illum deduxerunt, cum pecunias ad vos in militum stipendia perferret, meisque ad vos commendatitiis, literis vt eum prosequerer, flagitarunt. Prosperè illi cessura omnia rati, si tibi atque ei commendatus foret. Itaque quod à me postulabant concessi. An non frustra, vos ipsi declarabitis.

Herodi & Martyrio 19.

Non accusandus ob id mihi videor, quòd epistolæ vos communione sociauerim, sed si animo coniunctos literis disiunxissem, hoc ipsum mihi vitio vertendum fuisset. Salutem à me accipite egregij viri: atque eum qui epistolam hanc vobis dederit, quique auri perferendi gratia publica ad vos via profectus est, quibus potestis obsequiis fouete. Quoniam is ab vniuerso mihi consilio commendatus est, velimque equidem boni ei causa alicuius esse. Sed illud tamen nescio quibusnam aliis potius quam vobis, & nos curæ esse & quæ à nobis suscepta fuerint, conueniat.

Diogeni 20.

Quandiu beatus Theodorus vixit, fuit ille quidem communis Pentapolitarum omnium hospes, præcipuè verò parentes sibi nostros deuinxerat & singulari in omnibus studio, & linguæ copia, ac suauitate. Quamobrem multorum illius iucundissimorum meritorum gratiam in consobrinum Ammonium conferamus. Atque ego quidem quod mearum erat partium præstiti. Quod enim aliud absentis erat officium quàm præsentibus hominem commendare? Vt autem non molesta illis sit commemoratio, vestrum est prouidere.

Duci 21.

Si vlla apud magnificentiam vestram Theodori vrget memoria, Quî autem non vrgeat? gratificare mortui illius propinquis in consobrinum illius obseruantiam. Nam & de optimo viro

A ὀρθοῦσθαι προσήκει. τῷ δὲ κατ' ἀρχὰς συγγενῆ τε εἶναι τοῦ μακαρίτου Θεοδώρου σφόδρα διαμνήμης ἡμῖν ἀνδρὸς γενομένου, καὶ μηδὲν ἀμελεῖσθαι ἀξίῳ παρὰ τῶν τῆδε τὰ πρῶτα ἐχόντων ἐν τῷ πολιτεύεσθαι. οὗτοί μοι προσήγαγόν τε αὐτὸν, χρυσίον ὡς ὑμᾶς νομὴν στρατιώταις κομίζοντα· καὶ ἐδεήθησάν ἐμοῖς ἐφοδίοις γράμμασι πρὸς ὑμᾶς * πέμψαι, ἡγούμενοι πάντα καλῶς ἕξειν αὐτῷ, τυχόντι τοῦ παρ' ἐμοῦ (οἵ τε καὶ * τῷ δεῖνι συστῆναι. ἐγὼ μὲν οὖν ὅπερ ᾔτησαν ἔδωκα· εἰ δὲ μὴ μάτην, ὑμεῖς δείξετε. γρ. παραπέμψαι. γρ. τῷ δὲ.

Ηρώδῃ καὶ Μαρτυρίῳ.

B Οὐκ ἐν αἰτίᾳ μοι δοκῶ πεποιῆσθαι τὴν κοινωνίαν τῆς ἐπιστολῆς. ἀλλ' εἰ διῴκισα γράμμασι τοὺς συνῳκημένους τῇ γνώμῃ, τοῦτ' ἂν ἦν ὃ κατ' αἴτιον. προσειρῆσθε δὲ θαυμάσιοι· καὶ τὸν ἐπιδιδόντα τὴν ἐπιστολὴν, ὃς ἐπὶ χρυσίου διακομιδῇ * πρὸς ὑμᾶς ἐστάλη δημοσίαν ὁδὸν, θάλψατε τὸν ἐνόντα τρόπον, ἐπειδή μοι παρὰ παντὸς συνέστη τοῦ βουλευτηρίου· καὶ βουλοίμην μὲν ἀγαθοῦ τινὸς αἴτιος αὐτῷ γενέσθαι. οὐ μὴν οἶδα ὅτι μᾶλλον ὑμῶν ἑτέροις μέλει ἄξιον ἡμῶν τε καὶ ὧν ἂν ἡμεῖς * ἐπιβαλλώμεθα. γρ. παρὰ. γρ. ἐπιμελώμεθα.

C

Διογένει.

Ἕως ἔτι περιῆν ὁ μακαρίτης Θεόδωρος, κοινὸς μὲν ἦν ἁπάντων Πενταπολιτῶν πρόξενος. διαφερόντως δὲ τοὺς ἡμετέρους γονέας ἐξήρτητο, τῇ τε εἰς ἅπαντα σπουδῇ καὶ τῇ τῆς γλώττης εὐστομίᾳ καὶ χάριτι. τὴν οὖν παρ' ἐκείνου πολλῶν καὶ ἡδίστων, εἰς Ἀμμώνιον τὸν ἀνεψιὸν τὴν χάριν ἀπομνημονεύσωμεν. ἐγὼ μὲν οὖν τοὐμὸν μέρος, ἀπέτισα. τί δὲ ἦν ἀπόντος

D ἔργον, ἢ τοῖς παροῦσι τὸν ἄνδρα συστῆσαι. τὸ δὲ μὴ βαρεῖαν αὐτῷ τὴν αὐτόθι γενέσθαι διατριβὴν, ὑμέτερον ἔργον.

Τῷ ἡγεμόνι.

Εἰ τοῦ Θεοδώρου μνήμη παρὰ τῇ σεμνοπρεπείᾳ τῇ σῇ, πῶς δὲ οὐ μέγας, χαρίσαι τοῖς εἰς τὸν ἀπελθόντα καθήκουσι, τὴν εἰς τὸν ἀνεψιὸν τὸν ἐκείνου τιμήν. καὶ γὰρ ἄνδρα ἀγα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θὸν σὺ πεποιηκὼς ἔσῃ, καὶ τῷ τῆς μεγάλης A Ἀλεξανδρείας βουλευτηρίῳ χαρισάμενος· ὡς ἀθρόοι γενόμενοι προσταγηόχασιν ἐμοὶ τὸν ἄνδρα, καὶ ἐδεήθησάν ὄνασθαί τι τῶν ἡμετέρων γραμμάτων. τὸ μὲν οὖν δοῦναι τὰς ἐπιστολὰς, ἡμέτερον ἦν· τὸ δὲ εἰς ὄνησιν αὐτῷ γενέσθαι, παρ' ὑμῶν ἐπιζητεῖται.

Ἀναστασίῳ.

Ἤσθην, ἀλλὰ πῶς οἴει; πάνυ μὲν οὖν ἀπὸ βαθείας τῆς γνώμης ἤσθην, μαθὼν τὰ χρυσᾶ παιδία τῇ τοῦ βασιλέως φωνῇ νόμῳ σοι παιδία γενόμενα, μάλιστα μὲν, ὅτι σὲ φιλῶ· B τίνα γὰρ ἂν δικαιότερον· εἶθ' ὅτι πονηροὺς ἀνθρώπους μισῶ, ὧν τὰς ἐν σκότῳ καὶ γωνίαις ἐλπίδας, ἡ χρηστὴ τύχη τῶν παιδίων ὑπετέμετο.

Διογένει.

γρ. τρυφή. Τοιοῦτόν ἐστιν ἡ Σύρων * τρυφή· καὶ συγγενῶν καὶ φίλων ἐπιλήσμονας ἀποδείκνυσι. μὴν γὰρ οὑτοσὶ πέμπτος, ἀφ' οὗ γράμμασιν ἡμᾶς οὐκ ἠσπάσω, καὶ ταῦτα δούσης σοι τῆς φύσεως οὐ μόνον πρὸς χρείαν, ἀλλὰ καὶ πρὸς ἔνδειξιν C καὶ φιλοτιμίαν ὑπαγορεύειν ἐπιστολάς. ἀλλ' αἰ αὐτὸς ὑγιαίνῃς, καὶ τὰ χρυσᾶ παιδία, καὶ ἡ καλλίπαις μήτηρ αὐτῶν, ἡμῖν καὶ τοῦτο ἅλις ἔχει.

Σιμπλικίῳ.

Ἐχρῆν μέν τοι ταῖς τύχαις τὰς γνώμας μὴ συνεξαίρεσθαι, μηδὲ τὸ μεμνῆσθαι τῶν πάλαι φίλων, ἔλαττον ἡγεῖσθαι τῆς παρούσης ἀξίας. σὺ δὲ ἡμῶν ἐπιλήσμων ἐγένου χρόνου συχνοῦ. χρεὼν δὲ οὐχὶ, καί τοι σφοδρᾶς διαθέσεως συναψάσης ἡμᾶς ἀλλήλοις. D

Ἡλιοδώρῳ.

Ἐμοὶ μὲν συμπροέρχεται τοῖς ἐνιαυτοῖς καὶ ἡ τοῦ φίλτρου προσθήκη· σὺ δὲ εἰ μὲν ὁμοίως ἔχων, οὐκ ἄγεις σχολὴν ὑπὸ τοῦ τῶν πραγμάτων ὄχλου γράμμασι τιμᾶν ὡς εἰκὸς ἅπαξ ποτὲ, καὶ οὗ εἰκὸς, κλέψας σαυτὸν ἀπὸ τῶν δημοσίων χρόνον ὅσον ἀρκέσαι πρὸς μέτρον ἐπι-

bene eris meritus, & magnæ Alexandriæ Consilium tibi hoc beneficio deuinxeris, qui frequentes hominem ad me deduxerunt, meisque vt eum literis iuuarem postularunt. Igitur literas dare mei officij erat, vt autem adiumenti aliquid adferant, à vobis istud expectatur.

Anastasio 22.

Gauisus sum, verùm quantum putas? Plane quidem ex intimo corde gauisus sum, posteaquam accepi aureos illos liberos Imperatoris appellatione, lege tuos esse liberos factos: Maximè quidem propterea quod te amo; Quem enim iustius? deinde quia pessimos homines odi, quorum tenebricosas & obscuras spes egregia puerorum fortuna subuertit.

Diogeni 23.

Eiusmodi Syrorum luxus est; & cognatorum, & amicorum obliuiosos reddit. Quintus enim hic mensis agitur, ex quo nullis nos literis appellasti: præsertim cum natura tibi non ad necessitatem tantùm, sed etiam ad ostentationem atque gloriam, epistolas vt dictare posses, tribuerit. Sed si & ipse vales, & aurei pueri, & felix ea prole mater illorum, vel istud nobis sufficiat.

Simplicio 24.

Atqui animos cum fortuna nequaquam attolli oportebat, nec veterum amicorum meminisse, infra præsentem dignitatem arbitrari. Tu verò longo iam tempore nostri obliuisceris; minimè verò decebat, vtique cum maxima nos mutuo beneuolentia coniunxerit.

Heliodoro 25.

Mihi quidem vnà cum annorum decursu amoris incrementum procedit. Tu verò si eodem modo affectus præ multitudine occupationum me hoc honore literarum tuarum afficiendi otium non habes; quod semel saltem aliquando fieri par esset; & erga quos maximè par esset, vt publicis rebus tantulum tete temporis subtraheres, quantùm ad scribendum epistolam sufficiat,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

hoc si inquam non potes, mihi significato. Sin veram contra te hanc obliuionis suspicionem agnoscis, pœnitendo corrige, teque ipsum nobis restitue.

A στολῆς, αὐτὸ τοῦτο μηνύουσιν· εἰ δὲ ἐπιγινώσκεις ἀληθευομένην κατὰ σοῦ τὴν ὑποψίαν τῆς λήθης, διόρθωσαι μετανοίᾳ, καὶ σαυτὸν ἡμῖν ἐπανάγαγε.

Troilo 26.

At si neque Cyrenenses, neque vicinæ ciuitates dignam tibi gratiam referunt pro eo quod diuinus Anastasius ad eas scribit, omnino diuina tibi accedet gratia, cui tete bene merendi voluntate concilias feliciter degas, philosophorum optime. Libet enim ita tete compellare vti res ipsæ hortantur.

Τρωίλῳ.

Ἀλλ' εἰ μήτε Κυρηναῖοι, μήθ' αἱ πόλεις ἀστυγειτόνων ἀποτίσουσί σοι χάριν ἀξίαν, ἀνθ' ὧν ὁ θαυμάσιος Ἀναστάσιος αὐταῖς γράφει, πάντως γε ἡ τοῦ Θεοῦ σοι προσέσται χάρις, ᾧ σαυτὸν οἰκειοῖς τῇ κοινωνίᾳ τῆς εὐεργετικῆς προαι-B ρέσεως εὐδαιμονοίης, ἄριστε φιλοσόφων. οὕτω γὰρ ἐμοί σε φίλον καλεῖν, ὥσπερ ὑπαγορεύει τὰ πράγματα.

Constanti 27.

Si verò philosophiæ virtutem honoras, non modò in præsentibus eaque præditis, verùm & in absentibus honorabis. Diuinus porrò Amyntianus qui quondam apud nos ad feliciorem sortem migrauit, adest vt mihi quidem videtur, etiamsi abesse videatur. Huius maximè propinquo consobrino Soterichus vester iniuriam facit. Ostende tibi curæ esse Dionysium, statimque ab iniuria Soterichus desistet.

Κώνσταντι.

Εἰ δὲ φιλοσοφίας τιμᾷς ἀρετήν, οὐ μόνον ἐν τοῖς παροῦσι καὶ μετασχοῦσιν αὐτῆς, ἀλλὰ καὶ ἐν τοῖς ἀποῦσι τιμήσεις· ὁ θεσπέσιος Ἀμυντιανὸς ὁ παρ' * ἡμῖν ποτε τυχὼν ἀμείνονος λήξεως, κ. ὑμῖν. ἐμοὶ δοκεῖ, πάρεστι καὶ ἀπεῖναι δοκῶν. τούτου συγγενῆ σφόδρα αὐτανέψιον, ὁ παρ' ὑμῖν Σωτήριχος ἀδικεῖ. δεῖξον ὅτι κήδῃ Διονυσίου, καὶ πέπαυται Σωτήριχος ἀδικῶν.

C

Simplicio 28.

Dimittenda Deus esse debita dicit, Porrò hic quidem pecuniam mutuam, ille verò pœnas dependere debet: Igitur qui repetere ab eo pœnas contempserit, Deo fuerit obsecutus.

Σιμπλικίῳ.

Ἀφιέναι φησὶ δεῖν ὁ Θεὸς τὰ ὀφειλήματα· ὀφείλει δὲ ὁ μέν τις δάνεισμα χρυσίου· ὁ δέ, τὸ δοῦναι δίκην· καὶ ὁ τοῦ λαβεῖν τὴν δίκην ὑπεριδών, ὑπήκουσε τοῦ Θεοῦ.

Pentadio Augustali 29.

Interpellationis molestiæque causam tute tibi tribuito. Cùm enim manifestum omnibus esse voluisset, omni me apud te in honore, ac pretio esse, cunctis ad me qui in aliqua calamitate sunt, cursum patefecisti. Nosti igitur quemadmodum sis facturus si & me à multis & de multis te à me desinere sollicitari oporteat, quanquam moderata omnia cum primis & æqua postulet is pro quo scribimus, estque vt omnes norunt, qui ea impetret, dignissimus, minimè tamen ea abs te consequatur, non secus ac si & ipse pessimus esset, & pessimis tecum de rebus ageret. Quinetiam cùm ad te expostulaturus scilicet, adiero, famulis tuis præcipe, mihi vt ob os

Πενταδίῳ Αὐγουσταλίῳ.

Τοῦ παρ' ἡμῶν ὄχλου, καὶ τῶν πραγμάτων, αὐτὸς σὺ σαυτὸν αἰτιῶ. φιλοτιμηθεὶς γὰρ D πᾶσι γενέσθαι καταφανής, ὅτι με διὰ πάσης ἄγεις τιμῆς, ἅπασι τοῖς καταπονουμένοις ἐπ' ἐμὲ τὸν δρόμον ἀνέῳξας. οἶσθ' οὖν ὅπως ποιήσεις, εἰ δεῖ ποτε πεπαῦσθαι κἀμὲ ἐνοχλούμενον ὑπὸ πολλῶν, καὶ σὲ περὶ πολλῶν ὑπ' ἐμοῦ, εἰ καὶ πάνυ δέεται μετρίων καὶ φιλανθρώπων ὑπὲρ οὗ γράφω, καὶ τυχεῖν ἐστὶν ἀξιώτατος ὡς ἅπαντες ἴσασιν, ἀποτυγχανέτω σοῦ μηδὲν ἧττον, ἢ εἰ παμπόνηρός τε ἦν, καὶ παμπονήρων ἐδεῖτο πραγμάτων. τοῦτό τε οὖν, καὶ ὅταν ἀφίκωμαι παρὰ σὲ δῆθεν αἰτιασόμενος, πρόσταττε τοῖς ὑπηρέταις ἐπιζυγῶσαί μοι κατὰ τοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

προσώπου τὰς θύρας· ἂν τοῦτο γινόμενον οἱ μὲν ἴδωσιν, οἱ δὲ τῶν ἰδόντων ἀκούσωσι, τοὐντεῦθεν ἐγώ τε καὶ σύ, βαθεῖαν εἰρήνην ἄξομεν, ὡς οὐδείς γε ἔτι τοῦ λοιποῦ προσδραμεῖται μοι καὶ προσαποκλαύσεται· εἰ δὲ ἀποδειλιάσεις, καὶ οὐκ ἐθελήσεις ταῦτά σοι τοὺς ἀνθρώπους συγγνῶναι, ἀνέχου πολλάκις τῆς ἡμέρας ἀγαθόν τι ποιεῖν ἀνθρώποις, ἱκέτας σοὺς γινομένους δι' ἐμοῦ τε καὶ τοῦ Θεοῦ. Ἀλλ' εὖ οἶδ' ὅτι οὐκ ἀπαγορεύσεις εὖ ποιῶν. οὔκουν οὐδὲ ἐγώ, πρεπούσας ὑποθέσεις τῇ φύσει σοῦ πορίζόμενος.

A ianuam occludant. Postquam istud à te factum alij viderint, alij ab iis audierint, deinceps ego & tu magna in pace versabimur; quoniam nemo de cætero ad me confugiet, nec ærumnas suas apud me deplorabit. Quòd si istud facere reformidaueris, nec eiusmodi quicquam in te homines animaduertere volueris, fac quotidie sæpiùs de hominibus benè mereri sustineas, tuis per me, ac Deum supplicibus. Verùm hoc vtique scio: nequaquam tu bene merendo fatigaberis. Quare neque ego consentaneas naturæ tuæ occasiones procurando.

Τῷ αὐτῷ.

B

Ἐγὼ καὶ σοῦ κήδομαι καὶ τοῦδε· σοῦ μὲν ὡς μὴ ἀδικοίης· τοῦδε δέ, ὡς μὴ ἀδικοῖτο. εἰ δὲ καὶ σοὶ δοκεῖ μετὰ τοῦ Πλάτωνος, τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι μεῖζον εἶναι κακόν, ἔοικά σοι μᾶλλον, ἢ τῷδε χαρίζεσθαι, δεόμενος ὑπὲρ αὐτοῦ περιεπομένου δίκας ὑπὲρ ὧν οὐκ ἐξήμαρτεν.

Eidem 30.

Ego & tui curam, & illius habeo: tui ne iniuriam facias; ne accipiat, illius; Iam si cum Platone sentis; iniuriam inferre, quàm accipere multo esse deterius, meliùs de te quàm de illo mereri videor, cùm pro illo deprecor, à quo pœnæ eius, quod non commisit, criminis repetuntur.

Αὐρηλιανῷ.

Εἴ τινές εἰσι ψυχαὶ τῶν πόλεων, ὥσπερ οὖν εἰσίν, ἔφοροι, θεαί τε καὶ δαιμόνιοι, πάσας ἡγοῦ σοὶ χάριν εἰδέναι, καὶ ἀπομεμνῆσθαι τῶν ἀγαθῶν, ὧν ἐπὶ τῆς μεγάλης ἀρχῆς ἅπασιν ἔθνεσιν αἴτιος γέγονας. αὐτάς τε οὖν ταύτας παρὰ τοὺς καιροὺς ἑκάστους οἴου σοὶ παρεστάναι συνηγόρους τε καὶ συμμάχους, καὶ τοῦ κοινοῦ Θεοῦ δεῖσθαι, γενέσθαι σοὶ πρεπούσας ἀμοιβὰς τῆς ἐνδεχομένης ἐκείνου μιμήσεως. τὸ γὰρ εὖ ποιεῖν, ἐν τοῦτο μόνον ἔχουσι κοινὸν ἔργον ἄνθρωπος καὶ Θεός· ἡ δὲ μίμησις, οἰκείωσίς ἐστι, καὶ συνάπτει πρὸς ὃ μιμεῖται τὸ μιμούμενον. διάκεισο τοίνυν ὡς ἀπειργασμένοις οἰκείως τῷ Θεῷ τῇ κοινωνίᾳ τῆς εὐεργετικῆς προαιρέσεως, καὶ συνέσο γλυκείαις ἐλπίσιν, ὁποῖαι τῇ τοιαύτῃ τῆς ψυχῆς διαθέσει προσήκουσιν, ὦ μεγαλοπρεπέστατε, μόνος, ἢ μετ' ὀλίγων σὺ μόνος, δικαίως καλούμενος. ἀσπάζομαι διὰ τῆς σεμνοτάτης φωνῆς τοῦ πατρὸς τὸν νέον Ταῦρον τὰς ἀγαθὰς Ῥωμαίων ἐλπίδας.

Aureliano 31.

C Si vllæ sunt ciuitatum animæ, vt re vera sunt, præsides, diuinæ atque è Geniorum numero, vniuersas puta gratiam habere tibi, bonorúmque esse omnium memores, quæ summo magistratu in omnes gentes contulisti. Proinde illas ipsas singulis temporibus adesse tibi credito aduocatas & socias, communémque pro te Deum precari, vti meritis te præmiis compenset, pro eo quod illum quoad fieri potest perfectè sis imitatus. Bene enim aliis facere hoc solùm habent homines cum Deo commune: Imitatio porrò conciliatio quædam est, idq; quod imitatur cum eo coniungit, quod imitandum proponitur. Quamobrem sic habeto, D affinem te Deo esse factum, eiusdem beneficæ communione voluntatis, dulcissimáque teipsum spe foue, cuiusmodi ei animi affectioni consentanea est. O magnificentissime, solus, aut cum paucis meritò solus appellande. Saluto per augustissimã patris vocem iuuenem Taurum, præclaras Romanorum spes.

Τῷ ἀδελφῷ.

Ὁ καὶ τοὔνομα δοῦλος, καὶ τὴν προαίρεσιν, ὃν ἀγνοήσας, ὡς παιδοτρίβην παρὰ

Fratri 32.

Qui & nomine & animo seruus est, quem ignorans tanquam Pædotribam

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

de Theodori hæredibus emeram, olim est quidem nequam: nam & male natus est, [illegible] educatus, nec abhorrentem ab [illegible] naturáque institutionem nactus, iam tum à puero in coturnicum receptaculo, & alea, ac popinis volutatus. Verùm nunc, Lysias dixerit, Absolutus est, finem habet, molestiæque terminus & complementum est. Siquidem cum Mercurio & Hercule Palæstræ præsidibus, ne minimum quidem habet commercij: Cotyttonis vero, aliorúmque Atticorum Priapeorum æditus est, ac si qui alij sunt huiusce notæ dæmones, omnibus curæ ipse est, ipsique omnes. Cæterum pœnas quidem ex ipso nullas alias sumpserim: sua enim cuique nequitia sufficiens pœna est. Sed cum experientia minime idoneus probatus sit qui cum Dominis Philosophis viueret, quorum domi manentium infamia vagatur, suam habeat patriam. Nam qui scortatorem hunc superbè toto foro volitantem conspexerit, cum corona, & vnguentis ebrium atque comissantem, nullóque non libidinis genere refertum, atque cantilenas vitæ consentaneas canentem, crimen omne in illius hæredes transtulerit. Quamobrem vide quæso vti illum nauclero committens rectà in patriam nauigare compellas; hæc enim iustius illum tolerauerit. Sed vinctus in transtris nauiget, minimè verò in interiorem nauem descendat: alioqui noli mirari si plures amphoras dimidia ex parte inanes reliquerit. Quod si longior sit nauigatio vel ad fæcem vsque odoratum vinum exsorbeat, necnon ad idem faciendum nauales socios inducat. Nam præter cætera cum primis blandum malum est, vt ad voluptates aliis præeat. Ecquis verò adeo constans ex mercenariis vectoribus, qui non hilaritate gestiat, cùm scelus illud viderit in circumlatione poculi restim agentem, ac subsultantem? Multa & alia scurriliter facit ad quæ munitum esse nauclerum oporteat. Atque Vlysses quidem, ne voluptatis illecebris periret, Syrenum littora deuinctus est prætergressus. At is ne vectores lenocinio voluptatis corrumpat si sapiant illi, & vincetur.

τῶν Θεοδώρου κληρονόμων ἐώνημαι, πάλαι μὲν ἐστι πονηρός. καὶ γὰρ ἔφυ καὶ τέθραπται κακῶς, καὶ * ἀγωγῆς οὐκ ἀπέτυχεν ἀξίας τῆς φύσεως, ἐκ παιδὸς ἐν τηλίᾳ καὶ κύβοις καὶ καπηλείοις καλινδηθείς. ἀλλὰ νῦν Λυσίας ἂν εἴποι, ἐξείργασται καὶ τέλος ἔχει, καὶ πέρας ἀηδίας ἐστίν. Ἑρμῇ μὲν γὰρ καὶ Ἡρακλεῖ τοῖς παλαίστρας ἐφόροις, οὐδὲ κατὰ μικρὸν πρέπει· Κοτυττοῖ δὲ καὶ τοῖς ἄλλοις Ἀττικοῖς κονισάλοις νεωκόρος, καὶ εἰ δή τινές εἰσι τούτου τοῦ κόμματος ἕτεροι δαίμονες, ἅπασιν αὐτὸς μέλει, καὶ πάντων αὐτῷ. δίκην μὲν οὖν ἑτέραν οὐκ [*χ. ἀναγωγῆς.*]
B ἂν λάβοιμι παρ' αὐτοῦ. ἀπαρκοῦσα γὰρ ἡ πονηρία δίκη τῷ πονηρῷ. δοκιμασθεὶς δὲ ἀνεπιτήδειος εἶναι * συμβιοτεύειν φιλοσόφοις δεσπόταις, ὧν οἰκουρούντων αἰσχύνη περίεστι, [*χ. συμβιώτης*]
*ἐχέτω τὴν ἔχουσαν αὐτὸν πόλιν· ὁ γὰρ ἰδὼν τὸν πορνοτελώνην ῥεμβόμενον διὰ τῆς ἀγορᾶς, ἐν στεφάνῳ καὶ μύροις μεθύοντα καὶ κωμάζοντα, καὶ πάσης ἀκολασίας * ἐμπεπλησμένον, καὶ ᾠδὰς ᾄδοντα πρεπούσας τῷ βίῳ, ἐπὶ τοὺς ἔχοντας αὐτὸν τὴν αἰτίαν ἀνήγαγεν. ὅπως οὖν αὐτὸν παραδοὺς τῷ ναυκλήρῳ πλεῖν ἀναγκάσῃς εὐθὺ τῆς ἐνεγκούσης αὐτόν. ἐκείνη γὰρ [*V. Notas*] [*χ. καταπεπλ.*]
C ἂν αὐτὸν καὶ διάγοιτο δικαιότερον. πλείτω δὲ δεδεμένος ἐπὶ τοῦ καταστρώματος· μὴ γὰρ εἰς κοίλην ναῦν καταβαίη· ἐπεὶ μὴ θαυμάσῃς, εἰ συχνὰ τῶν κεραμίων ἡμιδεῆ σοι ποιήσειεν. εἰ δὲ ὁ πλοῦς παρατείνοιτο, καὶ μέχρι τρυγὸς ἂν ἐκροφοῖτο τὸν ἀνθοσμίαν, καὶ τοὺς ναύτας δὲ ἂν αὐτὰ ταῦτα ποιεῖν ἀναπείσειε. πρὸς γὰρ τοῖς ἄλλοις καὶ πιθανώτατον τὸ κακόν, εἰς ἀπολαύσεις ἡγήσασθαι. καὶ τίς οὕτως ἐμβριθής ἐστι τῶν μισθῷ πλεόντων τὴν θάλατταν, ὡς μὴ διαχυθῆναι τοῦ καθάρματος
D κορδακίζοντος ἐν τῇ τοῦ ποτηρίου περιφορᾷ; καὶ ἄλλα πολλὰ βωμολοχεύεται, πρὸς ἃ δεῖ πεφράχθαι τὸν ναύκληρον. ὁ μὲν οὖν Ὀδυσσεύς, ἵνα μὴ ὑφ' ἡδονῆς διαφθαρείη, τὴν σειρήνων ἀκτὴν δεδεμένος παρήμειβεν· οὑτοσὶ δέ, ἵνα μὴ τοὺς πλέοντας ἡδονῇ * διαφθείρῃ, ἂν ἐκεῖνοι σωφρονῶσι, δεθήσεται. [*γρ. διαφθείρῃ.*]

Philosophiæ Magistræ 33.

Τῇ φιλοσόφῳ.

Videor iam facere quod Echo solet,

Ἠχοῦς ἔοικα πρᾶγμα ποιεῖν· ἃς περιείληφα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ληφα φωνάς, ἀντιδίδωμι, τὸν θαυμαστὸν Ἀλέξανδρον ἐπαινῶν παρά σοι.

Αὐρηλιανῷ.

Οὔπω τῇ προνοίᾳ μέλει Ῥωμαίων, ἀλλὰ μελήσει ποτέ, καὶ οὐκ εἰς ἅπαν οἰκουρήσουσιν οἱ τὰ κοινὰ σώζειν δυνάμενοι. ἀλλὰ τῷ γε ῥήτορι τῷ συνεφήβῳ, ἣ νῦν πρόσεστί σοι δύναμις ἀρκεῖ πρὸς ὃ τυγχάνει δεόμενος. ἀπολαυέτω δὴ νῦν μὲν αὐτὸς μόνος ταύτης, ἔπειτα μετὰ τῶν ἐθνῶν ἁπάντων κἀκείνης.

Τῷ ἀδελφῷ.

Ἐπιτομωτάτην ὁδὸν ἐπὶ τὸ πλουτεῖν ἐβάδισεν Ἀθανάσιος· ἔγνωκεν ὁμόσε ἰτέον εἶναι τοῖς ἀποθνήσκουσι, καὶ πρακτέον αὐτοὺς πειθοῖ καὶ βίᾳ πᾶν ὅ, τι ἂν δύναιτο. οὐκ ἂν οὖν αὐτὸν λάθοι δημόσιος, ἐπὶ διαθήκῃ καλούμενος, ἀλλὰ συνεισάλλεται.

Τῷ αὐτῷ.

Ἑκκαιδεκάτῃ μηνὸς ἀθὺρ, ὁ μακαρίτης Κάστρικιος αὐτὸ τοῦτο ἐγένετο, φάσμα χαλεπὸν ἰδών τε καὶ διηγησάμενος.

Ἀνυσίῳ.

Ἰωάννης, ὃν, ὅτι σε φιλεῖ, δι' αὐτὸ τοῦτο φιλῶ, νόσῳ χαλεπῇ προσεπάλαισεν. ἦν δὲ αὐτῷ δεινὸν, οὐχ ἡ νόσος, ἀλλὰ τὸ σοῦ τῆς ἱερᾶς ἀπεῖναι κεφαλῆς· ἐπεὶ καὶ νῦν ἐν τοῖς ὁμοίοις ἐστί. τοῦτο δέ οἱ καὶ τρίτον προσὸν χαλεπωτέραν τὴν νόσον ποιεῖ. ἐρᾷ γὰρ τι ποιεῖν στρατιώτῃ πρέπον, καὶ δυσκόλως ἔχει πρὸς τὴν ἐξ ἀνάγκης ἀργίαν.

Αὐρηλιανῷ.

Οἶμαί σου τὴν θεσπεσίαν ψυχὴν ἐπ' αὐτὸ τοῦτο καταπεμφθεῖσαν, ἐφ' ᾧ κοινὸν ἀγαθὸν ἀνθρώπων εἶναι, καὶ χάριν εἰδέναι τοῖς συνιστᾶσι τοὺς δεομένους δικαίων, ὅτι σοῦ πρεπούσας ὑποθέσεις τῇ φύσει πορίζονται. οὐ γὰρ

quas voces accepi, refero, dum egregium illum Alexandrum apud te prædico.

Aureliano. 34.

Nondum diuina prouidentia curam Romanorum gerit, sed geret aliquando, nec perpetuò domi otiosi manebunt, qui Rempublicam seruare possunt: Sed contubernali Rhetori vel ea authoritas, quæ penes te nunc est ad id satis est quo ille opus habet. Nunc igitur hac quidem solus perfruatur, postmodùm verò & illa, vnà cum vniuersis nationibus.

Fratri. 35.

Compendiosissimam ditandi sui viam iniit Anastasius: congrediendum esse sibi decreuit cum moribundis, illisque quicquid posset, quo iure, qua iniuria faciendum. Itaque nemo illum lateat publicus scriba ad testamentum accersitus, sed vnà irrumpit.

Eidem. 36.

Sexta decima mensis Athur beatus Castricius hoc ipsum, beatus scilicet, factus est, cùm horribile priùs visum intuitus esset ac narrasset.

Anysio. 37.

Ioannes, quemquidem ideò quòd te amat, diligo, difficili morbo conflictatus est, malum autem illi non tam morbus erat, quàm quòd sacro abs tuo capite esset remotus, quando & nunc eodem in statu hæret. Iam tertium illud molestiorem ei ægritudinem facit. Etenim milite dignum aliquod facinus edere gestit, proindéque impatienti animo necessariam istam cessationem perfert.

Aureliano. 38.

Diuinum illum tuum animum ob id ipsum ad nos missum arbitror, vt commune esset hominum bonum, gratiámque iis haberet qui iusta populantes commendarent, quod consentaneam naturæ tuæ materiam suppeditent. Neque enim

Q

propterea quod cognatus meus est Herodes: Sed quòd ius atque æquum postulat, idcircò tibi adolescentem commendo, qui cum clarissimis maioribus natus sit, agrósque paternos Senatui vectigales iure hæreditario acceperit, posteaquàm dux factus est, eadem quæ recèns in Senatum adscripti tributa exigitur, duas vt pensitationes soluat, vnam quidem bonorum, aliam verò magistratus, quem gessit, nomine.

Fratri. 39.

Trahit me ad te desiderium non minus quàm necessitas. Quæro igitur ecquid venientem me sis præstolaturus.

Vranio. 40.

Equum ad te dono misi, ad omnem equi dotem in primis à natura factum, quo vtêris tu quidem in curulibus certaminibus, vtêris & cùm venatum proficîsceris, atque in bellicis conflictibus. Necnon & cùm triumphalem pompam ob Africanam victoriam ages, neque enim scio vtrum potiùs sit venator, an in ludis desultorius, pompæ magis an bellis idoneus. Quòd si Nissæis equis deformior est, quòd tumido cranio, modicáque circa ilia carne sit, forsan quidem non simul omnia equis Deus vti neque hominibus concedat. Tum nescio an hoc ipsi ad prædictas dotes conferat, quod duris mollia minora sit à natura sortitus. Equidem ossa carnibus ad labores scio durabiliora. Quare vestrates sanè equi carne superant, nostrates ossibus.

Sodali. 41.

Nauem tibi conduxi hominum nobilium, ac maiori arte quàm natura nauigantium. Cùm Carpathiorum onerarias ratione vsas fama sit, quemadmodum & veterum Phæacum, priusquàm ad insulam Deorum iracundia perueniret.

Cledonio. 42.

Cognatus meus iniuriā patitur, tu verò &

A ὅτι συγγενής ἐστιν Ἡρώδης ἐμός, ἀλλ' ὅτι δεῖται δικαίων, διὰ τοῦτό σοι τὸν νεανίσκον συνίστημι, ὅστις ἐκ προγόνων λαμπροτάτων ὤν, καὶ τὴν πατρῴαν βουλὴν ἀποτελῆ τῇ συγκλήτῳ διαδεξάμενος, ἐπειδὴ γέγονεν ἡγεμών, ἀξιοῦται συντελεῖν ὥσπερ οἱ νεόβουλοι, καὶ γενέσθαι διπλοῦς λειτουργός· τὸ μὲν τι διὰ τὴν οὐσίαν, τὸ δὲ δι' ἣν ἦρξεν ἀρχήν.

Τῷ ἀδελφῷ.

B Ελκεί με πρὸς σὲ πόθος καὶ χρεία· πυνθάνομαι τοίνυν εἰ περιμενεῖς ἥξοντα. γρ. εἰ περιμένεις.

Οὐρανίῳ. γρ. χρύσ

Επεμψά σοι δῶρον ἵππον ἀκροφυέστατον εἰς ἅπασαν ἀρετὴν ἵππῳ προσήκουσαν, ᾧ χρήσῃ μὲν ἐν ἁμίλλαις δρόμων· χρήσῃ δὲ ὅταν ἐπὶ θήραν ἐξάγῃς, καὶ ἐν ἀγῶσι πολεμικοῖς· καὶ
C ὅταν καταγάγῃς ἐπὶ τῷ Λιβυκῷ τροπαίῳ πομπὴν ἐπινίκιον. οὐ γὰρ οἶδα ὅ,τι μᾶλλόν ἐστι κυνηγέτης, ἢ κέλης ἐναγώνιος, ἢ πομπεὺς, ἢ πολεμιστήριος. εἰ δὲ Νισαίων ἵππων ἰδεῖν ἐστιν ἀειδέστερος, ὀγκώδης τε ὢν τὸ κρανίον, καὶ λεπτόσαρκος τὴν ἰσφύων, τάχα μὲν οὐδὲ τοῖς ἵπποις, ὥσπερ οὐδὲ τοῖς ἀνθρώποις, ἅμα πάντα δίδωσιν ὁ Θεός. μήποτε δὲ τοῦτο καὶ πρὸς ἐκείνας αὐτῷ τὰς ἀρετὰς συντελεῖ, εἰ τὰ μαλακὰ τῶν σκληρῶν ἐλάττω παρὰ τῆς φύσεως ἐκληρώσατο. πρὸς μέν τοι τοὺς πόνους ὀστέα σαρκῶν οἶδα διαρκέστερα. οἱ μὲν οὖν παρ' ὑμῖν ἵπποι
D ταῖς σαρξὶ πλείους εἰσίν, οἱ δὲ ἡμέτεροι τοῖς ὀστέοις.

Ἑταίρῳ.

Εμισθωσάμην σοὶ ναῦν ἀνθρώπων εὐγενῶν, καὶ πλεόντων τὴν θάλατταν μετὰ πλείονος τέχνης, ἢ τύχης. ὡς ἄγε Καρπαθίων ὁλκάδας φήμην ἔχουσι διανοίᾳ κεχρῆσθαι, καθάπερ αἱ Φαιάκων τῶν πάλαι, πρὶν ἐπὶ τὴν νῆσον ἥκειν τὸ δαιμόνιον μήνιμα.

Κληδονίῳ.

Συγγενὴς ἐμὸς ἀδικεῖται, σὺ δὲ καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φίλος εἶ, καὶ δικάζειν ἔλαχες. ἐκ μιᾶς οὖν προσοχῆς, ὑπάρξει σοὶ κἀμοὶ καὶ τοῖς νόμοις χαρίσασθαι· ἐπανίτω τοίνυν Ἀσφάλιος εἰς τὸ δεσπότης εἶναι τῶν κεραμίων τῇ τοῦ πατρὸς διαδήκῃ προσειληφὼν τὴν ἀπόφασιν, τῆς κατηγορίας οὐκ ἐσομένης ἐμποδὼν τῷ παραυτίκα τῆς ἀκροάσεως. πότε γὰρ δεῖ δικαιοδοτεῖν, ἢ τὸν χρόνον, ἐν ᾧ μάλιστα τυγχάνομεν δεόμενοι τοῦ Θεοῦ.

A amicus es, & iudicia sortitus, eadem animi attentione mihi pariter ac legibus gratificari poteris. Redeat itaque Asphalius noster, ad ius, mancipiúmque figlinarum, quod à Patre hæreditarium accepit, tua insuper sententia confirmatus, nec accusatione impediente quo minus illicò abs te audiatur. Quandonam enim ius reddere conuenit; nisi eo tempore quo maximè Dei ope indigemus.

Ἀναστασίῳ.

Σωσήναν τις ἔπεισεν ἢ Θεός, ἢ λόγος, ἢ δαίμων, ὅτι καὶ παρὰ τὰ χωρία τι γίνεται τοῖς ἀνθρώποις, εἰς τὸ τυγχάνειν τε καὶ ἀποτυγχάνειν εὐμενοῦς τοῦ Θεοῦ. πράττων οὖν πονηρῶς παρ' ἡμῖν, καὶ τῶν πατρῴων ἀκριβῶς ἐκκοπείς, ἔγνωκε πλεῖν εἰς τὰ ἐπὶ Θρᾴκης χωρία ἐκεῖ διαλλαγησόμενος πρὸς τὴν τύχην. εἰ δή σοι φιλία πρὸς τὴν δαίμονα, σύστησον αὐτῇ τὸν νεανίσκον, καὶ ἐξευρέτω τινὰ πόρον αὐτῷ χρημάτων. ῥᾴδιον δὲ βουλομένῃ· καὶ γὰρ τὰ Νόννου τοῦ Σωσήναν φύσαντος οὐ χαλεπῶς εἰς ἑτέρους μετέθηκεν. ἀποφηνάτω δὴ καὶ Σωσήναν κληρονόμον ἀλλοτρίου πατρός. γένοιτο γὰρ ἂν οὕτως ἐξ ἀδικίας τὸ δίκαιον.

Anastasio. 43.

B Sosenam siue Deus aliquis, siue ratio, siue genius persuasit, ex locis nonnihil quoque in homines redundare, quo beneuolum numen aut experiantur, aut ab eodem excidant. Quare cùm infœliciter apud nos gereret, patrimonióq; prorsus exclusus esset, statuit sibi in Thraciam nauigandum, quo illic cum fortuna reconciliaretur. Iam si tibi cum dea vlla necessitudo est, iuuenem ei commenda ac pecuniarum conficiendarum rationem aliquam inueniat, facilè autem volenti fuerit, nam & facilè Nonni bona Sosenæ genitoris ad alios transtulit: C faciat igitur & Sosenam alieni patris hæredem. Ita enim ex iniuria ius constituitur.

Ἰωάννῃ.

Ὥσπερ ἄλλοτε πολλάκις ἐπὶ τῶν καιρῶν ἐγινόμην σοὶ χρήσιμος, καὶ παρεμυθησάμην δυσχέρειαν τύχης, τὰ μὲν λέγων, τὰ δὲ ποιῶν, ὡς ἑκάστοτε ἡ δύναμις ὑπηγόρευσε, καὶ νῦν περὶ τῶν καταλαβόντων σε πραγμάτων δοκεῖ μοι συνεισενεγκεῖν τινὰ γνώμην, ἐπεὶ μὴ ἔργῳ δύναμαι. Συνεσίου γὰρ οὐ θέμις, ἕως ἐμπνεῖ τε καὶ δύναται, μὴ οὐχὶ παντὶ τρόπῳ πρόθυμον εἶναι τοὺς φίλους ἀγαθόν τι ποιεῖν. ἄκουε τοίνυν ἅ μοι καλῶς ἔχει διαλεχθῆναι πρὸς σέ. εἰ μὲν Θεός ἐστιν ἡ Φήμη κατά τινα τῶν παρ' ἡμῖν ποιητῶν, σὺ διεχρήσω τὸν μακαρίτην Αἰμύλιον, οὐ πράξας, ἀλλὰ βουλεύσας τὸν φόνον· καὶ βαρβαρικὸν μὲν δρᾶμα συνθείς, τὸν σφαγέα δὲ καθεὶς ἐκ τῶν σαυτοῦ λοχιτῶν τὸν ὠμότατον. λέγει μὲν γὰρ ἡ Φήμη ταῦτα, ψεύδεσθαι δὲ οὐ θέμις, οὖσαν Θεόν· εἰ δὲ Ἡσίοδος μὲν οὐδὲν λέγει, πολλὰ δὲ λέγεται μάτην, καὶ τοῦτο περὶ σοῦ τῶν

Ioanni. 44.

Quemadmodum & alias sæpe in tempore vtilem me tibi præbui, ac fortunæ difficultatem leuaui, quâ dicendo, quâ elaborando subinde pro mea virili parte, ita nunc de iis quæ tibi euenerunt, videor sententiam meam iudiciúmque præstare debere, quoniam opus ipsum nequeo. Synesium enim ne-D quaquam fas est quamdiu spirat, & potest, non omni ratione paratum esse, quo de amicis bene mereatur. Audi igitur quæ honestè mihi apud te disputanda sunt. Siquidem dea est fama vti quidam ex nostris Poëtis asserit, tu beatum Æmylium interfecisti non committens quidem, sed consulens parricidium. Ac barbarum quidem spectaculum molitus: sicarium verò subijciens ex tuis manipularibus longè crudelissimum. Hæc enim fama testatur, mentiri verò, dea cùm sit, nefas illam est. Sin Hesiodus nugatur. Multa verò temerè proferuntur, & hoc de te vnum

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A est ex multis: quod vtinam ita sese habeat: minoris enim pecuniæ iacturam quàm amici habeo. Et nunc si minime culpæ obnoxius malè audis, tu quidem infœlix es, minime tamen iniustus: atq; vtinam ne infœlix quidem esses: at in illo tibi iustissimum odium deberetur, in hoc verò misericordia. Quãquam ego ita mihi necessitudine ac familiaritate capi posse videor, vt vel illo quidem modo factum vtiq; sim detestaturus, tui vero nihilominus missertus. Est autē eius qui misereatur, auxilium ferre quoad licet, atq; id excogitare quanā ratione prodesse posse arbitretur. B Quamobrem vtramque in partem tibi id me par est consulere quod optimū videatur. Sed idem planè siue criminis conscio, siue innocenti conducere videtur. Itaque fac te ad leges conferas iudiciq; committas vnà cum manipularibus omnibus, si quod & horū tibi curæ est. Quòd si commissum abs te facinus est, deprecare supplicia, contende, nullum procumbendi finem facito, donec iudicis sententia tortori traditus fueris, pœnásque persolueris. Percōmode hoc tibi apud inferorum iudicia cesserit, amice Ioannes, si priùs expiatus decesseris. Nec tu nihil præter verba hanc esse adhortationem duxeris, neq; C me tibi illudere putaueris: ita me sacra Philosophia iuuet, liberiq; insuper mei, vt nisi tu mihi amicissimus fores, nihil eiusmodi fuerim consulturus, quod inimicis meis deprecor: atq; vtinam nūquam * ipsis istud in animū veniat: melius esse ei qui iniuriam fecerit volūtarias pœnas depēdere; sed in iis quæ perpetrāt perpetua quadā fœlicitate vtātur, vt & diuturniori tempore scelerati sint, & omnibus illic suppliciis obnoxij. Tibi verò ob singularē amicitiā, ausim arcana quędā patefacere. Non idē scilicet esse in crasso corpore, atq; in simulachro, idolóq; pœnas luere: homine si- D quidem fortior Deus est. diuinæq; omnis administrationis ac gubernationis vmbra humanæ res sint. Atq; quem in Rebuspublicis vsum habēt carnifices, vt legū veluti manus sint, idē vniuersæ naturæ officium præstāt vindices diræ. Dęmones quidā expiandis sceleribus præsunt, eādem in animis hominum artem exercentes, quam in sordidis vestibus fullones habēt. Quòd si quis vestibus sensus inesset, quid eas demū facturas arbitraris cùm & calcib. subiguntur, & nitro perfricātur, & omni ratiōe depectūtur? quātis verò cū cruciatib. veteres sordes & insitas penitus maculas elutū iri?

A πολλῶν ἐστιν ἕν, ὡς ἔγωγε βουλοίμην ἄν. περὶ ἐλάττονος γὰρ ποιοῦμαι τὴν ἐν ἀργυρίῳ ζημίαν, ἢ τὴν ἐν φίλῳ. καὶ νῦν ἂν οὐχ ὑπαίτιος ὢν ἀκούῃς κακῶς, ἀτυχεῖς μὲν ἄρα, ἀλλ' οὐκ ἀδικεῖς· ὡς ὤφελες μηδὲ ἀτυχεῖν. ἀλλ' ἐκείνως μὲν ἄν σοι μῖσος ὠφείλετο δίκαιον, οὕτω δὲ καὶ ἔλεος. ἐγὼ δέ μοι δοκῶ λίαν ὑπὸ συνηθείας ἁλώσιμος ὢν, κἀκείνως ἂν τὴν μὲν πρᾶξιν μισεῖν σὲ δὲ ὅμως ἐλεεῖν. τοῦ δὲ ἐλεοῦντός ἐστι, βοηθεῖν ὅση δύναμις, καὶ ἐξευρίσκειν ὅθεν ἂν οἴηται ὀνῆσαί τι. σκοπῶ καθ' ἑκάτε- B ρόν μοι προσήκει συμβουλεῦσαί σοι τὸ φαινόμενον βέλτιστον. ἔοικε δὲ ταὐτὸν εἶναι συμφέρον αἰτίῳ. ἴθι παρὰ τοὺς νόμους, καὶ σαυτὸν ἐπίδος τῷ δικαστῇ μετὰ ἀνθρώπων τῶν λοχιτῶν, εἴ τι κἂν δὴ κἀκείνων· καὶ εἰ μὲν ἐπράχθη τὸ δεινὸν, δεήθητι, καθικέτευσον, ἀντιβόλησον, μὴ αὐτῆς προκαλινδούμενος, πρὶν ἂν διαπράξῃ τὸ παρὰ τῆς ψήφου συστῆναι δημίῳ, καὶ δοῦναι τὴν δίκην. κ. τῇ. ἐν καλῷ σοι κείσεται παρὰ τοῖς κάτω δικαστηρίοις, τὸ προκαθηράμενον ἀπελθεῖν, ἑταῖρε Ἰωάννη. μὴ λόγον ἄλλως εἰηθῇς τὴν παραίνεσιν, μηδὲ προσπαίζειν με νομίσῃς σαυ- C τῷ· οὕτω τῆς ἱερᾶς φιλοσοφίας ὀναίμην, καὶ προσέτι τῶν παιδίων τῶν ἐμαυτοῦ, ὡς οὐκ ἂν μὴ φιλτάτῳ σοὶ τυγχάνοντι, συνεβούλευσά τι τοιοῦτον, ὅγε ἀπεύχομαι τοῖς ἐχθροῖς τοῖς ἐμοῖς· καὶ μήποτε αὐτῶν ἐπὶ νοῦν ἀναβαίη, τὸ, κάλλιον εἶναι τὸν ἀδικοῦντα δοῦναι τιμωρίαν αὐθαίρετον. ἀλλὰ μηδὲ παύσαιντο εὐτυχοῦντες ἐν οἷς ἀδικοῦσιν, ἵνα πλείω τε χρόνον εἶεν κακοὶ, καὶ πάσας ἐκεῖ τὰς δίκας ὀφείλοιεν. πρὸς σὲ διὰ φιλίαν κινδυνεύω τι καὶ τῶν ἀπορρήτων εἰπεῖν, ὡς ἀνόμοιόν ἐστιν ἐν παχεῖ σώματι, καὶ ἐν εἰδώλῳ δοῦναι τὴν δίκην. ἰσχυρότερον μὲν γὰρ ἀν- D θρώπου Θεός· τοῦ δὲ θείου παντὸς διακόσμου, σκιὰ τὸ ἀνθρώπινον· ἀλλ' ὥσπερ εἰσὶν ἐν ταῖς πολιτείαις οἱ δήμιοι, χεῖρες τῶν νόμων, τὴν αὐτὴν αἱ ποιναὶ χρείαν τῇ φύσει τοῦ κόσμου παρέχονται· δαίμονές εἰσι καθαρτήριοι, τέχνην ἔχοντες ἐπὶ ταῖς ψυχαῖς, ἣν οἱ κναφεῖς ἐπὶ τοῖς ἱματίοις τοῖς πιναροῖς· ἀλλ' εἴ τις ἱματίοις αἴσθησις ἦν, τί ἂν οἴει πάσχειν αὐτὰ λακτιζόμενα, καὶ νιτρούμενα, καὶ πάντα τρόπον κναπτόμενα. διὰ πόσων δ' ἂν ὀδυνῶν ἐκπεπλύσθαι κηλῖδας ἀρχαίας καὶ προσεστηκότα ὀμόργματα.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A ἐῶ γὰρ λέγειν ὅτι πολλοῖς ὁ ῥύπος οὕτως ἐνέφυ σφόδρα διὰ τοῦ βάθους, ὡς ἀναπάλλακτος εἶναι, καὶ φθάνει διαφθαρέντα, πρὶν εἰς τὴν φύσιν ἐπανελθεῖν, ὅτι τὸ πάθος αὖθις γέγονε φύσις, ἢ διὰ χρόνου πλῆθος, ἢ διὰ μέγεθος. οὕτω δὲ ἐχούσῃ ψυχῇ καλῶς ἂν εἶχεν εἶναι φθαρτῇ· νῦν δὲ τὰ μὲν ἁμαρτήματα λόγον ἔχει πρὸς τὰς δυσεκπλύτους κηλῖδας· ἡ ψυχὴ δὲ οὐκ ἔστι πρὸς θοἰμάτιον ἐκεῖνο τὸ πιναρόν τε καὶ οὐκ ἀντέχον, ἀλλ' ἀθάνατος οὖσα, τίνει δίκην ἀθάνατον, ὅταν ἁμάρτῃ δυσσοποιά τε καὶ ἀναπόνιπτα. B ἀλλ' ἐν ᾧ γάρ τις ἥμαρτε βίῳ δίκας διδούς, "οὐ πάνυ προεστηκὸς ἔχει καὶ προσιζῆσαν τὸ πάθος· ἀλλ' ὡς ἂν εἴποι τις, ἀρτιβαφὴς οὖσα ψυχή, τάχιστα πλύνεται· διὸ δοτέον ἐστὶν ὡς ἔνι διὰ τάχους τὴν δίκην, καὶ τιμωροῖς ἀνθρώποις, ἀλλὰ μὴ δαίμοσι· λέγεται δέ τις λόγος, ὅς με πείθει, τοὺς ἠδικημένους κυρίους εἶναι, μακροτέρας τε ποιεῖν, καὶ ἐπιτέμνειν τὰς τιμωρίας· διὸ παραπλήσιόν ἐστιν ἕνα κακόν τι μέγα ἐργάσασθαι, καὶ πολλοὺς κατὰ μικρὸν ἀδικῆσαι. ἐπέξεισι γὰρ ἕκαστος ἐν τῷ μέρει, καὶ δεῖ πᾶσιν C ὑπηρετῆσαι τὴν δίκην· ὅταν δέ τις ἰάσιμος ᾖ, μέγα παρὰ τῷ δικαστῇ δύναται τὸ τοσαῦτα προπεπονθέναι τὴν ψυχήν, ὡς ἤδη παρ' αὐτῶν τῶν ἠδικημένων ἔλεον εὑρέσθαι· πότε τοίνυν εἰκός ἐστι τῆς μακαρίτιδος Αἰμυλίου ψυχῆς συγγνωμονεστέρας τυχεῖν; ἐγὼ μὲν οὖν οἶμαι, μᾶλλον δὲ οἶδα σαφῶς, ὡς ἅπας ἱκέτης αἰδέσιμος, ὅστις ἑαυτὸν τετιμώρηται· καί τις ἤδη παρ' ἡμῖν εἰς ἀπολογίαν ἁμαρτήματος καταστάς, αὐτῷ τῷ φθάσαι τὴν αἰτίαν ὁμολογῆσαι, καὶ φῆσαι κολάσεως ἄξιος εἶναι, τὴν κόλασιν ἐξωνήσατο· τὸ δὲ ἐνευωχηθῆναι τοῖς δι' ἅ τις ἠδίκησεν, εἴτε χρήμασιν, εἴτε σώμασι, βαρυθυμότερον D τὸν ἠδικημένον καθίστησι. καὶ τίς ἂν γένοιο τοῦ σώματος ἐξελθών, εἴθ' ὑπὸ βιαίας δίκης, εἴτε ἕτερον τρόπον, κἄπειτα αὐτὴν "τὴν ψυχὴν αὐτῇ τῇ ψυχῇ θεασάμενος, οὐκ οὔσης ἀρνεῖσθαί σοι γλώττης, ἀλλ' ἐγκεκολαμμένον ἔχων τοὐπίσημον τῆς πράξεως; οὐκ ἰλιγγιάσεις; οὐκ ἀπορήσεις; ἕλξῃ σιγῶν καὶ ἐκκείσῃ τῇ δίκῃ, καὶ σὺ κἀγώ, καὶ πᾶς ὃν οὐ προκαθαίρει μετάνοια δημοσιευθεῖσα. ἀλλ' ἀνδριστέον ὦ γενναῖε, γενναῖος γὰρ εἴης· καὶ τῶν μὲν ἡδονῶν ὑπεροπτέον,

γρ. οὔπω.

γρ. μόνην τ.

Neque enim hoc dico plerisq; sordes illas tam penitus adhærescere, difficilè vt exui possint, ac priùs corruptæ laceratæque diffluant, quàm ad natiuum statum reuocari potuerint, propterea quod vitium in naturam transit, siue id temporis longinquitate siue magnitudine factum. Animo qui eo modo sit affectus corruptionis capaci esse cõduceret. Iam verò peccata quidem maculis eiusmodi, quę elui nequeant proportione respondent. Animus vestimento illi obsoleto nec lotionem sustinenti non itē, sed cùm immortalis sit, pœnas immortales luit, quoties hærente penitus, & illutibili noxa sese obstringit. At enim si in qua quis deliquerit vita, in ea puniatur, nō planè insitum & inolitum hunc affectum gerit, sed recens infectus, vt ita dicam animus, citò abluitur, ideò celerrimè quoad possumus subeunda pœna est; idq; hominibus non dæmonib. vindicãtibus. Quinetiam quorundam sermonibus celebratum est, facileq; persuadeor, qui iniuriam acceperint pœnarū arbitros esse, eásq; vel productiores vel breuiores facere. Idcircò perinde est vni ingens aliquid malum inferre, ac plurib. mediocrem iniuriam facere. Vlciscitur enim inuicem vnusquisq; & vniuersis in pœnas expēdi necesse est. Verùm quando aliquis eiusmodi est vt sanari possit, multum apud iudicē valet, tanta iam animum anteà perpessum esse, vt vel apud affectos iniuria misericordiā obtineat. Ecquādo igitur verisimile est beatos Emylij manes placatiores futuros? Sanè ita existimo, vel certò potiùs mihi persuadeo supplici omni reuerētiam haberi, qui in seipsum animaduerterit. Et apud nos nonnunquā qui ad purgandum crimē producebatur, hoc ipso quod noxam fateretur, séq; supplicio dignū diceret, supplicio est liberatus. At in iis etiam gloriari, & quodāmodo epulari, ob quæ iniuriā perpetrauerit, siue eæ opes sint siue corpora, offensiorem eum reddit, qui sit iniuria affectus. Quonā autē tete vertes, posteaquàm corpore excesseris siue violenta aliqua pœna, siue alia quauis ratione, tum ipsos manes ipsis manibus intueberis, cùm neq; inficiando futura sit lingua, sed recēs adhuc sceleris vestigium expressum atq; insculptum præ se habitura? Non vertigine tum corripieris? non hærebis? Tacēs ac mutus protrahêris, iudicióq; proponêris. Túq; & quemcunq; publica pœnitētia nō priùs expiauerit: sed cōstātē esse oportet, fortis ac generose vir, fortē.n. te cupio; ac voluptates negligēdę,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

suas per facinus quæsiuimus, neque hominum pudere nos debet, sed iudici confitendum crimen est, & repentino supplicio vindices furiæ leniendæ. Nam cùm nihil omninò peccare maximum omnium bonorum est, tum ad iustitiam reuocari secundum in bonis locum obtinet. Quisquis autem longo tempore iniuriam faciens pœnæ expers manet, cum par est infelicissimum haberi, qui neque Deo neque homini curæ sit. Hoc ènim considerato. Impunitum esse inter mala connumerari, & dicitur & auditur: igitur punitum esse in bonis censebitur. Contrariis enim contraria ratio attribuit. Quòd si præsens ego adessem, nihil te necesse foret molestiam hanc capere, vt & rubore suffunderis, & te ipsum deferres. Ego me tibi vltrò aduocatum præberem, téque ad leges tanquam ad medicos adducerem. Vt enim stultus fortasse aliquis diceret, Ioannem à Synesio accusari, tu tamen rei vtilitatem intelligeres, à me vt tibi parcerem, tuíque curam gererem, hanc esse accusandi prouinciam susceptam, vt quantum in malis, felicior esse posses. Sed hæc quidem ita facienda censeo, si admissum facinus est, quod minimè velim, tui ipsius atque vrbis gratia, vniuersa enim hoc parricidio contaminata erit cognata cæde perpetrata. Sin tu & manu, & voluntate innocens, quod vtinam ita sit, detestandi quidem ij sunt, qui ea aduersùs te comminiscuntur & illos quoque quæ apud inferos sunt supplicia expectant: quoniam nulli æquè mores Deo execrabiles sunt, ac famigeratoris, qui èx obscuro vulnus infligit. Ignauissimus enim cùm sit, maxima infert mala, & quoddam iis inesse fatum dicitur, vt in Cinædorum gregem adscribantur: Idque ipsum inter cætera eius artis esse præcipuum. Sunt enim & aliis in multis callidi ac solertes. Quare si quis rumores falsis de rebus spargere deprehendatur, hoc ipsum neque rogaueris, nec dubitaueris: sed quamlibet firmus ac constans esse videatur, audacter hominem pronuncia semimarem, purum putum Cotytonis asseclam. Tibi verò summa facultas ex iis rumoribus datur conuincendæ calumniosæ existimationis, si te tuósque iudicio permiseris. Ita enim in omnium conspectum prodiens dicito: Nonnulli sunt occulti mei calumniatores, qui cùm sua iam opinione damnati sint, latere nihilo-

A αἷς ἀδικοῦντες ἐπορισάμεθα· τοὺς δὲ ἀνθρώπους οὐκ αἰσχυντέον· ἀλλὰ τῷ δικαστῇ μὲν ὁμολογητέον τὴν πρᾶξιν· ἐξιλαστέον δὲ τῇ παραυτίκα ποινῇ τὰς κάτω ποινάς. μεγίστου γὰρ ὄντος ἀγαθοῦ τοῦ μὴ ἁμαρτεῖν, δεύτερον ἀγαθὸν τὸ δικαιωθῆναι. ὅστις δὲ χρόνον πολὺν ἀδικῶν ἀκόλαστος μένει, τοῦτον δεῖ νομίζειν τὸν ἀτυχέστατον, οὗ μήτε Θεός, μήτ᾽ ἄνθρωπος κήδεται. σκόπει γὰρ καὶ ταύτῃ. τὸ ἀκόλαστον εἶναι, πρὸς κακοῦ καὶ λέγεται καὶ ἀκούεται· οὐκοῦν τὸ κεκολάσθαι πρὸς ἀγαθοῦ. B τὸ γὰρ ἐναντίῳ τὸ ἐναντίον ὁ λόγος νέμει. Εἰ μὲν οὖν ἐγὼ παρὼν ἐτύγχανον, οὐδὲν ἂν ἔδει σε πρᾶγμα ἔχειν ἀπερυθριῶντα, καὶ σαυτὸν καταγγέλλοντα· ἀλλ᾽ ἐμαυτὸν ἂν ἔταξα συνηγορήσοντά σοι· καὶ προσήγαγον ἄν σε καθάπερ ἰατροῖς τοῖς νόμοις· ἀνόητος μὲν γὰρ ἄν τις εἶπεν, ὡς Συνέσιος Ἰωάννου κατηγορεῖ· σὺ δ᾽ ἂν ἠπίστασο τἀληθές, ὅτι φειδοῖ καὶ κηδεμονίᾳ τῇ σῇ, τὴν κατηγορίαν εἱλόμην, ἵν᾽ ὡς ἐν κακοῖς ἄμεινον πράξειας. ἀλλὰ ταῦτα μέν, C εἰ τἀδίκημα γέγονεν, ὃ μὴ γένοιτο σοῦ τε ἕνεκα καὶ τῆς πόλεως· ἅπασα γὰρ ἂν εἴη μιαρὰ τῷ φόνῳ, τολμηθέντος αἵματος ὁμογνίου· εἰ δὲ σὺ καθαρὸς καὶ χεῖρα καὶ γνώμην· εἴη δὲ οὕτως· ἐπάρατοι μὲν οἱ ταῦτα συνθέντες ἐπὶ σοί, κἀκείνους δὲ περιμένει τὰ κατὰ γῆς κολαστήρια· ὡς οὐχ ἕτερος οὕτω τρόπος θεομισής, ὡς ὁ λογοποιὸς ὁ τιτρώσκων ἐξ ἀφανοῦς· ἀγεννέστατος γὰρ ὤν, μέγιστα κακὰ διαπράττεται· καὶ λέγεταί τις αὐτοῖς μοῖρα κιναίδοις προσκεῖσθαι, καὶ τὴν ἐν τῇ τέχνῃ τοῦτ᾽ εἶναι τὸ κράτιστον· ἐπεὶ καὶ πρὸς D ἄλλα πολλὰ σοφισταί γίνονται καὶ εὐμήχανοι· ὥστε ἄν τις ἁλῷ φήμας ἐπὶ τοῖς οὐκ οὖσι ποιῶν, τοῦτο ἐκεῖνο, μηδὲ ἐπαμφερῇ, μηδὲ διστάσῃς. ἀλλὰ κἂν στερεώτατος εἶναι δοκῇ, θαρρῶν ἀπόφαινου τὸν ἄνδρα, ἡμίγυνον, αὔχημα θιασώτην τῆς Κότυος. σοὶ δὲ ἔξεστιν ἀπὸ τῶν λόγων τούτων ἀποφῆναι συκοφαντοῦσαν τὴν δόξαν, εἰ σαυτόν τε καὶ τοὺς σοὺς ἐπιδοίης τῇ δίκῃ. εἰπὲ γὰρ εἰσελθών, ὡς ἐμοῦ κατηγοροῦσί τινες εἰσὶν ἀφανεῖς, οἳ προκατεγνωκότες αὐτῶν, ἀξιοῦσι λανθάνειν·

κατήγοροι δὲ ὅμως πολλὰ καὶ χαλεπὰ, καὶ κινδυνεύουσι πείθειν ἐνίους. οὕτως εἰσὶν ἐπίβουλοι καὶ δεινοὶ παραδοῦναι λόγον τῇ φήμῃ· κᾆτα διελθὼν τὰς αἰτίας, ἐφ᾽ αἷς ἀκούεις κακῶς, γάμον καὶ φόνον ἀνόσιον, ἐπειδὴ Σπάταλον οἶμαί τινα φασὶ παρὰ σοῦ κάθετον ἐξειργάσθαι τὸν φόνον, τοῦτον ἅμα προσάγων δεήθητι τοῦ δικαστηρίου λιπαρῶν καὶ προσπίπτων, μὴ ἀνεξέταστος ἀπελθεῖν, μηδὲ ἐρήμην ἁλῶναι. οὐ γὰρ δὴ, κράτιστε τῶν ἡγεμόνων, ἐρεῖς, διότι γραφὴν εἰς τοὐμφανὲς οὐδεὶς ἀπηνέγκατο, παρὰ τοῦτό σε δεῖ ποιήσασθαι, τὸ μὴ διὰ πάσης ἐλθεῖν βασάνου, μετιόντα καὶ θηρώμενον τὴν ἀλήθειαν. ὁ διαβεβοημένος Σπάταλος, οὗτός ἐστιν. ἔχεις τὸν ἄνδρα. χρῶ τῷ σώματι. τοῦτον εἴ τι γέγονε, τήμερον ἀναφανῆναί γε δεῖ κατήγορον αὐτοῦ τε κἀμοῦ. κἂν μὲν οὕτω σοῦ λέγοντος μὴ πείθηταί σοι, καὶ τοῦθ᾽ ἅλις ἔχει πρός γε ἡμᾶς τοὺς ἀνθρώπους· εἰ δὲ φιλάνθρωπός τε εἴη καὶ χαρίσαιτό σοι τὴν περὶ τούτων ἀκρόασιν, ἅπαν ἐνταῦθ᾽ ἐστὶ τὸ λαμπρῶς ἀπολογήσασθαι, καὶ τοὺς λογοποιοὺς καταισχῦναί τε καὶ κατασιγάσαι. τὸν γὰρ δὴ Σπάταλον τοῦτον, οὐ δεήσει τρυφᾶν· ἀλλὰ καὶ δεθήσεται καὶ κρεμήσεται, καὶ τὼ πλευρὼ διορυγήσεται. δεινοὶ γὰρ ἐξελέγξαι προσποίησιν οἱ βασανισταί· καί τινες αὐτοῖς ὄνυχές εἰσιν ἐξευρημένοι, συλλογισμῶν ἐπιστημονικὴν ἔχοντες δύναμιν. ὥσθ᾽ ὅ, τι ἂν ἐκείνων κρατούντων ἀναφανῇ, τοῦτ᾽ ἔστιν αὐτὸ τἀληθές. ἂν οὕτως ἀπολυθῇς μηδὲν ἀδικῶν, ἄπει τοῦ δικαστηρίου νενικηκὼς καὶ γαῦρος, εὐαγής τε ὢν καὶ δοκῶν· εἰ δὲ ἐγὼ μὲν εἰσηγησάμην ἅττα σοὶ λυσιτελεῖν οἶμαι, σὺ δὲ οὐ ποιήσεις, οὐδὲ πρὸς τὸν δικαστὴν πρόσει, τὸ μὲν ἀληθὲς εἶδέ τε καὶ οἶδεν ἡ δίκη. πάντως ὁ διὰ πάντων ἥκων ὀφθαλμὸς τοῦ Θεοῦ, καὶ Λιβύην ἑώρα, καὶ φάραγγα ἐκείνην, καὶ θροῦν ἐκεῖνον, εἴτε τὸν ὄντως, εἴτε τὸν ἐπιποίητον, καὶ τὸν Αἰμυλίου δρόμον· καὶ ὅ, τι πέπονθε, καὶ ὑφ᾽ οὗ, καὶ ὅ, τι εἶπε, καὶ ὅ, τι ἤκουσεν, εἰ δή τι καὶ εἶπε καὶ ἤκουσε. εἰ δὲ ἂν ἀναίτιος σὺ καὶ καθαρὸς τῷ Θεῷ, μήτε πράξας, μήτε βουλεύσας ἔργον ἐξάγιστον, ἀλλὰ ἡμῖν γε τοῖς ἀνθρώποις οὔπω καθαρὸς, ἕως ἀναπο-

A minus volunt, sed multa tamen, & acerba obijciunt, quæ aliquibus etiam probaturi videntur, adeò versuti sunt, & ad disseminandos rumores instructi. Tùm crimina percensens, ob quæ malè audieris, nuptias scilicet, & indignum parricidium. Quandoquidem Spatalum quendam apud te esse dicunt, qui abs te subornatus eam cædem perpetrauerit. Eundem ipsum sistens, ab iudicibus supplex omnique ope contendito, ne sine quæstione dimittatur, néve indicta causa condemnetur. Neque enim, ducum optime, istud allegaueris, propterea quod manifestè nemo tuum nomen detulerit, ideò B tibi esse committendum, vt non omne quæstionum genus adhibeas ad vestigandam explorandámque rei veritatem. Spatalus ille, qui omnium in sermone versatur, is ipse est, hominem tenes, vtere eius corpore, hunc si quidpiam commissum est, hodie sui iuxta atque mei accusatorem fieri oportet. At si quidem ita te contestante non obtemperet, iudex vel hoc ipsum abundè nobis hominibus erit. Sin & humanum se præbeat, & tui gratia eam causam audire velit; ibi verò operæpretium est magnificè crimen diluere, & fa- C migeratores illos pudore afficere, ac compescere. Nam Spatalum illum quidem minimè agere delitias oportebit, sed & vincietur, & suspendetur, & latere fodietur. Mirifici enim ad conuincendam simulationem sunt carnifices, & vngues quidam ab illis excogitati sunt, eadem vi præditi, qua scientiarum ratiocinationes, ac syllogismi. Vnde quicquid præualentibus iis elicitum fuerit, idipsum certissima veritas est. Hunc si in modum absolutus eris, recipe te è iudicio victor, atque triumphans, ac tam re ipsa, quàm opinione hominum purus, atque innocens. Sed D si ego quæ in rem tuam esse videntur suggessi, tu verò nihil horum facis, neque te iudici sistis, rei quidem veritatem vidit, nouítque iustitia. Omninò Dei ille cuncta peruadens oculus, & Libyam tum vidit & conuallem illam, & rumorem illum seu verum siue confictum, & Æmylij cursum, quæque is & à quo perpessus est, quid dixerit ipse, quidve audierit, si quid aut dixerit aut audierit. Et hoc insuper nouit, tametsi apud Deum innocens sis, & sceleris expers, qui execrandum hocce facinus neque factis, neque consiliis admiseris, nondum te tamen apud nos homines innocentem

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A videri, quandiu purgatus non fueris. Neque dexteram coniungemus, nec ex eadem mensa vescemur: Æmylij quippe vltrices furias perhorrescimus, ne contage tua idem in nobis piaculum exprimas. Non desunt nobis domesticæ labes, nec aliunde arcessere opus est.

λόγητος ᾖς. οὐδὲ ἐμβαλοῦμέν σοι δεξιάν· οὐδὲ ἀπὸ τῆς αὐτῆς σιτησόμεθα. τοὺς Αἰμυλίου γὰρ ἀλάστορας δεδίαμεν, εἰ θιγγάνων ἡμῶν, ἐναπομόρξῃ τὴν προστροπήν. εἰσὶ δὲ ἡμῖν οἰκεῖαι κηλῖδες· οὐ δεῖ δὲ προσπορίζεσθαι.

Olympio. 45.

Ὀλυμπίῳ.

Molesti Ecclesiæ sunt alieni quidam homines nequam: fac illis obsistas. Clauus enim clauo pellitur.

Λυποῦσι τὴν ἐκκλησίαν ἀλλότριοι πονηροί. διάβηθι κατ' αὐτῶν. οἱ πάτταλοι γὰρ παττάλοις ἐκκρούονται.

B

Anastasio. 46.

Ἀναστασίῳ.

Neque Amasis quidem probandus: qui ne Polycratis calamitatibus illachrymareretur, cauendum sibi duxit, quas futuras prouidebat. Verumtamen quando ei adhuc integra fœlicitate præconéque misso amicitiam renunciauit, non obscurè declarauit lachrymaturum vtique fuisse, si renunciationem illam calamitas anteuertisset. Tu verò, quandiu nondum in fortunam impegeramus, nobiscum perseuerasti. Inde vnà cum illa recessisti. Si enim eorum qui è Thracia veniunt fama percrebuit, nihil te de nobis sentire, aut loqui moderatè: atqui hoc ipsum non planè renunciare amicitiam esset, sed inimicitiam denunciare. Satis fuerat (si quidem id erat committendum) non vnà condolescere, at dolore insuper afficere grauius malis omnibus est, neque ex Amasidis ingenio, ac neq; prorsus humanum: verùm tu forsitan rebus tuis melius consulueris, fac quod faciendum est: tantùm vt fortunatus, lætúsque facias; dimidium enim mali mihi acciderit, si vel his ipsis ærumnis meis amicis voluptatem conciliem.

Οὐδὲ Ἄμασις μὲν καλός, φυλαξάμενος ἐπιδακρῦσαι τοῦ Πολυκράτους ταῖς συμφοραῖς, ἃς ἐσομένας προείδετο· ἀλλ' οἷς εὐτυχοῦντι κήρυκα πέμψας τὴν φιλίαν ἀπείπατο, δῆλον ἐποίησεν ὅτι κἂν ἐδάκρυσεν, εἰ προὔλαβεν ἡ συμφορὰ τὴν ἀπόρρησιν. σὺ δὲ ἡμῖν, ἕως μὲν οὐ προσεκρούομεν τῇ τύχῃ, συνέμεινας· ἔπειτα συναπῆρας αὐτῇ. λέγει γὰρ ἡ φήμη, διὰ τῶν ἀπὸ Θρᾴκης ἡκόντων, οὐδὲν οὔτε φρονεῖν σε περὶ ἡμῶν οὔτε λέγειν ἐπιεικές. τοῦτο μὲν οὖν οὐκ ἔστιν ὅλως φιλίαν ἀπειπεῖν, ἀλλ' ἔχθραν ἀνειπεῖν. ἤρκει δέ, εἴπερ ἄρα, τὸ μὴ συνανιᾶσθαι, τὸ δὲ καὶ προσανιᾶσαι, πόρρω δεινῶν. καὶ οὔτε Ἀμάσιδος, οὔτε ὅλως ἀνθρωπίνων. ἀλλά σοι γὰρ ἴσως ὑπὲρ τῶν σεαυτοῦ πραγμάτων ἔσκεπται κάλλιον. ποίει τὸ ποιητέον· μόνον εἰ χαίρων ποιεῖς. ἥμισυ γὰρ ἂν εἴη κακόν, εἰ καὶ οἷς πάσχω κακῶς, ἡδὺς εἴην τοῖς φίλοις.

C

Theotimo. 47.

Θεοτίμῳ.

D

In Pentapoleos ira Petrum adnumerato, hominem non calliditate corruptelam legum ambientem. Quanquam & illum etiam oderim, qui sic ambiat: testis huius rei Deus est, & Dioscorides. Sed is illo homine vehemétior est. Quodcunque enim concupiuerit, primum rapiens, & in suam potestatem auertens, postmodum iudicio permittit, si sententia iudicis vincatur, manu superior est: Sic igitur fecit. Primum fictile vas rapuit: dies illi à quodam dicta. Et hic quidem conuicit, at ille neque reddidit, & apparitoribus insuper

Ἀριθμεῖ καὶ Πέτρον ὀργὴν Πενταπόλεως, ἄνθρωπον οὐ τέχνῃ μετιόντα τὸ λύειν τοὺς νόμους· καί τοι καὶ τὸν οὕτω μετιόντα, μισῶ· καὶ ὁ Θεὸς σύνοιδε καὶ ὁ Διοσκουρίδης. ἀλλ' οὗτος ἐστὶ νεανικώτερος ἐκείνου τἀνδρός. ὅπου γὰρ ἐπιθυμήσει χρήματος, πρῶτον ἁρπάσας, καὶ ὑφ' ἑαυτὸν ποιησάμενος, ἔπειτα παρέχει τὴν δίκην· κἂν ἁλῷ τῇ ψήφῳ, κρατεῖ τῇ χειρί. οὕτως ἐποίησε· πρῶτον ἥρπασε κεράμιον· ἐγράψατό τις αὐτόν· ὁ μὲν ἤλεγξεν· ὁ δὲ οὐκ ἀπέδωκεν, ἀλλὰ καὶ προσηπείλησε τοῖς δημίοις πληγάς·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A πρὸς ὃν νεμεσήσας ἐγὼ, καὶ νομίσας οὐκ εἶναι βιώσιμον, ὅπου τινὲς ἰδιῶται χεῖρας ἔχουσι μείζους τῶν νόμων, παρεσκεύασα λαμπροτάτους ἄνδρας εἴξαντας ἀποβάσει, βοηθῆσαι τῇ καταστάσει τῆς πολιτείας. εἰ γὰρ παρεχώρησεν αὐτῷ, πολλοὺς ἂν ἐντὸς ὀλίγου Πέτρους ἐθεασάμεθα· ἐν ᾧ, χάριν ἔχω τῷ θαυμαστῷ Μαρτυρίῳ, καὶ συνηγανακτηκότι μάλιστα, καὶ προθυμότατα πάντων ὑπηρετήσαντι· ἀνθ' ὧν ἀγαθόν αὐτῷ τι γένοιτο παρὰ τοῦ Θεοῦ. παρὰ δὲ Ἀνθεμίου καλῶς ἂν ἔχοι τὸ μὴ κακόν τι λαβεῖν, εἰ Πέτρος αὐτὸν, ὥσπερ B ἠπείλησεν, ἀπαιτήσειεν· ἀλλ' ἵνα μὴ γένηται τοῦτο, δέομαι πάνυ, δέομαι σοῦ τε αὐτοῦ, καὶ διὰ σοῦ τοῦ θαυμασίου ἀνδρὸς καὶ φιλοσόφου Τρωΐλου, κωλύσατε τὸν ἀλιτήριον ἄνθρωπον τὴν διὰ τῶν νόμων ἐπὶ τοὺς νόμους ἐλθεῖν. ἐμοὶ καὶ Πενταπόλεως μέλει, καὶ τοῦ μὴ γεγενέναι φίλῳ συμφορᾶς αἴτιον. τὸ δὲ πῶς ἂν συκοφάντης ἀνακοπείη, οὐκ ἐμὸν εὑρεῖν, ἀλλὰ σὸν, ὦ πρὸς τὰ καλὰ πάντων σὺ πορισμώτατε.

verbera comminatus est, aduersus quem ego indignatione commotus, nec ibi vitalem mihi esse vitam arbitratus, vbi priuati quidam manus haberent legibus potentiores feci, vt splendidissimi homines decreti authoritate adducti Reipublicæ statui opitularentur. Si enim hoc ei processisset, multos breui Petros vidissemus: in quo, clarissimo viro Martyrio magnam habeo gratiam, qui cùm maximè hoc nostro casu doluerit, tum omnium fuit in ope ferenda promptissimus, propter quæ boni aliquid à Deo consequatur. Sed optimum tamen erit apud Anthemium rem illam fraudi ei non esse, si ab alio Petrus, quemadmodum minatus est, repetierit. Sed ne hoc contingat, te etiam atq; etiam obtestor, ac per te admirabilem illum ac sapientem Troilum. Prohibere importunam illam pestem, ne legum aduersùs leges præsidio se confirmet. Ego verò & Pentapolis curam gero, & huius prætereà, ne amico homini calamitatem consciscam. Quemadmodum autem Sycophanta iste comprimatur, non meum est inuenire, sed tuum potiùs, ô vir ad honesta omnia excogitanda ingeniosissime.

C

Πυλαιμένει.

Καλῶς ποιεῖς εἰς τὴν ἔχουσαν τὸν βασιλέα πόλιν ἐπανελθών. εἰ γὰρ κἂν τοῖς Ἰσαύρων ὄρεσιν ἡ ἀγαθή σοι τύχη συνῆν· ἀλλ' ἔστιν εὐτυχία παρὰ τὸν τόπον ἀτυχεστέρα. ἐμοὶ δέ τι καὶ ἴδιον διαφέρει, τὸ περὶ αὐτά σε πράττειν εὖ τὰ βασίλεια, οὗ διατρίβων, καὶ λήψῃ καὶ πέμψεις ἐπιστολὰς, τὸ τιμαλφέστατον ἐμοὶ τῶν ἀπὸ Θρᾴκης ἀγωγίμων.

Pylæmeni. 48.

Quod ad Regiam te Ciuitatem confers, benè facis: Tametsi enim vel inter Isaurorum montes prospera fortuna vtereris, nihilominus fœlicitas ipsa propter locum infœlicior est. Mea autem nonnihil priuatim interest in ipsa te regia fœliciter viuere, vbi commorans accipies, & dabis literas, quæ mihi sunt merces omnium quæ ê Thracia comportantur pretiosissimæ.

Θεοτίμῳ.

D

Πλέω καλὰ τῆς Σιμωνίδου συνουσίας Ἱέρων ἀπέλαυσεν, ἢ Σιμωνίδης Ἱέρωνος, καὶ ναὶ μὰ τὸν φίλιον τὸν ἐμόν τε καὶ σὸν, οὔτε σὲ πλέον ἐμακάρισα τῆς Ἀνθεμίου τοῦ μεγάλου φιλίας, ἢ τῆς σῆς αὐτὸν ἐκεῖνον τὸν μέγαν Ἀνθέμιον. ἀνδρὶ γὰρ ἔχοντι δύναμιν τί κτῆμα κάλλιον, ἢ φίλος ἦθος ἀκαπήλευτον παρεχόμενος· οἷον ἐγὼ Θεότιμον οἶδα τὴν πραοτάτην καὶ θεοφιλῆ κεφαλήν. ἀλλὰ τοῦτο μὲν σὺ, Σιμωνίδου πλέον ποιεῖς. Σιμωνίδης γὰρ

Theotimo. 49.

Plura ex Simonidis familiaritate commoda Hiero consequutus est, quàm ex Hieronis Simonides. Ac Deum iuro amicitiæ nostræ præsidem, neque te beatiorem de magni illius Anthemij familiaritate prædicaui, quàm de tua magnum eundem Anthemium. homini enim potestate prædito, quæ melior possessio est quam amicus, qui synceris sit minimeque fucatis moribus? Qualem ego Theotimum noui, mitissimum ac Deo charissimum caput. Ac hoc Simonide ampliùs facis. Nam Simonides

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ipse pretio adduci se vt dissereret, fatebatur: hoc ambobus commune est, quod & Simonides Hieronem posteris temporibus commendauit & Theotimi poëtices beneficio, quamdiu Græci durabunt, Anthemius erit omnium litterarum monimentis celeberrimus. Verùm res ille quidem Romanas amplificet, tu illius nomen atque memoriam, hoc enim Poëticæ à Deo concessum est, vt gloriam hominum famámque dispendet, cuius in te honestas omnis redundat.

Fratri 50.

Ioannes, ait iste, Æmylium occidit: Alius verò hæc ab inimicis eius qui Rempublicam gerunt conficta esse dicit. Quamobrem rei quidem veritatem nouit iustitia tempúsque deprehendet. Ego vero quamuis incerta adhuc res sit, omnes ad vnum detestandos puto, illum quidem quoniam eiusmodi est vt licet hoc non commiserit ac commissurus certè fuerit, nec abhorrentem à suis moribus criminationem sustineat: hos autem, vel si minimè confinxerint, quoniam erant conficturi, ac percommodè hoc ipsum illis facinus succedit. Nam cùm cuiuspiam vitæ ratio ab aliqua suspicione dissidet, quamlibet multi coniurati testimonium dicant, nihilo magis probauerint. Veluti si quis stupri Aiacem insimulet, risu omnium obruatur. Alexander verò vt Cinædus non esset at effœminatus erat & ad hanc criminationem idoneus. Sisyphum porrò & Vlyssem odi, quòd etsi aliquid veri dicerent, eiusmodi tamen essent vt sæpius mentirentur. Ego verò in hac ipsa mea calamitate fortunatissimus sum dum id genus inimicis atque amicis careo: interclusum mihi sit cum omnibus commercium, nec sit quicquam cum istorum vllo commune. Peregrinus inter peregrinos degam. Mores ipsi priusquàm locus separarunt. Equidem Cyrenes illustre solum deploro, quod Carneadæ olim habebant, & Aristippi, nunc Ioannes, & Iulij quibuscum opportunè non viuens, opportunè peregrinor. At tu ne scribito quidem ad me vlla de re, quæ illic geritur, nec litem habentes commendato. Non enim ampliùs me cuiquam eorum tradiderim. Infœlicissimus sanè essem si patriæ quæ mihi longè charissima est commodi-

A αὐτὸς ὡμολόγει πρὸς ἀργύριον διαλέγεσθαι. ἐκεῖνο δὲ κοινόν, ὅτι καὶ Σιμωνίδης Ἱέρωνα τῇ διαδοχῇ τοῦ χρόνου συνέστησε, καὶ διὰ " τῆς Θεοτίμου ποιήσεως, ἔστ' ἂν Ἕλληνες ὦσι, πολὺς Ἀνθέμιος ἐν ταῖς τῶν λόγων διατριβαῖς. ἀλλὰ τὰ μὲν Ῥωμαίων ἐκεῖνος αὔξοι· σὺ δὲ ἐκείνου τὸ ὄνομα· ποιητικὴ γὰρ ἔδωκεν ὁ Θεὸς " ταμιεύειν τὴν εὔκλειαν, ἧς τὸ καλὸν εἰς σὲ περιήκει.

γ. ταῖς Σιμων. ποιήσεσι

γ. ἀποταμιεύειν.

Τῷ ἀδελφῷ.

B " Ἀπέκτονε, φησί τις, Ἰωάννης Αἰμύλιον· ἕτερος δέ τις, τοὺς πολιτευομένους ἐχθροὺς ἐπ' αὐτῷ ταῦτα συμπλάσαι. τὸ μὲν οὖν ἀληθὲς οἶδεν ἡ δίκη, καὶ ὁ χρόνος εὑρήσει. ἐγὼ δὲ καὶ τοῦ ἀδήλου τοῦ πράγματος ὄντος, οἶμαι δεῖν ἀμφοτέρους ἑξῆς ἀποτροπιάζεσθαι, τὸν μέν, ὅτι τοιοῦτός ἐστιν, ὥστ' εἰ καὶ μὴ πεποίηκεν, ἀλλ' ἐποίησεν ἄν· καὶ τοῖς ἑαυτοῦ τρόποις πρέπουσαν αἰτίαν ἐδέξατο· τοὺς δὲ καὶ μὴ πλάσαντας, ὅτι συνέπλασαν ἄν· καὶ πρὸς αὐτὸν τὸ ἐγχείρημα, " ὡς ἔστιν ἦθος ἀνοίκειον ὑποψίᾳ τινί. C κἂν εἰ συνωμόται πολλοὶ μαρτυροῖεν, οὐδὲν αὐτοῖς ἔσται πλέον εἰς πίστιν· οἷον εἴ τις ἑταιρήσεως διώκοι τὸν Αἴαντα, γέλως ἂν εἴη πλατύς. ὁ δὲ Ἀλέξανδρος, εἰ μὴ θῆλυς, ἀλλὰ θηλυδρίας γε ἦν, καὶ τὴν αἰτίαν ἐχώρει. τὸν Σίσυφον δὲ καὶ τὸν Ὀδυσσέα μισῶ. καὶ γὰρ εἴ τι καὶ λέγοιεν ἀληθές, ἀλλὰ τοιοῦτοί γε ἦσαν, οἷοι τὰ " πλείω ψεύδεσθαι. ἐγὼ δὲ οἷς ἀτυχῶ, λίαν εὐτυχῶ, πολιτῶν τοιούτων ἐχθρῶν καὶ φίλων ἐστερημένος. διατετειχίσθω μοι τὰ πρὸς ἀμφοτέρους. οὐδὲν ἐμοὶ πρὸς ἐκείνων οὐδένα. D ξένος ἐν ξένοις βιώσω. ὁ τρόπος ἡμᾶς πρὸ τοῦ τόπου διῴκισεν. ὀδύρομαι δὲ τὸ κλεινὸν ἔδαφος τῆς Κυρήνης, ὃ πάλαι μὲν εἶχον Καρνεάδαι τε καὶ Ἀρίστιπποι· νυνὶ δὲ Ἰωάνναι καὶ Ἰούλιοι, μεθ' ὧν οὐκ εὐκαίρως γενόμενος, εὐκαίρως ἀποδημῶ. σὺ δὲ ἀλλὰ μηδὲ γράφειν ἔτι μοι περὶ τῶν ἐκεῖθεν πραγμάτων τινός· μηδὲ συνιστάναι τοὺς ἔχοντας δίκας. οὐ γὰρ ἂν ἐπιδοίην ἐμαυτὸν ἔτι τούτων τινί. ἀτυχέστατος μέντ' ἂν εἴην, εἰ τῶν μὲν ἀγαθῶν τῆς φιλτάτης πα-

γ. ἀπέκτεινε.

Vide Notas.

γ. πλεῖα.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τεῖδος στερίμην, μετέχοιμι δὲ ἀντιλογιῶν καὶ πραγμάτων, ἀφελκόντων με τῆς ἐν φιλοσοφίᾳ ῥᾳστώνης· καὶ πενίαν ἐξ ἀπραξίας ὡς κέρδος ἑλόμενος, τἀλλότρια κακὰ προῖκα προσεργάσομαι.

tatibus carerem, controuersiarum verò ac negotiorum particeps essem, quæ me ab otio Philosophiæ reuocarent, & cùm paupertatem, ex cessatione tanquam ingens lucrum adamarim, alienis commodis gratis seruirem.

Τῷ αὐτῷ.

Ἄραντες ἐκ Φυκοῦντος ἀρχομένης ἑῴας, δείλης ὀψίας τῷ κατ' ἐρυθρὰν κόλπῳ προσέσχομεν· ἐνδιατρίψαντες δὲ, ὅσον ὕδωρ πιεῖν καὶ ὑδρεύσασθαι· πηγαὶ δὲ ἐπ' αὐτὴν ἐκδιδόασι ″ τὴν ἠόνα καθαροῦ καὶ ἡδίστου νάματος· ἐπισπευδόντων τῶν Καρπαθίων, αὖθις ἀνήχθημεν. πνεύματι δὲ χρησάμενοι μετρίῳ μὲν, ἀλλ' ἐκ πρύμνης ἀεὶ, καὶ μέγα οὐδὲν ἐφ' ἑκάστης ἡμέρας ἀνύειν ἐλπίσαντες, ἐλάθομεν ἐξηνυκότες ὅσον ἔδει. καὶ πεμπταῖοι τὸν φρυκτὸν ἰδόντες, ὃν αἴρουσιν ἀπὸ πύργου τοῖς καταγομένοις σύνθημα, θᾶττον ἢ λόγος ἀποβιβασθέντες ἦμεν ἐν τῇ νήσῳ τῇ Φάρῳ. λυπρὰ δὲ ἡ νῆσος, ἐν ᾗ μήτε δάσος ἐστὶν αὐτοφυὲς, μήτε καρπὸς, ἀλλ' ἅλες τινές.

″ ἡδίονος.

Eidem. 51.

E Phycunte diluculo soluentes, sub vesperam ad maris rubri sinum appulimus, vbi tantulum moræ facientes, quantum ad bibendam & hauriendam aquam necesse fuit (scaturigines enim puri & suauissimi laticis in ipsum littus erumpunt) Carpathiis profectionem vrgentibus, rursus in altum enauigauimus. Cùm autem vento vteremur moderato alioqui, sed ad puppim perpetuo spirante, nec multum quoque diei spatio confecturos nos arbitraremur, quantum satis esset imprudentes confecimus. Quinto inde die facem eminus conspicati, quam è turri appellentibus nautis in signum erigunt, dicto citiùs exscendentes in insula Pharo fuimus: insula ipsa sterilis, in qua neque natiuæ syluæ quicquam neque frugis est, sed salis duntaxat aliquantulum.

Τῷ αὐτῷ.

Ἥκειν τις Ἀθήνηθεν λέγεται κρηπιδοπώλης ἄνθρωπος, παρ' οὗ μοι δοκεῖς καὶ πέρυσιν ἐωνῆσθαι τὰς ἀνατρήτους ἐμβάδας· νῦν δέ φασιν αὐτὸν ἐπὶ μεῖζον ἐμπορεύεσθαι, κομίζοντα στολὰς ἀττικουργεῖς· σοί τε θερίστρια πρέποντα καὶ ἡμῖν ἀναβολὰς εἰς τὴν ὥραν τοῦ ἔτους. πρὶν δὴ οὖν ἁπάσας φθάσειεν ἀποδόμενος, ἢ τὰς τῆς καλλίονος ἐργασίας· οἱ γὰρ προεντυγχάνοντες, οὐχ ὑπὲρ τῶν κατόπιν, ἀλλ' ὑπὲρ ἑαυτῶν δήπουθεν ἀξιοῦσι βουλεύεσθαι· εἰσκάλει τοι τὸν ξένον, καὶ πρίω μοι τρεῖς ἢ τέτταρας τῶν ἀναβολῶν. πάντως ὅ,τι ἂν ὑπὲρ τῆς τιμῆς καταθῇ, παρ' ἐμοί σοι πολλαπλάσιον κείσεται.

Eidem. 52.

Venire nescio quis Athenis dicitur crepidarum institor, de quo mihi videris pertusa illa calceamenta coëmisse. Nunc verò aiunt illum ampliorem instituram aggredi Atticas stolas comportantem: & Theristra tibi & mihi sub æstiuum anni tempus accommodata. Quare priusquàm omnia distraxerit, aut quæ exquisitioris erunt operis, (qui enim primi incidunt, non posterioribus, sed sibi vtique consulere volunt) hospitem ad te vocato, mihique tres aut quatuor vestes coëmito. Omninò quicquid in pretium persolueris, cum fœnore tibi à me rependetur.

Τῷ αὐτῷ.

Μῆκος ἐπιστολῆς ἀνοικειότητα κατηγορεῖ τοῦ διακομίζοντος· ἀλλ' ὁ θαυμαστὸς Ἀκάκιος, οἶδε μὲν ὅσα κἀγὼ, ἐρεῖ δὲ καὶ ὧν οἶδε πλείονα, τῷ τε σὸς ἐραστὴς εἶναι, καὶ τὴν γλῶτταν ἔχειν

Eidem. 53.

Epistolarum prolixitas argumento est eum à quo perferuntur alienum esse. Cæterùm præclarus Acacius, eadem quidem nouit, quæ ego, plura autem quam quæ nouerit, dicet, partim quia summo te amore prosequitur: partim

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

quia linguam habet res ipsas superantem: Ideóque Epistolam hanc magis salutandi tui officio ac legi, quam necessitati concessi. De filio autem Dioscurio narrare quemadmodum rectè se habeat: quemadmodum legat, & libris sit deditus hoc quod Epistolæ est proprium est, ei deferatur. Nos autem fratrum illi gregem præbuimus Hesychio masculorum fratrum par adiungentes, quosquidem fœlices Deus efficere velit, sibi ipsis vnà, & fratribus, & parentum domi, & reliquo generi, & paternis ciuitatibus.

A νικῶσαν τὰ πράγματα, ὥστε τὴν ἐπιστολὴν τῷ νόμῳ τοῦ προσειπεῖν σε πλέον, ἢ τῇ χρείᾳ χαρίζομαι. τὸ δὲ ἀπαγγεῖλαί σοι περὶ τοῦ υἱοῦ Διοσκουρίου, τοῦτο μὲν ὡς ὑγιαίνει, τοῦτο δὲ ὡς ἀναγινώσκει, καὶ προσκεῖται τοῖς βιβλίοις, τοῦτο τῆς ἐπιστολῆς αὐτοῦ ὑπαρχέτω τιμή. ἡμεῖς δὲ αὐτοῦ συμμορίαν ἀδελφῶν παρεσχόμεθα, προσθέντες Ἡσυχίῳ ζεῦγος ἀδελφῶν ἀρρένων, οὓς εὐτυχεῖς ποιήσειεν ὁ Θεός, αὐτοῖς τε καὶ ἀδελφοῖς, καὶ γονέων οἴκῳ, καὶ λοιπῷ γένει, καὶ ταῖς πατρίοις πόλεσιν. χ. Διοσκιεί

B

Eidem. 54.

Plerique apud nos tam priuati quàm sacerdotes somnia quædam comminiscentes, quas ipsi Reuelationes appellant, per veram mihi visionem vel malum conciliaturi videntur, nisi propediem sacras Athenas peruenire contigerit. Quoties igitur in Piræicum nauarcham incideris, ad nos scribito: illic enim tuas litteras accipiemus. Non solùm autem ex ea profectione vtilitatis consequar quod præsentibus me malis exsoluam, sed quod deinceps non ampliùs illinc venientes scientiarum atque eruditionis nomine adorabo, qui cùm nihil à mortalibus nobis discrepent, haud sanè quantum ad Aristotelis Platonísve intellectum attinet, nihilominus inter nos perinde atque inter mulos semidei versantur, pro eo quod Academiam, & Lyceum viderint, & variam illam Porticum, vbi Zeno philosophabatur, quæ nunc varia esse destitit: Proconsul enim asseres ademit: Inde ob sapientiam arrogantiores eos esse prohibuit.

Τῷ αὐτῷ.

Συχνοὶ παρ' ἡμῖν καὶ ἰδιῶται καὶ ἱερεῖς, πλαττόμενοί τινας ὀνείρους, οὓς αὐτοὶ καλοῦσιν ἀποκαλύψεις, ἐοίκασιν ὑπέρ μοι δώσειν κακόν, ἂν μὴ τάχιστα τὰς ἱερὰς Ἀθήνας καταλαβεῖν μοι γένηται. ὁσάκις ἂν οὖν ἐντυχεῖν σοι γένοιτο ναυκλήρῳ πειραϊκῷ, γράφε πρὸς ἡμᾶς· ἐκεῖσε γὰρ ἐντευξόμεθα ταῖς ἐπιστολαῖς. ὀνήσομαι δὲ οὐ μόνον τοῦτο τῆς ἐπὶ τὰς Ἀθήνας ὁδοῦ, τὸ τῶν παρόντων ἀπηλλάχθαι κακῶν, ἀλλὰ καὶ τὸ μηκέτι τοὺς ἐκεῖθεν ἥκοντας ἐπὶ λόγοις
C προσκυνεῖν, οἳ μηδὲν ἡμῶν τῶν θνητῶν χ. ἐφ' ἡμ.
διαφέρουσιν· οὔκουν εἰς σύνεσίν γε τὴν Ἀριστοτέλους καὶ Πλάτωνος· ἀναστρέφονται δὲ ἐν ἡμῖν, ὥσπερ ἐν ἡμιόνοις ἡμίθεοι, διότι τεθέανται τὴν Ἀκαδημίαν τε καὶ τὸ Λύκειον, καὶ τὴν ἐν ᾗ Ζήνων ἐφιλοσόφει ποικίλην, νῦν οὐκέτ' οὖσαν ποικίλην. ὁ γὰρ Ἀνθύπατος τὰς σανίδας ὑφείλετο· ἔπειτα ἐκώλυσεν αὐτοὺς χ. ἐξύλ
ἐπὶ σοφίᾳ μεῖζον φρονεῖν.

Eidem. 55.

Commodùm rudentem solueras, cùm ego mulas ad occidentalem ripam admoui, cúmque è vehiculo descenderem, velum iam tibi sublatum erat, & ad puppim ventus spirabat: verùm oculis quoad pertingere poteram vos sum consequutus, multáque pro charissima mihi anima ventis colloquutus sum, nauigium iis commendans cui pretiosissimum mihi onus concreditum erat. At illi (neque enim pulchrorum amoris expertes sunt) vectionem ac reuectionem tuam mihi sunt polliciti. Et ij quidem boni cùm sint dæmones, nunquam fidem suam fefellerint: Tu verò quemadmodum

Τῷ αὐτῷ.

Ἔλυσας τὸ πρυμνήσιον κἀγὼ τὰς ἡμιόνους
D ἔστησα παρὰ τὴν ζεφυρῖτιν ἠϊόνα· τῆς ἀπήνης δὲ ἀποβαίνοντος, ἤδη σοι τὸ ἱστίον ἦρτο, καὶ κατὰ πρύμναν ὁ ἄνεμος. ἀλλὰ τοῖς τε ὀφθαλμοῖς ὑμᾶς ἐφ' ὅσον ἐξικνοῦντο προὔπεμψα, καὶ πολλὰ τοῖς ἀνέμοις ὑπὲρ τῆς ἐρωμένης ψυχῆς διείλεγμαι, συνιστὰς αὐτοῖς τὸ σκάφος, ᾧ μοι τὸ τιμαλφέστατον φορτίον πεπίστευτο· οἱ δὲ, οὐ γάρ εἰσιν ἀνέραστοι τῶν καλῶν, ὑπέσχοντό μοι τὴν σὴν κομιδήν τε καὶ ἀνακομιδήν. οὗτοι μὲν οὖν ἀγαθοὶ δαίμονες ὄντες, οὐκ ἄν ποτε ψεύσαιντο· σὺ δὲ ὥσπερ αὐτὸς ἐδεήθης,

ἐντεῦθεν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐντεῦθεν ἐκεῖσε πορθμεύων, δεήθητι κἀκεῖθεν ἐνθάδε· πολὺ γὰρ ἂν ἡδίους τότε σοι παραγένοιντο.

hinc illuc traiiciens illos precatus es, ita illinc huc rediturus deprecare: tum enim multo tibi libentiùs aderunt.

Τῷ αὐτῷ.

Ἀδικεῖς με, ὦ θεία καὶ ἱερὰ κεφαλή, ψυχὴν ἁπλῆν, καὶ ὑπὸ συνηθείας ἁλώσιμον, ἐνστήσας μὲν εἰς τὸ διαφερόντως ἀγαπᾶν σέ τε καὶ τὴν ἀδελφιδῆν, ἀφελόμενος δὲ σαυτοῦ τε καὶ τῆς ἀδελφιδῆς. ἐκείνην μὲν οὖν ἔχων, διπλῆν ἐθεώμην εἰκόνα· καὶ πρὸ ἡμῶν μοι διὰ τῆς νεάνιδος ὁ θεῖος αὐτῆς· νῦν δὲ ἅπαντα τὰ φίλα φρούδα· καὶ μέμφομαι τῇ φύσει, διὰ τὴν ἀμετρίαν τῆς εἰς τὸ ἀδικεῖσθαι ῥοπῆς· καὶ εἴ τι φιλοσοφίας ὄφελος, εἰς ἀρρενωπότερον ἀνακτήσομαι, καὶ τοῦ λοιποῦ σφενδαμνίνῳ μοι καὶ ἀκλινεστέρῳ συνέσεσθε.

Eidem 56.

Iniuriam facis (ô diuinum sacrúmque caput) qui cùm simplicem animum,& cõsuetudine ipsa captu facilem, in mirificũ tui ac fratris filiæ amorem compuleris, eũ tamen abs te,& fratris filio seiunxeris. Atqui cùm eam intuerer, duplex ob oculos imago versabatur, mihíque in puella patruus illius adesse videbatur. Nunc autem quicquid amicum est nusquam apparet: atque ego naturam interdum meam accuso, quòd ad iniuriam accipiendam immoderatè procliuis esse videatur. Quod si qua philosophiæ vtilitas est, in virilem me statum confirmabo, rigidiorémque me de cætero ac contumaciorem experiemini.

Κατὰ Ἀνδρονίκου.

Αἱ κακοποιοὶ δυνάμεις ἐν κόσμῳ, συντελοῦσι μὲν τῇ χρείᾳ τῆς προνοίας· κολάζουσι γὰρ τοὺς ἀξίους κολάζεσθαι· εἰσὶ δὲ ὅμως θεομισεῖς τε καὶ ἀποτρόπαιοι. Ἐγερῶ γάρ, φησιν, ἔθνος ἐφ' ὑμᾶς, ἀφ' οὗ πείσεσθε τόσα καὶ τόσα. καὶ τελευτῶν, αὖθις ἐκείνοις, οἷς ἐπιστρατεύει, φησὶν ἐπεξελεύσεσθαι, ὅτι παραλαβόντες ὑμᾶς οὐκ ἠλέησαν, οὐδὲ ἀνθρωπίνως ἐχρήσαντο. αὐτὰς * μὲν γὰρ οὐκ ἐξεμελέτησα τὰς ἱερὰς συλλαβάς· διϊσχυρίζομαι δέ, ὡς ἔστιν οὗ τῶν βιβλίων ὁ Θεὸς ταῦτα λέγων πεποίηται· καὶ οὐκ εἶπε μὲν οὕτως· οὐκ ἐποίησε δέ· ἀλλὰ Βαβυλώνιος βασιλεύς, Ἱερουσαλὴμ μὲν τὴν πόλιν κατέσκαψε, τὸ δὲ ἔθνος ἠνδραποδίσατο. ὁ δὲ αὐτὸς οὗτος οὐκ εἰς μακρὰν ἐμεμήνει· καὶ γέγονε δίκη Θεοῦ ἐξερημωθῆναι τὴν πόλιν, ὡς εἰ καὶ γέγονεν ἐν τῷ τόπῳ πόλις, ἀπιστηθῆναι. ἆρα τολμητέον ἔρεσθαι Θεόν; διὰ τί σὺ μὲν ἐγείρεις ἄνδρας ἐπὶ τοὺς ἡμαρτηκότας σοι τιμωρούς· ἐπὰν δὲ ὑπηρετήσωσι τῷ θείῳ βουλήματι, καὶ γίνωνται δήμιοι τούτοις, ἐφ' οὓς καταπέμπονται, δέον ἐκτῖσαι χάριν τῆς ὑπουργίας, τότε δὴ μάλιστα καὶ κολάζονται; ἀλλ' ἦ κεκίνηκεν ἡμᾶς εἰς ἀπόκρισιν ὧν αὐτοὶ πυνθανόμεθα; ἐπειδὴ γὰρ βεβλαμμένου τῇδε τοῦ θείου νόμου,

[Marginal note beside this passage: γρ. μὲν οὐ]

Aduersus Andronicum 57.

Quæ in mundo sunt maleficæ virtutes, etiamsi ex vsu diuinæ prouidentiæ sint, cùm in eos animaduertant, qui sint animaduersione digni; sunt illæ tamen & inuisæ Deo, & execrabiles: Suscitabo enim, inquit, gentem aduersum vos, à qua hæc & illa patiemini: ac tandem illos ipsos, contra quos expeditionem agit, vindicaturum sese ait, quoniam accipientes vos non sunt miserti, neque humaniter tractarunt. Etenim sacra ipsa verba memoria non teneo: certò autem asseuerauerim alicubi in sacris voluminibus Deum hæc loquentem induci. Neque verò ita quidem dixit, non ita tamen perfecit: Sed Babylonius Rex Hierusalem ciuitatem demolitus est, Gentem in seruitutem redegit. At is ipse non multò pòst furore correptus est, diuináque animaduersione factum,vt ciuitas desolaretur, adeò vt fuisse vnquam eo in loco ciuitatem incredibile videretur. Audendúmne igitur vt à Deo percontemur? Quid tu homines aduersus delinquentes tui vltores excitas? Cúmque diuinæ voluntati operam suam collocarint, iísque carnifices extiterint ad quos mittuntur; cùm iis operæ suæ mercedem, ac gratiam rependere oporteret, tunc vel maximè puniuntur. Sed vtrúmne nobis ad ea quæ interrogamus, responsionem suggerit? Nam cùm hîc violata diuina

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

lege humanum in genus mala deriuassent (malefica autem in primis mala; naturæ enim quadam abundantia efficiendi vim habent) sed postquàm mala semel extiterunt, diuinæ sapientiæ, & virtutis, & facultatis est, non modò bonum facere, natura enim, vt ita loquar, hæc Dei est: vti ignis calefacere, & luminis collucere, sed illud præcipuè, per mala à quibusdam excogitata bonum aliquem, & commodum finem perficere, vtilitérque his vti, quæ mala videantur. Est enim solertis hoc sapientiæ, etiam malis ipsis opportunè vti. Quoties itaque pœnarum exactoribus indiget, interdum Locustarum agmini præfectis dæmonibus vtetur, nonnunquam iis quorum munus est pestilentia: & aliàs quidem barbara aliqua natione, aliàs nefario Principe: & vt vno verbo dicam publicis velut administris naturis, quæ ad maleficiendum idoneæ sunt: nihilominus tamen odio eas prosequitur quòd ad id idoneæ reperiantur. Non enim calamitatum instrumenta molitur Deus, sed suapte sponte ad hoc officium accommodatas in promptu habet. Et quoniam tu ad id idoneus redditus es, hoc est, quòd te à Deo penitus abscindit. Ita vas aliud inhonoratum, aliud pretiosum & est, & esse creditur. Vnumquódque enim ex eo vsu, quem præstat, diiudicatur. Et quidem mensa sacrum est aliquid per quam Deus honoratur, amicorum, siue hospitum præses. Et Abrahamum in hospites humanitas Dei conuiuatorem fecit; flagellum autem detestandum; iræ enim minister est, & nonnunquam qui eo vsus est, pœnitentia ducitur. Sed eorum qui puniuntur cura à Deo suscipitur. Non enim non illud exiguum est, diuina prouidentia dignari, atque imposita pœna à sceleribus perpurgari. Pœnarum verò administræ naturæ à Deo sunt prorsus auersæ. Etenim quod destruendi vim habet, conditori haud dubiè repugnat, neque enim ita animo affectus est vindex, siue dæmon, siue homo, quasi munus hoc Deo præstet, sed naturæ malignitati seruiens communes calamitates persequitur, itaque non quoniam ærumnis conflictari ciuitatem oportebat, tua est verò id opera perfectum, ideo meritas pœnas effugies. Alioqui eadem defensione & Iudas vti poterat; oportebat enim pro peccatis omnium in crucem tolli Christum dominum. Sed oportebat quidem, inquit,

παρῆλθεν εἰς ἀνθρώπους κακά· τὰ δὲ κακο-
A ποιά, διαφερόντως κακά. περιουσία γὰρ
φύσεως καὶ δραστήρια γίνονται. ἐπεὶ δ' οὖν
ἅπαξ γέγονε τὰ κακά· τῆς θείας σοφίας καὶ
ἀρετῆς καὶ δυνάμεως ἔργον ἐστίν, οὐ μόνον
τὸ ἀγαθοποιεῖν· φύσις γάρ, ὡς εἰπεῖν, αὕ-
τη Θεοῦ, ὡς τοῦ πυρὸς τὸ θερμαίνειν, καὶ τοῦ φω-
τὸς τὸ φωτίζειν· ἀλλὰ κἀκεῖνο μάλιστα, τὸ
διὰ κακῶν ἐπινοηθέντων πρός τινων, ἀγα-
θόν τι καὶ χρηστὸν τέλος ἀποτελεῖν, καὶ ὠφελί-
μως τοῖς δοκοῦσι φαύλοις χρῆσθαι. καὶ γὰρ
σοφίας ἐστὶν εὐμηχάνου, καὶ τοῖς κακοῖς ἐν
B δέοντι χρήσασθαι. ὅταν οὖν δέηται κολαστῶν,
χρῆται νῦν μὲν ἀγελάρχαις ἀκρίδων δαίμο-
σι, νῦν δὲ ὧν ἔργα λοιμοί· καὶ νῦν μὲν ἔθνει
βαρβάρων, νῦν δὲ ἄρχοντι πονηρῷ, καὶ κα-
θάπαξ εἰπεῖν, ταῖς ἐπιτηδείοις εἰς τὸ ποιῆ-
σαι κακὰ δημοσίαις φύσεσι. μισεῖ δ' ὅμως αὐ-
τάς, ὅτι πρὸς τοῦτο γεγόνασιν ἐπιτήδειοι. οὐ γὰρ
ἐποίησεν ὁ Θεὸς ὄργανα συμφορῶν, ἀλλ' ὑφ'
ἑαυτῶν εἰς τοῦτο ταχθεῖσιν ἑτοίμοις ἐχρήσατο. καὶ
διότι πρὸς τοῦτο σὺ γέγονας χρήσιμος· αὐτὸ
τοῦτό ἐστιν, ὃ καὶ παντάπασιν ἀποκόπτει Θεοῦ.
C οὕτω καὶ σκεῦος τὸ μὲν ἄτιμον, τὸ δὲ τίμιόν ἐστί
τε καὶ νομίζεται· κρίνεται γὰρ ἑκάτερον πρὸς
ἣν τινα χρείαν παρέχεται. τράπεζα μέν, ἱε-
ρὸν χρῆμα, δι' ἧς ὁ Θεὸς τιμᾶται φίλιός τε
καὶ ξένιος· καὶ τὸν Ἀβραὰμ ἡ φιλοξενία Θεοῦ
πεποίηκεν ἑστιάτορα· μάστιξ δὲ ἀποτρόπαιον·
θυμῷ γὰρ ὑπηρετεῖται, καί τις ἤδη χρησά-
μενος αὐτῇ, μετενόησε. τῶν μέν τοι κολαζο-
μένων ὁ Θεὸς κήδεται· οὐδὲ γὰρ οὐδὲ τοῦτο
μικρόν, ἐπισκοπῆς ἀξιωθῆναι Θεοῦ, καὶ κα-
θαίρεσθαι διὰ δίκης τὰ ἁμαρτήματα. αἱ δὲ
τιμωροὶ φύσεις, αἱ παντάπασιν ἀπόστροφοι τοῦ
D Θεοῦ· τὸ γὰρ ἀφανιστικόν, τῷ δημιουργῷ
δήπου πολέμιον. οὐ γὰρ οὐδὲ διάκειται τὴν
γνώμην ὁ τιμωρός, ἢ δαίμων, ἢ ἄνθρω-
πος, ὡς λειτουργίαν τινὰ ταύτην εἰσφέρων
Θεῷ· ἀλλὰ τῇ μοχθηρίᾳ τῆς φύσεως χαριζό-
μενος, ταῖς κοιναῖς συμφοραῖς ἐπεξέρχεται. οὐ
τοίνυν ἐπειδὴ δυστυχεῖν ἔδει τὴν πόλιν, σὺ δὲ
τοῦτ' εἰργάσω, παρὰ τοῦτό σε δεῖ διαδρᾶναι τὴν
δίκην. ταύτην γὰρ ἂν τὴν ἀπολογίαν καὶ Ἰούδας
ἀπελογήσατο· ἔδει γὰρ ὑπὲρ τῶν ἁπάντων * ἁ-
μαρτίας σταυρωθῆναι Χριστόν· ἀλλ' ἔδει μέν, φησιν,

κ. ἐπι-
είας

ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ

οὐαὶ δὲ, δι' οὗ γίγνεται, καὶ καλὸν ἦν τῷ ἀνθρώπῳ, εἰ μὴ ἐγεγένητο. ἐκεῖνο τὸ μὲν ὁρώμενον, ἀγχόνη τὴν προδοσίαν αὐτοῦ διεδέξατο· τὸ δὲ οὐχ ὁρώμενον, οὐδ' ἂν ἐπινοήσειέ τις. οὐ γάρ ἐστιν ἐπίνοιαν ἀνθρώπου χωρῆσαι, τίνα γένοιτ' ἂν τῷ Χριστοῦ προδότῃ τὰ κολαστήρια. τὸ γὰρ ἢ δεῖ γενέσθαι ὑπηρετῆσαι τῷ χρεὼν, οὐκ ἀστείας ἀπολογίας ἐστί. δεῖ τοίνυν ὅσον οὐδέπω καὶ Αὐσουριανοὺς καὶ Ἀνδρόνικον, ὑπὲρ ὧν εἰς ἡμᾶς εἰργάσαντο, δίκην ἀξίαν κομίσασθαι. καὶ γὰρ τὴν ἀκρίδα τὴν λυμηναμένην ἡμῶν τοὺς καρποὺς, καὶ μέχρι μὲν καλάμης τὸ λήϊον, μέχρι δὲ φλοιοῦ τὰ φυτὰ δαπανήσασαν, καταποντιστὴς ἄνεμος ἄρας ὦσεν εἰς μέσον τὸ πέλαγος. ταύτῃ μὲν οὖν τῇ πληγῇ τὸν νότον ἀντέταξεν ὁ Θεός· καὶ ἐπ' Αὐσουριανοὺς ἤδη τις ᾕρηται παρ' αὐτοῦ στρατηγός· ὡς εἴη γε οὗτος * ἡμῖν εἶναι τῶν παρ' αὐτοῦ πώποτε στρατηγῶν εὐσεβέστατός τε καὶ δικαιότατος. οὗτον ἐπὶ τῷ κατ' αὐτῶν τροπαίῳ μακαρίσαι μοι γένοιτο. μακάριος γὰρ, φησιν, ὃς ἀνταποδώσει τὸ ἀνταπόδομα αὐτοῖς· μακάριος ὃς ἐδαφιεῖ τὰ νήπια αὐτῶν πρὸς τὴν πέτραν. τίς δὲ ἄρα, τίς ὄλεθρος περιμένει τὸν παλαμναῖον τῆς χώρας Ἀνδρόνικον; τίς ἀξία γένοιτ' ἂν δίκη ψυχῆς κακεργάτιδος; ὡς ἐμοὶ τῶν πληγῶν ἁπασῶν, αἷς μετῆλθε τὰς ἁμαρτίας ἡμῶν ὁ Θεὸς, Ἀνδρόνικός ἐστι μακρῷ πάντων βαρύτερος. πρὸς γὰρ ταῖς κοιναῖς συμφοραῖς, οὗτος ἐμόν ἐστι κακὸν ἴδιον. διὰ τούτου μέτεισιν ὁ πειράζων, ἵνα δραπετεύσω τοῦ θυσιαστηρίου τὴν λειτουργίαν· ἐπανακτέον δέ μοι μικρὸν ἄνω τὸν λόγον, ἵν' οἷς ἴστε, προσθεὶς ἃ μὴ πάντες γινώσκετε, ἀκόλουθον ὑμῖν τὴν διδασκαλίαν τῶν περὶ ἐμὲ πραγμάτων ποιήσωμαι· καὶ γὰρ πρὸς τὰ μετὰ ταῦτά μοι καλῶς ἔχει τούτων ὑμᾶς ἀκροατάς μοι γενέσθαι. ἐμοὶ παιδόθεν παρέστη θεῖον ἀγαθὸν εἶναι, σχολὴ καὶ τοῦ ζῆν εὐμάρεια· τοῦτο, ὃ ταῖς θείαις φύσεσι προσήκειν τις ἔφη, αὐτὸ τοῦτ' εἶναι, τὸ τὸν νοῦν ἐκτρέφειν καὶ συνιστᾶν τῷ θεῷ, τὸν ἔχοντά τε αὐτὴν καὶ καρπούμενον. ὅσα δὴ παισίν ἐστιν ἢ γίνεται πράγματα, τούτων ἐλάχιστον ἐγὼ μετέσχον, καὶ ὅσα μειρακίοις, καὶ ὅσα νέοις· καὶ εἰς ἄνδρα παραγγείλας,

ἡ. ἡμῶν

A væ autem ei, per quem istud fit: & bonum esset huic homini, si non esset natus. Quamobrem, quodquidem videri poterat, proditionem illius suspendium est consecutum. Quod autem videri non potest, nemo cogitatione comprehendere possit. Neque enim id animus hominum capere potest, proditori Christi quanta sint supplicia constituta. Nam illud fato ac necessitati prout accidere oportebat, ministrare non admodum scitæ excusationis est. Quare & Ausurianos, & Andronicum, pro eo quod in nos commiserunt, par est dignas pœnas exsoluere. B Siquidem & locustam quæ fruges nostras vastauerat, quæque ad culmen vsque segetes, stirpes ad corticem adederat, depressor ventus attollens, medium in mare præcipitauit. Atque ei quidem plagæ Austrum Deus opposuit, & aduersus Ausurianos aliquis iam ab eo Dux delectus est, qui vtinam nobis omnium qui vnquam ab eo submissi sunt Ducum religiosissimus sit atque æquissimus. Liceat eum mihi ob reportatum de illis triumphum beatum prædicare. Beatus enim, ait, qui retribuet retributionem ipsis. Beatus qui allidet infantes eorum ad petram. C Ecquæ ergo tandem pernicies Andronicum prouinciæ pestem, atque exitium expectat? Quænam digna malefico animo pœna esse poterit? Andronicus longè cæteris omnibus est molestior. Nam præter communes acerbitates, is præcipuum mihi, ac peculiare malum. Per eum tentator id molitur, vt altaris munus defugiam. Sed mihi altiùs paulò repetenda oratio est, vt iis quæ comperta vobis sunt, ea adiiciens quæ non omnibus comperta sunt, ea vobis ordine exponam quæ mihi contigerunt. D Etenim ad ea quæ postea dicturus sum intelligenda optimum erit vos ea à me prius accepisse. Mihi iam inde à puero diuinum illud bonum concessum est, otium, viuendíque facilitas. id quod diuinis ingeniis conuenire quidam dixit, ídque esse, mentem alere, ac Deo conciliare possidenti illam, eáque perfruenti. Quæcúmque ergo pueris inesse aut vsuuenire solent, minimùm ego eorum particeps fui, vt & quæ in adolescentulis, & quæ in iuuenibus cernuntur. Cúmque iam virilem ætatem attigissem,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

nihil à puerulo quantum ad quietem, & vitæ tranquillitatem discrepauit, sed perinde vt in festiua aliqua celebritate vitam traducens, pacatum ac nullis fluctib. perturbatum animi statum conseruaui. Neque tamen ideo me Deus hominibus inutilem fecit, sed plerumque & Priuati & Ciuitates operâ meâ ad summas opportunitates vsi sunt: erat quippe hoc mihi diuinitus tributum, vt cùm ego authoritate plurimum possem, tum honestissima quæque vellem. Nihil me istarum occupationum à Philosophia seiunxit, neque fœlici otio exemit. Tum demum enim, cùm violenter, atque ægre, nec sine labore aliquid facias, tempus consumitur, atque infinitis negotiorum molestiis animus immergitur: Cuicunque verò verbo tenus aliquid incumbit, ac subinde dicentem persuasio sequitur, éstque maxima apud audientes sermonis efficacia, quid est quod voci suæ parcat, vt à miseria quispiam liberetur? Magni est homo pretij animal: magni, inquam, pretij, cum pro eo sit Christus in cruce suspensus: sed mihi vt hominibus persuaderem, ad hunc vsque annum forsitan diuina quadam sorte oblatum est. Forsitan verò quod ægrè me negotiis implicarem, ad exitum perducebam. Nunc cum aliis multis istud quoque indicio conuictum videtur, quæ à Deo erant manifestè concessa: At ego inter quæ illud ei tribuebam, viuebámque optima cum spe, in mundo velut in religioso quodam septo solutum animal, libere degens, oratione, & libris, & venatione vitam distinguens. Etenim vt & animo, & corpori sua sanitas constet partim id laborandum, partim à Deo postulandum est. In hac viuendi facilitate annos meos vsque ad sacerdotij onus transegi, ad quod supra cæteros ante me omnes formidolosissimus extiti. Testor præsidem omnium Deum, cuius arcana mysteria vestri causa suscepi, citra humanas prensationes atque studia. Ego ad ipsummet Deum multis temporibus ac locis me contuli, & pronus ac flexis genibus supplex mortem præ sacerdotio optabam. Tenebat enim me aduersus Philosophiæ tranquillitatem reuerentia quædam, atque amor pro qua mihi omnia & agenda & dicenda existimabam: sed postquam hominibus expugnatis à Deo sum superatus, vt communis eorum ferebat fama, qui ad diuinam familiaritatē erant euecti,

A οὐδέν τι παιδαρίου πρὸς ἀπραγμοσύνην παρήλλαξα· ἀλλ' ὥσπερ ἐν πανηγύρει σεμνῇ διεξάγων τὸν βίον, διὰ πάσης ἡλικίας ἵλεων καὶ ἀκύμαντον τῆς ψυχῆς ἐτήρησα τὴν διάθεσιν. οὐ μὴν διὰ τοῦτο ἀνθρώποις ἀσυντελῆ με πεποίηκεν ὁ Θεός· ἀλλὰ πολλάκις ἡμῖν καὶ ἰδιῶται καὶ πόλεις εἰς δέον ἐχρήσαντο. ἐδίδου γὰρ ὁ Θεὸς δύνασθαί τε τὰ μέγιστα, καὶ τὰ κάλλιστα βούλεσθαι. τούτων οὐδὲν ἐμὲ φιλοσοφίας ἀφεῖλεν, οὐδὲ τὴν εὐδαίμονά μοι σχολὴν ὑπετέμνετο. ὃ γὰρ ὠθισμῷ, καὶ μόχθῳ, B καὶ μόλις ποιεῖ, τοῦτό ἐστιν ὃ δαπανᾷ τὸν χρόνον, καὶ τὴν ψυχὴν ἐμβαπτίζει μερίμναις πραγμάτων· ὅτῳ δὲ εἰπεῖν μόνον καθήκει, ἡ πειθὼ δὲ ἕπεται, καὶ ὁ λόγος αἰσιμώτατός ἐστι παρὰ τοῖς ἀκούουσι, τίς φειδὼ ῥημάτων, ἵνα δυστυχίας τις ἐλευθερωθῇ; τίμιον ζῷον ὁ ἄνθρωπος· τίμιον γάρ, εἰ δι' αὐτὸν ἐσταυρώθη Χριστός· ἐμοὶ δὲ τὸ πείθειν ἀνθρώπους εἰς τὸν μέχρι τοῦ παρόντος ἐνιαυτόν, τάχα μὲν θεῖος κλῆρος ἐγένετο· τάχα δὲ μόλις πραγμάτων ἁπτόμενος, ἐπετύγχανον. *V. Nota* νῦν γὰρ δὴ τὸ C πρᾶγμα ἔοικεν ἐξεληλέγχθαι, μετὰ πολλῶν, ἅ τινα σαφῶς ἦν τοῦ Θεοῦ, καὶ τοῦτ' ἀνετίθουν αὐτῷ· καὶ ἔζων μετ' ἀγαθῶν τῶν ἐλπίδων, ὥσπερ ἐν ἱερῷ περιβόλῳ τῷ κόσμῳ, ζῷον ἄφετον, * ἀνειμένον, εὐχῇ καὶ βίβλῳ καὶ θήρᾳ μερίζων τὸν βίον. [κ. αἰμᾶν ζῶν.] ἵνα γὰρ ὑγιαίνῃ ψυχή τε καὶ σῶμα, τὸ μέν τι δεῖ πονεῖν, τὸ δὲ αἰτεῖν τὸν Θεόν. μετὰ τοιαύτης εὐμαρείας εἵλκυσα τοὺς ἐνιαυτοὺς τοὺς μέχρι τῆς ἱερωσύνης αἱρέσεως· πρὸς ἣν ἐγὼ παρὰ τοὺς πώποτε δειλότατος γέγονα. μαρτύ- D ρομαι τὸν ἐπὶ πᾶσι Θεόν, οὗ δι' ὑμᾶς ἐγὼ τὰς ἀπορρήτους ἐβάστασα τελετάς, δίχα τῶν ἀνθρωπίνων περιόδων τε καὶ σπουδῶν, αὐτῷ κατὰ μόνας ἐν πολλοῖς καιροῖς τε καὶ τόποις προσῆλθον Θεῷ· καὶ πρηνὴς καὶ γονυπετὴς ἱκέτης γενόμενος, θάνατον ἀνθ' ἱερωσύνης ᾐρούμην. αἰδὼς γάρ τις με καὶ φιλία κατεῖχε τῆς ἐν φιλοσοφίᾳ σχολῆς, ὑφ' ἧς ἅπαντα δεῖν ᾤμην ποιεῖν τε καὶ λέγειν· ἀλλ' ἐπειδὴ τῶν μὲν ἀνθρώπων ἐκράτουν, ὑπὸ τοῦ Θεοῦ δὲ ἡττώμην, ὡς κοινὴ * φήμη τὸν ἀξιούμενον εἶναι γνώριμον Θεοῦ, [κ. γνώμη]

ἔφερον, ἀλλὰ δυσπετῶς τὴν καινοτομίαν τοῦ βίου. δρασμὸν γὰρ ἐπιθέμενον, ἐλπὶς ἀγαθῶν καὶ φόβος χειρόνων ἀνέκοψε. καὶ λεγόντων ἤκουσα γερόντων ἱερῶν, ὅτι με Θεὸς ποιμαίνει· καί τις ἐπὶ λέξεως εἶπεν, ὡς ἱλαρόν ἐστι τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ἱλαροῦται τοὺς μετόχους αὐτοῦ· καὶ προσέθηκεν, ὡς ἠμφισβήτησαν ἡμῖν πρὸς Θεὸν δαίμονες, οὓς λυπῶ προσχωρήσας τῇ μερίδι τῇ κρείττονι. ἀλλὰ κἄν τι προσβάλωσι χαλεπὸν, οὐκ ἀμελεῖται, φησὶ, φιλόσοφος ἱερωμένος. ἐγὼ μὲν οὖν· οὐ γὰρ ῥᾳδίως εἰμὶ χαυνωθῆναι καὶ λαμπρόν τι λογίσασθαι περὶ ἐμαυτοῦ· τὴν ἀτυχίαν ᾐτιασάμην· ἀλλ᾽ οὐχ ὑπὸ φθόνου δαίμονος. οὐ γὰρ οἶμαί μοι προσεῖναι ἀρετὴν, ἥτις ἂν τοὺς βασκάνους ἐκίνησεν. ἀλλ᾽ ἐφόβει με μᾶλλον δίκας ὀφλόντα παρ᾽ ἀξίαν ἅψασθαι μυστηρίων Θεοῦ. καὶ ταύτην τὴν ἀτυχίαν ἐμαντευόμην, εἰς ἣν οὐ κατὰ μικρὸν ὤλισθον· ἀλλὰ πάρειμι ἐνθάδε, καὶ τὰ δεινὰ πάντα πάρεστι· καὶ χορηγὸς πάντων Ἀνδρόνικος δαίμων ἄρειος ἄπληστος συμφορῶν, τῆς πόλεως τοῖς λειψάνοις ἐγκείμενος, ἒ ἒ πανταχοῦ τῆς ἀγορᾶς. ἀνδρῶν οἰμωγαὶ, γυναικῶν ὀλολυγαὶ, παίδων ὀλοφυρμοὶ, σχῆμα πόλεως ἑαλωκυίας αὐτῇ περιτέθεικεν, ἧς τὸ κάλλιστον μέρος ἀποτεμόμενος, τίσεως χωρίον ὀνομασθῆναι γέγονεν αἴτιος, τὴν στοὰν τὴν βασίλειον τὸ πάλαι κριτήριον, ἀποδείξας βασανιστήριον. ταύτην δαίμοσι ποινίμοις, οἷς ἑαυτὸν ἄρας προσένειμε βωμὸν, καὶ τράπεζαν παρέθηκεν. ὢ πόσους πολιτῶν εἱστίασε δάκρυσι! ποῖοι Ταυροσκύθαι, τίνες Λακεδαιμόνιοι, τοσούτῳ ποτὲ διὰ τῶν μαστίγων αἵματι τὴν παρ᾽ αὐτοῖς ἐτίμησαν Ἄρτεμιν; δρόμος ἁπάντων εὐθὺς ἐπ᾽ ἐμέ· καὶ πανταχόθεν εὐθὺς ἐβαλλόμην, ἀκοῇ καὶ θέᾳ κακῶν. νουθετήσας, οὐκ ἔπεισα· ἐπιτιμήσας, ἠρέθισα. ὁ παρὼν καιρὸς, ἤλεγξεν ἡμῶν τὴν ἀσθένειαν, ἣν μέχρι νῦν ἔκρυψεν ἀπὸ τῶν ἀνθρώπων Θεός. συγχωρουμένων γὰρ ἀεὶ τιμὴν καρπωσάμενος, παρέσχον ὑποψίαν τῇ πατρίδι δυνάμεως. καὶ τοῦτο χαλεπώτατον τῶν συμβεβηκότων ἐστί μοι. πρὸς γὰρ τὴν ἐλπίδα τῶν ἠγνοηκότων με κρίνομαι. οὐδὲ γὰρ πείθω λέγων αὐτοὺς ὡς οὐ δύναμαι·

A ferebam equidem, sed inuitus, ac repugnans illam viuendi insolentiam, iámque fugam agitantem, bonorum spes ac deteriorum metus à proposito reuocant. Quin istud de sacris senibus audiui, me à Deo gubernari, & alius quadam in oratione dixit, hilarem esse spiritum sanctum, & sui participes exhilarare, addiditque de me cum Deo contendisse dæmonas, quos in meliorem partem transiens mœrore afficiam. Ac tametsi difficile quidpiam inferant, non tamen, inquit, Philosophus Deo consecratus negligitur. Atque ego B quidem, non enim facilè insolescere, ac de me magnificè aliquid cogitare soleo. infœlicitatem accusaui: non tamen ob inuidiam dæmonis. Neque enim eam mihi virtutem sumo, quæ aliorum inuidiam mouere possit, sed hoc vno magis terrebar, ne cùm pœnis ipse obnoxius essem, diuina mysteria indignè tractarem: eamque animo calamitatem præsagiebam, in quam pedetentim prolapsus sum. Verùm huc ego tandem deueni, omniáque genera malorum euenerunt, quoniam omnium suppeditator Andronicus, Martius dæmon, C calamitatum insatiabilis, patriæ reliquias insectans. Heu heu toto foro exaudiebatur. Virorum gemitus, mulierum vlulatus, puerorum planctus: speciem illi captæ vrbis affinxit: cuius pulcherrimam partem eximens supplicij locum appellari fecit, Regiam porticum, vbi olim ius dicebatur, carnificinam reddens. Hanc ille vindicibus dæmonibus quorum se numero aggregauit, aram, ac mensam apposuit. O quàm multos ille ciues tanquam conuiuio, lachrymis excepit! Quinam Tauroscythæ? quidam Lacedæmonij tanto per verbera sanguine suam vnquam Dianam D coluerunt? Omnium illico ad me concursus, vndique statim impetebar auditu malorum ac spectaculo, cùm eum admonerem, nihil persuasi, cùm increparem, irritaui. Præsens tempus imbecillitatem nostram comprobauit, quam huc vsque Deus homines celauerat. Nam cùm eorum quæ mea opera obtinebantur, honor ad me perueniret, authoritatis, ac potentiæ de me opinionem patriæ præbui. Quod quidem mihi omnium quæ acciderunt longè est molestissimum. De me enim ex eorum qui me ignorant spe iudicium fertur. Neq; quantumuis nihil posse me dicã, illis persuadeo:

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

quin iuſta omnia facere poſſe exiſtimor. Supereſt itaque vt pudore, ac mœrore ſuffundar. Subinde in animo commotio, & curarum ac ſollicitudinum varietas, & negotiorum imagines, ac ſpecies, & longe Deus abſcedit. Quare ſi dæmonum incurſus ſunt quæ Andronicus molitur, omne id quod libitum eſt fecerunt. Nihil iam de ſolita in orando ſuauitate percepi: ſed ſpecies ipſa quidem orationis eſt, ego verò per omnes negotiorum partes cogitatione circumferor, ira, dolore, omníque affectuum genere diſtractus. Quanquam mente ipſa cum Deo verſamur. Lingua hominibus quæ ex vſu hominum ſunt, miniſtrat. Si igitur id mihi calamitatis accidit, vt inter orandum attentus eſſe nequeam, in promptu eſt huius rei experientia. Verum enimuero ex ea vitæ mutatione non id tantum mali cepi, vt ex mentis euagatione negotiis implicarer, ſed cùm luctus expers hactenus ad paucos ante hoc tempus dies fuiſſem, mortuum vidi quem morte præuenire cupiebam. Adeò aſperis nos, & moleſtis honorum initiis ciuitas affecit. Quandoquidem vnà cum ipſis hominibus humanæ res ſus déque verſantur, multáque confertim fluxu quodam inferuntur modò proſpera modò aduerſa. Sed poſteaquam contigit vt liberorum mihi cariſſimum amitterem, parum abfuit quin mihi malum aliquod conſciſcerem: vſque eo dolore correptus fueram. Quamquam cæteris in rebus virili animo eſſe ſoleo, apud ſcientes loquor, multiſque in rebus rationi obtempero: ſed ita conſuetudini cedens, vt hac parte ratio inconſiderantia, ac perturbatione vincatur. Quamobrem neque Philoſophiæ præceptis præſentem mœrorem expugnaui: ſed contrariam me in partem Andronicus compulit, vtique communibus in ærumnis mentem occuparem coëgit. Ita mihi calamitates facta ſunt calamitatum remedia, dum me ad ſeſe ex aduerſo protrahunt, ac dolore dolorem repellunt. Igitur vnà cum moleſto præſentium malorum ſenſu, præteritorum ſubit bonorum recordatio, ex quibus in quæ ſimus prolapſi, & inſuauem vitam duco, omnibus eodem tempore ſpoliatus. Iam quod malorum omnium ſummum eſt, quódq; deſperatã mihi penitus vitam facit, cùm hactenus precibus ad Deum fuſis repulſam minime pati ſolerẽ,

A ἀλλ' ἀξιοῦμαι πάντα τὰ δίκαια δύνασθαι· περίεστιν οὖν αἰσχύνεσθαι καὶ λυπεῖσθαι. πάθος εὐθὺς ἐν ψυχῇ, καὶ ποικιλία φροντίδων, καὶ εἰδωλοποιΐα πραγμάτων, καὶ μακρὰν ὁ Θεός. εἰ δαιμόνων εἰσὶ προσβολαὶ τὰ γινόμενα δι' Ἀνδρονίκου, πᾶν ἐποίησαν ὅσον ἐβούλοντο. οὐκέτι τῆς συνήθους ἐν εὐχαῖς γλυκυθυμίας ᾐσθόμην· ἀλλὰ τὸ μὲν σχῆμα, εὐχῆς· ἐγὼ δὲ καὶ περιωνέχθην ἁπανταχοῦ τῶν πραγμάτων, ὀργῇ καὶ λύπῃ καὶ πᾶσι πάθεσι μεριζόμενος.

B καί τοι διὰ νοῦ τῷ Θεῷ συγγινόμεθα. γλῶττα δὲ ἀνθρώποις τὰ πρὸς ἀνθρώπους ὑπηρετεῖ. εἰ τοίνυν ἐν εὐχαῖς ἀπροσεξίαν ἠτύχηκα, καὶ παρὰ πόδας ἡ πεῖρα, τῆς γέ τοι τοῦ βίου μεταβολῆς οὐ ταύτῃ μόνον εἰς κακὸν ἀπολέλαυκα, * ἐξ ἀπραξίας εὑράμενος πράγματα, ἀλλ' ἀπενθὴς τὸ μέχρι πρώην διαγινόμενος, νεκρὸν ἐπεῖδον, οὗ προαποθανεῖν ηὐχόμην. οὕτω πικροῖς ἡμᾶς ἡ πόλις ἐπιβατηρίοις ἐξένισεν, ὡς ἅμα τοῖς ἀνθρώποις τὰ πράγματα νῦν μὲν ἄνω, νῦν δὲ κάτω * χω-

C ρεῖ, καὶ ῥοῦς ἥκει φέρων ἀθρόα πολλά, νῦν μὲν αἴσια, νῦν δὲ ἀπαίσια. ἀλλ' ἐπειδή μοι συνέπεσεν ἀποβαλεῖν τῶν παιδίων τὸ φίλτατον, κἂν εἰργασάμην αὐτός τι δεινὸν ἐμαυτόν, οὕτως ἑαλώκειν τοῦ πάθους. ἔγωγέ τοι τὰ μὲν ἄλλα ἀῤῥὴν εἰμί· λέγω δὲ ἐν εἰδόσι· * καὶ τὰ πολλὰ δοῦλος τοῦ λόγου· συνηθείας δὲ οὕτω τοι ἥττων, ὡς ταύτῃ κρατεῖν τὴν ἀλογίαν τοῦ λόγου. οὔκουν οὐδὲ τοῖς ἐκ φιλοσοφίας δόγμασι τοῦ παρόντος πάθους ἐκράτη-

D σα· ἀλλ' Ἀνδρόνικος ἀντιπαρήγαγε, καὶ πρὸς ταῖς κοιναῖς συμφοραῖς τὸν νοῦν ἔχειν ἐποίησε· καὶ γεγόνασί μοι συμφοραὶ παραμυθίαι τῶν συμφορῶν, πρὸς ἑαυτὰς ἀνθέλκουσαι, καὶ πάθει πάθος ἐκκρούουσαι. συνεπιτίθεται δή μοι τῇ πικρᾷ τῶν παρόντων αἰσθήσει μνήμη τῶν παρελθόντων ἀγαθῶν, ἐξ οἵων ἄρα, ἐν οἵοις γεγόναμεν· καὶ ζῶ πονηρῶς ἅμα πάντων ἀφῃρημένος. ὃ μὲν οὖν μέγιστον τῶν κακῶν, ὅ μοι καὶ δύσελπιν εἶναι τὸν βίον ποιεῖ, οὐκ εἰωθὼς ἀποτυγχάνειν ἐν ἱκεσίαις Θεοῦ, νῦν

γρ. ἀπραξίας

γρ. [illegible] χωρεῖ

γρ. καὶ πολλὰ δοῦλα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πρῶτον οἶδα μάτην εὐξάμενος· εἶτα τὴν μὲν οἰκίαν κακῶς πράττουσαν ὁρῶ· τὴν δὲ πατρίδα δυστυχοῦσαν οἰκεῖν ἀναγκάζομαι. πᾶσι δὲ ἐκκείμενος ἐφ' ᾧ προσαναμακλάεσθαι, καὶ τὰ κατ' αὐτὸν ἕκαστον ὀλοφύρεσθαι, ἔλεον αὐτοῖς ἀνόνητον ἐλεῶ. καὶ προσέτι τὸ αἰσχύνεσθαι, ὅτι πολίτην ἄνδρα χρησάμενον συμφοραῖς καὶ κλαπέντα χρυσίον δημόσιον, ἀπαιτήσας ὑπὲρ στατῆρας μυρίους, ἔγνωκεν ἀναβολὴν μὴ διδοὺς ἀποκτεῖναι διὰ χιλίους· μᾶλλον δὲ δι' ἐμέ. δι' ἐμὲ γὰρ αὐτὸν ἔχει καθείρξας εἰς ἀνεπιχείρητον φρούριον, ἐν οἵῳ τοὺς Τιτᾶνας δεδέσθαι ποιητῶν παῖδες φαντάζονται· καὶ ἵνα μὴ ἀφαιρεθῇ, φησί, * παρ' ἐμοῦ, δεῖ πέμπτην ταύτην ἡμέραν ἀπόσιτον εἶναι τὸν ἄνθρωπον, εἰσαγωγῆς ἄρτων ἀπηγορευμένης τοῖς δεσμοφύλαξιν. ἀλλὰ πρῴην αὐτοῦ κεκραγότος ἅπαντες ἠκούσαμεν, ὡς ὠφελιμώτερος ἔσται τῶν χιλίων στατήρων ἀποθανὼν ὁ πολιτευόμενος· διὸ καὶ τοὺς προσιόντας αὐτῷ τῇ τῶν χωρίων ὠνῇ, φοβεῖ καὶ ταράττει, καὶ πάντα τρόπον ἀφίστησιν. οὐ γάρ, οἶμαι, δεῖ τοῦ χρυσίου· τοῦ δὲ τεθνάναι τὸν ἄνθρωπον δεῖ. ἐγὼ δὲ οὔτε ἰσχυρότερός εἰμι πρὸς τὸ τείχεσιν ἐρυμνοῖς προσβαλεῖν, οὔτε εὐμήχανος * εἰσερπύσαι, καὶ τῆς συμφορᾶς ἐξελέσθαι τὸν ἄνθρωπον. παρίησι δέ, φασί τινες, οὐδεὶς οὐδένα. οἱ γὰρ ὑπηρέται, φύσει μὲν εἰσὶν οἵτινές εἰσι, νῦν δὲ καὶ πρὸς παράδειγμα ζῶσιν Ἀνδρόνικον, ὃς ἐπὶ τῷ τὴν ἐκκλησίαν ἀτιμοῦν προσκαθέζεται. τῶν μὲν οὖν εἰς ἱερέας αὐτοῦ, λόγος οὐδείς. ὡς ἐγὼ κἂν χάριν εἰδείην αὐτῷ, τὴν διὰ Θεὸν ἀτιμίαν δεξάμενος ὡς μαρτύριον. ἀναμνήσθητε γὰρ ὑμεῖς, τίς ἦν πρὸς ἐμέ, τὸν μηδὲν ἄλλο, ἐξ ἐκείνων γενόμενον· ἀπ' Εὐρυσθένους τοῦ καταγαγόντος Δωριέας εἰς Σπάρτην, μέχρι τοῦ μοῦ πατρὸς αἱ διαδοχαὶ ταῖς δημοσίαις ἐνεκολάφθησαν κύρβεσιν· ἄνθρωπος οὐκ ἔχων εἰπεῖν ὄνομα πάππου, ἀλλ' οὐδὲ πατρός, φασί, πλὴν ὅσον εἰκάσαι· ἀπὸ θυννοσκοπείου δὲ ἐπὶ τὴν ἡγεμονικὴν ἀπήνην ἁλλόμενος. οὐκ οὖν τὴν ἐν πόλει λαμπρότητα τεθαυμακώς, αἰσχυνέσθω τοῖς ἐλλείμμασιν· ἀλλ' ἔγωγε τὸ τῆς ἱερωσύνης, καὶ τιμῆς ἐνεφορήθην, καὶ ἀτι-

ἢ· ὑπ' ἐμοῦ.

ἢ· προσερπύσαι

A nunc primum fruſtra oraſſe me ſentio. Deinde infœlicem domum video, patriam miſeriis oppreſſam habitare compellor. Omnibus porrò expoſitus, vt in ſinum meum ſuas ærumnas expuant, & apud me ſinguli priuata incommoda deplorem, inutili eos commiſeratione proſequor. Quinetiam pudore afficior propterea quod ciuem quendam accepta calamitate publicis ſibi pecuniis furto ereptis, poſtquam ſupra X. M. ſtaterum ab eo iam repetiit, abſque dilatione ob mille reliquos interficere conſtituit, vel propter me potius. Nam propter me illum in caſtellum inexpugnabile concluſit, cu-
B iuſmodi illud fuit in quo vinctos Titanas Poëtæ fabulantur. Ac ne mea, inquit, opera extrahatur, quintum hunc diem homini cibo interdici oportet, prohibitus cuſtodibus, ne panem inferri ſinant: Sed & nuper vociferantem illum omnes audierunt vtilius ſibi mille ſtateribus Remp. gerenti exitium futurum. Propterea iis qui ſe pro prædiorum licitatione adeunt, metum inicit, perterret, omníque ratione reuocat: neque enim, opinor, auro opus eſt, ſed hominis nece opus eſt. Ego verò neque adeo fortis ſum vt firmiſſimos in muros impetum faciam, ne-
C que ad irrependum, hominémque ex ea calamitate eripiendum ſolers & induſtrius. Nullus autem (vt aiunt) à quoquam introducitur. Nam ſatellites natura quidem ſunt, qualeſcúmque tandem ſunt: nunc verò ad Andronicum tanquam exemplum, vitam ſuam accommodant, qui ad id præeſſe videtur, vt Eccleſiæ ignominiam imponat. Verùm quæ ille aduerſus me molitur facilè contemno. Immò & gratiam ei inſuper habeam, ſi propter Deum illatam mihi infamiam, tanquam martyrium accipiam. Meminiſtis enim cuiuſmodi erga me extiterit qui, vt nihil
D aliud, certe ab illis maioribus ortum duxeram. (Ab Euryſthene enim qui Dorienſes in Spartam deduxit ad meum vſque patrem generis ſucceſſiones publicis tabulis inſcriptæ ſunt.) is qui ne aui quidem nomen edere poſſit, imo neque parentis, vt aiunt, niſi quantum coniectura aſſequi poteſt, porrò à piſcatu ad Præfecti currum ſit euectus. Quare pudeat eum qui ſplendorem illum in ciuitate ſuſpiciat obſcuritatis illius, atque defectus. Ego verò vſque ad ſacerdotium & honore ſatiatus ſum, neque infamiæ

quicquam degustaui. Nunc autem neque honore affectus gaudeo, neque contemptus molestè fero. Neutrum enim iam eorum ab eo qui intulerit, in me committi videtur: sed vtrúmque ad Deum pertinet. Idcirco homo iste proiectæ ad omne facinus audaciæ, cùm neque dicendo neque faciendo me commoueret, altiùs se à nobis efferens cum ipso Deo congreditur, ac voces nonnullas edidit coram coactis & circumstantibus populis, quas lectis iis litteris audietis, quæ ad vniuersam orbis terrarum Ecclesiam sunt scriptæ. Tale quiddam est rude ac disciplinæ expers ingenium: vbi potestatem adeptum est, cœlum ipsum, quod dicitur, capite tundere conatur. Esto, sit in potestate, vtatur natura sua, tempore, occidat, & vinciat quemcumque ciuium libuerit. Nobis quidem sufficit in eo ordine perseuerantibus, in quo sumus à Deo collocati, segregari à nefariorum hominum consortio.

Et vacuas aures probris seruare nefandis.

Nec non de oppressorum patrocinio desperare, iustam ex irrito conatu apud populum excusationem nactos, quod incredibilis cuiusdam, ac constantis animi fuit, vel ante experimentum facere. Iam verò ex ipsis rebus sententiæ meæ suffragatores habere vos destinabam; Reip. administrandæ vim cum sacerdotio coniungere, perinde esse atque ea nere quæ nendo cõnecti nequeant. Prisca tempora eosdem sacerdotes, ac iudices tulerunt. Nam Ægyptij & Hebræi longo tempore sacerdotum imperio vsi sunt: deinde posteaquam, vt mihi videtur, diuinũ opus humano more fieri cœptum est, Deus ambo vitæ genera separauit; vnúmque horum sacrũ, alterum ad regimen, atq; imperium cõstitutum est. Alios enim ad infirmarum rerum fæcem conuertit, alios sibi sociauit: illi in negotiis, non in oratione collocati. ab vtrisque verò quod honestum, & consentaneum est requirit Deus. Quid tu igitur iterum reuocas? quid ea coniungere vis, quæ sunt à Deo separata: qui nos non administrare, sed administrando deprauare postulas, quo quid infelicius esse potest? Patrono opus habes; vade ad eum qui Reipub. legibus præest. Deo quapiam in re indiges: vade ad vrbis Antistitem, non quòd isthic penitus voti compotem fieri necesse sit, sed quòd omnem ad id

A μίας οὐκ ἐγευσάμην. νυνὶ δὲ οὔτ᾽ αὖ ἡδείαν τιμώμενος, οὔτε καταφρονούμενος ἄχθομαι. οὐδέτερον γὰρ αὐτῶν ἔτι παρὰ τοῦ ποιοῦντος εἰς ἐμὲ δοκεῖ γίνεσθαι· ἀλλ᾽ ἑκάτερον εἰς ἀναφορὰν τοῦ Θεοῦ. διὰ τοῦτο ὁ πάντα τολμηρὸς οὗτος ἄνθρωπος, ὡς οὐδὲν οὔτε λέγων, οὔτε ποιῶν παρεκίνησεν, ἀρθεὶς ἀφ᾽ ἡμῶν, αὐτῷ διακυρίττεται τῷ Θεῷ, καὶ φωνὰς ἀφῆκεν ἐπὶ συνεστώτων καὶ παρεστώτων * ἀνθρώπων, ἃς αὐτίκα τῆς πρὸς ἁπανταχοῦ γῆς ἐκκλησίας ἀναγινωσκομένης ἀκούσεσθε. B τοιοῦτον ἐστὶ φύσις ἀπαίδευτος ἐπειλημμένη δυνάμεως, τῇ κεφαλῇ τὸν οὐρανὸν διαράσσειν ἐπιχειρεῖ. ἔστω, δυνάσθω, κεχρήσθω τῇ φύσει, τῷ καιρῷ, ἀποκτιννύτω, καὶ δεῖτω * τῶν πολιτῶν ὃν τινα βούλεται· ἡμῖν δὲ ἀπόχρη μένουσιν ἐπὶ τῆς τάξεως, ἐφ᾽ ἧς ἡμᾶς ἔταξεν ὁ Θεός, ἀπηλλάχθαι μὲν τῆς κοινωνίας τῶν πονηρῶν,

γ. λαῶν.

γ. τῶν πολιμίων

Αγνεῦσαι δ᾽ ἀκοὰς βλασφημοσύνης ἀλεγεινῆς.

ἀπογνῶναι δὲ προστασίας ἀδικουμένων, ἀπολελογημένους τῷ δήμῳ διὰ τῆς ματαίας ἐπιχειρήσεως, C ὃ νοῦ μέγεθος ἔχοντος ἦν καὶ πρὸ πείρας ποιῆσαι. νυνὶ δὲ περιεμείναμεν ὑμᾶς ἐκ τῶν πραγμάτων συμψήφους ποιήσασθαι. ὅτι πολιτικὴν ἀρετὴν ἱερωσύνῃ συνάπτειν, τὸ κλώθειν ἐστὶ τὰ ἀσύγκλωστα. ὁ πάλαι χρόνος ἤνεγκε τοὺς αὐτοὺς ἱερέας τε καὶ κριτάς. καὶ γὰρ Αἰγύπτιοι καὶ τὸ Ἑβραίων ἔθνος, χρόνον συχνὸν ὑπὸ τῶν ἱερέων ἐβασιλεύθησαν. εἶτ᾽ ἐπειδή μοι δοκεῖ τὸ θεῖον ἔργον ἀνθρωπίνως ἐπράττετο, διῴκισεν ὁ Θεὸς τοὺς βίους· καὶ ὁ μὲν ἱερός, ὁ δὲ ἡγεμονικὸς ἀπεδείχθη. D τοὺς μὲν γὰρ εἰς ὕλην ἐπέστρεψε, τοὺς δὲ συνέταξεν ἑαυτῷ· τετάχαται δὲ οἱ μὲν ἐν τοῖς πράγμασιν, ἡμεῖς δὲ ἐν ταῖς εὐχαῖς εἶναι. τὸ δὲ καλὸν ἀπαιτεῖ παρ᾽ ἀμφοῖν ὁ Θεός. τί οὖν ἐπανάγεις; τί δὲ συνάπτειν πειρᾷ τὰ κεχωρισμένα παρὰ τοῦ Θεοῦ, ὃς οὐδὲ διοικεῖν ἡμᾶς, ἀλλὰ παραδιοικεῖν ἀξιοῖς; οὗ τί γένοιτ᾽ ἂν ἀθλιώτερον; προστάτου σοι δεῖ; βάδιζε παρὰ τὸν ἐπιτροπεύοντα τῶν νόμων τῆς πολιτείας· τοῦ Θεοῦ σοί τι δεῖ; ἴθι παρὰ τὸν ἱερέα τῆς πόλεως· οὐχ ὡς ἐνταῦθ᾽ ὅταν τὸ πάντως ἐπιτυχεῖν, ἀλλ᾽ ὡς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐγὼ προθυμηθήσομαι· ἂν δ' ἐπιτρέπῃ τις ἠρεμεῖν, τάχα ποτὲ καὶ δυνήσομαι· ἅμα γὰρ ἀποστρέφεται τὴν ὕλην, καὶ πρὸς Θεὸν ἐπιστρέφεται. θεωρία τέλος ἐστὶν ἱερωσύνης, μὴ ψευδομένης τὸ ὄνομα· θεωρία δὲ καὶ πρᾶξις, οὐκ ἀξιοῦσι συγγίνεσθαι.
γρ. ἀρχὴ ὁρμὴ μὲν γὰρ * κίνησις πράξεων· οὐδεμία ἀπαθής· ἀλλὰ δεῖ κενὴν εἶναι παθῶν τὴν ψυχὴν τὴν μέλλουσαν ἔσεσθαι δοχεῖον Θεοῦ. μὴ καθαρῷ γὰρ, φησὶ, καθαροῦ ἐφάπτεσθαι, μὴ οὐ θεμιτὸν ᾖ. σχολάσατε καὶ γνῶτε ὅτι ἐγώ εἰμι ὁ Θεός· σχολῆς δεῖ τῷ μετὰ φιλοσοφίας ἱερατεύοντι. οὐ καταδικάζω τῶν ἐπισκόπων τοὺς ἐν τοῖς πράγμασιν· ἀλλ' ἐμαυτὸν εἰδὼς μόλις εἰς θάτερον ἐξικνούμενον, ἄγαμαι τῶν δυναμένων ἑκάτερα. ἐμὴ δύναμις οὐκ ἔστι δυσὶ κυρίοις δουλεύειν. εἰ δή εἰσί τινες, οἳ μηδὲ ἀπὸ τῆς συγκαταβάσεως βλάπτονται, δύναιντο μὲν καὶ ἱερᾶσθαι, καὶ πόλεων προστατεῖν. ἀκτὶς ἡλίου κἂν ὁμιλήσῃ βορβόρῳ, μένει καθαρὰ καὶ ἀμόλυντος· ἐγὼ δὲ ταυτὸ τοῦτο παθὼν, πηγῶν καὶ θαλάττης δεήσομαι· καὶ εἰ δυνατὸν ἦν ἀγγέλῳ
γρ. ἐνανθρωπήσαντι πλέον ἢ τριάκοντα ἐνιαυτοὺς * συνανθρωπεύσαντι, μηδὲν ἀπολαῦσαι τῶν τῆς ὕλης κακῶν εἰς περισπάσαι, τί δεῖ καταβῆναι τὸν υἱὸν τοῦ Θεοῦ; ἀλλ' ἔστι περιουσία δυνάμεως, ὁμιλοῦντα τοῖς χείροσι μένειν ἐπὶ τῆς φύσεως, καὶ μηδένα τρόπον παθαίνεσθαι. τοῦτο Θεοῦ μὲν ὕμνος ἐστίν· ἀνθρώπῳ δὲ παραίτησις γίνεται διευλαβουμένῳ τῆς φύσεως αὐτοῦ τὴν ἀσθένειαν· κατὰ τούτους ὑμῖν ἐγὼ τοὺς ὅρους συνέσομαι. οὐ μὴν τό γε κρίνειν καιροὺς ἐμαυτὸν
γρ. κατασπῶντα. ἀφαιρήσομαι, ὡς ὅταν ἐξῇ * κατιόντα, μὴ κατιέναι, τουτέστι, διὰ τῆς τυχούσης ἐπιστροφῆς ἀγαθόν τι μέγα ποιεῖν. οὕτω καὶ ὁ Θεὸς πολιτεύεται. τὸ προστετηκέναι δέ ἐστι τὸ δεινὸν, οὗ μήτε Θεοῦ φύσις ἀνέχεται, μήτε ὅστις ἑαυτὸν ἀπευθύνει πρὸς τὸν Θεόν. εἰ γέγονα χρημάτων ἢ κτημάτων ἐπιμελὴς, εἰ συνίστε μοι λογισμοὺς δεχομένῳ τῆς καθ' ἡμέραν ἢ τῆς κατ' ἔτος δαπάνης, εἶτα ἐν τοῖς ὑμετέροις τοῦ χρόνου φείδομαι, ἀλαζών εἰμι, καὶ

A operam sim adhibiturus. Sin quiescere vti possim mihi aliquis concesserit: forsitan aliquando istud potero: simul enim à rerum terrenarum fæce auertitur (animus) & ad Deum conuertitur. Contemplatio sacerdoti finis est, si non falsò id sibi nomen vsurpet. Contemplatio verò, & actio nequaquam in vnum conueniunt, voluntatis enim impetus motus est in actionem: nullus autem sine affectu aliquo esse potest. At omnium expertem affectuum animam illam esse oportet quæ Dei receptaculum futura sit. Nam ei qui impurus sit quod purum est attingere nefas fuerit: vacate enim & cognoscite
B quoniam ego sum Deus. Vacatione opus ei est, qui cum philosophiæ studio sacris operatur. Nec Episcopos damno, qui negotiis distinentur. Sed cùm nouerim vix me horum alterutrum assequi posse, qui vtrumque præstare possint, eos admirari soleo. Non est id mearum virium, duobus vt dominis seruiam. Sin aliqui reperiantur, quibus ne mentis quidem ad inferiora descensus detrimentum afferat, meritò illi possunt sacerdotes fieri, & præesse ciuitatibus. Solaris radius quamuis cœnum contingat, purus nec inquinatus
C manet. Ego si idem fecero, fontibus ac mari opus habebo. Ac si angelus posset supra triginta annos cum hominibus ita consuescere, nulla vt ex infima fæce rerum contage affectus inficeretur; quid necesse est descendere filium Dei? Sed est virium abundãtia quædam, ac copia, ita inter deteriora versari, vt in naturæ statu consistat, nec vllo modo inficiatur. Hæc Dei laus ac prædicatio est. Homini verò deprecãdum illud est, naturæ suæ imbecillitatem metuenti: his ego vobiscum finibus versabor. Non tamen temporum, atque opportunitatum iudicium mihi adimam. Vt
D cùm licebit, me ad inferiora demittam. Hoc est leui cura & animaduersione, ingens aliquod bonum efficiam: ita vt Deus ipse sese gerere solet: affici autem & adhærescere penitus, hoc demum malum est, quod neque natura Dei sustinet, neque quisquis sese ad Dei exemplar componit. Si antea pecuniarum, ac possessionum curam, & sollicitudinem admisi, si diurnorum, & annuorum expẽsorum rationes accipere me cognoritis, postea in iis quæ ad vos pertinent, tẽpori parco: vanus & arrogans, sum

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

nec ignosci mihi postulo. Sin rei domesticæ prius ipse cura deposita, in mentis actione vitam meam collocatam habeo, quid mirum est si & idem à vobis requiro? Quoniam autem ob hæc minimè placemus vobis, quasi alij sint qui eodem modo rectè in vtrisque versari possint, consulere vobis licet quod & ciuitati & ecclesiis & mihi magis expediat. Non ego sacerdotium eiurabo: absit, vt tantum potestatis habeat Andronicus. sed quemadmodum neque philosophus popularis fui, nec me Comicis spectaculis dedidi, nec ludum aperui: nihilominus tamen eram tum, & sim vtinam philosophus: ita neque popularis antistes esse volo. non omnia omnes possunt. Ego mecum & mente cum Deo versatus, & contemplatione descendens, non absurda colloquia miscere possum cum vno, vel altero, iisque non vulgaribus, sed si qui sint vel indolem nacti, vel feliciter instituti, adeò vt corpori mentem anteponam. Ad hæc longo interuallo negotia tractans, quod commodo meo faciam, vtilis in tempore esse possum. sin iis opprimor, non modò mei obliuiosus reddor, sed & negotiis ipsis detrimentum facio. Fieri enim non potest, vt quod quis oderit, rectè & ex ordine conficiat: sed qui non ex totius animi sui sententia aliquid facit, languidus ac tristis ad opus accedit, cui præesse illum conuenit. Contrà qui ab otio alienus est, nec vlla ratione vacuus esse atque à negotiis feriari potest. Sed quantus quantus est, populo vtilissimus est, & plurimarum rerum capax animus, omnium curæ sustinendæ sufficiens, qui quoniam ita à natura comparatus est, eiusmodi præstare sese studet. Qui ita affectus est, etiam occupationibus ac negotiis gratiam habeat, quæ ipsum ad se pertrahant. Materiam enim naturæ suæ suppeditant, éstque hoc maximum ad rem conficiendam adiumentum, amare idipsum quod geratur. Quare seligendus vobis aliquis est, qui sit omnium vtilissimus, nostróque in loco eligendus, qui ægrè admodum seruari soli possumus. Quid exclamastis? num quia nondum factum illud est, fieri idcirco ne nunc conuenit? Multa quæ necessaria erant inuenit tempus, & emendauit. Non ad exemplum fieri omnia solent: & vnum quodq; eorum quę facta sunt, initium habuit, & antequam

A οὐκ ἀξιῶ συγγινώσκεσθαι. εἰ δὲ ἀμελήσας τῶν οἴκοι πρότερον, τῇ κατὰ νοῦν ἐνεργείᾳ συνέταξα τὴν ζωήν, τί δεινὸν εἰ τῶν ἴσων ὑμᾶς ἀξιῶ; ἀλλ' ἐπεὶ τούτοις ὑμᾶς οὐκ ἀρέσκομεν, ὡς ὄντων ἑτέρων οἳ δύνανται κατὰ ταυτὸν ἐν ἀμφοῖν εὖ διαγίνεσθαι, ἔξεστι βουλεύσασθαι τὸ λῷον τῇ τε πόλει, καὶ ταῖς ἐκκλησίαις, κἀμοί· οὐκ ἐξομοῦμαι τὴν ἱερωσύνην, μήποτε δυνηθείη τοσοῦτον Ἀνδρόνικος· ἀλλ' ὥσπερ οὐδὲ φιλόσοφος ἐγενόμην δημόσιος, οὐδὲ * θεατροκοπίαις ἐπεθέμην, οὐδὲ διδασκαλεῖον ἤνοιξα, καὶ οὐδὲν ἧττον
B ἦν τε καὶ εἶναι φιλόσοφος· οὕτως οὐδὲ ἱερεὺς δημόσιος εἶναι βούλομαι. οὐχ ἅπας ἅπαντα δύναται· ἐγὼ συγγινόμενος ἐμαυτῷ, καὶ διὰ νοῦ τῷ θεῷ, καταβὰς ἀπὸ θεωρίας, δύναμαι συνουσίας οὐκ ἀχρήστους ποιεῖσθαι πρὸς ἕνα καὶ δύο· καὶ οὐδὲ τούτοις ἀγελαίοις, ἀλλ' εἴ τινες εἶεν, ἢ φύσεως λαχόντες, ἢ ἀγωγῆς εὐτυχήσαντες, ὥστε νοῦν τεθαυμακέναι παρὰ σώματος. ἀλλὰ καὶ διὰ πολλοῦ πραγμάτων ἁπτόμενος μετὰ τῆς ἐμαυτοῦ ῥᾳστώνης, γενοίμην ἂν τῷ καιρῷ χρήσιμος· καταχωννύμενος δὲ ὑπ' αὐτῶν, ἐμαυτοῦ τε ἐπι-
C λήσμων εἰμί, καὶ τῶν πραγμάτων ζημίαν ποιῶ. οὐ γάρ ἐστι μισοῦντα καλῶς τι ποιεῖν· ἀλλ' ὁ μὴ πάσῃ τῇ γνώμῃ δεδογμένα ποιῶν, ἄθυμος ἔρχεται πρὸς τὴν πρᾶξιν, ἧς προεστάναι δεῖ· ὅστις δὲ πρὸς μὲν σχολὴν ἀνοικείως ἔχει, καὶ οὐκ ἔστιν ὅπως τῷ σχολάζοντι χρήσαιτο, αὐτὸ δὲ τὸ πᾶν ὅπερ ἐστὶ δημωφελέστατος ἄνθρωπος, πολυχωροτάτη ψυχὴ ταῖς ἁπάντων ἀρκοῦσα φροντίσιν, ὅστις * οὕτω πέφυκεν, οὕτω καὶ βούλεται, ὁ τοιοῦτος κἂν χάριν εἰδείη ταῖς ἑλκούσαις αὐτὸν ἐφ' ἑαυ-
D ταῖς περιστάσεσιν. ὑποθέσεις γὰρ αὐτοῦ τῇ φύσει * χρείζονται. καὶ μέγιστον εἰς τὸ κατορθοῦν ἐφόδιον ἡ φιλία τοῦ πράγματος. ἐξαιρετέος οὖν ἅπασιν ὑμῖν ὁ λυσιτελέστατος ἄνθρωπος, καὶ ἀφαιρετέος ἡμῶν οἱ μόνοι μόλις σωζόμεθα. τί κεκράγατε; ἢ διότι μήπω γέγονεν, ἄξιόν ἐστι μηδὲ νῦν γενέσθαι; πολλὰ τῶν δεόντων ὁ χρόνος ἐξεῦρε καὶ διωρθώσατο. οὐχ ἅπαντα πρὸς * παράδειγμα γέγονε. καὶ τῶν γενομένων ἕκαστον ἀρχὴν ἔσχε, καὶ πρὶν

γρ. θεα-κοπ.

γρ. δὲ

γρ. πεί-ζονται.

γρ. παρα-δείγματα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γενέσθαι, μήπω γενόμενον ἦν. ἀξιώτερόν ἐστι προμηθεῖσθαι τῆς συνηθείας τὸ χρήσιμον. ἡμεῖς ἀρχὴν δῶμεν ἔθει βελτίονι. αὐθαιρετέος οὖν ἡμῖν, ἢ μεθ' ἡμῶν αἱρετέος, πάντως δὲ αἱρετέος ὁ ἄνθρωπος· ὅστις ἂν ᾖ, πάντως ἐμοῦ τὰ πολιτικὰ μακρῷ φανεῖται σοφώτερος, καὶ δυνήσεται τὰ δύστηνα ταῦτ' ἀνθρώπια ὑπὲρ ὑμῶν ἐξομιλεῖν καὶ μεταχειρίζεσθαι. Οὐκοῦν εἰ μήπω δοκεῖ, τοῦτο μὲν εἰσαῦθις ἀναθώμεθα· * ἐξέσται γὰρ ὑπὲρ αὐτοῦ κατὰ μόνας καὶ μετ' ἀλλήλων βουλεύσασθαι· νυνὶ δὲ οἷς τὸ συνέδριον μετῆλθε τὴν Ἀνδρονίκου μανίαν, ἀκούσατε.

l. ἐξεσι

Πρὸς τοὺς ἐπισκόπους.

Ἀνδρόνικον τὸν Βερονικέα τὸν κακῇ Πενταπόλεως μοίρᾳ καὶ φύντα, καὶ τραφέντα, καὶ αὐξηθέντα, καὶ τὴν ἀρχὴν τῆς ἐνεγκούσης αὐτὸν ὠνησάμενον, μήτε ἡγείσθω τις, μήτε καλείτω Χριστιανόν· ἀλλ' ὡς ἀλιτήριος ὢν τοῦ Θεοῦ, πάσης ἐκκλησίας ἀπεληλάσθω πανέστιος· οὐχ ὅτι γέγονε Πενταπόλεως ἐσχάτη πληγή, μετὰ σεισμόν, μετὰ ἀκρίδα, μετὰ * λιμόν, μετὰ πῦρ, μετὰ πόλεμον, ἐπεξελθὼν ἀκριβῶς τοῖς ἐκείνων ἐγκαταλείμμασιν, ἄτοπα κολαστηρίων ὀργάνων γένη καὶ σχήματα πρῶτος εἰς τὴν * χώραν εἰσενεγκών· εἴη γὰρ εἰπεῖν, ὅτι καὶ μόνος χρησάμενος, δακτυλήθραν, καὶ ποδοστράβην, καὶ πιεστήριον, καὶ ῥινολαβίδα, καὶ ὠτάγρας, καὶ χειλοστρόφιον, ὧν οἱ * προλαβόντες τὴν πεῖράν τε καὶ τὴν θέαν, καὶ τῷ πολέμῳ προαπολόμενοι, παρὰ τῶν κακῶς περισωθέντων ἐμακαρίσθησαν· ἀλλ' ὅτι πρῶτος παρ' ἡμῖν καὶ μόνος ἔργῳ καὶ λόγῳ τὸν Χριστὸν ἐβλασφήμησεν· ἔργῳ μέν, ἀφ' οὗ τῇ θύρᾳ τῆς ἐκκλησίας προσεπατταλευσεν ἑαυτοῦ διατάγματα, τοῖς μὲν ὑπ' αὐτοῦ παρανομουμένοις, τῆς ἀσύλου τραπέζης ἀποκλείων τὴν ἱκετείαν, ἀνατεινόμενος δὲ τοῖς ἱερεῦσι τοῦ Θεοῦ ταῦτα, ἃ κἂν Φάλαρις ὁ Ἀκραγαντῖνος, κἂν Κεφρὴν ὁ Αἰγύπτιος, κἂν Σενναχηρεὶμ ὁ Βαβυλώνιος ὤκνησεν, ὁ πέμψας εἰς Ἱερουσαλὴμ τοὺς ὀνειδιοῦντας Ἐζεκίᾳ καὶ τῷ Θεῷ. ἐκείνην ἐγὼ τὴν ἡμέραν ἐννοοῦμαι φημὶ τὴν δευτέραν σταυρὸν τοῦ Θεοῦ. ἐπὶ γὰρ ὀνειδισμῷ τοῦ Χριστοῦ τὸ λοίδορον ἐκεῖνο βιβλίον ἀπὸ τῆς ἱερᾶς θύρας ἐκρέματο. καὶ ταῦτα ἐπεῖδεν ἥλιος, καὶ ἀνέγνωσαν ἄν-

l. λοιμόν

l. πόλιν

l. μὴ λαβόντες

A fieret, nondum erat factum. Consuetudini vtilitatem anteponere præstabilius est. Demus & nos meliori consuetudini initium. Pro nobis igitur eligendus, vel nobiscum eligendus, omnino eligendus homo est: quisquis ille fuerit, prorsus in ciuilibus rebus longè meipso peritior videbitur. ac misellos istos homunciones vestri causa conciliare, ac tractare poterit. Itaque si nondum id vobis probatur, hoc in posterum differamus. Licebit enim ea de re priuatim atque in commune consulere. Iam verò quibusnam pœnis de consilij sententia in Andronici furorem sit animaduersum attendite.

B

Ad Episcopos 58.

Andronicum Beronicensem, infelici Pentapolis fato editum & educatum & adultum, quique patriæ Imperium pecunia redemit, nemo aut existimet, aut appellet Christianum; sed tanquam à Deo execratus, omni Ecclesia cùm vniuersa familia extendatur: non quia Pentapolis extrema plaga fuit post terræ motum, post locustam, post pestilentiam, post incendium, post bellum, illorum omnium reliquias diligenter persequens; horrenda ad carnificinam instrumentorum genera, ac formas primus in prouinciam inferens vtinam dicere liceat, & his solus vtens, Digitale Pedum distortorium, Prælum, & nasi pressorium, & auribus ac labris distrahendis forcipes, quorum qui experimentum, ac spectaculum morte præuenerunt, quique ante bello sublati sunt, ab iis qui male liberati fuerant felices sunt prædicati. Sed quoniam primus apud nos & solus factis; verbísque Christo maledixit, factis quidem: ex quo edicta sua Ecclesiæ foribus affixit, nefariis suis sceleribus inuiolabilis mensæ supplicationem intercludens, Dei verò sacerdotibus ea intentans quæ vel Phalaris Agrigentinus, vel Cephren Ægyptius, vel Sennacherib Babylonius timuisset, is qui in Hierusalem Deo, atque Ezechiæ conuiciaturos misit. Illam ego diem dico alteram Deo crucem attulisse. Nam ad Christi contumeliam infamis hic libellus è sacris foribus pendebat. Et hæc sol vidit, & homines legerunt; non Ti-

C

D

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

berio Claudio Remp. administrante, à quo Pilatus ad Iudæorum præfecturam missus: sed pia Theodosij sobole, Romanorum sceptra moderante, à qua furtim Andronicus sibi Imperium ambiit, eadem qua Pilatus mente præditus. Risui erant prætereuntibus insidelibus tabulæ, quemadmodum Iudæis quæ in cruce Christi adscripta fuerant. Quanquam ipsa crucis inscriptio, vt non religioso ab animo profecta, at verbis ipsis perhonorifica extitit, quibus rex Christus prædicabatur: hîc autem lingua cum animo congruebat. Quæ verò deinceps accidebant, longè iis quæ affixa sunt, fuere acerbiora. Cùm enim nonnullam aduersus inimicum occasionem nactus esset, (inimicitiæ autem inde inter eos ortæ fuerant, quòd nuptias hic affectabat, ille prohibebat) iis illum furialibus suppliciis torquere instituit, quæ minime posteritatis memoriæ prodantur, sed cum ipso, vti cœpere, desinant, sintque hæc ad posteros Andronici magistratus signa auditione tenus propagata. Sed cùm nobilis vir nihil iniustè molitus, sed calamitosus ob hæc excarnificaretur, & hæc sub meridianum ipsum diei ardorem agerentur, vt apud solos carnifices testes periret; postquàm condolere illi Ecclesiam sensit, nullo quidem ex alio indicio, sed quòd statim atque audiuimus, è vestigio accurrimus, vt ei adsideremus, & miseriæ participes essemus, ad hæc ille audita furore præceps agitur; quòd Episcopus vllus hominis sibi infensi misereri audeat, ac plurima & impia insolenter iactitans audacissimo incitante è satellitibus Thoante, quo ad publicas calamitates administro vtitur, tandem scelestissimam vocem furori suo finem apposuit; frustra illum dicens spem aliquam in Ecclesia collocasse, nec quemquam ex Andronici manibus ereptum iri, non si pedem ipsum Christi manibus amplectatur. In hanc ille vocem imperita mente ter prorupit: secundum quam nihil est quòd amplius hominem moueamus, sed velut membrum insanabile à nobis est segregandus, ne contage illius quod syncerum est corrumpatur. Labes enim facilè communicatur, & qui impurum tetigerit, piaculum noxámque contrahit.

A θρωποι ὑπὸ Τιβερίου Κλαυδίου τῆς πολιτείας ἐπιτροπεύοντος, ἀφ' οὗ Πιλάτος ἐπὶ τὴν Ἰουδαίων ἡγεμονίαν ἐστάλη· ἀλλὰ τῆς εὐσεβοῦς Θεοδοσίου γενεᾶς τὰ σκῆπτρα Ῥωμαίων ἐχούσης, ἀφ' ἧς ἔλαθεν Ἀνδρόνικος ἑαυτῷ μνηστεύσας ἀρχὴν, ὑπὸ τῷ Πιλάτου φρονήματι. γέλως ἦν τοῖς * παριοῦσι τῶν ἑτεροδόξων τὰ γράμματα, καθάπερ Ἰουδαίοις τὰ παραγεγραμμένα τῷ σταυρῷ τοῦ Χριστοῦ. καί τοι τὸ ἐπίγραμμα τοῦ σταυροῦ, γεγονὸς ἀπὸ γνώμης οὐκ εὐσεβοῦς, σεμνὸν ἦν ἐπὶ λέξεως, δι' οὗ
B βασιλεὺς ὁ Χριστὸς ἐκηρύττετο· ἐνταῦθα δὲ ἡ γλῶττα τῇ γνώμῃ συνέβαινε. τὰ δὲ δὴ μετὰ ταῦτα τῶν παρ' αὐτῶν ἐστηλιτευμένων βαρύτερα. ἐπειδὴ γὰρ ἦν τινὰ κατ' ἐχθροῦ πρόφασιν εὑράμενος· ἔχθρα δὲ ἦν αὐτοῖς, ὅτι γάμους ὁ μὲν ἐσπούδαζεν, ὁ δὲ ἐκώλυεν· ἐκείνοις αὐτὸν τοῖς ἀποτροπαίοις κολαστηρίοις ᾐκίζετο, ἃ μὴ παραδοθείη τῇ διαδοχῇ τοῦ χρόνου· μετ' αὐτοῦ δὲ ὥσπερ ἤρξαντο, παύσαιντο, καὶ γένοιτο τοῖς μεθ' ἡμᾶς ἀκοὴ ταῦτα τῆς ἡγεμονίας Ἀνδρονίκου συνθήματα. ἐπειδὴ οὖν ἀνὴρ εὐγενὴς, οὐκ ἀδικῶν, ἀλλ' ἀτυχῶν ἐπ' αὐτοῖς κατε-
C τείνετο, καὶ ταῦτα τὸ τῆς μεσημβρίας ἐδρᾶτο σταθερώτατον, ἵν' ὑπὸ μόνοις μάρτυσι τοῖς δημίοις ἀπόλοιτο· καὶ τὴν ἐκκλησίαν ἔγνω γενομένην αὐτῷ συμπαθῆ, κατ' ἄλλο μὲν οὐδὲν, ὅτι δὲ μαθόντες εὐθὺς ὡς εἴχομεν ἐξεδράμομεν, ἐφ' ᾧ παρακαθίζησαι καὶ συνδιενέγκαι τὴν συμφοράν· λυττᾷ πρὸς τὴν ἀκοὴν, εἴ τις ἐπίσκοπος ὢν ἐλεῆσαι τετόλμηκεν ἄνθρωπον ἀπηχθημένον αὐτῷ· καὶ πολλὰ καὶ παράνομα νεανιευσάμενος, τοῦ θρασυτάτου τῶν ὑπηρετῶν Θόαντος αὐτὸν ἐρεθίζοντος, ᾧ
D χρῆται πρὸς τὰς δημοσίας συμφορὰς ὀργάνῳ, πέρας ἐπέθηκε τῇ μανίᾳ τὴν ἀθεωτάτην φωνὴν εἰπὼν, ὅτι μάτην ἐπὶ τὴν ἐκκλησίαν ἤλπισε, καὶ οὐδεὶς ἂν ἐξαιρεθείη τῶν Ἀνδρονίκου χειρῶν, οὐδ' ἂν εἴ τις τὸν πόδα κρατήσοι αὐτοῦ τοῦ Χριστοῦ. ταύτην ἀπαιδεύτῳ γνώμῃ καὶ γλώττῃ τρὶς ἀνεφθέγξατο τὴν φωνὴν, μεθ' ἣν οὐκέτι νουθετητέος ὁ ἄνθρωπος, ἀλλ' ὥσπερ μέλος ἀνιάτως ἔχον ἀποκοπτέος ἡμῶν, ἵνα μὴ τῇ κοινωνίᾳ καὶ τὸ ὑγιαῖνον συμφθείρηται. ὁ γὰρ μολυσμὸς διαδόσιμος ἐστὶ, καὶ ὁ θιγὼν ἐναγοῦς, ἀπολαύει τῆς παρανομίας.
δὲ ἢ

κ·πέμψε

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δεῖ δὲ εἶναι καὶ γνώμῃ καὶ σώματι καθαροὺς τῷ Θεῷ. ἐπὶ τούτοις, ἡ Πτολεμαΐδος ἐκκλησία, τάδε πρὸς τὰς ἁπανταχοῦ γῆς ἑαυτῆς ἀδελφὰς διατάττεται· Ἀνδρονίκῳ καὶ τοῖς αὐτοῦ, Θόαντι καὶ τοῖς αὐτοῦ μηδὲν ἀνοιγνύσθω τέμενος τοῦ Θεοῦ· ἅπας αὐτοῖς ἱερὸς ἀποκεκλείσθω, καὶ σηκὸς καὶ περίβολος. οὐκ ἔστι τῷ διαβόλῳ μέρος ἐν παραδείσῳ, ὃς κἂν λάθῃ διαδὺς, ἐξελαύνεται. παραινῶ μὲν οὖν καὶ ἰδιώτῃ παντὶ καὶ ἄρχοντι, μήτε ὁμορόφιον αὐτῷ, μήτε ὁμοτράπεζον γίνεσθαι· ἱερεῦσι δὲ διαφερόντως, οἳ μήτε ζῶντας αὐτοὺς προσεροῦσι, μήτε τελευτήσαντας συμπροπέμψουσιν. εἰ δέ τις ὡς μικροπολῖτιν ἀποσκυβαλίσει τὴν ἐκκλησίαν, καὶ δέξεται τοὺς ἀποκηρύκτους αὐτῆς, ὡς οὐκ ἀνάγκη τῇ πένητι πείθεσθαι· ἴστω σχίσας τὴν ἐκκλησίαν, ἣν μίαν ὁ Χριστὸς εἶναι βούλεται. ὁ δὲ τοιοῦτος, εἴτε λευΐτης ἐστὶν, εἴτε πρεσβύτερος, εἴτε ἐπίσκοπος, παρ' ἡμῖν ἐν Ἀνδρονίκου μοίρᾳ τετάξεται, καὶ οὔτε ἐμβαλοῦμεν αὐτῷ δεξιὰν, οὔτε ἀπὸ τῆς αὐτῆς ποτε σιτησόμεθα· πολλοῦ δὴ δεήσομεν κοινωνῆσαι τῆς ἀπορρήτου τελετῆς, τοῖς ἐθελήσασιν ἔχειν μερίδα μετὰ Ἀνδρονίκου καὶ Θόαντος.

A Esse autem coram Deo & mente & corpore puros conuenit. Ob hæc Ptolemaïdis Ecclesia hæc ad omnes vbique terrarum sorores suas Ecclesias præcipit. Andronico eiusque sociis, Thoanti & eius sociis nullum Dei fanum aperiatur. Omnis illis religiosa ædes, ac septa claudantur. Nulla diabolo in paradiso pars est, qui si clàm irrepserit, expelletur. At cùm priuatis omnibus, & Magistratibus præcipio eodem cum illo neque tecto, neque mensa vti, tum sacerdotibus imprimis, qui nec viuentes illos salutabunt, B nec mortuos funebri pompa deducent. Sin quisquam velut angustæ vrbis Ecclesiam contempserit, & ab ea damnatos receperit, quasi pauperi parere nihil necesse sit; nouerit is sectam à se Ecclesiam, quam vnam esse vult Christus. Atque hic siue leuita, siue sacerdos sit, siue Episcopus apud nos in Andronici loco reputabitur, neque cùm eo dextram iungemus, nec eadem ex mensa vescemur vnquam: Tantùm abest, vt cum iis arcana mysteria communicemus, qui cum Andronico & Thoante partem aliquam habere volue- C rint.

Ἀνυσίῳ.

Ὧ δέδωκα τὴν ἐπιστολὴν, εἰ καὶ φιλόσοφός ἐστι τὴν ψυχὴν, ἀλλὰ ῥήτωρ τὴν τέχνην. ἕως μὲν οὖν Ἀνύσιός τε παρῆν, καὶ Πεντάπολις ἦν, ἔτι παρ' ἡμῖν ταύτην εἰργάζετο· ἐπεὶ δὲ ὁ μετά σε χρόνος τοῖς πολεμίοις ἡμᾶς ἀποδόμενος, δικῶν εἰρήνην ἐποίησεν, ἔγνωκε πλεῖν εἰς ἑτέραν ἀγορὰν, ὅπου γλῶττα ὤνιος, τὸ ῥητόρων ἀγώνιμον, τὸν ῥήτορα γνώριμον ποιεῖ. μνήστευσον αὐτῷ φιλίαν ἀνδρὸς λαχόντος ἀρχὴν ἐθνῶν· καὶ, ναὶ μὰ τὸν φίλιον τὸν ἐμόν τε καὶ σὸν, ὃν αἰτήσεις τὴν χάριν, εἴσεταί σοι τὴν χάριν, ὅταν ἐπανήκῃ μετὰ τὴν πεῖραν.

[margin: ἐ ῥη.] [margin: αἰτεῖς.]

Anysio. 59.

Cui ego litteras commisi, etsi animo philosophus, arte tamen ac professione orator est. Itaque quamdiu Anysius aderat, & Pentapolis supererat, apud nos eam adhuc artem exercebat. Cùm autem pòst discessum tuum insequens nos tempus hostibus vendens, altum causarum silentium intulisset; ad aliud forum nauigare constituit, vbi vænalis lingua, quæ sunt oratorum merces, illustrem reddit oratorem. Fac vt illi cuiuspiam D viri familiaritatem concilies, cui gentium Imperium obtigerit. Ac Deum testor tuæ meæque amicitiæ præsidem; is ipse à quo tu gratiam postulaueris, gratias tibi aget, cùm pòst factum periculum reuertetur.

Αὐξεντίῳ.

Ἢν γράψωμαί σε φιλίας ἀδικουμένης, καὶ θεοῦ, καὶ θείων ἀνδρῶν δικαζόντων, ἁπάσαις αἱρήσω. τίς γὰρ προσθήκη σοὶ γέγονα τῆς πρὸς τὸν ἀδελφὸν δυσμενείας; ἐπειδὴ γὰρ ἐκεῖνος, οὐκ ἐμοὶ δοκοῦν,

[margin: αὖ.]

Auxentio. 69.

Si te iniuriarum in amicitiam arcessiuero, & Deo, & diuinis viris iudicãtibus omnium te sententia conuincam. quæ enim tibi fui inimicitiarum cum meo fratre accessio? Nam cùm ille, cõtrà quàm vellem,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

berio Claudio Remp. administrante, à quo Pilatus ad Iudæorum præfecturam missus: sed pia Theodosij sobole, Romanorum sceptra moderante, à qua furtim Andronicus sibi Imperium ambiit, eadem qua Pilatus mente præditus. Risui erant prætereuntibus infidelibus tabulæ, quemadmodum Iudæis quæ in cruce Christi adscripta fuerant. Quanquam ipsa crucis inscriptio, vt non religioso ab animo profecta, at verbis ipsis perhonorifica extitit, quibus rex Christus prædicabatur: hîc autem lingua cum animo congruebat. Quæ verò deinceps accidebant, longè iis quæ affixa sunt, fuere acerbiora. Cùm enim nonnullam aduersus inimicum occasionem nactus esset, (inimicitiæ autem inde inter eos ortæ fuerant, quòd nuptias hic affectabat, ille prohibebat) iis illum furialibus suppliciis torquere instituit, quæ minime posteritatis memoriæ prodantur, sed cum ipso, vti cœpere, desinant, sintque hæc ad posteros Andronici magistratus signa auditione tenus propagata. Sed cùm nobilis vir nihil iniustè molitus, sed calamitosus ob hæc excarnificaretur, & hæc sub meridianum ipsum diei ardorem agerentur, vt apud solos carnifices testes periret; postquàm condolere illi Ecclesiam sensit, nullo quidem ex alio indicio, sed quòd statim atque audiuimus, è vestigio accurrimus, vt ei adsideremus, & miseriæ participes essemus, ad hæc ille audita furore præceps agitur; quòd Episcopus vllus hominis sibi infensi misereri audeat, ac plurima & impia insolenter iactitans audacissimo incitante è satellitibus Thoante, quo ad publicas calamitates administro vtitur, tandem scelestissimam vocem furori suo finem apposuit; frustra illum dicens spem aliquam in Ecclesia collocasse, nec quemquam ex Andronici manibus ereptum iri, non si pedem ipsum Christi manibus amplectatur. In hanc ille vocem imperita mente ter prorupit: secundum quam nihil est quòd amplius hominem moueamus, sed velut membrum insanabile à nobis est segregandus, ne contage illius quod syncerum est corrumpatur. Labes enim facilè communicatur, & qui impurum tetigerit, piaculum noxámque contrahit.

A θρώποις Τιβερίου Κλαυδίου τῆς πολιτείας ἐπιτροπεύοντος, ἀφ' οὗ Πιλάτος ἐπὶ τὴν Ἰουδαίων ἡγεμονίαν ἐστάλη· ἀλλὰ τῆς εὐσεβοῦς Θεοδοσίου γενεᾶς τὰ σκῆπτρα Ῥωμαίων ἐχούσης, ἀφ' ἧς ἔλαθεν Ἀνδρόνικος ἑαυτῷ μνηστεύσας ἀρχὴν, ὑπὸ τῷ Πιλάτου φρονήματι. γέλως ἦν τοῖς * παριοῦσι τῶν ἑτεροδόξων τὰ γράμματα, καθάπερ Ἰουδαίοις τὰ παραγεγραμμένα τῷ σταυρῷ τοῦ Χριστοῦ. καί τοι τὸ ἐπίγραμμα τοῦ σταυροῦ, γεγονὸς ἀπὸ γνώμης οὐκ εὐσεβοῦς, σεμνὸν ἦν ἐπὶ λέξεως, δι' οὗ
B βασιλεὺς ὁ Χριστὸς ἐκηρύττετο· ἐνταῦθα δὲ ἡ γλῶττα τῇ γνώμῃ συνέβαινε. τὰ δὲ δὴ μετὰ ταῦτα τῶν προτέρων ἐστηλιτευμένων βαρύτερα. ἐπεὶ γὰρ ἦν τινα κατ' ἐχθροῦ πρόφασιν εὑράμενος· ἔχθρα δὲ ἦν αὐτοῖς, ὅτι γάμους ὁ μὲν ἐσπούδαζεν, ὁ δὲ ἐκώλυεν· ἐκείνοις αὐτὸν τοῖς ἀποτροπαίοις κολαστηρίοις ᾐκίζετο, ἃ μὴ παραδοθείη τῇ διαδοχῇ τοῦ χρόνου· μετ' αὐτοῦ δὲ ὥσπερ ἤρξατο, παύσαιτο, καὶ γένοιτο τοῖς μεθ' ἡμᾶς ἀκοὴ ταῦτα τῆς ἡγεμονίας Ἀνδρονίκου συνθήματα. ἐπεὶ οὖν ἀνὴρ εὐγενής, οὐκ ἀδικῶν, ἀλλ' ἀτυχῶν ἐπ' αὐτοῖς κατε-
C τείνετο, καὶ ταῦτα τὸ τῆς μεσημβρίας ἐδρᾶτο σταθερώτατον, ἵν' ὑπὸ μόνοις μάρτυσι τοῖς δημίοις ἀπόλοιτο· καὶ τὴν ἐκκλησίαν ἔγνω γενομένην αὐτῷ συμπαθῆ, κατ' ἄλλο μὲν οὐδὲν, ὅτι δὲ μαθόντες εὐθὺς ὡς εἴχομεν ἐξεδράμομεν, ἐφ' ᾧ παρακαθίζησαι καὶ συνδιενέγκαι τὴν συμφοράν· λυττᾷ πρὸς τὴν ἀκοὴν, εἴ τις ἐπίσκοπος ὢν ἐλεῆσαι τετόλμηκεν ἄνθρωπον ἀπηχθημένον αὐτῷ· καὶ πολλὰ καὶ παράνομα νεανιευσάμενος, τοῦ θρασυτάτου τῶν ὑπηρετῶν Θόαντος αὐτὸν ἐρεθίζοντος, ᾧ
D χρῆται πρὸς τὰς δημοσίας συμφορὰς ὀργάνῳ, πέρας ἐπέθηκε τῇ μανίᾳ τὴν ἀθεωτάτην φωνὴν εἰπὼν, ὅτι μάτην ἐπὶ τὴν ἐκκλησίαν ἤλπισε, καὶ οὐδεὶς ἂν ἐξαιρεθείη τῶν Ἀνδρονίκου χειρῶν, οὐδ' ἂν εἴ τις τὸν πόδα κρατήσῃ αὐτοῦ τοῦ Χριστοῦ. ταύτην ἀπαιδεύτῳ γνώμῃ καὶ γλώττῃ τρὶς ἀνεφθέγξατο τὴν φωνὴν, μεθ' ἣν οὐκέτι νουθετητέος ὁ ἄνθρωπος, ἀλλ' ὥσπερ μέλος ἀνιάτως ἔχον ἀποκοπτέος ἡμῖν, ἵνα μὴ τῇ κοινωνίᾳ καὶ τὸ ὑγιαῖνον συμφθείρηται. ὁ γὰρ μολυσμὸς διαδόσιμος ἐστι, καὶ ὁ θιγὼν ἐναγοῦς, ἀπολαύει τῆς προστροπῆς.

* κ. παρόδο

δεῖ δὲ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δεῖ δὲ εἶναι καὶ γνώμῃ καὶ σώματι καθαροὺς τῷ Θεῷ. ἐπὶ τούτοις, ἡ Πτολεμαΐδος ἐκκλησία, τάδε πρὸς τὰς ἁπανταχοῦ γῆς ἑαυτῆς ἀδελφὰς διατάττεται· Ἀνδρονίκῳ καὶ τοῖς αὐτοῦ, Θόαντι καὶ τοῖς αὐτοῦ μηδὲν ἀνοιγνύσθω τέμενος τοῦ Θεοῦ· ἅπας αὐτοῖς ἱερὸς ἀποκεκλείσθω, καὶ σηκὸς καὶ περίβολος. οὐκ ἔστι τῷ διαβόλῳ μέρος ἐν παραδείσῳ, ὃς κἂν λάθῃ διαδὺς, ἐξελαύνεται. παραινῶ μὲν οὖν καὶ ἰδιώτῃ παντὶ καὶ ἄρχοντι, μήτε ὁμόροφιον αὐτῷ, μήτε ὁμοτράπεζον γίνεσθαι· ἱερεῦσι δὲ διαφερόντως, οἳ μήτε ζῶντας αὐτοὺς προσεροῦσι, μήτε τελευτήσαντας συμπροπέμψουσιν. εἰ δέ τις ὡς μικροπολῖτιν ἀποσκυβαλίσει τὴν ἐκκλησίαν, καὶ δέξεται τοὺς ἀποκηρύκτους αὐτῆς, ὡς οὐκ ἀνάγκη τῇ πένητι πείθεσθαι· ἴστω σχίσας τὴν ἐκκλησίαν, ἣν μίαν ὁ Χριστὸς εἶναι βούλεται. ὁ δὲ τοιοῦτος, εἴτε λευίτης ἐστὶν, εἴτε πρεσβύτερος, εἴτε ἐπίσκοπος, παρ' ἡμῖν ἐν Ἀνδρονίκου μοίρᾳ τετάξεται, καὶ οὔτε ἐμβαλοῦμεν αὐτῷ δεξιὰν, οὔτε ἀπὸ τῆς αὐτῆς ποτε σιτησόμεθα· πολλοῦ δὴ δεήσομεν κοινωνῆσαι τῆς ἀπορρήτου τελετῆς, τοῖς ἐθελήσασιν ἔχειν μερίδα μετὰ Ἀνδρονίκου καὶ Θόαντος.

A Esse autem coram Deo & mente & corpore puros conuenit. Ob hæc Ptolemaïdis Ecclesia hæc ad omnes vbique terrarum sorores suas Ecclesias præcipit. Andronico eiusque sociis, Thoanti & eius sociis nullum Dei fanum aperiatur. Omnis illis religiosa ædes, ac septa claudantur. Nulla diabolo in paradiso pars est, qui si clàm irrepserit, expelletur. At cùm priuatis omnibus, & Magistratibus præcipio eodem cum illo neque tecto, neque mensa vti, tum sacerdotibus imprimis, qui nec viuentes illos salutabunt, B nec mortuos funebri pompa deducent. Sin, quisquam velut angustæ vrbis Ecclesiam contempserit, & ab ea damnatos receperit, quasi pauperi parere nihil necesse sit; nouerit is sectam à se Ecclesiam, quam vnam esse vult Christus. Atque hic siue leuita, siue sacerdos sit, siue Episcopus apud nos in Andronici loco reputabitur, neque cùm eo dextram iungemus, nec eadem ex mensa vescemur vnquam: Tantùm abest, vt cum iis arcana mysteria communicemus, qui cum Andronico & Thoante partem aliquam habere volue- C rint.

Ἀνυσίῳ.

Ὧ δέδωκα τὴν ἐπιστολὴν, εἰ καὶ φιλόσοφός ἐστι τὴν ψυχὴν, ἀλλὰ ῥήτωρ τὴν τέχνην. (ἢ ῥή.) ἕως μὲν οὖν Ἀνύσιός τε παρῆν, καὶ Πεντάπολις ἦν, ἔτι παρ' ἡμῖν ταύτην εἰργάζετο· ἐπεὶ δὲ ὁ μετά σε χρόνος τοῖς πολεμίοις ἡμᾶς ἀποδόμενος, δικῶν εἰρήνην ἐποίησεν, ἔγνωκε πλεῖν εἰς ἑτέραν ἀγορὰν, ὅπου γλῶττα ὤνιος, τὸ ῥητόρων ἀγώγιμον, τὸν ῥήτορα γνώριμον ποιεῖ. μνήστευσον αὐτῷ φιλίαν ἀνδρὸς λαχόντος ἀρχὴν ἐθνῶν· καὶ, ναὶ μὰ τὸν φίλιον τὸν ἐμόν τε καὶ σὸν, ὃν αἰτήσεις τὴν χάριν, (αἰτῇς.) εἴσεταί σοι τὴν χάριν, ὅταν ἐπανήκῃ μετὰ τὴν πεῖραν.

Anysio. 59.

Cui ego litteras commisi, etsi animo philosophus, arte tamen ac professione orator est. Itaque quamdiu Anysius aderat, & Pentapolis supererat, apud nos eam adhuc artem exercebat. Cùm autem pòst discessum tuum insequens nos tempus hostibus vendens, altum causarum silentium intulisset; ad aliud forum nauigare constituit, vbi vænalis lingua, quæ sunt oratorum merces, illustrem reddit oratorem. Fac vt illi cuiuspiam D viri familiaritatem concilies, cui gentium Imperium obtigerit. Ac Deum testor tuæ meæque amicitiæ præsidem; is ipse à quo tu gratiam postulaueris, gratias tibi aget, cùm pòst factum periculum reuertetur.

Αὐξεντίῳ.

(αἱ.) Ἢν γράψωμαί σε φιλίας ἀδικουμένης, καὶ θεοῦ, καὶ θείων ἀνδρῶν δικαζόντων, ἁπάσαις αἱρήσω. τίς γὰρ παρενθήκη σοι γέγονα τῆς πρὸς τὸν ἀδελφὸν δυσμενείας; ἐπειδὴ γὰρ ἐκεῖνος, οὐδ' ἐμοὶ δοκοῦν,

Auxentio. 69.

Si te iniuriarum in amicitiam arcessiuero, & Deo, & diuinis viris iudicatibus omnium te sententia conuincam. quæ enim tibi fui inimicitiarum cum meo fratre accessio? Nam cùm ille, cõtrà quàm vellem,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

aduersus Sabbatium beatæ memoriæ Phai partes in Republica sequeretur, nec tu eum oratione tua flectere posses, iram in me omnem vertisti: quicquid mali poteras, intulisti. Ego verò, tum cùm licebat, inimicitiarum denunciationem accepi. Nunc autem nec licet, nec volo: nam & ætas ipsa præclarè faciens, ambitionem omnem restinguit, & sacræ, vt aiunt, leges istud prohibent. Præterea venit mihi in memoriam communis educationis & institutionis, commemorationisque Cyrenis nostræ, quæ omnia Sabbatij litibus fortiora æstimanda sunt. Age igitur, amicitiam colere incipe rem præstantissimam, & à me plurimum salueto, qui tempus illud omne, quo silui, detrimentum arbitror; quanto putas vel tum mœrore affectus? sed vtcúmque tolerabam. eiusmodi ambitiosæ contentionis malum est.

A ἐπολιτεύετο κατὰ Σαββατίου τοῦ μακαρίτου Φαίῳ, σὺ δὲ αὐτὸν λέγων οὐκ ἔπειθες, ἔτρεψας ἐπ' ἐμὲ τὴν ὀργὴν, καὶ ἐποίεις κακὸν ὅσον ἠδύνω ἄγων, τότε γὰρ ἐξῆν, ἐδεξάμην τὴν παρ[illegible]ν τῆς διαφορᾶς· νυνὶ δὲ οὔτε ἔξεστιν, οὔτε βούλομαι. ἥτε γὰρ ἡλικία καλῶς ποιοῦσα μαραίνει μοι τὸ φιλότιμον· καὶ ἱεροί, φασι, νόμοι κωλύουσιν· ἅμα δὲ ὑπομιμνήσκομαι καὶ κοινῶν τροφῶν, καὶ παιδείας, καὶ τῆς ἐν Κυρήνῃ διατριβῆς, ἃ χρὴ νομίσαι τῶν Σαββατίου δικῶν ἰσχυρότερα. ἄρχου δὲ φιλίας ἀγαθοῦ B πράγματος· καὶ χαῖρε παρ' ἐμοῦ ζημίας ἡγουμένου τὸν χρόνον ὃν ἐσιώπησα· πῶς οἴει καὶ τότε δακρυόμενος; ἀλλ' ἐνεκαρτέρουν, ὡς οἶδ' ὅτι τοιοῦτόν ἐστι τὸ διαφιλοτιμεῖσθαι κακόν. κ. ἔχου

Pylæmeni. 61.

Tapetem magnum Ægyptiacum, non qui stragulo supponatur, sed qui vel solus straguli vice esse possit, Asterius scriba cùm vidisset, à nobis postulauit, cùm mihi ante magna Prætoria dormiendum esset: illum ego discedens muneris ipsi loco relicturum me promisi, neque enim licebat mihi Thracum niuibus confligenti tale quicquam largiri. Nunc ad eum mitto, tum enim non reliqueram, tu verò dabis ei cum excusatione. Cuius tu ipse testis eris, si temporum recorderis, per quæ ab vrbe digrediebar. Siquidem de die sæpius terra quatiebatur, passimque homines magna ex parte proni ad preces confugiebant: solùm enim succussabatur. In quo cùm terrâ securius mare, & altum crederem, cursu ad portum contenuo, nemini loquens, præterquàm beato Photio, & hunc eminus clamore compellans, & manu discessurum me significans. Iam qui Aurelianum amicum virum & Coss. insalutatum reliquit, super eadem re apud apparitorem Asterium excusatus est, tum igitur ita se res habuit. Quamuis autem post meam inde profectionem tertiò iam nauis in Thraciam mittatur, nunc tamen primùm à me mittitur. Quare nunc cùm primùm licet, debitum per te reddo. Gratificare mihi quæso, & hominem inuestiga.

Πυλαιμένει.

Δάπιδα μεγάλην τῶν Αἰγυπτίων, οὐχὶ οἵαν ὑποβεβλῆσθαι στρωμνῇ, ἀλλ' οἵαν αὐτὴν εἶναι καὶ μόνην στρωμνὴν, Ἀστέριος ὁ ταχυγράφος ἰ- C δὼν, ᾔτησε παρ' ἡμῶν, ὁπηνίκα με παρὰ τῶν μεγάλων ἀρχείων ἔδει καθεύδειν· ταύτην ὑπεσχόμην ἐξιὼν ἀπολείψειν αὐτῷ δῶρον. οὐ γὰρ ἦν πρὸς τὴν Θρᾳκίαν χιόνα παραβαλλόμενον τοιαῦτα χαρίζεσθαι. νῦν οὖν ἐκπέμπω· τότε γὰρ οὐ κατέλιπον· σὺ δὲ δώσεις αὐτῷ, μετὰ τῆς ἀπολογίας, ἧς αὐτὸς ἔσῃ μάρτυς, ἂν ὑπομνησθῇς τῶν καιρῶν, ἐκ τρίτου, καθ' οὓς ἀνεχώρουν τοῦ ἄστεος, ἔσειεν ὁ θεὸς τὰς ἡμέρας πολλάκις· καὶ πρὸς ἱκετείας ἦσαν οἱ ἄνθρωποι, πρηνεῖς οἱ πλείους· τὸ γὰρ ἔδαφος ἐκραδαίνετο· ἐν ᾧ νομίσας ἐγὼ τὴν θάλατταν τῆς γῆς ἀσφαλεστέραν καὶ τὸ πέ- D λαγος, κατατείνω δρόμον ἐπὶ τὸν λιμένα, μηδενὶ λόγον δοὺς, ὅτι μὴ μακαρίτῃ Φωτίῳ, καὶ τοῦτον πόρρωθεν ἐκκεκραγὼν, καὶ τῇ χειρὶ σημήνας, ὅτι οἰχήσομαι· ὁ δὲ Αὐρηλιανὸν φίλον ἄνδρα καὶ ὕπατον ἀφεὶς ἀπροσαύδητον, ἀπολελόγηται περὶ τῶν αὐτῶν πρὸς τὸν ὑπηρέτην Ἀστέριον. τότε μὲν οὕτως ἐγένετο· εἰ δὲ μετὰ τὴν ἐμὴν ἐκεῖθεν ἀποδημίαν τρίτον τουτονὶ στόλον ἤδη ναῦς εἰς τὰ ἐπὶ Θρᾴκης χωρία στέλλεται, ἀλλὰ νῦν πρῶτον ὑπ' ἐμοῦ στέλλεται. νῦν ὅτε πρῶτον ἔξεστιν, ἀποδίδωμι διὰ σοῦ τὸ χρέος. χάρισαί μοι τὸν ἄνθρωπον ἐξευρών.

Vide Notas.

γρ. ἱκετηρ. αἰτ.

γρ. ἐπαίειν

A γινόμενον μὲν δὴ καὶ τὸ ἐπιτήδευμα φθάνω δηλώσας· ἀλλὰ δεῖ πλείω προσθεῖναι γνωρίσματα. γένοιτο γὰρ ἄν τις, ὁμώνυμος τε καὶ ὁμότεχνος· χαλεπῶς δὲ ἄμφω ταῦτα συγκυρεῖ. (συγκυρεῖ) ἀλλὰ γένοιτ' ἂν ἐν τῷ χρόνῳ· Σύρος τὸ γένος, μέλας τὸ χρῶμα, τὸ πρόσωπον ἰσχνός, τὸ μέγεθος μέτριος, οἰκεῖ παρὰ τὴν βασιλικὴν οἰκίαν, οὐ τὴν δημοσίαν, ἀλλὰ τὴν κατόπιν αὐτῆς, ἥτις Ἀβλαβίου μὲν πρότερον ἦν, νυνὶ δὲ Πλακιδίας ἐστὶ τῆς τῶν βασιλέων ἀδελφῆς. εἰ δὲ μετῴκησε· γινόμενον γάρ· σὺ δὲ ἀλλὰ Μάρκον ζητήσεις φανερώτατον ἄνδρα, τὸν ἐκ B τῆς ὑπάρχου τάξεως. (ὁ πότ.) οὗτος ἦν ποτε τῆς συμμορίας ἄρχων τῶν ταχυγράφων τῆς τὸν Ἀστέριον ἐχούσης. εὑρήσεις οὖν διὰ Μάρκου τὴν συμμορίαν, ἧς οὐκ Ἀστέριος ἔσχατος, ἀλλ' ἐν αὐτοῖς τρίτος, ἢ τέταρτος· νυνὶ δὲ κἂν πρῶτος εἴη· τούτῳ δώσεις τὴν παχεῖαν ταύτην δάπιδα, καὶ περὶ αὐτῶν ἐρεῖς, ἅττα ἡμεῖς περὶ τοῦ χρόνου πρὸς σέ, εἰ δὲ βούλει, καὶ τὴν ἐπιστολὴν αὐτὴν ἀναγνώσῃ· σχολὴν γὰρ ἡμῖν ὁ πόλεμος οὐ δίδωσι, τοῦ καὶ πρὸς ἐκεῖνον ἐπιστεῖλαι· εἶναι δὲ δικαίους, οὐδὲν ἴσως κωλύει· μήποτε τοσοῦτον C δυνηθείη τὰ ὅπλα.

A Cuiusquidem nomen, & artem antea significaui: verùm plura his indicia subiungenda; fieri enim poteſt, vt eiusdem cum illo, & nominis quiſpiam, & artis inueniatur. In eundem autem omnia conuenire difficile eſt: ſed in hoc fortaſſis tempore fuerit. Natione Syrus, colore niger, facie macilenta, ſtatura mediocri. Prope regias ædes habet, non publicas, ſed quæ ponè illas ſunt, quæ ad Ablauium quondam, nunc ad Placidiam Imperatorum ſororem pertinent: ſin alio commigrauerit (fieri enim nonnunquam ſolet) B tu verò Marcum quærito notiſſimum hominem, ex Prætoris cohorte: hic tum ordini ſcribarum præerat, in quo Aſterius numerabatur. Itaque per Marcum ordinem ipſum reperies, in quo non poſtremus erat Aſterius, ſed tertius fermè, vel quartus nunc fortaſſe primus. Huic craſſum illum tapetem dabis, eique expones quæ de tempore ſcribimus. Aut etiam, ſi ita placet, hanc illi Epiſtolam leges, neque enim per bellum ſatis otij nobis conceditur, quo & ad illum ſcribamus. C Quin autem iuſti ſimus fortaſſe nihil prohibet. Abſit vt tantum armis vnquam liceat.

Τῷ ἡγεμόνι.

Duci. 62.

Μισθὸς ἀρετῆς ἔπαινος, ὃν εἰσφέρομεν Μαρκελλίνῳ τῷ λαμπροτάτῳ, νῦν ὅτε πέπαυται τῆς ἀρχῆς, νῦν ὅτε σχολάζει κολακείας ἁπάσης ὑπόνοια· ὅστις παραλαβὼν πολεμουμένας τὰς πόλεις ἔξωθεν μὲν, ὑπὸ πλήθους τε καὶ μανίας βαρβαρικῆς, ἔνδοθεν δὲ ὑπὸ στρατιωτικῆς ἀταξίας τε καὶ τῆς τῶν ταξιάρχων πλεονεξίας, ὥσπερ θεὸς ἐπιφανεὶς, μάχῃ μὲν μιᾷ τοὺς D πολεμίους, ἐπιμελείᾳ δὲ καθημερινῇ τοὺς ὑπηκόους σωφρονεστέρους ἐποίησε, καὶ παρεσκεύασεν ἀπ' ἀμφοῖν τῶν δεινῶν, εἰρήνην ταῖς πόλεσιν. ὑπερεῖδε κερδῶν, ἃ δοκεῖν εἶναι νόμιμα πεποίηκεν ἡ συνήθεια. οὐκ ἐπεβούλευσε πλούτῳ, πενίαν οὐχ ὕβρισε· τὰ πρὸς θεὸν εὐσεβής, τὰ πρὸς πολιτευομένους δίκαιος, τὰ πρὸς δεομένους φιλάνθρωπος. διὰ ταῦτα φιλόσοφος ἱερεὺς ἐπαινῶν αὐτὸν, οὐκ αἰσχύνεται· παρ' ᾧ μηδεὶς οὐδέποτε μαρτυρίαν χάριτι δεδεκασμένην. παρεῖναι μὲν οὖν ὑμῖν καὶ τὸ δικαστήριον ἐβουλόμεθα·

Virtutis in laude præmium eſt, quam in illuſtriſſimum Marcellinum conferimus, nunc cùm magiſtratu exiit, nunc cùm vacat omnis adulationis ſuſpicio, qui cùm bello vexatas vrbes accepiſſet, foris quidem à multitudine, & furore barbarico, intus verò à militari inſolentia, & centurionum auaritia, tanquam Deus aliquis offerens ſeſe, vno prælio hoſtes; D ſubditos quotidiana diligentia moderatiores effecit, & vtriſque ab incommodis pacem ciuitatibus dedit, lucra aſpernatus eſt, quæ legitima iam vt haberentur, conſuetudo obtinuerat: non opibus inſidiatus eſt, non in paupertatem contumelioſè ſe geſſit, pietatem erga Deum, iuſtitiam in ciues, in ſupplices humanitatem coluit, ob id Philoſophus ſacerdos in eo prædicando non erubeſcit, à quo nullus corruptum gratia teſtimonium torſit. Et præſentem adeſſe quidem nobis vellemus ipſum conſeſſum iudicum,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A quo publicè priuatimque Ptolemaitæ omnes, si non meritis parem, qualem certè possumus symbolum contribueremus, quoniam oratio factis ipsis nequaquam par esse potest. Planè ego tum communi nomine orationem instituerem: sed quando is longinquo à nobis spatio remotus est, litteris testimonium de eo nostrum, non interpellati, sed interpellantes commendauimus.

καὶ κοινῇ καὶ καθ' ἕνα Πτολεμαΐων ἕκαστος· ἀντεισηνέγκαμεν αὐτῷ τὸ δυνατὸν, εἰ μὴ τὸν δίκαιον ἔρανον· ὅτι λόγος ἔργου παραπολὺ τῆς ἴσης ἐστί· πάντως ἂν ἐγὼ καὶ τότε τοῦ κοινοῦ προηγόρευσα· ἐπεὶ δὲ τυγχάνει ὢν ὑπερόριος, ἐν γράμμασιν αὐτῷ τὴν μαρτυρίαν κατατιθέμεθα, οὐκ ἐνοχληθέντες, ἀλλ' ἐνοχλήσαντες.

χ. ἢ ἴσα

χ. τυγχάνει

Ioanni. 63.

Vti potentum amicitiis, non abuti conuenit.

Ἰωάννῃ.

B Χρῆσθαι δεῖ ταῖς τῶν δυνατῶν φιλίαις, οὐ καταχρῆσθαι.

Eidem. 64.

Noli ingentia postulare, ne duorum alterum contingat, vt siue obtinueris, molestiam facias, siue non obtinueris, molestiam capias.

Τῷ αὐτῷ.

Μὴ αἴτει μεγάλα, ἵνα μὴ δυοῖν θάτερον, ἢ τυγχάνων λυπῇς, ἢ μὴ τυγχάνων λυπῇ.

Fratri. 65.

Ambos ad te Dionysios misi, vt librorum alterum accipias, alterum recipias.

Τῷ ἀδελφῷ.

Ἄμφω τοὺς Διονυσίους ἀπέσταλκα, ἵνα τῶν βιβλίων, τὸ μὲν ᾖς εἰληφὼς, τὸ δὲ ἀπειληφώς.

Theophilo. 66.

Quoniam nonnihil sciscitaturus abs te sum, qua de re sciscitaturus sum, ante omnia libet exponere. Alexander è senatorio ordine Cyrenensis adhuc adolescens monasticam vitam professus est, cúmque vnà cum ætate Monasticum illud vitæ institutum procederet, primùm ad diaconi, inde ad sacerdotis in Ecclesia dignitatem prouectus est. Post hæc occasione negotij cuiusdam ad castra profectus, & beatæ memoriæ Ioanni commendatus (honoratur enim à nobis mortui memoria, quoniam omnis cum vita simultas exuitur) huic igitur conciliatus ante motus illos ac tumultus Ecclesiarum, Basinopolitanus in Bithynia Episcopus illius manibus est consecratus: orta verò contentione, in eius à quo electus erat amicitia perseuerauit, & illius partes secutus est. Quid autem scienti id exponam, vel ei ipsi potiùs cuius opera omnis illa compositio reconciliatióque perfecta est? Cùm præsertim libellum quendam scitum, & eruditum perlegerimus, quem ad beatum nisi fallor Atticum scripseras, quo tu illum ad recipiendos homines adducebas.

Θεοφίλῳ.

C Πεῦσίν τινα πυθέσθαι σου προελόμενος, ὑπὲρ οὗ πέπυσμαι, προαφηγήσασθαι βούλομαι. Ἀλέξανδρος ἀπὸ βουλῆς Κυρηναῖος, ἔτι μειράκιον ὤν, εἰς μοναδικὸν βίον ἐτέλεσε· τῇ δὲ ἡλικίᾳ συμπροϊούσης τῆς μοναδικῆς τῆς κατὰ τὸν βίον ἐνστάσεως, ἠξιώθη μὲν ἐκκλησιαστικῆς διακονίας· ἠξιώθη δὲ τοῦ πρεσβύτερος εἶναι. κατὰ δή τινα χρείαν ἐπὶ στρατοπέδου γενόμενος, τῷ Ἰωάννῃ τῷ μακαρίτῃ συνέστη· τιμάσθω γὰρ παρ' ἡμῶν ἡ μνήμη τοῦ τελευτήσαντος, ὅτι πᾶσα δυσμένεια τῷ βίῳ τούτῳ συναποτίθεται· τούτῳ συ-

D στὰς, πρὶν μὲν στασιασθῆναι τὰς ἐκκλησίας, ὑπὸ τῶν ἐκείνου χειρῶν ἐπίσκοπος ἀνεδείχθη τῆς Βιθυνῶν Βασινουπόλεως· συμβάσης δὲ τῆς διαφορᾶς, διέμεινε τῷ χειροτονήσαντι φίλος, καὶ γέγονε τῆς ἐκείνου στάσεως· ἐπεὶ δὲ ἡ συνοδικὴ γνώμη κατίσχυσε, χρόνον μέν τινα συνέμεινεν ἡ στάσις. τί δὴ ἂν διηγοίμην εἰδότι, μᾶλλον δὲ αὐτοῦ διῳκηκότος, τὰ περὶ τὰς γενομένας διαλλαγάς· ἐπεί τι καὶ βιβλίον ἀνέγνων σοφὸν, ὃ πρὸς τὸν μακάριον ἐμοὶ δοκεῖν Ἀττικὸν ἔγραφες, ἐνάγων αὐτὸν τῇ καταδοχῇ τῶν ἀνδρῶν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A τὰ μὲν δὴ μέχρι τούτου Ἀλεξάνδρῳ πρὸς τοὺς συναποστάντας κοινά· ἴδιον δὲ, ἢ μετ' ὀλίγων, ὅτι τουτὶ μὲν ἔτος ἤδη τρίτον ἐξήκει, μετὰ τὴν ἀμνηστίαν καὶ τὰς διαλλαγάς· ὁ δὲ οὐκ ἐβάδισε τὴν ἐπὶ Βιθυνίας, οὐδὲ τῆς λαχούσης αὐτὸν καθέδρας ἐλάβετο· μένει δὲ παρ' ἡμῖν, ὥσπερ μηδὲν αὐτῷ διαφέρειν, εἰ καί τις ὡς ἰδιώτῃ προσφέρηται. ἐγὼ μὲν οὖν οὔτε πόρρωθεν ἐντέθραμμαι τοῖς νόμοις τοῖς ἱεροῖς, οὔτε ἤδη μοι καθήκει πολλὰ μεμαθηκέναι πέρυσιν οὔπω γεγονότι τοῦ καταλόγου. αἰσθόμενος δὲ γέροντάς ἐνίους οὐδ' αὐτοῖς μὲν τι σαφὲς εἰδέναι προσποιουμένους, B ἀποδεδειλιακότας δὲ, μὴ λάθωσι πρός τινα κανόνα τῆς ἐκκλησίας προσκόψαντες, καὶ διὰ τοῦτο πανταπᾶσιν ἀπηνέστερον αὐτῷ προσενηνεγμένους, καὶ ὑπὲρ ἀσαφοῦς ὑπονοίας ἀτιμίαν σαφῆ τοῦ ξένου κατασκεδάσαντας, οἳ μηδὲ κοινῆς στέγης ἠνέσχοντο, οὔτε ἐμεμψάμην, οὔτε ἐμιμησάμην αὐτούς. οἶσθα οὖν ὅπως ἐποίησα, πάτερ σεβασμιώτατε· ἐκκλησίᾳ μὲν οὐκ ἐδεξάμην αὐτὸν, οὐδὲ τραπέζης ἱερᾶς ἐκοινώνησα· οἴκοι δὲ ἴσα καὶ τοῖς ἀναιτίοις ἐτίμησα. οὗτος ὁ C τρόπος καὶ ἐπὶ τῶν ἐπιχωρίων ἐμός· ὅταν τις αὐτῶν ἐφέστιος ἡμῖν γένηται, παντὶ παντὸς ἔργου καὶ λόγου τιμὴν ἔχοντες ἐξιστάμεθα, φλυαρεῖν ἡγούμενοι τοὺς δυσχεραίνοντας, ὅτι τὰ μητρῷα τῆς πόλεως καταβαλλόμεθα δίκαια. καίτοι διὰ τοῦτο τὰς ἁπάντων φροντίδας κατωμαδὸν ἀράμενος φέρω, καὶ μόνος ὑπὲρ τῆς ἁπάντων ἀσχολοῦμαι σχολῆς. ἀλλ' ἐν καλῷ μοι κείσεται παρὰ τῷ Θεῷ, πλεονεκτεῖν μὲν πόνοις, μειονεκτεῖν δὲ τιμῶν. καὶ τὸν Ἀλέξανδρον δὲ τοῦτον, ὅταν μὲν εἰς ἐκκλησίαν προΐω, βουλοίμην μὲν ἂν μηδαμόθεν τῆς ἀγορᾶς ἰδεῖν· D συμβὰν δὲ ἰδεῖν, ἑτέρωσέ ποι τρέπω τοὺς ὀφθαλμοὺς, καὶ εὐθὺς ἐπανθεῖ μοι κατὰ τῆς παρειᾶς ἐρύθημα. ὑπερβάντα δὲ τὴν οἰκείαν αὐλὴν, καὶ γενόμενον ὁμωρόφιον, ἅπασι τοῖς εἰκόσι τιμῶ· τί δήποτ' οὖν ἀσύμφωνός εἰμι πρὸς ἐμαυτὸν ἰδίᾳ καὶ δημοσίᾳ, ἐν οὐδετέρῳ τῶν καιρῶν διεσχημένα ποιῶν; ἀλλὰ τὸ μὲν εἴκω τῷ νόμῳ, τὸ δὲ τῇ φύσει χαρίζομαι, ῥεπούσῃ πρὸς τὸ φιλάνθρωπον. καίτοι κἂν ἀπεβιασάμην τὴν φύσιν, εἴ τι σαφὲς ἠπιστάμην ὑπὲρ τοῦ νόμου. αὐτὸ δὴ τοῦτό ἐστι τὸ ἐρώτημα, πρὸς ὃ δεῖ τὴν αὐθεντίαν τῆς εὐαγγελικῆς διαδοχῆς ἀποκρίνασθαι ἁπλῶς καὶ σαφῶς.

(marg.: παρειῶν; ἢ ἀποστολικῆς)

Et hactenus quidem communis Alexandro causa fuit cum cæteris defectoribus. Præcipuum hoc, vel commune cum paucis, quòd tertius fermè abhinc annus est ab sopitis dissentionibus reconciliatáque pace, neque dum tamen ille rectà in Bithyniam profectus est, nec quam sortitus erat sedem, repetiit, manet autem apud nos, quasi nihil suâ interfit, si quis eum priuati loco habeat. Ego verò neque hactenus diu sacris legibus institutus sum, nec multa admodum didicisse par est, qui superiore nondum anno in Episcoporum essem numerum adscriptus. Sed cùm senes quosdam animaduerterim, qui se certum quidem nescire non dissimularent, magno autem in metu versarentur, ne quem in Ecclesiæ canonem imprudentes offenderent, ideóque cum eo se atrociùs gererent, & pro incerta suspicione certam hospiti infamiam aspergerent, qui neque communi tecto excipere vellent; ego illos nec reprehendi, nec imitari volui. Scis igitur quemadmodum egi pater omni veneratione dignissime: in Ecclesiam quidem admittere illum nolui, nec sacram cum eo mensam communicaui, domi verò peræque atque innoxios obseruaui quæ mea agendi cum nostris ratio est. Nam cùm eorum aliquis domum nostram venerit omnibus omni facto & sermone honorifico cedimus, nugari eos existimantes qui ideò succensent, quòd materna ciuitatis iura imminuamus. Quamquam ob id omnium ego curas humeris sustineo, solúsque pro omnium otio otij sum expers. Sed magno id mihi apud Deum æstimabitur, vt laboris ampliùs, sic minus honoris ac dignitatis capere. Hunc autem ipsum Alexandrum, quoties ad Ecclesiam vado, vellem quidem nusquam in foro videre, sed cùm videre contigerit, aliò quopiam oculos conuerto, statimque per genas rubor suffunditur: at simul domesticum atrium præteriit, & sub eodem mecum tecto versatur, consentaneo omni honore prosequor. Quid igitur tandem à me ipso priuatim publicéque dissentio? neutro in tempore ex animi mei sententia faciens. Sed partim legi obtempero; partim naturæ obsequor, quæ ad humanitatem procliuior est. Quamquam etiam vim naturæ facerem, si quid de lege certi haberem. Itaque nostræ interrogationis summa est, ad quam Euangelicæ successionis authoritatem, apertè ac simpliciter respondere conuenit,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ac prout concepta quæstio est. Alexandrum habere Episcopum oporteat, necne.

Eidem. 67.

Mihi quidem & libet & diuina prope imposita necessitas, pro lege id habendi quicquid Thronus ille statuerit. Propterea funebrem occupationem abijciens & affectum etiamnum corpusculum ad labores compellens, & suspecta perinde, ac secura obiens, quæ hostilibus armis interclusa erant, Palæbiscam, & Hydracem perueni. Vici sunt Pentapolis, iidémque siticulosæ Libyæ confinia, vbi conuentu populi habito, & litterarum aliis lectis, aliis redditis: Quædam enim ad eos, nonnullæ de iis ad me scriptæ fuerant, & accommodatâ ad suffragia habenda oratione instituta. Vt vel persuaderem, vel si succederet, inuitos adducerem vt de Episcopo eligendo deliberarent: Populi in religiosissimum Paulum studium euincere minimè potui. Cupio mihi à parente fidem adhiberi, nolebam frustrà eò cursum contendisse: in Populi offensionem incidi, qui me præcipuo honore prosequebatur. Ex iis manifestissimos quosque, siue quis altiùs vociferaretur, siue crepidinem nactus, & eam conscendens Patronum agere vellet, & sermonem contenderet, tanquam precio comparatos, ac coniuratos lictorum manibus traditos, & ex conuentu pulsos exturbari iussi, statímque, ac sæpius perturbatum populum componens, & comprimens omnem orationis viam ingressus sum. Pontificium illum Thronum magnificè prædicare: confirmare cum contemptu, aut honore vestro contemptum esse Dei, & honorem coniunctum. At illi honorificentissima voce fœlix pietatis tuæ nomen appellare, & proni orare, velut coram præsente clamores ac lamentationes miscentes. Sed virorum contentio etsi expectationem superabat, erat tamen remissior: At mulieres, genus tractatu difficile, manus attollentes, infantes porrigentes, & oculos claudentes, ne solito præsule orbatam sedem intuerentur, penes nos contraria instituere molientes, eundem in affectum impulerunt. Quod

A καὶ ὥσπερ πυνθανόμεθα, Ἀλέξανδρον ἐπίσκοπον χρὴ νομίζειν, ἢ μή. κ. ἄλλ.

Τῷ αὐτῷ.

Ἐγὼ καὶ βούλομαι καὶ ἀνάγκη μοι θεία, νόμον ἡγεῖσθαι, πᾶν ὅ,τι ἂν ἐκεῖνος ὁ θρόνος θεσπίσῃ. διὰ τοῦτο καὶ πένθιμον ἀσχολίαν παραιτησάμενος, καὶ νοσοκομούμενον ἔτι τὸ σῶμα πρὸς τοὺς πόνους ἐκβιασάμενος, καὶ διοδεύσας τὴν ὕποπτον, ὡς ἀνύποπτον, ἣν διετείχισεν ὅπλα B πολέμια, γέγονα κατὰ Παλαίβισκάν τε καὶ Ὕδρακα· κῶμαι δὲ αὗται Πενταπόλεως, καὶ τῆς διψηρᾶς Λιβύης αὐτὰ τὰ μεθόρια· ἐν αἷς τόν τε δῆμον ἐκκλησιάσας, καὶ γράμματα, τὰ μὲν ἀναγνούς, τὰ δὲ ἀποδούς· τὰ μὲν γὰρ ἦν πρὸς αὐτούς, τὰ δὲ περὶ αὐτῶν πρὸς ἐμέ· καὶ λόγους διεξελθὼν ἐπιτηδείους εἰς προαίρεσιν εἰς τὸ καὶ πεῖσαι, καὶ εἰ προχωροίη βιάσασθαι προθέσθαι τὴν περὶ ἐπισκόπου σκέψιν, οὐκ ἐξενίκησα τοῦ δήμου τὴν περὶ τὸν εὐλαβέστατον Παῦλον σπουδήν. ἀξιῶ πι-C στευθῆναι παρὰ πατρός· οὐκ ἦν μοι βουλομένῳ μάτην δεδραμηκέναι. πολλὰ τιμῶντί με τῷ δήμῳ προσέκοψα· τοὺς φανερωτάτους αὐτῶν, εἴ τις ἀνέκραγε μεῖζον, εἴ τις εὑράμενος κρηπῖδα καὶ ἐπαναβὰς αὐτῇ, καὶ προήγορος ἠξίωσεν εἶναι καὶ λόγον ἀπέτεινεν, ὡς ὠνίους, ὡς συνωμότας, ὑπηρετῶν χερσὶ παραδιδούς, ἐκκυλισθῆναι τῆς ἐκκλησίας ὠθουμένους, προσέταξε. συγχέοντα δὲ αὖθις καὶ πολλάκις ἀναλαβών τε καὶ καταστήσας τὸν δῆμον, διὰ πάσης ἦλθον ἐν λόγοις ὁδοῦ, τὸν ἀρχιερατικὸν ἐκεῖνον θρόνον ἀποσεμνύνων, καὶ πείθων ὅτι διὰ D τῆς εἰς ὑμᾶς ἀθετήσεως καὶ τιμῆς, ὁ θεὸς ἀθετεῖται δὴ καὶ τιμᾶται· οἱ δέ, εὐφήμῳ τε φωνῇ τὸ μακάριον ὄνομα τῆς σῆς θεοσεβείας ἐπεκαλέσαντο, καὶ πεσόντες ἱκέτευον ὡς πρὸς παρόντα ταῖς ἐκβοήσεσι, καὶ ταῖς ὀλοφύρσεσι πειρώμενοι. τὸ μὲν οὖν τῶν ἀνδρῶν, εἰ καὶ παρὰ προσδοκίας, ἀλλ' ἔλαττον ἦν· αἱ δὲ γυναῖκες, πρᾶγμα δυσμεταχείριστον, χεῖρας αἴρουσαι, βρέφη προτείνουσαι, καὶ μύουσαι τοὺς ὀφθαλμούς, ἵνα μὴ εἰς ἔρημον τοῦ συνήθους προστάτου τὸν θρόνον ἐνατενίσαι, μικρὸν ἐδέησαν τοὺς τἀναντία πολιτευομένους ἡμᾶς, εἰς πάθος παραπλήσιον ἐκκαλέσασθαι·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A ὅπερ ἵνα μὴ πάθω, φοβηθεὶς· ᾐσθανόμην γὰρ ἀγόμενος· ἔλυσα τὴν ἐκκλησίαν· καὶ εἰς τετάρτην ἥκειν ἐπήγγελλα ἐπαρασάμενος τὰς παλαμναιοτάτας ἀράς, εἴ τις ἐμμίσθως, εἴ τις κατὰ χρείαν, ἢ χάριν, ἢ ὅλως ἰδίᾳ τι διαφέρον αὐτῷ φθέγξαιτό τι τῶν ἡκόντων εἰς τὴν τῆς ἐκκλησίας παρακοήν. ἧκεν ἡ κυρία, καὶ ὁ δῆμος παρῆν πάλιν ἐνστάτης τε καὶ ἐναγώνιος, ὃς οὐδὲ περιέμεινε πεῦσιν. ἀλλ' εὐθὺς ἦν ἅπαντα κυκεών, φωνὴ παμμιγής, ὑπὸ τοῦ λίαν ἐνηχεῖν ταῖς ἀκοαῖς ἀδιάκριτος. κατασιγαζόντων δὲ
B τῶν ἱεροκηρύκων, εἰς θρῆνον αὖθις ἀπετελεύτησεν ἡ βοή· καὶ ἦν ἄκουσμα σκυθρωπόν, ἀνδρῶν οἰμωγαί, γυναικῶν ὀλολυγαί, παίδων ὀλοφυρμοί. ὁ μὲν ἔφη πατέρα ποθεῖν, ὁ δὲ υἱόν, ὁ δὲ ἀδελφόν. οὕτως ἐμερίζετο ταῖς ἡλικίαις τὰ τῆς συγγενείας ὀνόματα. ἐμοῦ δέ τι μεταξὺ λέγειν ἐπιχειροῦντος, ἀναδείκνυται γραμματεῖον ἐκ μέσου τοῦ πλήθους· καὶ ἐντυγχάνει τις εἰς κοινὸν αὐτὸ πᾶσιν ἀναγνωσθῆναι· τὸ δὲ ἦν ἐνορκισμὸς πρὸς ἐμὲ παύσασθαι σὺν βίᾳ τοῦ πλήθους ἀποπειρώμενον, καὶ ἀναθέσθαι τὸ σκέμμα, μέχρις ἂν αὖθις δὴ γένηται πρὸς τὴν
C μακαριωτάτην σου κεφαλὴν ὑπὲρ τούτου ψήφισμα πέμψαι καὶ πρεσβείαν· μᾶλλον δὲ ἐμοῦ κατεδέοιτο ποιήσασθαι συνηγορίαν ἐν γράμμασιν, ἅπερ ἐδιδάχθην διδάσκοντα. ἐλέγετο τοίνυν καὶ ἐν συνεδρίῳ παρὰ τῶν πρεσβυτέρων, καὶ δημοσίᾳ παρὰ τοῦ πλήθους, καὶ τὸ γραμματεῖον αὐτὰ ταῦτα καθ' ἕκαστον διεξῄει, πάτριον εἶναι καὶ ἀποστολικόν, ἐρυθρίτιδας εἶναι καὶ ταύτας τὰς ἐκκλησίας· ἀποστασιάσαι δὲ αὐτὰς πρὸς Ὠρίωνα τὸν μακάριον, πορρωτέρω τε ὄντα πρεσβύτην, καὶ αἰτίαν ἔχοντα, πρᾳότατον εἶναι. τοῦτο γὰρ ἤδη καὶ λοιδόρημα γέγονεν
D ὑπὸ τῶν ἀξιούντων ἱερωσύνην προστάτιν εἶναι τὰ εἰς ἀνθρώπους καὶ πολυπράγμονα· καὶ ἐπειδὴ παρέτεινε ζῶν, οὐκ ἀνασχέσθαι περιμεῖναι τοῦ δικαίου τὴν τελευτήν, ἀλλὰ προβαλέσθαι τὸν μακαρίτην Σιδήριον. ἐδόκει γὰρ οὗτος νέος τε εἶναι, καὶ ῥέκτης ἀνήρ, ἀπὸ τῆς παρὰ βασιλεῖ Οὐάλεντι στρατείας ἥκων κατὰ χρείαν ἀγρῶν αἰτηθέντων ἐπιμελείας, οἷος ἐχθροῖς τε κακῶσαι, καὶ φίλους ὀνῆσαι. τότε δὲ καὶ ἐκράτει τὰ τῶν αἱρέσεων. πλήθει γὰρ περιῆσαν, καὶ καιρὸν εἶχεν ἡ δεινότης, ὀργάνου οὔ-

γρ. ἔχει.

ne mihi accideret formidans, paulatim enim adduci me sentiebam, conuentum dimisi, & ad quartum diem adesse iussi, vltimi exempli diras imprecatus, si qui mercede conductus aut priuatæ vtilitatis caussa, aut fauore, aut denique vlla alia re ductus quæ priuatim interesset, quicquam contra debitum Ecclesiæ obsequium proferret. Commodùm dicta dies aduenerat, & iam populus aderat ad reclamandum & certandum compositus: qui ne interrogationem quidem expectauit; sed repentè perturbata, ac permista omnia, confusa vox, quæque, quòd aures acrius verberaret, discerni non posset. Indicto à sacris Præconibus silentio, vox illis in planctum desiit. Ibi auditu tristes erant virorum luctus, mulierum vlulatus, puerorum ploratus, hic parentem desiderare, hic filium, fratrem alius dicebat, ita pro ætatum gradibus cognationis nomina diuidebant. Inter hæc cùm dicere nonnihil ordirer, media è turba libellus profertur. Rogat aliquis vt in publicum omnibus legeretur. Nihil hîc præter obtestationem continebat desinerem violenter tentare plebis animos, deliberationemque tantisper differrem dum liceat sibi ad beatitudinem tuam decretum de ea re, ac legatum mittere, ac me potiùs orabant, vt iis per litteras aduocatus essem, quæ didiceram edocens. Igitur & in consessu presbyteri, & vulgo plebs ferebant, & eadem ipsa sigillatim libellus complectebatur, ex Patria, & Apostolica ordinatione Erythro contributas has esse Ecclesias, sed à beato Orione defecisse, longiùs tum dissito fine, & cui summa facilitas vitio tribuebatur: iam enim contumeliæ hoc esse loco cœpit, apud eos qui sacerdotium humanis etiam in rebus præsidio, ac patrocinio esse, & in actu rerum versari putant oportere. Qui cùm diutiùs vitam produceret, non fecisse illos, vt iusti hominis exitum præstolarentur, sed beatæ memoriæ Siderium elegisse. Iuuenis enim esse videbatur, & in agendo strenuus, qui ab Valentis Imperatoris exercitu veniebat, vt agros postulatos administraret, eiusmodi vir, qui & inimicis nocere, & amicis prodesse posset: nunc hæreticæ factiones dominabantur, multitudine enim superiores erant: & opportuna admodum erat agendarum rerum calliditas, quæ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

eſt adminiſtra prudentiæ. Quamobrem A vnum illum & ſolum Palæbiſcæ Epiſcopum creatum, ſed neque legitimè ipſum, contra iura verò omnia, quantum de ſenioribus accepi. Cùm neque ſit Alexandriæ conſtitutus, neque à tribus hic, vt maximè eligendi, illinc ſignum datum fuerit. Etenim ſolum beatæ memoriæ Philonem auſum eſſe collegam ſuum Epiſcopum pronunciare, Cyrenenſis hîc fuit, antiquior, iunioris patruus & eiuſdem cum eo nominis: cæteris quidem in rebus, ex præſcripto Chriſtianæ diſciplinæ viuens, quòd autem ad regendum, & parendum attinet audacior, magis quàm le- B gum obſeruantior. Verumenimuerò ſermonis veniam à ſacrâ ſenis anima poſtulo. Hunc ſolùm venientem ferunt beatum Siderium creaſſe, & in throno collocaſſe, ſed formidoloſis temporibus, ſummum ius prætermitti neceſſe eſt. Ideò magnum illum Athanaſium tempori id dediſſe, ac non multò poſt cùm exiguam adhuc orthodoxæ fidei ſcintillam, quæ in Ptolemaïde erat, fouere, & magis magíſque accendere oporteret, hominem illum maioribus regendis idoneum eò commigrare iuſſiſſe, vt metropolitanam Eccleſiam gu- C bernaret. Sed illum ſenectus ad paganas Eccleſias reduxit; vbi è vita diſcedens ſucceſſorem non habuit, qui ne ipſe quidem alterius in locum ſucceſſerat. Palæbiſca & Hydrax, in antiquam formam redactæ ſunt & Erythro contributæ, tuæ, vt aiunt, dignitatis decreto: & in hoc potiſſimum inſiſtebant non eſſe tuam illam creationem antiquandam: ac litteras quidem cùm peterem repræſentare minimè potuerunt, Epiſcopos verò ex concilio aliquot teſtes produxerunt: atque ij dixerunt ſe miſſis D illinc litteris morem gerentes rogationem ad populum de Paulo tuliſſe, quem cùm omnibus placuiſſet Epiſcopum habere, de eo retuliſſe; alios porrò eadem in ſede collocaſſe. Ac, ſi mihi dicere per te liceat, illud verè deliberationis tempus extitit: auferre enim longè erat, quàm non concedere moleſtius. Nihilominus vincat etiamnum, quicquid paternitati tuæ viſum fuerit. Nam ſi quod tum viſum erat pro iuſto ab iis habitum eſt, & hoc ipſum allegant; non amplius videri, iuſti rationem commutat. Quare quodcunque ſtatueris, hoc plebi

A σα Φρονήσεως. τοῦτον οὖν ἕνα καὶ μόνον ἀποδεδεῖχθαι Παλαιβίσκης ἐπίσκοπον· ἀλλ' οὐδὲ τοῦτον ἐνθέσμως, ἐκθέσμως μὲν οὖν, ὅσα γε τῶν γερόντων ἠκούσαμεν, εἰ μήτε ἐν Ἀλεξανδρείᾳ κατέστη, μήτε παρὰ τριῶν ἐνθάδε, καὶ εἰ τὸ σύνθημα τῆς χειροτονίας ἐκεῖθεν ἐδέδοτο. μόνον γάρ φασι δὴ τὸν μακάριον Φίλωνα θαρσῆσαι τὴν τοῦ συνιερέως ἀνάρρησιν. Φίλων ἐγένετο Κυρηναῖος " ἔτι παλαιότερος, ὁ τοῦ νεωτέρου θεῖός τε καὶ ὁμώνυμος, τὰ " μὲν ἄλλα, ὁποῖον ἂν γένοιτο παίδευμα τοῦ Χριστοῦ, τὰ δὲ εἰς τὸ ἄρχειν καὶ ἄρχεσθαι θαρραλεώτερος μᾶλλον, ἢ νο- B μιμώτερος. ἀλλὰ γὰρ αἰτοῦμαι συγγνώμην ἐπὶ τῷ λόγῳ τὴν ἱερὰν τοῦ πρεσβύτου ψυχήν· τοῦτον ἥκοντα μόνον ἀποδεῖξαί τε καὶ ἐπὶ τοῦ θρόνου καθίσαι τὸν μακαρίτην Σιδήριον. ἀλλ' ἀνάγκη γὰρ ἐν καιροῖς ἀπαρρησιάστοις τὴν ἀκρίβειαν παραβαίνεσθαι· διὰ τοῦτο τὸν πάμμεγαν Ἀθανάσιον συγχωρῆσαί τε τῷ καιρῷ· καὶ μετ' οὐ πολὺ δεήσειν ἐν Πτολεμαΐδι τὸν ἐνόντα σμικρὸν ἔτι τῆς ὀρθοδοξίας σπινθῆρα θάλψαι τε καὶ ἐπιπλέον ἐξάψαι, τὸν ἄνδρα τοῦτον ὡς μείζοσι πράγμασιν ἐπιτήδειον ἐκεῖ C διαβιβάσαι κελεῦσαι, τὴν μητρόπολιν ἐκκλησίαν ἐπιτροπεύσοντα. γῆρας δὲ αὐτὸν εἰς τὰς κωμήτιδας ἐπανήγαγεν· οὗ καταλύσαντος, οὐκ ἔσχε διάδοχον, ὃς οὐδὲ αὐτὸς ἀπῆλθεν ἑτέρου διαδοχήν. Παλαίβισκα δὲ καὶ Ὕδραξ εἰς τὴν ἀρχαίαν τάξιν ἐτάχθησαν, καὶ πρὸς τὸ Ἐρυθρὸν ἀνελήφθησαν, δόγματι, φασί, τῆς σεβασμίας σοῦ κεφαλῆς. καὶ τούτῳ δὴ μάλιστα πάντων ἐνέκειντο, τῷ μὴ δεῖν ἀθετεῖσθαι τὸν παρὰ σοῦ θρονισμόν. γράμματα μὲν οὖν, ἤτησα γάρ, οὐκ εἶχον " ἀποδεικνύναι· ἐπισκόπους δὲ τῶν συνέδρων ἀνίστασαν μάρτυρας. οὗτοι δὲ ἔφασαν, ἐ- D πιστολῇ πειθαρχοῦντες ἐκεῖθεν ἡκούσῃ, πεῦσιν περὶ Παύλου προθεῖναι τῷ δήμῳ· καὶ δόξαν ἅπασιν ἐπίσκοπον ἔχειν, ἀνενέγκαι περὶ αὐτοῦ· τοὺς δὲ θρονιστὰς ἑτέρους γενέσθαι. καὶ εἴ μοι διδῶς εἰπεῖν, πάτερ σεβασμιώτατε, ἐκεῖνος ἦν ὄντως ὁ καιρὸς ὁ τῆς σκέψεως· τὸ γὰρ ἀφελέσθαι τοῦ μὴ χαρίσασθαι λυπηρότερον. ἀλλὰ κρατείτω καὶ νῦν ὅ,τι ἂν δόξῃ τῇ πατρικῇ σου κεφαλῇ. εἰ γὰρ τὸ " δόξαν τότε δίκαιον αὖθις γέγονε, καὶ τοῦτο προΐσχονται· τὸ μηκέτι δοκεῖν, τὸ δίκαιον μετατίθησιν. ὥστε ὅ,τι ἂν γνῷς, τοῦτο τῷ πλήθει

κ. ἔτι παλαι- περος. κεφ. ιω.

κ. ἀποδεικ.

κ. δόξαν

δίκαιον ἂν εἴη. ἀκοὴ γὰρ ζωή, καὶ θάνατος ἡ παρακοή. διὰ τοῦτο οὐκ ἀνταίρουσι χεῖρας· ἀλλ' ἱκετεύουσι μὴ γενέσθαι, ζῶντος αὐτοῖς ἔτι τοῦ πατρὸς, ὀρφανοί. οὕτω γὰρ ἐπὶ λέξεως λέγουσι. κἀγὼ τὸν νεανίσκον οὐκ οἶδα πότερον ἐπαινέσαιμ' ἂν τῆς παρὰ πάντων εὐνοίας, ἢ μακαρίσαιμι. ἢ γὰρ τέχνης ἐστὶ καὶ δυνάμεως, ἢ χάριτος θείας, οὕτω τοῖς ἀνθρώποις ἐξομιλῆσαι καὶ καταδημαγωγῆσαι τὸ πλῆθος, ὥστε τὸν χωρὶς αὐτοῦ βίον ἀβίωτον ἅπασιν εἶναι. διὸ δόξει μὲν περὶ αὐτῶν τῇ φιλανθρωποτάτῃ σοῦ φύσει φιλανθρωπότερα, ἐμοὶ δὲ ἐπανιτέον εἰς ἄστυ· κἀκεῖ περιμενῶ τοῦ ποιητέου τὸ σύνθημα. ἃ δὲ οὖν ἐν ταῖς τέτρασιν ἡμέραις διῳκησάμην, ἃς ἐν τοῖς τῇδε τόποις διέτριψα, τούτων οὐκ ἀγνοήσεις ὅν τινα τύπον ἕκαστον εὕρατο. καὶ μὴ θαυμάσῃς εἴ ποτε τὸν αὐτὸν εὖ τε καὶ κακῶς εἰπεῖν μοι συμβαίη. οὐ γὰρ ἐπὶ τοῖς αὐτοῖς ἑκάτερα. τὰ πράγματα δὲ ἐπαινεῖται καὶ ψέγεται. στάσις ἐν τοῖς κατὰ Χριστὸν ἀδελφοῖς, καλὸν μὲν εἰ μηδέποτε φύοιτο· [φῦσα.] φυσᾶ δὲ καλόν, εἰ μετὰ μικρὸν παύοιτο. δι' αὐτὸ δὴ τοῦτο καὶ γράμματι καταπεμφθέντι πειθόμενος, διαιτῆν ὑπέστην, καὶ δέδωκα τὰς ἀκοὰς ἀμφισβητήσεσι τοιᾶσδε. ἐν Ὕδρακι τῇ κώμῃ χωρίον ἐστὶ τῆς κώμης αὐτὸ τὸ μετεωρότατον, ὃ πάλαι μὲν ἦν φρούριον ἐρυμνότατον· κατασείσαντος δὲ τοῦ Θεοῦ, γέγονεν ἐκλελειμμένον ἐρείπιον. τέως μὲν οὖν ὀλίγοις τισὶ τῶν ἑαυτοῦ μερῶν, εἰς [ἱερέας.] ἑκατέρας χρείας διεσχημάτιστο· οἱ δὲ παρόντες οὗτοι τῶν πολεμίων καιροὶ, διότι δύναιτ' ἂν ἐκτειχισθῆναι, καὶ εἰς τὴν ἀρχαίαν χρείαν ἐπανελθεῖν, τοῦ παντὸς ἄξιον αὐτὸ τοῖς κεκτημένοις παρέχονται. τοῦτο τοῖς ἀδελφοῖς ἡμῶν, ἤδη δὲ καὶ ἄλλοις τοῖς εὐλαβεστάτοις ἐπισκόποις [Διοσκουρίῳ] Διοσκόρῳ καὶ Παύλῳ τὸ περιμάχητον ἦν. ἐν αἰτίᾳ γὰρ ἐπεποίητο τὸν Ἐρυθρίτην ὁ Δαρδανίτης ἐπιβουλότατα σκέψασθαι, ὅπως ἂν τὸ μὴ προσῆκον περιποιήσαιτο, καθοσιώσαντα μὲν τῷ Θεῷ τόπον ἀλλότριον, ἁρπάσαντα δὲ οὕτως τὴν τῆς εὐσεβείας ὑπόθεσιν, ἤδη χειρὶ βιαίᾳ προστῆναι τοῦ πανουργήματος. πρὸς ταῦτα ὁ εὐλαβέστατος Παῦλος ἐπεχείρησε μὲν ἀντιλογίας κομίσαι τινάς, ὅτι τε προκατειλήφει τὸν λόφον, καὶ ἐκκλησίᾳ παλαίτερον ἀπεδέδεικτο,

A iustum erit : auditio enim vita , & contumacia mors est. Idcircò non contrà manus attollunt , sed orant dumtaxat & obtestantur , ne parente viuo orphani esse cogantur. Ita enim conceptis verbis loquuntur : equidem iuuenem illum de tanta omnium beneuolentiâ ac studio , laudémne an beatum prædicem , nescio. Aut enim industriæ est, aut facultatis , aut gratiæ diuinæ , vsque eò demereri sibi , ac conciliare homines , vt sine ipso vitam sibi minimè vitalem existiment. Quamobrem statues pro tua humanitate humaniora de B illo : mihi verò in vrbem redeundum est , ibi eius quòd mihi faciendum sit, tesseram , ac signum præstolabor. Iam verò quæ totis quatuor diebus gessi , quibus sum in his locis versatus , neque illum quicquam ignorabis qua sit à me ratione dispositum : nil mirum tibi sit , si quando eundem laudare, ac vituperare mihi contigerit : nam non iisdem de caussis vtrumque instituitur : res ipsæ laudantur ac vituperantur : animorum Christianos inter fratres dissensionem nunquam oriri quidem bonum est , nec minus bonum, C posteaquàm exorta fuerit , paulò post restingui , ob eas res litteris ad me missis obtemperans , de eo iudicare sustinui , & eiusmodi controuersiæ aures adhibui. In Hydrace vico locus quidem est editissima in parte quod olim castellum erat munitissimum , quo terræ motu disiecto , nihil præter desertas parietinas superfuit : & hactenus quidem aliquot sui partibus ad vtriusque vsus accommodatum fuerat , sed ingruentia belli tempora , quandoquidem muro cingi , & ad priscum vsum reuocari potest , faciunt vt possessoribus suis ingentis admodum pretij esse videatur: D De hoc inter fratres nostros , sed & alios religiosissimos Episcopos Dioscorum , & Paulum summa erat contentio , Erythritem Dardanites insimulabat per insidias ab eo tentatum , quemadmodum quòd sua nihil referret sibi vindicaret , dum alienum locum Deo consecrat , & postquam hunc in modum pietatis speciem arripuit , deinceps violenta manu callidum scelus esse defensum. Ad hæc religiosissimus Paulus , nonnihil quidem allegare conatus est , se cliuum prius occupasse, fuisse iam olim Ecclesiam antequam

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

religiosissimus Dioscorus locum illum A possideret. Verùm si non segniùs quisquam, & oscitantiùs inquirat, citò veritas comprobatur. Quemadmodum tum vanum illud omne, ac futile apparuit. Quod enim hostili excursione compulsi homines necessario ibi precati sunt, non ea res locum illum consecrat. Alioqui montes omnes, omnésque conualles Ecclésiæ sint, nec vllum erit castellum, quod non publicum esse possit. In quibus omnibus, cùm prædabundi hostes excurrunt, preces & sacra mysteria fieri solent, sed & ædes omnes quæ impiis Arij temporibus preces, ac sacra mysteria receperunt. Quæ sunt nihilominus pri- B uatæ: fugæ enim & illud instar habet, quando & illi hostes sunt. At ego tempus exeitatæ Ecclesiæ quærebam, si vltro condonantibus, si permittentibus iis ad quos pertineret, factum istud esset. Contraria iis omnia euidenter demonstrata sunt. Episcoporum alius postulabat, alius cuius ea possessio erat denegabat. Tandem abiit is claues secum deferens, aperit ille, & mensam importans ædiculam paruam vasto in colle consecrat. Sed nusquam nisi transuerso toto colle ad ædiculam patet aditus, callidéque istud excogitatum erat quo sibi cli- C uum vsurparet: mihi verò acerba res illa comprimis videbatur, & omni acerbitate maior, nec æquo id animo ferendum cùm sacrarum legum gratia, tum propter Reipublicæ iura: permisceri enim simul omnia siue noua iniretur publicandi lex & ratio, siue ex sanctissimis, ac religiosissimis rebus, de exsecrandis ac detestabilibus iudicium ferretur, vt oratio & sacra mensa & mysticum velum violentæ incursionis instrumenta redderentur, déque iis rebus iam in vrbe decretum erat, ita enim forte euenerat vt paucis exceptis Ptolemaïdem Episcopi omnes con- D uenirent, vt de ciuili quadam re deliberarent. Qui cùm istud audiuissent, factum ipsum detestabantur, mutare tamen non audebant. Ego verò superstitionem à pietate separari volo, est enim illa vitium virtutis larua circundatum, quod philosophia tertium genus impietatis esse deprehendit. Nihil ergo sacrum, nihil sanctum arbitror, quod neque iustè, neque legitimè sit susceptum: neque id mihi occurrebat, vt dictam illam dedicationem perhorrescerem, neque enim Christianorum res eiusmodi sunt,

A πρὶν τὸν εὐλαβέστατον Διόσκορον ἀποδημῆσαι τοῦ χωρίου δεσπότην. ἀλλ' ἂν μὴ μαλακώτερόν τις ἅπτηται τῆς ζητήσεως, ταχὺ τἀληθὲς εὔδηλον γίνεται· ὥσπερ οὖν ἅπαν τοῦτο πέφηνεν ἕωλον· ὃ γὰρ ἐν ἐπιδρομῇ ποτε πολεμίων ἐκεῖ συμφυγόντας ἀνθρώπους, εὔξασθαι ἠνάγκασε, τοῦτο τὸν τόπον οὐ καθιεροῖ. ἢ πάντα μὲν ὄρη, πᾶσαι δὲ φάραγγες ἐκκλησίαι, καὶ οὐδὲν ὅ,τι φρούριον ἐκφεύγει τὸ δημόσιον εἶναι· ἐν οἷς ἅπασιν ὅταν οἱ πολέμιοι παρανομεύσωσιν, εὐχαὶ καὶ μυστήρια γίνονται. οἰκίαι δὲ ὅσαι κατὰ τοὺς ἀθέους τοὺς ἐξ Α-
B ρείου καιροὺς, εὐχὰς ἐδέξαντο καὶ μυστήρια. κ. καιρόν.
ἀλλ' οὐδὲ ἧττόν εἰσιν ἰδιωτίδες· φυγὴ γὰρ κἀκεῖνο. καὶ γὰρ ἐκεῖνοι πολέμιοι. ἀλλ' ἐγὼ τὸν καιρὸν ἐζήτουν τῆς καθιδρύσεως, εἰ παρὰ διδόντων, εἰ παρὰ συγχωρούντων τῶν κυρίων ἐγένετο. ἀπεδείχθη λαμπρῶς ἅπαντα τἀναντία· τῶν ἐπισκόπων ὁ μὲν ᾔτει λαβεῖν, ὁ δὲ οὐκ ἐδίδου κύριος ὤν. τέλος ὁ μὲν ᾤχετο τὰς κλεῖς ἔχων· ὁ δὲ ἀνοίγνυσι, καὶ τράπεζαν εἰσ- κ. εἰσφρήσας
φορήσας καθιεροῖ μικρὸν οἰκίσκον ἐν λόφῳ πλατεῖ. ἀλλ' οὐ γάρ ἐστι παριτητέον ἐπὶ τὸν
C οἰκίσκον, εἰ μὴ δι' ὁλοκλήρου τοῦ πλάτους. ὥστε τέχνη τις ἦν, ἐφ' ᾧ τὸν λόφον περιποιήσασθαι. ἐδόκει δή μοι τὸ πρᾶγμα δεινὸν εἶναι, καὶ πέρα δεινοῦ, καὶ ἀγανακτητέον, ὁμοῦ μὲν ὑπὲρ τῶν νόμων τῶν ἱερῶν, ὁμοῦ δὲ καὶ ὑπὲρ τῶν δικαίων τῆς πολιτείας· συγχυθῆναι γὰρ ἅμα πάντα, τοῦτο μὲν, εἰ τρόπος καὶ νόμος ἐπινοηθείη δημεύσεως· τοῦτο δὲ, εἰ διὰ τῶν παναγεστάτων τὰ ἐναγέστατα κρίνοιτο, εὐχὴ, καὶ τράπεζα, καὶ καταπέτασμα μυστικὸν, ἐφόδου βιαίας ὄργανα· καὶ περὶ τούτων ἤδη καὶ ἐν ἄστει διέγνωστο· καὶ συνέτυχε γὰρ οὕτως, ὥστε πρὸ ὀλί-
D γου ἅπαντας ἐπισκόπους ἐν τῇ Πτολεμαΐδι ποτε συνδεδραμηκέναι κατά τινα σκέψιν πολιτικήν· ἀκροώμενοι δὲ, τὴν μὲν πρᾶξιν ἐμίσουν· τὴν δὲ μετάθεσιν ὤκνουν. ἐγὼ δὲ τὴν δεισι- γρ. μετάστασιν
δαιμονίαν ἀξιῶ διαστέλλειν ἀπὸ τῆς εὐσεβείας. κακία γάρ ἐστιν ἀρετῆς προσωπεῖον περικειμένη. ἣν φιλοσοφία τρίτον οὖσαν τῆς ἀθεΐας εἶδος ἐφώρασεν. οὐδὲν οὖν ἱερὸν, οὐδὲ ὅσιον ἥγημαι, τὸ μὴ δικαίως τε καὶ ὁσίως γε- γρ. γινόμενον
νόμενον· οὔκουν ἐπῄει μοι πεφρικέναι τὴν λεγομένην καθίδρυσιν. οὐ γάρ ἐστι τὰ Χριστια-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νοῦν, ὡς ἐπάναγκες εἶναι ταῖς τελεστικαῖς ὕλαις τε καὶ φωναῖς, ὥσπερ ὁλκαῖς τισὶ φυσικαῖς ἀκολουθῆσαι τὸ θεῖον, ὅπερ ἂν πάθοι πνεῦμα ἐγκόσμιον, ἀλλ᾽ ὥστε πρ[illegible] ταῖς ἀπαθέσι καὶ ταῖς οἰκείαις τῷ θεῷ διαθέσεσιν. ὅπου δὲ ὀργὴ καὶ θυμός, "ἄγνωμον καὶ δύσερι πάθος, ἡγεῖται τῆς πράξεως, πῶς ἐκεῖ τὸ πνεῦμα τὸ ἅγιον παραγίνεται, ὧν ἐπεισελθόντων, κἂν συμβῇ παρεγενηκὸς, ἐξοικίζεται; ἐγὼ μὲν οὖν εἶχον ὡς ἀποφαινούμενος τὴν μετάθεσιν· ὁ δὲ καὶ ἐξηλέγχετο καὶ πρότερον ὑποσχόμενος αὐτὴν, ὅρκου τὴν ὑπόσχεσιν βεβαιώσαντος. τούτου λαβόμενος ἀσμένως, ἤδη τὴν ἀπόφασιν ἀπεδίδρασκον· ἀλλ᾽ ἐκεῖνον αὐτὸν ἀπέφαινον ἑαυτοῦ δικαστὴν, "καὶ τὸν οἰκεῖον ὅρκον ἐκβιβάζειν ἠνάγκαζον. ἀναδυομένου δὲ καὶ διατρίβοντος, ἐπεὶ τῆς ἐκκλησιαστικῆς ἕνεκα σκέψεως αὐτόθι παρεγενόμην, ἐδέησεν ἐπιβαλεῖν ταῖς ὄψεις τῷ τόπῳ, καὶ ἐπιδιαγνῶναι τὰ τῆς ὑποθέσεως. καὶ πάλιν πολὺς ὅμιλος ἐπισκόπων ἐκ τῆς περιοικίδος, ἄλλου κατ᾽ ἄλλην χρείαν συνειλεγμένου· ἐφ᾽ ὧν ἁπάντων κἀμοῦ, οἵ τε ὅροι δεδείκνυντο τὴν τοῦ Δαρδανίτου μερίδα σαφῶς ἀποτεμνόμενοι, καὶ μαρτυρία γερόντων, καὶ συγκατάθεσις τῶν τέως ἀντιλεγόντων τὸν εὐλαβέστατον Διόσκορον τοῦ χωρίου δεσπότην ἀπέφηνεν. ἐγκειμένου δὲ τοῦ ἀδελφοῦ Διοσκόρου, γέγονεν ἀνάγκη καὶ τὸ "γραμματεῖον τὸ λοίδορον εἰς κοινὸν ἅπασιν ἀναγνωσθῆναι, ὃ πρὸς τὴν ἁγιότητα τὴν σὴν ὁ εὐλαβέστατος Παῦλος ἐπεποίητο ἐν ἐπιστολῆς εἴδει, κωμῳδίαν ἐπὶ τὸν ἀδελφὸν ἀνασεσυρμένην καὶ πλημμελῆ, ἀφ᾽ ἧς αἰσχύνεσθαι παρῆν, οὐ τῷ κακῶς ἀκούσαντι, τῷ δὲ κακῶς ἀγορεύσαντι. ἀλλ᾽ ἔστιν ἄρα καὶ τοῦτο δεύτερον ἀγαθὸν, τὸ αἰσχύνεσθαι. τὸ μὲν γὰρ ἀναμάρτητον, θείας ἄντικρύς ἐστι καὶ μοίρας καὶ φύσεως· τὸ δὲ ἐπὶ τοῖς οὐκ εὖ γινομένοις ἐρύθημα, σωφροσύνης τις ἂν ἀπεφήνατο. ἅπερ ὑποστὰς ἐπὶ τοῦ παρόντος πράγματος ὁ εὐλαβέστατος Παῦλος, ἁπάσης ῥητορείας ἰσχυροτέραν ἀπέφηνε τὴν ἐξ οἰκείας γνώμης μετάνοιαν. τὸ γὰρ ὁμολογῆσαί τε ἁμαρτεῖν, καὶ φανῆναι τὴν αἰσχρὰν λύπην τὴν ὡς ἐπὶ κακοῖς αὐθαιρέτοις λυπούμενον, πάντας ἡμᾶς εὔνοις αὐτῷ καὶ συνδιατεθειμένοις παρέσχετο. καὶ τὸ μὲν ἡμέτερον οὐ θαυμαστὸν· ἀλλ᾽ ὁ εὐλαβέστατος

ἀγνώμων. — de No- — γραμμέ-

A vt sacris illis ac ceremonialibus elementis, aut vocibus, tanquam naturali quadam attrahendi vi necessariò adductum numen sequatur, quòd mundano spiritui contingeret, sed ita vt ad motibus & perturbationibus vacuam, & Deo quàm coniunctissimam mentis dispositionem accedat. At vbi ira, & furor inconsultus, & peruicax animi motus ad agendum præit, quî fieri potest vt ei rei Spiritus sanctus intersit, cùm his morbis subeuntibus tametsi priùs habitare cœperit, abscedat? Quamobrem sic eram paratus vt mutandum illud omne pronunciarem: ille autem & anteà mutationem illam recepisse se & iureiurando confirmasse manifestè conuincebatur: quo libenter arrepto, iam sententiam declinabam, atque illum sibi iudicem constituebam, suúmque ipsum iusiurandum exequi compellebam. Tergiuersante autem illo, ac protrahente, cùm Ecclesiastici negotij causâ eo me contulissem, necesse habui in rem præsentem venire, ibique controuersian disceptare. Rursus autem ex finitimis locis Episcoporum turba collecta concurrebat, alio aliis de causis conueniente. quibus omnibus præsentibus, meque ipso, limites ostendebantur Dardanitæ partem manifestè discriminantes. Ad hæc Seniorum testimonia, & consensus eorum, qui hactenus repugnabant, Religiosissimum Dioscorum loci illius dominum declararunt. Ac instante Dioscoro fratre necesse fuit libellum infamem omnibus in commune legi, quem ad sanctitatem tuam religiosissimus Paulus Epistolæ nomine conscripserat fœdam ac petulantem aduersùs fratrem comœdiam, ex qua quidem non in eum qui malè audiret, sed qui malè diceret pudor redundaret. Sed est sanè secundum in bonis pudore affici: vacare enim peccato diuinæ prorsus & conditionis est & naturæ, ruborem verò illum qui ob malefacta obrepit, modestiæ esse aliquis dixerit. Quæ cùm in re præsenti religiosissimus Paulus suscepisset, oratorio omni artificio firmiorem animi sui sententia pœnitentiam declarauit. Quod enim peccasse fateretur, quódque turpem dolorem tanquam de voluntaria noxa conceperat, nos ei omnes beneuolos & eodem ferè modo affectos præstitit. Ac nostrum quidem hac in re factum minus admirandum est. Sed religiosissi-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

mus Episcopus Dioscorus, postquàm eum, qui peruicaciùs hactenus contenderat, moderatiorem vidit, sententiis iudicum superior, voluntate superatus est, & in religiosissimi Pauli arbitrio relictum vtrum vellet, præstaret, collémq; retineret, an redderet: egregio Dioscoro, multas optiones admittente, quarum ne vnam quidem ante huius pœnitentiam audire sustinuisset. Nam & solum cliuum venditurum se dixit, & totam simul hanc possessionem, cum alia re commutaturum, aliáque quamplurima excogitauit, vias ille ac rationes abundè suppeditans, quibus qui eas proponere occuparet, alterum sibi demereretur. At is cæteras conditiones aspernabatur: cupiebat verò in eandem ipse venditionem succedere, qui fratri Dioscoro facta erat, eiúsque loco totius possessionis dominus pari omninò iure constitui. Factus itaque est, præter collem, etiam vinearum & oliuetorum dominus: illi autem magnificentia possessionis istius loco maior minoris loco possessio relicta est: communéq; vtriusque bonum, fraterna charitas, & intra Euangelicas leges permansio, quæ præcepta omnia charitatis potissimum affectu contineri & cohiberi pronunciant. Vnum illud memoriæ tradere oportebat, fratrúmque duntaxat reconciliationem, atque concordiam exponere; quæ interuenerant præterire, si Episcopus quisquam in aliquo crimine sit deprehensus. Nam quæ fieri minimè decebat, ea obliuione deleri consultissimum est. Verùm ne in omnibus inferiores partes haberet Dioscorus, hæc eius postulationi dedi, vt omnia accuratè, atque ex ordine narrarem, ne quid pietatem tuam lateat, quam non parui referre, sed maximi momenti esse arbitrabatur, ex euentu ipso persuasum habere, non iniustis de rebus hanc se contentionem suscepisse. Ego verò cùm hominem cæteris in rebus laudo, valdè enim meis moribus conuenit, tùm præcipuè erga sedem illam reuerentiæ nomine complector. Ac per charissimum mihi tuum, & venerandum caput, plurimum illi debere arbitror Alexandrinos pauperes, quorum agros procurat, repentè vbique se conferens, & ex rebus desperatis prouentus colligens, & ad occasiones temporum præsens. Itaque quæ ad Episcoporum dissentiones attinebant, hunc exitum habuerunt. Mandatum hoc insuper mihi erat, vt & Iasonem audirem, qui multa & indigna

A ἐπίσκοπος Διόσκορος, ἐπειδὴ τὸν τέως διαφιλοτιμούμενον ταπεινότερον ἐθεάσατο, τῇ ψήφῳ κρατῶν, ἡττήθη τῇ γνώμῃ, καὶ γέγονεν ἐπὶ τῷ εὐλαβεστάτῳ Παύλῳ, ποιεῖν ὁπότερα βούλοιτο, κατέχειν, ἢ παραδοῦναι τὸν λόφον. τοῦ θαυμασίου Διοσκόρου πολλὰς ἐνδόντος αἱρέσεις, ὧν οὐδεμιᾶς ἂν "ἀκοῦσαι πρὸ τῆς ἐκείνου μετανοίας ἠνέσχετο. (χ. ἀκῶσαι.) καὶ γὰρ ἀποδόσθαι μόνον τὸν λόφον, καὶ ἀμοιβὴν δοῦναι πᾶν ἅμα τὸ κτῆμα, καὶ ἄλλα πολλὰ προσεξεῦρεν, ἐπιδαψιλευόμενος αὐτῷ πόρους, ἀφ' ὧν ἄν τις προλήψει B χαρίσαιτο. ὁ δὲ ταῦτα μὲν ὤκνει· ἠξίου δὲ "ὑπεισελθεῖν αὐτὸς τὴν εἰς τὸν ἀδελφὸν (χ. ὑπεισελθ.) Διόσκορον γενομένην ὠνὴν, καὶ ἐπὶ τοῖς αὐτοῖς ἀντικαταστῆναι δεσπότης τοῦ κτήματος. ἐγένετο πρὸς τῷ λόφῳ, καὶ τῶν ἀμπελώνων καὶ τῶν ἐλαιώνων ἐγκρατής· τῷ δὲ ἡ μεγαλοφροσύνη κτῆμα ἀντὶ κτήματος, μεῖζον ἀντ' ἐλάττονος περιγέγονε· κοινὸν ἀμφοῖν ἀγαθὸν, ἡ φιλαδελφία, καὶ τὸ εἴσω γενέσθαι τῶν νόμων εὐαγγελικῶν, οἳ συνεκτικωτάτην τῶν ἐντολῶν τὴν ἀγαπητικὴν διάθεσιν ἀπεφήναντο. C ἓν τοῦτο μόνον ἔδει μνήμης ἀξιῶσαι μηνύσοντα τῶν ἀδελφῶν τὰς συμβάσεις καὶ τὴν ὁμόνοιαν· τὰ μέσω δὲ παραλιπεῖν, εἴ τις ἐπίσκοπος ὢν ἥλω τι πταίσας. ἃ γὰρ οὐκ ἔδει πεπρᾶχθαι, ταῦτα καλῶς ἔχει διδόναι τῇ λήθῃ. ἀλλ' ἵνα μὴ πάντα ἐκ πάντων ὁ ἀδελφὸς Διόσκορος ἀποτυγχάνῃ, ταῖς αἰτήσεσιν αὐτοῦ δέδωκα τὸ πᾶσιν ἀκριβῶς ἐπεξελθεῖν, ἵνα μηδὲν ἀγνοήσειεν ἡ σὴ θεοσέβεια, ὃ οὐ παρὰ φαῦλον, ἀλλ' ἀντὶ παντὸς ἐποιεῖτο πεισθῆναι διὰ τῶν ἀποβαινόντων, ὅτι μὴ ἐπ' ἀδίκοις D ἐφιλονείκησε. κἀγὼ τὸν ἄνδρα τά τε ἄλλα ἐπαινῶ· πάνυ γάρ μοι πρὸς τρόπου· καὶ τῆς εἰς τὸν θρόνον ἐκεῖνον αἰδοῦς ὑπεράγαμαι. καὶ ναὶ μὰ τὴν φίλην σοῦ καὶ σεβασμίαν κεφαλὴν, πολλὴν οἶμαι χάριν ὀφείλειν αὐτῷ τοὺς ἐν Ἀλεξανδρείᾳ συμπτώχους, ὧν τοὺς ἀγροὺς ἐκπονεῖ, ταχὺ πανταχοῦ γινόμενος, καὶ ἐξ ἀπόρων φόρους ἐκλέγων, καὶ τοῖς καιροῖς παριστάμενος, τὰ μὲν περὶ τὴν τῶν ἐπισκόπων στάσιν οὕτως ἐχώρησεν· ἐπίταγμα δὲ ἦν, ὅπως ἀκούσομαι καὶ Ἰάσονος, ὃς ἔφη πολλὰ καὶ ἄδικα παρὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

περὶ συμπρεσβυτέρου παθεῖν. οὕτως οὖν ἔχει κἀκεῖνα. A Λαμπωνιανὸν Ἰάσων εἷλεν ἀδικίας· ὁ δὲ φθάσας ὁμολογίᾳ τὸν ἔλεγχον, ἔχει τὴν δίκην, ἐκκλησιαστικῶν συνόδων εἰργόμενος. καί τοι καὶ δάκρυον ἐκ μετανοίας ἀφῆκε, καὶ δῆμος ἱκέτης αὐτὸν ἐξῃτήσατο. ἀλλ' ἐγὼ τοῖς δεδογμένοις ἐνεκαρτέρησα· τοῦ δὲ λῦσαι τὴν αὐθεντίαν, εἰς τὴν ἱερατικὴν καθέδραν ἀνέπεμψα. τοσοῦτον οὖν ἐμαυτῷ συνεχώρησα, εἰ περιστηλάσοιτε Λαμπωνιανῷ τὸ χρεὼν καὶ ἡ κυρία παρεῖναι δόξειε, πᾶσιν ἐφῆκα τοῖς τότε παρεσομένοις πρεσβυτέροις, κοινωνίας αὐτῷ μεταδοῦναι. μηδεὶς γὰρ ἀποθάνοι B δεδεμένος ἐμοί· ἀναρρωσθεὶς δέ, πάλιν ἐπὶ τοῖς αὐτοῖς ὑπόδικος ἔστω, καὶ παρὰ τῆς θεσπεσίας σοῦ καὶ φιλανθρώπου ψυχῆς περιμενέτω τῆς συγγνώμης τὸ σύνθημα. οὐδὲ γὰρ οὐδὲ Ἰάσων πάντα ἀναίτιος ἑαυτῷ, προπετὴς ἄνθρωπος γλῶτταν, ἐνέτυχεν ἀνδρὶ προπετεστέρῳ τὴν χεῖρα· καὶ τοῦτο δὴ τὸ λεγόμενον, κουφοτάτου πράγματος λόγου βαρυτάτην τὴν τιμωρίαν ἐξέτισε. καὶ περὶ τῶν ἐγκλημάτων ἃ διείληφα, ταῦτα Λαμπωνιανὸς ἔχειν ὁμολογεῖ, καὶ οὐδὲν ἀξιοῖ παρὰ τῆς ναυαγίας ὠφελεῖσθαι, τῆς ποιησάσης ἀφανὲς τὸ συμβόλαιον· C ἀλλὰ καιρὸν αἰτεῖ, τοὺς καρποὺς ὠνίους θέσθαι· καὶ ἔφη πάντων ἀμελήσας, ἑνὶ τούτῳ προσέξειν τὸν νοῦν, ὡς ἂν τὰ πτωχικὰ καταθεῖτο χρήματα· νομίσματα δὲ ἦν ἑπτὰ καὶ πεντήκοντα πρὸς τοῖς ἑκατόν. ἀνοιστέον δὲ καὶ περὶ τῶνδε τῶν γινομένων παρ' ἡμῖν, ἵνα γινόμενα" παύσηται. (γ. γνώσητε) ἱερεῖς ἱερέας παρανόμων διώκουσιν· εἰ μὲν ἐπὶ ψευδέσιν, οὔπω λέγω· πάντως δὲ μετ' ἐπιβούλου τῆς προαιρέσεως. οὐ γὰρ ἵνα λάβωσι δίκας, ἀλλ' ἵνα τοῖς ἄρχουσι τῶν στρατευμάτων ἄδικα κέρδη μνηστεύσωσιν· ἐπεὶ D δὲ τοὺς ἐμοὺς ὤμους ἀναβαίνειν ἀνάγκη τὰ πάντων φορτία, διὸ δέομαι γράφε καὶ διαγάττου μηδενὶ μηδὲν ἐξεῖναι τοιοῦτο ποιεῖν. καὶ γὰρ ἐμοὶ χαριῇ καὶ τοῖς ἀπραγμονεστέροις, καὶ κακῶς πάσχουσιν ἀμύνεις, καὶ πολὺ πλέον εὖ πεποιηκὼς ἔσῃ τοὺς ἀδικοῦντας αὐτούς· εἴπερ μεῖζον ἀγαθόν, τὸ μείζονος ἀπηλλάχθαι κακοῦ. κακὸν δὲ μεῖζον τοῦ ἀδικεῖσθαι τὸ ἀδικεῖν· τὸ μὲν γάρ, ἴδιόν ἐστι κακόν· τὸ δέ, ἀλλότριον. ἀλλ' οὔτ' ἐγὼ κατεμήνυσα τίνες εἰσί,

à presbytero collega passum se esse aiebat. Hæc igitur eo modo se habent. Lamponianum Iason iniuriarum conuicit: ille conuictionem confessione præueniens, pœnas luit, ab Ecclesiasticis conuentibus separatus. Quamquam ex animi pœnitentia illachrymauit, & supplex eum populus condonari sibi petiit, sed ego in iis, quæ semel decreueram perseuerauí; soluendi autem ius, atque authoritatem ad Pontificiam sedem reieci. Tantulum hoc ergo mihi sumpsi, si Lamponiano fatalis necessitas immineret, & præstituta mortis dies adesse videretur: tum omnibus qui eo tempore interessent Presbyteris concessi, vt eum in communionem Ecclesiæ reciperent. Nullus enim quantum in me erit Ecclesiasticis vinculis obstrictus moriatur. Sin conualuerit, rursus iisdem pœnis teneatur, atque à diuina & humanissima anima tua veniæ tesseram expectet. Neque enim Iason omnino culpa vacat, homo lingua promptus, in hominem incidit manu promptiorem, &, quod dici solet, leuissimæ rei, sermonis grauissimas pœnas persoluit. Quòd verò ad pecunias attinet, de quibus ante egi, eas se Lamponianus habere fatetur, nec quicquam se naufragio subleuari cupit, quo contractus periit: tempus duntaxat postulat distrahendis fructibus opportunum, se séque posthabitis omnibus id vnum laboraturum recipit, vt pauperum pecunias persoluat. Numi erant septem & quinquaginta supra centenos. Operæ pretium est de iis etiam referre, quæ apud nos geruntur, vt fieri deinceps desinant. Sacerdotes à sacerdotibus maleficiorum arcessuntur, falsóne, nondum dico, omnino tamen malo & fraudulento animo. Non enim persequendarum pœnarum gratia, sed vt exercituum præfectis iniusta lucra concilient. Necesse est autem omnium onera humeris meis imponi. Quamobrem scribe obsecro, & edicto præcipe ne cui simile quicquam facere liceat. Nam & magno me beneficio deuinxeris, & eos mecum qui tranquilliori animo sunt, & oppressis subuenies, & multo ampliori beneficio eos ipsos affeceris, qui iniuriam faciunt, cùm maius bonum sit maiore à malo liberari, maius autem malum est inferre quàm perpeti iniuriam: illud enim proprium malum est, hoc alienum. Verùm ego quinam ij sint significare nolui,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

neque tu si noris nominatim quemquam redargue; ne in fratrum offensionem incidam. Quos etsi coram priuatim vehementer increpaui, Deus condonabit: sed rem ipsam dumtaxat in iis quas ad me dabis litteris odisse videare. Inueniam enim, modò adsit Deus, quemadmodum sine cuiusquam offensione non vltrà se turpitudo, atque infamia nostra proferat: absit enim vt Ecclesiæ infamiam dicam. Vnum adhuc constituendum superest, statimque scribendi finem faciam. Vagantur quidam apud nos Vacantiui (feres enim me paululum barbarè loquentem,) vt vsitata in Rep. voce nonnullorum nequitiam expressiùs declarem. hi certam quidem nullam sedem habere volunt, qui quam habebant antea reliquerunt, non calamitate expulsi, sed sponte locum mutantes: honoribus porro fruuntur, eô vagantes, vbi maius compendium est. Mihi verò, Reuerende pater, ita videtur, oportere iis, qui suas Ecclesias deseruerint, omni Ecclesia interdici, & priusquam illuc redeuntes se receperint, neminem eos ad altare admittere, neque ad primas sedes inuitare, sed vulgares illos in plebeiis subselliis relinquere, cùm in Ecclesiam irruperint; citò enim referent se, vbi de honore periclitati fuerint, quem capere vbiuis malunt, quam ibi, vbi conuenit, malent autem illic saltem, quàm nusquam omninò percipere. Ac publicè quidem ita cum iis agendum erit, tanquam cum priuatis, si augustissimæ tuæ sedi ita visum fuerit: priuatim verò, ac domi quemadmodum vti iis oportebit, tunc sciemus, cùm à pietate tua responsum allatum erit, de ea quæstione quam nuper de Alexandro proposui, qui genere Cyrenensis est, Ecclesiæ autem cuiusdam Bithynorum Episcopus fuit, qua per seditionem pulsus, cùm redire liberum sit; nequaquam reuertitur, sed apud nos commoratur. De ea re ad sanctitatem tuam scripsi, omnia diligenter exponens, quæ illi accidissent, tuámque sententiam requirens, quo in numero haberi hominem oporteret. sed quoniam rescriptum ad me nullum affertur, exciderint ne, an ad tuum vsque felix caput peruenerint litteræ dubitans; de ea re cum clarissimo viro Dioscoro Episcopo sum collocutus, &

A μήτ' αὐτὸς εἰ καὶ μάθοις ἐπ' ὀνόμασιν ἐξελέγξῃς τινά, ἵνα μὴ ἀπεχθοίμην ἀδελφοῖς, οἷς εἰ καὶ κατὰ πρόσωπον ἰδίᾳ λίαν ἐπιτετίμηκα, συγχωρήσει Θεός. ἀλλὰ φαίνου τὸ πρᾶγμα μόνον μισῶν ἐν τοῖς πρὸς ἐμὲ γράμμασιν. εἴσομαι γὰρ σὺν Θεῷ μετὰ τοῦ πᾶσιν ἀλύπου τὸ μηκέτι προελθεῖν περαιτέρω τὴν ἀσχημοσύνην ἡμῶν· μὴ γὰρ εἴποιμι τῆς ἐκκλησίας. οἰκονομήσασθαι δὲ ἓν ἔτι λοιπὸν, καὶ λόγου * πεπαύσομαι· περινοστοῦσί τινες βασκαντίβοι παρ' ἡμῖν. ἀνέξῃ γάρ μου μικρὸν ὑποβαρβαρίσαντος, ἵνα διὰ τῆς συνηθεστέρας τῇ γ. παύσομαι.
B πολιτείᾳ φωνῆς τὴν ἐνίων κακίαν ἐμφαντικώτερον παραστήσαιμι. οὗτοι καθέδραν μὲν ἀποδεδειγμένην ἔχειν οὐ βούλονται· οἵ γε τὴν οὖσαν ἀπολελοίπασι, οὐ κατὰ συμφορὰν, ἀλλ' αὐθαίρετοι μετανάσται γινόμενοι. καρποῦνται δὲ τὰς τιμὰς, ἐκεῖ περινοστοῦντες, ὅπου κερδαλεώτερον. ἐμοὶ δὲ δοκεῖ, πάτερ σεβασμιώτατε, χρῆναι τούτοις, ὅσοι τὰς οἰκείας ἐκκλησίας ἀπείπαντο, πᾶσαν ἐκκλησίαν ἀπείπασθαι· καὶ πρὶν ἂν ἀπελθόντες * ἐκεῖ καταστήσονται, μηδένα δέχεσθαι θυσιαστηρίῳ, μηδὲ εἰς προεδρίαν καλεῖν· ἀλλὰ * περιορᾶν ἀγελαίους γ. ἐκεῖσε
C ἐν ταῖς δημοτικαῖς καθέδραις, ὅταν εἰς ἐκκλησίαν ἐμβάλλωσι. ταχὺ γὰρ ἂν ἐπανέλθοιεν, εἰ περὶ τῆς τιμῆς κινδυνεύοιεν, ἧς ἀξιοῦσιν ἀπολαύειν ἀπανταχοῦ μᾶλλον, ἢ οὗ προσήκει. δέξαιντο γὰρ * ἐκεῖ μᾶλλον ἢ μηδαμοῦ· καὶ δημοσίᾳ μὲν, οὕτω προσοιστέον αὐτοῖς, ὡς αὐτίκα ἰδιώταις, ἂν καὶ τῷ σεμνοτάτῳ σου θρόνῳ συνδοκῇ· ἰδίᾳ δὲ καὶ κατ' οἶκον, εἰσόμεθά πως, ὅταν ἥκῃ παρὰ τῆς σῆς θεοσεβείας ἀπόκρισις ἐκείνης τῆς πεύσεως, ἣν πρῴην ἠρώτησα περὶ Ἀλεξάνδρου Κυρηναίου μὲν * ἀνδρὸς τὸ γ. πεςρᾶν. γ. ἂν ἐκ
D γένος, ἱερατευσαμένου δὲ ἔν τινι πόλει τῶν Βιθυνῶν· ἧς ἐκπεσὼν κατὰ δή τινα στάσιν, ἐξὸν ἐπανελθεῖν, οὐκ ἐπάνεισιν· ἀλλ' ἡμῖν ἐπιχωριάζει. περὶ τούτου γέγραφα πρὸς τὴν σὴν ὁσιότητα, πᾶσιν ἀκριβῶς ἐπεξελθὼν τοῖς περὶ αὐτὸν γενομένοις, καὶ γνώμην αἰτῶν οἷ τακτέον τὸν ἄνδρα. ἐπεὶ δὲ οὐδὲν ἥκει μοι περὶ τούτων ἀντίγραφον, ἀμφίβολος ὤν, πότερον διαπέπλωκεν ἢ διεκομίσθη τὰ γράμματα μέχρι τῆς μακαρίας σου κεφαλῆς, διείλεγμαι περὶ τούτου πρὸς τὸν θαυμάσιον Διόσκορον τὸν ἐπίσκοπον, γ. μὲν τὸ γένος.

καὶ τοῖς ταχυγράφοις τὰ ἀντίτυπα δοῦναι τῶν τότε γραφέντων ἐπέταξα, ἵνα εἰ μὴ τυγχάνεις δεξάμενος τὴν ἐπιστολήν, ἔχοις" παραναγνούς αἰτῆσαί τε, καὶ πρὸς ἐμὲ διαπέμψασθαι τὰ ἀμοιβαῖα. ἐπὶ πᾶσιν εὔχου περὶ ἐμοῦ· περὶ καταλελειμμένου γὰρ εὔξῃ, καὶ τοῖς πᾶσιν ἐρήμου, καὶ δεομένου συνεργείας τοιαύτης, ὡς αὐτὸς ὀκνῶ περὶ ἐμαυτοῦ φθέγξασθαι πρὸς Θεόν. ἅπαντα γὰρ εἰς τοὐναντίον μοι περιΐσταται, διὰ ῥιψοκίνδυνον τόλμαν, ὅτι ἄνθρωπος ἐν ἁμαρτίαις, ἀπότροφος ἐκκλησίας, ἀγωγὴν ἑτέραν ἠγμένος, θυσιαστηρίων ἡψάμην Θεοῦ.

A Amanuensibus earum, quas tum scripsi, exemplar dare iussi, vt si forte nondum epistolam acceperis, eo perlecto reposcere, & mutuas ad me reddere possis. Postremò Deum pro me deprecare, pro derelicto enim precaberis, atque omnibus destituto, taléque adiumentum desiderante, quoniam pro me ipse Deum compellare vereor. In contrarium enim mihi omnia recidunt ob proiectam temeritatem, quòd homo peccatis irretitus, extra Ecclesiam educatus, alio disciplinæ genere institutus, B ad altare Dei accedere non dubitauerim.

Τῷ αὐτῷ.

Eidem 68.

Ὧι δέδωκα τὴν ἐπιστολήν, στέλλεται μὲν ἐπὶ πρᾶξιν, ἣν οὐχ ὅσιον ἐμοὶ διηγήσασθαι· ὅτι δὲ ἀρετὴν ἐκ νέας ἀσκεῖ, τοῦτο καὶ θέμις εἰπεῖν, καὶ παντάπασιν ἀληθές. ὡς μὲν οὖν ἀγαθὸν ἄνδρα, τιμήσεις· ἣν δὲ ἐγράψατο γραφήν, οἰκείαν εἱμαρμένην πληρούτω. μηδὲ γὰρ δικαίου ποτὲ φόνου προσάψαιο.

Cui hanc epistolam commisi, negotij gerendi causa proficiscitur, quod narrare mihi nefas est. Quemadmodum verò virtutem iam inde à teneris colat, & dictu fas est & verissimum. Igitur tu eum, perinde ac virum probum honorabis; quàm verò accusationem suscepit, proprium fatum C expleat: nunquam enim quantumuis iustam necem attigeris.

Τῷ αὐτῷ.

Eidem 69.

Μέλει γάρ σοι μὲν καὶ Πενταπόλεως· ἐκείνου ἐντεύξῃ μὲν ταῖς δημοσίαις ἐπιστολαῖς. ὅτι δὲ κακὰ πλείω καὶ μείζω γέγονεν, ἢ φοβεῖ τὰ γράμματα, λέγοντος ἀκούσῃ τοῦ διακομιστοῦ. στέλλεται μὲν γὰρ ἐπὶ συμμαχίαν, ὡς ἐκεῖθεν αἰτήσων. τὰ δὲ τῶν πολεμίων οὐδὲ τὴν ἔξοδον αὐτοῦ περιέμεινεν· ἀλλ' ἔφθασαν ἐκχυθέντες ἀθρόον κατὰ τῆς χώρας· πάντα οἴχεται· πάντα ἀνῄρηται· αἱ πόλεις ἔτι λοιπαί, τὸ μέχρις οὗ γράφω, λοιπαί· τὸ δὲ εἰς τὴν ἐπιοῦσαν, Θεὸς οἶδε. πρὸς ταῦτα εὐχῶν δεῖ τῶν σῶν, εὐχῶν λέγω, τῶν ἐθάδων δυσωπεῖν τὸν Θεόν. Ὡς ἐγὼ πολλάκις ἤδη, καὶ τὰ ἴδια, καὶ τὰ κοινὰ μάτην ηὐξάμην. τί λέγω μάτην; εἰς τοὐναντίον μοι περιΐσταται· τοιοῦτόν εἰσιν αἱ ἁμαρτίαι, βαρεῖαί τε καὶ πολλαί.

Curam enim ipse curam Pentapoleos geris: igitur litteras publicas accipies. Sed plura, & maiora mala contigisse, quàm quorum litteræ formidinem intentant, de eo qui pertulerit audies. Etenim ad auxilia ille quidem contrahenda proficiscitur, quasi inde petiturus: at hostes ne digressum quidem illius expectarunt, sed prius repente tota regione diffusi sunt. Actum de omnibus est, periere funditus omnia, D solæ vrbes adhuc reliquæ atque ad hoc vsque tempus quo scribimus, reliquæ: quid sequenti die euenturum sit, nouit Deus. Ad hæc precibus tuis opus est, iis inquam precibus, quæ Deum flectere ac mitigare solent. Ego sæpius & priuatim & publicè frustra sum deprecatus, quid frustra dico? In contrarium mihi vertuntur omnia. Ea demum peccatorum & grauium & multorum conditio est.

Πρόκλῳ.

Proclo 70.

Πέρυσιν οὐχ ἥκει μοι γράμματα παρὰ τῆς

Nullæ mihi superiore anno de sacra

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

manu tua litteræ allatæ sunt. Et hoc inter alias quæ illo mihi tempore accidère difficultates, à me est numeratum: plurimum enim quamplurimis in rebus ego superiore anno mœrorem accepi, sed & proxima mihi hyems, qui vnus ad solatium restabat filiorum, eripuit. Ita enim erat in fatis, vt quamdiu vobiscum versarer, felici in statu essem, absens verò, aduersam fortunam experirer, detur mihi quæso solatium aliquod, paterni vt capitis tui litteras accipiam, omnium quæ è Thracia aduehuntur mercium pretiosissimam.

A ἱερᾶς σου χειρός. ἠρίθμησα καὶ τοῦτο μετὰ τῶν συντυχόντων μοι κατ' ἐκεῖνο καιροῦ δυσχερῶν. πολλὰ γὰρ ἐπὶ πολλῶν ἐγὼ πέρυσιν ἠνιάθην· ἀλλὰ καὶ ὁ τῆτες χειμὼν ὅ, τι μοι λοιπὸν ἦν εἰς τὴν ψυχαγωγίαν ἀφείλετο" τὸ παιδίον. εἵμαρτο γὰρ ἄρα, συνόντι μὲν ὑμῖν, εὐτυχεῖν. ἀπόντι δὲ, χαλεποῦ πειρᾶσθαι τοῦ δαίμονος. γενέσθω δή τις παραμυθία, τὸ δέξασθαι τῆς πατρικῆς σου κεφαλῆς γράμματα, τὸ τιμαλφέστατον τῶν ἀπὸ Θρᾴκης ἀγωγίμων. γ. παιδάριον.

Pylæmini 71.

Duplex de te nuntius affertur, ideò simul in Thraciam, simul in Isauros scribo, vt in vnas saltem litterarum incidas, vtrarúmque argumentum est & carissimo capiti Pylæmeni philosopho salutem plurimam dicere: idipsum enim est, velit, nolit: nam nunquam quod à natura insitum est peruincet, nec diuini scintillam ignis extinguet, sed aliquando praua institutione superior excitabit.

B

Πυλαιμένει.

Διττοὶ" λόγοι λέγονται περὶ σοῦ. τοιγαροῦν ὁμοῦ μὲν ἐπὶ Θρᾴκης, ὁμοῦ δὲ εἰς Ἰσαύρους γράφω, τοῦ περιτυχεῖν σε πάντως μιᾷ γέ τινι τῶν ἐπιστολῶν. ὑπόθεσις δὲ ἀμφοῖν, ἀσπάσασθαι τὴν φιλτάτην κεφαλὴν Πυλαιμένη τὸν φιλόσοφον· τοῦτο γάρ ἐστι κἂν βούληται, κἂν μὴ βούληται. οὐ γὰρ μήποτε" κατισχύσῃ τοῦ πεφυκότος, οὐδ' οὐ μὴ σβέσῃ τὸν σπινθῆρα τοῦ θείου πυρός· ἀλλ' ἀνάψει ποτὲ, τῆς μοχθηρᾶς ἀγωγῆς ὑπεραίω γενόμενος. γ. διπλοί. γ. κατισχύσει.

C

Episcopis 72.

Andronicus qui Ecclesiam fefellit, veracem illam experiatur. Nuper, nec nuper admodum in Deum deliquit, contumeliosus in homines fuit, quas ob ros nostram illi Ecclesiam intercludentes, litteras ad fraternitatem vestram dictauimus, quibus nostram de illo sententiam significabamus. harum missionem anteuertit supplicem se esse simulans, & pœnitentiam promittens, quam mihi omnes admittendam existimabant, me vno excepto. Mihi eum nosse penitus hominem videbar, qui facilè omnia & diceret & faceret, idque adeò expectabam & prædicebam, qualibet illum de causa ad ingenium esse rediturum, quem minus audacem futurum verissimile foret, quamdiu Ecclesiis adhæresceret multò magis, quàm si nihil ei suspectum relinqueretur. Propterea sic eram, vt in decreto persisterẽ, quasi & quod ad Deum attinet religiosius & quod ad ciues spectat vtilius consulens:

Τοῖς ἐπισκόποις.

Ἀνδρόνικος τὴν ἐκκλησίαν ψευσάμενος, ἀληθευούσης αὐτῆς πειραθήτω. πρῴην, οὔπω πάνυ πρῴην, ἥμαρτεν εἰς Θεόν· ἐξύβρισεν εἰς ἀνθρώπους· ἐφ' οἷς ἀποκλείσαντες αὐτῷ τὴν παρ' ἡμῖν ἐκκλησίαν, ὑπηγορεύσαμεν πρὸς τὴν ὑμετέραν ἀδελφότητα γράμματα, τὴν ἐπ' αὐτῷ γνώμην μηνύοντα. τούτων ἔφθασε τὴν" ἀποστολὴν, ἱκετείαν προσποιησάμενος, γ. ἐπιστο.
D καὶ μετάνοιαν ὑποσχόμενος, ἣν ἅπαντες ἠξίουν με δέχεσθαι, πλὴν ἐμοῦ. ἐγὼ γὰρ ἐδόκουν σαφῶς κατανενοηκέναι τὸν ἄνθρωπον, πάντα ῥᾷστον εἰπεῖν καὶ ποιῆσαι· καὶ προσεδεχόμην τε καὶ προὔλεγον, ὡς ἐκ τῆς τυχούσης αἰτίας εἰς τὴν φύσιν ἐπανελεύσεται· ὅν γε εἰκὸς ἀτολμότερον ἔσεσθαι προσκεχυφότα ταῖς ἐκκλησίαις πολὺ μᾶλλον, ἢ εἰ μηδὲν ὕποπτον αὐτῷ κατελείπετο. διὰ ταῦτα μὲν οἷος ἦν ἐγκαρτερῆσαι τῷ δόγματι, ὡς ἅμα τά τε πρὸς Θεὸν εὐσεβέστερον βουλευσάμενος, καὶ τὰ πρὸς τοὺς πολίτας ὠφελιμώτερον·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A ἀλλ' ἰταμὸν γὰρ ἀντισχεῖν ἕνα πολλοῖς, παλαιοτέροις νεώτερον, προσδεδαπανηκόσι τὸν βίον ἱερωσύνῃ τὸν οὔπω πρῴην ἡμμένον τοῦ πράγματος· εἶξα δεομένοις, μήπω παρεπέμψαι τὰ γράμματα, δέξασθαι δὲ ἐπὶ ῥητοῖς, ἐφ' ᾧ μηκέτι μανεῖται κατὰ τῶν ὁμοτίμων· ἐφ' ᾧ νοῦν ἀντὶ πάθους τοῦ βίου προστήσεται· κἂν μὲν, ἔφην, εἴσω μένῃς τῶν ὅρων οὓς ἔθου, νῦν τε παραιτούμεθά σου τῆς ἁμαρτίας, καὶ τοῦ λοιποῦ συνευξόμεθα· ἀναδυσαμένῳ δὲ τὰ τῆς ὁμολογίας ἡ δίκη μένει, καὶ εἰς ἅπαντα δημοσιευθήσεται, τοσοῦτον ἀνατεθεῖσα χρόνον, ὅσον ἐλέγξαι σου τὸν τρόπον ἀνεπανόρθωτον. B ἔδοξε ταῦτα, καὶ πεῖραν αὐτός τε ἔφη δώσειν καὶ ὑμεῖς λήψεσθαι· δέδωκε, καὶ εἰλήφαμεν· ἐπεδαψιλεύσατο ταῖς ὑποθέσεσι τῆς ἀποκηρύξεως. οὔπω τότε δήμευσις ἐτετόλμητο· οὔπω τότε φόνος ἐνεκεχείρητο. πόσοι διὰ τοῦτον ἀλῆται; πόσοι τῶν πρώην ἔτι κτηματικῶν, διὰ τοῦτον πτωχεύουσιν; ἀλλὰ μικρὰ ταῦτα πρὸς τὸν εὖ μὲν γεγονότα Μάγνον, κακῶς δὲ ἀπολόμενον. κεῖται παῖς ἀνδρὸς λαμπροτάτου, ἅπασι τοῖς οὖσι λελειτουργηκὼς τῇ πόλει, τῆς πρὸς ἕτερον φθόνου γεγονὼς παρανάλωμα. C ᾐτεῖτο χρυσίον, ὃ μὴ διδοὺς ἐτύπτετο· καὶ διδοὺς, ὅτι πόρον ἐξεῦρεν, ἐτύπτετο. τί γάρ; οὐ τοῖς αὐτοῦ φίλοις, ἀλλὰ τῷ στρατηγῷ τὸν ἀγρὸν" ἀπέδοτο. δακρύω μὲν ἐγὼ καὶ τὴν παρανομηθεῖσαν νεότητα, καὶ τὰς ἐπ' αὐτῇ ματαίας ἐλπίδας τῆς πόλεως· ἀλλὰ τῆς ἐκείνου νεότητος τὸ τῆς μητρὸς γῆρας ἐλεεινότερον, ὅτι δυοῖν ἀρρένων, ὁ μὲν οἴχεται φυγὰς δι' Ἀνδρόνικον, καὶ οὐδὲ οἶδεν οὗ γῆς· τὸν δὲ οἶδεν οὗ γῆς κατορώρυχε. φεῦ τῶν νόμων τῶν συναδικουμένων, παρ' οὓς ἄρχουσι τῆς ἑαυτῶν· παρ' οὓς ἐπ' ἀρχῇ δανείζονται χρήματα! D τούτων μὲν οὖν ἑτέρους ἐπιμελητὰς ὁ Θεὸς εἶναι βούλεται· ἡμῖν δὲ ἀπόχρη καθαρεύειν ἐν καθαροῖς, ἐὰν ἄρα δυνώμεθα μένειν εἴσω τῶν περιβόλων τῶν ἱερῶν, ἀποκλείειν τε τοῖς ἐναγέσι τὰ παναγέστατα.

" ἐπεδίδοτο, ἢ ἀνεδίδοτο ἢ ἀπεδίδοτο.

sed pluribus vnum obsistere peruicacis animi est, senioribus præsertim iuniorem, iisque qui ætatem suam in sacerdotio cōtriuerant, eum qui nondum ante hunc annum eam rem attigisset: cessi itaque deprecantibus, vt nondum litteras dimitterem, sed ea lege reciperem, vt in eiusdem secum conditionis homines non amplius sæuiret, vt vitæ suæ rationem perturbationis loco ducem præficeret. Ac si quidem, aiebam, intra eos limites maneas, quos tibi ipse apposuisti, non solùm nunc pro peccato tuo deprecabimur, sed de cætero vnà precabimur: sin sponsionem illam defugeris, pœna constituta remanet, & vbique publicabitur, tantùm dilata temporis, quantum ad hoc sufficiat, vt ingenium tuum emendationem nullam admittere comprobetur. Ita fieri placuit, eiúsque rei experimentum & daturum se ipse, & capturos nos esse dixit: dedit, & nos cepimus. Magnam ad excommunicationis caussas accessionem fecit. nondum tentata erat bonorum proscriptio, nondum cædes perpetrata: quàm multi per eum extorres facti, quàm multi antea locupletes per illum ad mendicitatem redacti! Sed leuia hæc si cum nobilissimi Magni, sed crudelissimè perditi, exitu comparentur. Iacet clarissimi viri filius, bonis omnibus suis in Reip. munera collatis, per susceptæ in alium inuidiæ occasionem profligatur. Aurum poscebatur, quod cùm minimè daret, vapulabat: cùm dedisset, nihilominus quod conficiendæ pecuniæ rationem inuenisset, vapulabat. Quid enim? non amicis suis, sed Prætori agrum vendidit. Ego quidem & iuuentutem deploro tam indignè habitam, & inanes de ea spes, sed illius iuuētute matris est senectus miserabilior. Quandoquidem de duobus maribus, alter extorris propter Andronicum est, nec scit vbinam terrarum versetur; alterum scit vbinam terrarum defoderit. Heu leges eadem iniuria violatas! cōtrà quas patriæ suæ imperant, contrà quas pecunias ad emenda imperia fœnerantur. Sed harum custodes esse vult alios Deus, nobis puris in rebus puros esse sufficit: si quidem intra sacra septa permanere possimus, & execrandis hominibus sanctissimis ac religiosissimis rebus interdicere.

Τρωίλῳ.

Troilo. 73.

Τὸ γὰρ δὴ καὶ φιλόσοφος εἶ καὶ φιλάνθρωπος· σοί με δεῖ προσανακλαύσασθαι τὰς

Nam tu demũ & philosophus es, & humanitate præditus: deplorandæ mihi ergò

apud te sunt patriæ calamitates, cui tu honorem quidem habebis ciuis philosophi gratia; misereberis verò ob insitam animi leuitatem, & vtriusque demum causa iacentem erigere conaberis: hoc enim in potestate situm est. Quandoquidem ad ciuitates seruandas Anthemius & natura, & fortuna, & industria comparatur. Cui cùm multa diuinitus ad id bona concessa sunt, tum summum est amicorum cōpia, & inter eos Troïlus longè maximum. Quā obrem vide quæso ne oculos duntaxat adiicias, sed & mentem etiam litteris aduertas, quas ego vbertim stillantibus lachrymis respersi. Quî fit enim vt Phœnicibus quidem Phœnices non imperent, nec Cœlosyri Cœlosyris, Ægyptij itidem omnibus potiùs prouinciis, quàm patriæ, Afri soli patriæ præficiantur? Soline Afri fortissimi sunt, ac legibus opponere sese constitutum habent? Quibus cùm plura aduersus violatores supplicia apposita fuerint, tam deprauata ingenia impetu in eas grauiore præcipitant. Necesse erat perire funditus Pentapolin, quæ Cyrene adiacet. Verùm fames, & bellum nondum quantum satis erant, consumpserunt, & moram faciunt, & paulatim disperdunt. Igitur quod ad interitus celeritatem restabat, excogitauimus. Quamquam hoc ipsum est quod vetus admodum oraculum de Pentapolis exitu vaticinatum est. De parentibus hoc, & auis accepi-
« mus; Res Libyæ Ducum prauitate per-
« ditum iri. Hoc enim oraculi fragmentum est: sed etsi in fatis hoc positum sit, aliquam tamen mali dilationem inuenite. Etenim Medicorum ars ipsa mortem quidem ab hominibus, quando hæc eorum natura est, non penitus propulsat; nihilominus moram aliquam fatali necessitati iniicit: Eiusmodi aliquid ab imperandi facultate petimus, naturæ contra morbi vim opituletur; non interitum maturet, ne quæso, ne hoc magni Anthemij temporibus eueniat, vt Romana Prouincia medio ex illius Imperio deleatur: dicito illi, dicito per scientias obsecro: Non tu mittendæ legis causa extitisti; nouæ, inquam, ad veteres additæ, quæ multa & acerba minitatur ijs qui Patriæ suæ imperium ambiant? Cur non igitur iis succenses, qui acta tua perfringere omni ope contendunt? Ac si quidem non ignoti tibi sunt, iniuriam facis, sin

A τῆς ἐνεχούσης συμφορᾶς· τὴν τιμήσεις μὲν, διὰ πολίτην φιλόσοφον· ἐλεήσεις δὲ, διὰ τὸ τῆς σαυτοῦ φύσεως ἥμερον, δι᾽ ἀμφότερα δὲ πεσοῦσαν ἀνορθῶσαι πειράσῃ· δυνάσαι γάρ, ἐπειδὴ σώζειν τὰς πόλεις Ἀνθέμιος, καὶ φύσιν ἔχει, καὶ τύχην, καὶ τέχνην· ᾧ πολλῶν ὑπαρξάντων εἰς τοῦτο παρὰ Θεοῦ, τὸ μέγιστον ἀγαθὸν οἱ φίλοι, καὶ τούτων Τρωΐλος τὸ μέγιστον. ὅπως οὖν μὴ μόνον τὰς ὄψεις ἐπιβάλῃς, ἀλλὰ καὶ τὸν νοῦν πάνυ σφόδρα προσέξῃς τοῖς γράμμασιν, ὧν ἐγὼ πολλὰ κατέσπεισα δάκρυα. τί γὰρ δὴ Φοινίκων μὲν οὐκ ἄρχουσι
B Φοίνικες, οὐδὲ Κοιλεσύρων Κοιλόσυροι, Αἰγύπτιοι δὲ πάσης μᾶλλον, ἢ τῆς ἑαυτῶν· Λίβυες δὲ μόνοι τῆς ἑαυτῶν· ἢ μόνοι Λίβυές εἰσιν ἀνδρειότατοι, καὶ χεῖρας ὁμόσε τοῖς νόμοις ἐγνώκασιν; ὧν ὅτε πλείω καὶ φοβερώτερα τοῖς παραβαίνουσι γέγονε τὰ ἐπιτίμια, τότε μᾶλλον αὐτοῖς αἱ πονηραὶ φύσεις ἐνεκυλίσθησαν. ἔδει μὲν ἄρδην ἀνῃρῆσθαι τὴν πρὸς Κυρήνῃ Πεντάπολιν· ὁ δὲ λιμὸς καὶ ὁ πόλεμος, οὔπω πάνυ ὅσον ἔδει κατηνύσαντο, ἀλλὰ διατρίβουσι καὶ κατὰ μικρὸν ἀπολλύουσιν. ἐνδέον τὸ λοιπὸν εἰς τὸ ταχὺ κατειργάσθαι προσεξευρήκαμεν.
C καί τι τοῦτ᾽ ἐστιν, ὃ τὸ παλαίφατον λόγιον ἐπεχρησμῴδησε τῇ τελευτῇ Πενταπόλεως· πατέρων αὐτὸ καὶ πάππων ἠκούσαμεν, ὅτι φθερεῖ τὴν Λιβύων ἡγεμόνων κακότης. αὐτὸ γὰρ τοῦτο ἐστι τοῦ χρησμοῦ τὸ τεμάχιον. ἀλλ᾽ εἰ καὶ πέπρωται τοῦτο, ἀναβολήν τινα τοῦ κακοῦ μηχανήσασθε. καὶ γὰρ ἡ τῶν ἰατρῶν τέχνη, τὸ μὲν ἀποθανεῖν ἄνθρωπον, ἐπειδὴ φύσις ἐστὶν, οὐ καθάπαξ κωλύει· ἐμποιεῖ δέ τινα διατριβὴν τοῦ χρόνου. ὅμοιόν τι αἰτοῦμεν καὶ παρὰ τῆς τέχνης τῆς ἀρχικῆς, βοηθησάτω τῇ φύσει κατὰ
D τῆς νόσου· μὴ μέν τοι κατασπευδέτω τὸν ὄλεθρον· μὴ, δέομαι, μὴ γένοιτο τῶν Ἀνθεμίου τοῦ μεγάλου καιρῶν, ἐπαρχίαν Ῥωμαϊκὴν ἐκ μέσης ἀνῃρῆσθαι τῆς διοικήσεως. εἰπὲ πρὸς αὐτὸν, εἰπὲ πρὸς τῶν λόγων· οὐ σὺ καταπεμφθῆναι τὸν νόμον γέγονας αἴτιος, ἐπὶ τοῖς πάλαι τὸν πρόσφατον, ὃς ἀνατείνεται πολλὰ καὶ χαλεπὰ τοῖς μνηστεύουσι τὴν τῆς ἐνεχούσης ἀρχήν; πῶς οὖν οὐ νεμεσᾷς τοῖς φιλοτιμουμένοις ἐπὶ τοῦ διαρρηγνύναι τὰ σὰ πολιτεύματα. εἰ μὲν οὖν οὐ λανθάνουσιν, ἀδικεῖς· εἰ

δὲ λανθάνουσιν, ἀμελεῖς, χρῆν δὲ οὐχὶ τὸν ἄνδρα τὸν ἡγεμονικώτατον· ἀλλ' ἐπὶ τούτῳ μάλιστα προσέχειν τὸν νοῦν, τοὺς ὑπάρξοντας ὡς βελτίστους αἱρεῖσθαι. θεία γὰρ αὕτη καὶ μεγαλοπρεπὴς ἡ πρόνοια, πρὸς ἣν δαπανᾶται φροντὶς εἰς ἐκλογὴν ἀνδρὸς ἀγαθοῦ. ἀλλ' ἐν τούτῳ γάρ ἐστιν ἔθνους ὁλοκλήρου πεποιῆσθαι φροντίδα. τούτων οὖν εὐθὺς ἀπεγνωκέναι προσήκει τῶν ἐναλλομένων τοῖς νόμοις, παρ' οἷς ἄρχουσι τῆς ἑαυτῶν· παρ' οἷς ἐφ' ἡμῖν ὥσπερ ἐπὶ κτήμασι δανείζονται χρήματα. στήσατε τὸ κακόν. ἄρχοντας ἡμῖν νομιμωτέρους ἐκπέμψατε, ἀγνοοῦντας, ἀγνοουμένους, ταῖς φύσεσιν, οὐ τοῖς περὶ ἕκαστον πάθεσι τὰ πράγματα κρίνοντας· ὡς τὰ νῦν, ταῦτα· καταπλεῖ δεσπότης ὁ πρῴην ἀντιπολιτευόμενος, καὶ τὴν ἐν πολιτείᾳ διαφορὰν ἀπὸ τοῦ βήματος ἀγωνίζεται. ὅσα δὲ ἄλλα παραβλαστάνει κακά· συκοφαντεῖται συμπόσια, καὶ γυναικὶ δίδοται χάρις, ἡ τοῦ πολίτου συμφορά· καὶ κατήγορος ἐκκέλευστος· ὃς δ' ἂν μὴ γράψηται παρανόμων, ἑάλωκεν, εἰ μὴ καὶ πρὶν ἁλῶναι, τὰ τῶν ἑαλωκότων ὑπέμεινεν. ἐθεασάμεθα δεσμώτην ἀπὸ τούτου γενόμενον, ὅτι μὴ τὸν ἄρτι παυσάμενον τῆς ἀρίστης ἀρχῆς, ἐπὶ κλοπῇ δημοσίων ἐδίωκε· μᾶλλον δὲ τοῦτον οὐδὲ τεθεάμεθα, ἀλλ' ἀπείρητο προσιέναι καθάπερ τοῖς ἐναγέσιν, ἢ τοῖς βασιλέως ἐχθροῖς, ἕως διεπράξαντο πᾶν ὅσον ἐβούλοντο· καὶ τὸν ἥλιον εἶδεν ἐπὶ ῥητοῖς ἄνθρωπος, ἐφ' ᾧ Γεννάδιον ἔγραψεν. ἀλλ' ἥγε ἡμετέρα Πεντάπολις Γενναδίου μὲν τοῦ Σύρου, πολλὰ ἐπὶ πολλῶν ὤνατο· καὶ τὸ μέγιστον, ὅτι καὶ λόγῳ καὶ πειθοῖ τὴν ἀρχὴν ἐπιτρέψας, ἔλαθεν ἡμᾶς τῶν ἀπηνεστάτων τε καὶ ὀνομαστοτάτων ἐπὶ σκληρότητι πλείονα χρήματα ταῖς δημοσίαις ψήφοις εἰσενεγκών· ἐφ' οἷς οὐδεὶς ἐδάκρυσεν· ἐφ' οἷς οὐδεὶς ἀπέδοτο τὸν ἀγρόν. ἐκείνην ἄν τις εἰσφορὰν εὐσεβῆ δικαίως ἐκάλεσεν, ἣν οὐχ ὕβρεις ἢ μάστιξ ἠνάγκασε. τὰ δὲ περὶ τῶν πολιτῶν, φεῦ τῆς μνήμης τῶν παυσαμένων! φεῦ τῆς πείρας τῶν ὁρωμένων! οὐδὲν οὖν ἀξιοῦμεν καινόν, ἀλλ' ὑπὲρ τῶν νόμων Ἀνθέμιον ἱκετεύομεν· ὑπὲρ τῶν νόμων τὸν τούτων φύλακα, ὧν ἄξιον μὲν αἰδεῖσθαι

γρ. ὃς ἂν μὴ γράφη.

γρ. ὑπὸ

ignoti, negligis: minimè autem facere id decebat hominem imperandi peritissimum, sed huic vni maximè animum adiungere, vt qui tui loco præponendi sunt, quàm optimi deligantur. Diuina namque & magnificentissima illa prouidentia est, in qua sedulò cura in boni viri delectum impenditur. Sed enim in hoc Gentis vniuersæ cura suscipi potest. Imprimis igitur ab administratione reiiciendi illi sunt, qui leges quasi infestis calcibus petunt. Contra quas Patriæ suæ imperium habent, contra quas nobis velut prædiis oppigeneratis mutuo pecuniam accipiunt; inhibete malum: mittite ad nos magis legitimos magistratus, non cognoscentes, neque cognitos, ex natura ipsa, non priuato animi affectu de rebus iudicantes: nunc enim ità se res habet: hûc nauigat dominus, qui antea in Rep. dissidebat, suámque illam ciuilem dissensionem è Tribunali exercet. Pleráque verò & alia indè mala oriuntur: versantur in conuiuiis calumniæ. Mulieris donum fit ciuis alicuius calámitas. Inde excitatus accusator, quicumque verò legum violatarum non arcessiuerit, condemnatur ipse, nisi antequam damnetur, eadem cum damnatis sustinuerit: vidimus qui ob hæc in vincula coniiceretur, quòd eum qui nuper optimo Imperio functus esset, peculatus accusare nollet; vel non vidimus potius, quin accedere propiùs interdictum erat velut sceleratis, aut maiestatis reis, donec quicquid libitum est perfecerunt, eáque lege Solem intueri homini concessum est, vt Gennadium in ius vocaret; sed Pentapolis nostra in multis est à Gennadio Syro subleuata: quorum illud maximum est, quod orationi & persuasioni Imperium permittens, nemine nostrûm aduertente plus pecuniæ in publicas rationes intulit, quàm crudelissimi quique & atrocitatis nomine celeberrimi: propter quam nemo lachrymatus est, propter quam nemo agrum vendidit, contributionem illam piam merito aliquis appellauerit, quam non iniuria aut verbera extorserunt; Quod verò ad ciues attinet: heu præteritorum memoriam! heu experimentum præsentium! Nihil ergo nouum postulamus, sed pro legibus Anthemium deprecamur; Pro legibus inquam, earum custodem, quarum vetustatem quidem par est reuereri. Le-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

gum enim est illa quoque dignitas. sin cuiquam videantur, decretorum recentiora quæque viuum adhuc, & vt ita dicam animatum regnum præ se ferentia.

A τὴν ἀρχαιότητα. νόμου γὰρ δὴ καὶ τοῦτο σεμνότης. εἰ δέ τῳ δοκεῖ, τῶν διαταγμάτων τὰ νεώτερα, τὴν ὥς ἂν εἴποι τις, ἔμψυχον ἐπὶ βασιλείαν ἐπιγραφόμενα.

Pylæmeni 74.

Opus ad te misi Attico inprimis lepôre, sedulóque elucubratum, quod si teretes & acerrimi iudicij Pylæmenis aures probauerint, hoc ipsum temporum memoriæ commendabit: sin nihil in eo studio dignum videatur, licet profectò in ludicris ludere.

Πυλαιμένει.

Ἔπεμψά σοι τὸν λόγον Ἀττικουργῆ, τῆς ἀκριβοῦς ἐργασίας, ὃν ἂν μὲν ἐπαινέσῃ Πυλαιμένους ἡ κριτικωτάτη τῶν ἀκοῶν, αὐτὸ τοῦτο τῇ διαδοχῇ τοῦ χρόνου συνέστησεν· εἰ δὲ μηδὲν φαίνεται σπουδαῖον, ἔξεστι δήπου παίζειν τὰ
B παίγνια.

Nicandro 75

Insigne illud tuum Epigramma. Quî enim non insigne dicatur, quod magnus Nicander laudauerit?

Aut pulchræ effigies hæc Cypridis aut Stratonices.

Nosti omnino fuisse à me tunc in sororem scriptum, idque vel ex versiculo intelligere potuisti. Huius mihi sororum carissimæ quam & statua & carmine dignatus sum, coniux est Theodosius Imperatoris armiger: si quidem diuturnitatem temporis, & assiduitatem militię spectes, iamdudum præesse Prouinciæ debuerat, sed fauor & gratia plusquam annorum ratio valet. Hac tu igitur illum parte subleuabis: nec non & in caussis, si quæ illi fuerint apud Anthemium. omnino magnus Nicander aliqua in re ei adiumento sit.

Νικάνδρῳ.

Τοὐπίγραμμά σου τὸ κλεινόν· πῶς γὰρ οὐ κλεινόν, ὅπερ ὁ μέγας ἐπῄνεσε Νίκανδρος;

Τῆς χρυσῆς εἰκὼν ἢ Κύπριδος ἢ Στρατονίκης.

ἐπίστασαι πάντως, ὅτι καὶ εἰς ἐμὴν ἀδελφὴν ἐποιήθη παρ' ἐμοῦ τότε, παρὰ τοῦ στίχου μαθών. ταύτῃ τῇ φιλτάτῃ μου τῶν ἀδελφῶν, ἣν καὶ τῆς εἰκόνος ἠξίωσα καὶ τοῦ στίχου, Θεοδόσιος ὁ βασιλέως ὑπασπιστὴς σύνοικος, ἕνεκα μὲν τοῦ χρόνου καὶ τῆς ἐν στρατείᾳ προσεδρίας,
C κἂν ἐπεστράτησε πάλαι· αἱ δὲ σπουδαὶ πλέον δύνανται τῶν ἐνιαυτῶν. ταύτῃ τε οὖν ὄφελος αὐτῷ γενοῦ, κἂν ταῖς δίκαις, εἴ τινες εἶεν αὐτῷ πρὸς Ἀνθέμιον· ὀνάσθω δέ τι τοῦ μεγάλου Νικάνδρου.

Theophilo 76.

Olbiatis, vici cuiusdam hic populus est, Episcopi creatione opus fuit, cùm beatissimus pater Athamas vnà & diuturnæ vitæ, & Sacerdotio morte exitum inuenisset. Me igitur in huius deliberationis communionem aduocarunt. Atque ego sum quidem hominibus gratulatus, quòd é multis iisque bonis omnibus optionem facerent, sed multò magis Antonio de sua probitate atque integritate sum gratulatus, quod bonis melior iudicatus esset. Etenim in eum commune omnium suffragium collatum est: cúmque se multitudinis sententiæ duo religiosissimi Episcopi adiunxissent, quibuscum educatus, & quorum alterius manu sacerdos consecratus fuerat: ne ipse quidem omnino Antonium ignorabam, sed illum de quibuscúmque

Θεοφίλῳ.

Ὀλβιάταις, οὗτοι δὲ δῆμός εἰσι κωμήτης· ἐδέησεν αἱρέσεως ἐπισκόπου, τοῦ μακαριωτάτου πατρὸς Ἀθάμαντος τῷ μακρῷ βίῳ τὴν ἱερωσύνην συγκαταλύσαντος· ἐπεκαλέσαντο δὴ
D κἀμέ, κοινωνὸν αὖθις γενέσθαι τοῦ σκέμματος· καὶ συνήσθην μὲν ἀνδράσιν ἐκ πολλῶν καὶ πάντων ἀγαθῶν ποιουμένοις τὴν αἵρεσιν· πολὺ δὲ πλέον Ἀντωνίῳ συνήσθην τῆς καλοκἀγαθίας, ὅτι καὶ καλῶν ἔδοξεν εἶναι καλλίων. ἐπὶ γὰρ τοῦτον ἡ πάνδημος ψῆφος ἠνέχθη. προστεθέντων δὲ καὶ δυοῖν θεοσεβεστάτων ἐπισκόπων τῇ γνώμῃ τοῦ πλήθους, οἷς συνετέθραπτο, καὶ ὧν τῇ θατέρου χειρὶ πρεσβύτερος ἀπεδέδεικτο· ἐτύγχανον μὲν οὐδ' αὐτὸς ἀγνοῶν πάνυ τὸν Ἀντώνιον· ἀλλά δι' ὅσων αὐτὸν ἔγνων

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λόγων καὶ πράξεων, διὰ τοσούτων ἐπῄνεσα· προσθεὶς δὲ οἷς ἠπιστάμην καλοῖς, ἅπερ ἤκουσα, φέρω κἀγὼ τὴν ἐμαυτοῦ ψῆφον ἐπὶ τὸν ἄνδρα. καὶ γένοιτ᾽ ἄν μοι βουλομένῳ κοινωνὸν αὐτὸν εἰς τὴν ὁμότιμον ἱερωσύνην προσδέξασθαι. ἑνὸς οὖν ἔτι δεῖ, τοῦ κυριωτάτου μέντοι, τῆς ἱερᾶς σου χειρός. τούτου μὲν Ὀλβιάταις δεῖ· ἐμοὶ δὲ εὐχῶν.

A noram dictis aut factis, de omibus collaudaui. quin ea inſuper quæ ſciebam præconia, quæ audieram adiungens, meo quoque illum ſuffragio renuntio: ac pergratum mihi quidem erit, ſi illum in Epiſcopatu collegam ac ſocium habuerim. Vnum adhuc ſupereſt; ſacra tua ſcilicet manus, hoc vno Olbiatis opus eſt: mihi verò precibus.

Ἀνυσίῳ.

B Οὐκ ἐθέλει" περιμένειν ἄλληλα τὸ φῶς καὶ τὸ σκότος· ἀλλὰ νόμῳ φύσεως περιΐσταται. ἐπανελθόντες ἀπὸ τῆς σῆς πομπῆς Ἀνδρόνικον κατελάβομεν.

Anyſio 77.

Non ſeſe inuicem operiuntur lux & tenebræ, ſed naturæ lege ſe deuitant. Cùm à pompa tua reuerteremur, Andronicum reperimus.

Τῷ αὐτῷ.

Οὐδὲν ἂν γένοιτο Πενταπόλει λυσιτελέστερον, τοῦ τοὺς ἀγαθοὺς καὶ ἄνδρας καὶ στρατιώτας Οὐνιγάρδας προτετιμῆσθαι πάντων στρατιωτῶν, οὐ τῶν ἐγχωρίων λεγομένων μόνον, ἀλλὰ καὶ ὅσοι πώποτε κατὰ συμμαχίαν εἰς τούσδε τοὺς τόπους ἀφίκοντο. ἐκεῖνοι μὲν γὰρ οὐδεπώποτε C " πολλαπλάσιοι ἐλάττοσι τῶν πολεμίων μετὰ τοῦ θαρρεῖν συνηνέχθησαν· οὗτοι δὲ δὶς ἤδη καὶ τρὶς πρὸς ἄνδρας ὑπὲρ χιλίους τὸν ἀριθμόν, μόνοι τετταράκοντα μετὰ τοῦ Θεοῦ καὶ τοῦ στρατηγοῦ παρετάξαντο, καὶ νίκας τὰς μεγίστας καὶ καλλίστας ἀνείλοντο. τῶν δὲ εἰς ὄψιν αὐτοῖς ἐλθόντων βαρβάρων τοὺς μὲν ἀπολωλεκότες, τοὺς δὲ ἀπεληλακότες, τά τε μετέωρα τῆς χώρας ἔτι περινοστοῦσι, καὶ τὰς εἰσβολὰς τῶν πολεμίων φυλάττουσιν, ὥσπερ σκύλακες αὐλῆς προσπηδήσαντες, ἐφ᾽ ᾧ θηρίον οὐκ ἐναλεῖται τῇ ποίμνῃ. D ἀλλ᾽ ἡμεῖς αἰσχυνόμεθα τοὺς ἀριστέας, ἐν αὐτοῖς τοῖς ὑπὲρ ἡμῶν ἱδρῶσι δακρύοντας. οἷα γὰρ καὶ γεγράφασι πρὸς ἡμᾶς, ἐγὼ μὲν οὐκ ἀπαθῶς ἀναγινωσκομένων ἀκήκοα· ἀξιῶ δὲ μηδέ σε τὴν ἱκεσίαν αὐτῶν παριδεῖν· δέονται γὰρ δὴ σοῦ μὲν δι᾽ ἡμῶν, βασιλέως δὲ διὰ σοῦ δέησιν, ἣν εἰκὸς ἡμᾶς ἦν, ἐκείνων σιωπώντων, ποιήσασθαι μὴ καταλεγῆναι τοὺς ἄνδρας ἀριθμοῖς ἐγχωρίοις. ἀχρεῖοι γὰρ ἂν ἑαυτοῖς τε καὶ ἡμῖν γένοιντο, τῶν βασιλικῶν δωρεῶν ἀφῃρημένοι, " εἰ μήτε ἵππων

πολυπλάσιοι

Eidem 78.

Nihil Pentapoli vtilius eſſe poteſt, quàm vt boni viri iuxtà, & milites Vnigardæ cæteris militibus anteponantur, non indigenis modò, ſed quotquot vnquam auxilij gratia ad ea loca profecti ſunt: hi enim multo plures cum paucioribus hoſtibus nunquam audacter manum conſeruerunt, illi verò bis iam, aut ter cum hominibus amplius mille, triginta toti Deo téque imperatore freti congreſſi ſunt, maximáſque & inſignes victorias reportarunt. Ex barbaris verò quicumque comparuerunt aliis cæſis, pulſis aliis, in editis prouinciæ locis oberrant; & irruptiones obſeruant, canum in morem è caulis proſilientes, ne cum impetu fera in gregem irrumpat. Sed pudet nos egregiorum militum, qui in laboribus noſtri cauſa toleratis lachrymentur. Quæ enim, hominum fidem! ad nos ſcripſerunt? Equidem non ſine graui mœrore cum legerentur audire potui. Æquum autem arbitror neque à te illorum preces negligi. Te enim per nos ac per te imperatorem obteſtantur. Quam poſtulationem vel ipſis tacentibus offerre nos pro illis decebat, nec inter indigenarum copias cenſeantur: ſibi enim & nobis inutiles erunt, ſi Imperatoris donatione ſpolientur, ſi neque equorum

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

supplementum habeant, nec armorum apparatum, nec sumptum militaribus hominibus competentem. Ne quæso tu, qui cum ijs omnium fortissimè te gessisti, ne milites patiare inferiorem in ordinem redactos: sed illi præmiis nequaquam fraudati, integra ac stabili dignitate persistant. Quodquidem fiet si ex tua relatione humanissimus Imperator didicerit, quàm ij Pentapoli vtiles extiterunt. Quin aliud nobis tuis litteris ab Imperatore postulato, vti C. & LX. quadraginta illis adiiciantur: Deo enim opitulante quis non audacter dixerit, ducentos Vnnigardas animo ijs ac manu similes, quorum inprimis humanitatem collaudamus, duce te Imperatori ad depugnandum cum Ausurianis idoneos futuros? nam quid delectibus multis opus est & annuis sumptibus in huius loci exercitus? manibus ad bellum opus est, non multis nominibus.

¶ *Anastasio* 79.

Ego nihil Euagrio Presbytero prodesse potui; neque enim iniquè oppressorum alteri cuiquam. Etenim dominatur apud nos Beronicensis Andronicus, execrandus homo, & animum & linguam consceleratam gerens. Qui quod meipsum nihili facit, leue & contemnendum est: sed pudere eum videtur etiam diuina reuereri. Hic cœlum capite tundit: per sacrum tuum ac ter optatum caput iuro, lugubrem Pentapoli cultum, atque habitum imposuit; digitorum pressoria, ac pedum tortoria, aliáque quamplurima quæstionum instrumenta comminiscens, non ad quemquam maleficorum premendum (nunc enim magna cuilibet maleficiorum licentia est:) sed aduersus eos qui vectigalia pro bonis suis pensitant, aut qui alio quouis nomine aliquid debent. Est enim ad inuestigandas rationes suo & Thoantis ingenio dignas solertissimus, quem carceri præpositum exactorem militaris pecuniæ fecit, quam Tironicam vocant, & Auxanæa adiunxit; ac semper nouum aliquod ex vetere malum: propter quòd per gentes, ac conuentus excrucientur. Neque enim ijs etiam, qui vnde soluant habent, & locupletibus licet à virgis immunibus discedere: sed interim cùm seruus domum ad aurum deportandum vadit,

A ἕξουσι διαδοχήν, μήτε ὅπλων παρασκευήν, μήτε δαπάνην ἀγωνισταῖς ἀνδράσιν ἀρκοῦσαν. μὴ σύ γε, ὦ μετ' αὐτῶν ἀριστεῦ, μὴ περιίδῃς τοὺς στρατιώτας εἰς ἀτιμοτέραν τάξιν χωροῦντας· ἀλλ' οὗτοί τε μενόντων ἄσυλοι τῶν γερῶν ἐν βεβαίῳ τῆς προτέρας ἀξίας. ὃ γένοιτ' ἄν, εἰ διὰ τῆς σῆς ἀναφορᾶς ὁ φιλανθρωπότατος ἡμῶν βασιλεὺς μάθοι, πόσον ὄφελος ἐγένοντο Πενταπόλει. ᾧ δεήθητι βασιλέως ὑπὲρ ἡμῶν, ἐν τοῖς σαυτοῦ γράμμασι δέησιν ἑτέραν, ἄνδρας ἑκατὸν ἑξήκοντα τοῖς τετταράκοντα τούτοις προστεθῆναι. B μετὰ τοῦ Θεοῦ, τίς οὐκ ἂν ἀποφήναιτο διακοσίους Οὐννιγάρδας, καὶ γνώμην καὶ χεῖρα τούτοις παραπλησίους, ὧν οὐχ ἥκιστα ἐπαινοῦμεν τὸ πρᾶον τῆς γνώμης, σοῦ στρατηγοῦντος ἀρκέσειν εἰς τὸ διαπολεμηθῆναι βασιλεῖ τὸν Ἀσουριανὸν πόλεμον; καὶ τί δεῖ καταλόγων πολλῶν, καὶ τῆς φοιτώσης κατ' ἐνιαυτὸν δαπάνης τοῖς ἐνθάδε στρατεύμασι. χειρῶν δεῖ τῷ πολέμῳ, καὶ οὐκ ὀνομάτων πολλῶν.

γρ. ἀνιπεσιών. γρ. ἴσαι f. Αὐσυριανόν

Ἀναστασίῳ.

Οὐδὲν ἐγὼ γέγονα χρήσιμος Εὐαγρίῳ τῷ πρεσβυτέρῳ· οὐδὲ γὰρ οὐδ' ἑτέρῳ τινὶ C τῶν ἀδικουμένων. ἄρχει γὰρ παρ' ἡμῖν ὁ Βερρονικεὺς Ἀνδρόνικος, ἀποφρὰς ἄνθρωπος, παλαμναίαν ἔχων καὶ γνώμην, καὶ γλῶτταν, ὃς εἰ μὲν ἐμοῦ καταφρονεῖ, πρᾶγμα οὐδέν· ἀλλ' αἰσχύνεσθαί μοι δοκεῖ καὶ τὰ θεῖα τιμῆσαι. οὗτος ἀράττει τῇ κεφαλῇ τὸν οὐρανόν. νὴ τὴν ἱερὰν σὴν καὶ τριπόθητον κεφαλήν, σχῆμα Πενταπόλει πένθιμον περιτέθεικε, δακτυλήθρας, καὶ ποδοστράβας ἐξευρών, καὶ ξένα ἄττα κολαστήρια κατ' οὐδενὸς τῶν ἀδικούντων. πολὺ γὰρ τοίνυν ἔξεστι τῷ βου- D λομένῳ ἀδικεῖν· κατὰ δὲ τῶν συντελούντων ὑπὲρ τῶν οὐσιῶν, καὶ τῶν ἄλλων ὁπουοῦν ὀφειλόντων. δεινὸς γὰρ ἀνὴρ ὑποθέσεις ἐξευρίσκειν, τῇ τε ἑαυτοῦ καὶ τῇ Θόαντος φύσει πρεπούσας· ὃν ἐπὶ τῶν δεσμωτῶν ὄντα, ταῖς ἀπαιτήσεσιν ἔταξε τοῦ στρατιωτικοῦ χρυσίου τοῦ καλουμένου Τιρωνικοῦ, καὶ συνῆψε τὰ Αὐξανιαῖα· καὶ ἀεί τι καινὸν ἐπὶ παλαιῷ κακόν, ἐφ' ᾧ κατὰ φῦλα καὶ δήμους αἰκίζεσθαι. οὐ γάρ ἐστιν οὐδὲ τοῖς ἔχουσι καὶ πλουτοῦσιν ἀμαστιγώτοις ἀναχωρῆσαι· ἀλλ' ἕως ὁ παῖς οἴκαδε βαδίζει τὸ χρυσίον οἴσων, ὁ δεσπότης ἠλόηται, καὶ περ-

γρ. ἔπαξεν τοῖς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐνίους τῶν δακτύλων ἐγένετο. ὅταν δὲ περιφανῶς ἀπορῇ δυναμένης αὐτὸν ἐστιάσαι, Μαξιμῖνος καὶ Κλινίας ἔφεδροι· ἐν ἐκείνοις χαρίζεται τῷ πάθει. ἀλλά μοι δοκεῖ τοιοῦτος ὤν, πονηρῶν δαιμόνων προνοίας τυγχάνειν, οἳ βούλονται μὲν ἐπαινεῖσθαι καὶ εὐτυχεῖν τὰς παλαμναιοτάτας ψυχάς, αἷς ὀργάνοις δύνανται χρῆσθαι πρὸς τὰς κοινὰς συμφοράς. ἀπὸ τούτων οὖν παρασκευάζουσιν αὐτῷ δόξαν ὡς ἀνδρὶ γενναίῳ. καί τι πῶς εὔλογον, ὅστις ὑπερύψωσε τὸν ὑψηλόν, καὶ τὸν ταπεινὸν ἐταπείνωσεν; ἐφ' οὗ πᾶς μὲν μέτριος καὶ πρᾶος τὸν τρόπον, ἐν Καρὸς μοίρᾳ καὶ ἄτιμος· δύνανται δὲ μόνοι Ζηνᾶς καὶ Ἰούλιος· Ζηνᾶς ὁ πράξας πέρυσι τοὺς διπλοῦς φόρους, ὃς ἀπειλεῖ τὸν ἐμὸν ἀδελφὸν Ἀναστάσιον παραπρεσβείας καὶ διώξεσθαι, καὶ αἱρήσειν. οὗτος μέν τοι ἑκόντος αὐτοῦ δύναται· Ἰούλιος δὲ ἄκοντός τε καὶ κλάοντος· καὶ κατ' οὐδενὸς οὕτως, ὡς κατ' Ἀνδρονίκου γέγονεν ἰσχυρότερος. ἐγκραγὼν γὰρ αὐτῷ δίς που καὶ τρίς, καὶ τοῖς ἐξ ἁμάξης λοιδορησάμενος, καὶ πάντα ἐπανατεινάμενος, ἅπερ ἂν εἰρῆσθαι καὶ παρ' ἐμοῦ τοῦ παντὸς ἂν ἐτιμησάμην, ἀπέδειξε τὸ κάθαρμα μῦν ἀντὶ λέοντος· καὶ ἐξ ἐκείνου χρῆται καθάπερ ἀνδραπόδῳ, παρόσον ἀδεῶς οὐδὲ ἐν ταῖς γωνίαις ὑποψιθυρίζειν κατὰ τοῦ δεσπότου τολμᾷ· τοῦτο δὲ δήπουθεν ἔξεστι τοῖς οἰκέταις ποιεῖν. Ἀνδρόνικος δὲ οὐδὲ τοῦτο. ἡ γὰρ ἀλογιστία ἀνδρεῖον μὲν οὐδαμοῦ· παρὰ δὲ τοὺς καιρούς, δειλόν τε καὶ θρασὺ γὰρ, τουτέστιν, ἁπανταχοῦ πονηρόν. ὁ θαυμάσιος Ἥρων, ἀξίως αὐτοῦ πρὸς ὑμᾶς ἐρεῖ τὰ περὶ αὐτοῦ, ἄν γε δὴ διασώζηται. διετέθη γὰρ οὕτως ὑπ' αὐτοῦ συνεῖναι τῇ μοχθηρίᾳ τοῦ ἀνθρώπου, καὶ καθ' ἡμέραν ἀπορρήγνυσθαι, καὶ οἷς ἤκουσε δεινοῖς, καὶ οἷς ἔπαθεν, ὡς καὶ μόλις ἐλευθερωθεὶς τῆς θανατηφόρου συνουσίας, δύσελπις εἶναι τὴν ἑαυτοῦ ζωὴν καταλήψεσθαι· καὶ οὔπω τότε Θόας ἀπὸ τῆς ἐνδοξοτάτης ἀποδημίας παρῆν. νυνὶ γὰρ οὗτός ἐστιν ὁ πᾶσιν αὐτὸν τοῖς εὐγενέσιν ἐπιτειχίσας Δεκέλειαν, τὸ ἀπόρρητον τῶν ὑπάρχων διακομίσας ἐνύπνιον, ὃ βούλεται μὲν τῶν ἐνθάδε τεθνάναι τινάς· βούλεται δὲ δεδέσθαι τινάς. καὶ δέδενται παρ' ἡμῖν ἄνθρωποι, διὰ τὸ ἐνύπνιον τὸ ἀπόρρητον·

παλαμ- αι παύ-

A herus creditur, & digitorum aliquo torquetur. Cúmque occasione crudelitatis explendæ quasi epulandi caret, Maximinus, & Clinias subsidiarij, præsto sunt, in iis furori suo obsequitur. Sed mihi ille videtur cùm eiusmodi sit, malorum dæmonum prouidentia, ac præsidio fulciri, qui laude hominum, ac secundis rebus affluere diras illas, ac detestabiles animas volunt, quibus ad publicas calamitates administris atque instrumentis vtuntur. Quare ex iis gloriam illi quasi forti viro, ac strenuo comparant. Quamquam quî istud conuenit, cùm excelsum ac sublimem B exrulerit, & humilem ac deiectum depresserit? sub quo quisquis moderatus ac placidis moribus est Caris loco, atque infamis ducitur. Soli verò apud eum possunt Zenas & Iulius, quorum Zenas ille est, qui duplex hoc anno vectigal extorsit, qui fratrem meum Anastasium minatur se falsæ legationis accusaturum, & damnaturum. Atque ille volente Andronico plurimum potest: Iulius verò inuito ac plorante, nec in quemquam fortior, quàm in Andronicum extitit. Bis enim iam ac ter in illum vociferans, & conuitiis de Plau- C stro, vt aiunt, proscindens, omniáque intentans, quæ dicta à me esse plurimi facerem, scelus illud murem ex leone reddidit. Atque ex illo tempore eo tanquam mancipio vtitur, quando ne securè quidem in angulis murmurare contra dominum audet, quòd tamen etiam seruis licet. At Andronico ne hoc quidem concedit. Nam vecordia fortis quidem nusquam est, pro temporum tamen ratione formidolosa, & temeraria est, hoc est vbique pessima. Egregius Hero, vt eo dignus est quæ ad ipsum pertinent explicabit: si tamen D superstes esse possit. Ita enim ex ipsa cùm hominis nequitia consuetudine, & quotidiana auulsione est affectus, nec nõ ex iis quas audiit atrocitatibus, & quas perpessus est, vt vix pestifera cõsuetudine liberatus ægrè admodum speret vitam se esse recuperaturum. Nec dum Thoas ab celeberrima illa profectione reuerterat. Nunc enim is est qui nobilibus omnibus Deceleam muro interclusit, arcanum Præfectorum insomnium portans, quòd & morte nonnullos qui hîc sunt affici, vinciri alios iubet. Ergo apud nos iniecta quibusdam vincula, propter secretum in-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

somnium. Alij nulla verisimili de causa moriuntur: etsi enim nondum mortui sint, at statim morientur, quantum enim in verberibus fuit perierunt. Quantum in corporum robore, ac firmitate est, ad hanc vsque diem viuunt, qua hasce tibi litteras mitto, sed magnus, ait, Anthemius non conualescet, nec à febri Romanorum Præfectus liberabitur nisi Maximinus & Clinias pereant. Hos rumores Thoas clanculum serit, propterea neque contribuere Maximinum patitur, sed eos omnes Andronicus reiicit, qui Leucippi bona emere volunt, proposita enim est non ærarij locupletatio, sed Præfectorum valetudo: Quiquidem solo Thoante domum introducto, solo, ait, præsente sophista somnium ei exposuerunt. Clausique sunt portus omnes, vt quidem Thoas deierat, donec ipse nauigasset, & ad Andronicum arcana pertulisset, ne dignus quispiam qui pro Anthemij anima morti obiiciatur, effugiat. Ergo ex ijs quæ in somnis quispiam viderit, vel vidisse potius dicitur, Pentapolis verè nec per somnium ærumnis afficitur. Andronicus enim cui ea commissa sunt, bene de Præfectorum familia meriturus perfurit horrendum Thoante fretus, neque nouit honorare

Mortalésque Deósque, furorque hunc corripit ingens.

Cum eò patriæ res deuenissent, nihil Euagrio vate opus fuit qui prædiceret infeliciter eum discessurum, si in iudicium veniret, sed Andronicus ipse palàm non huic aut illi, sed Euagrio ipsi suam sententiam denunciauit, ac sponte publico muneri insistere iussit, si saperet: omnino enim se in illum condemnationis sententiam pronuntiaturum. Quare satisfactum à me & Deo est, & diuino Dioscoridi, & vniuersis mortalibus, quòd ex honoratiori redditus sum inhonoratior, quantum ad homines pertinet, & ex potentiori imbecillior. Ac Andronicus, me quidem absente potentiam & authoritatem obseruabat meam, per quam bis Alexandriæ in nexum adductus non est. In præsentem autem ita per sacrum caput tuum sese gerit, vt cum mihi liberorum meorum carissimum amittere contigisset, penéque ex hac me vita eduxissem luctu ac mœrore superatus, Scis enim quàm sim vltrà quàm deceat

A οἱ δὲ ἀπ' οὐδεμιᾶς φαινομένης αἰτίας ἀποθνήσκουσι· καὶ γὰρ εἰ μηδέπω τεθνήκασιν, ἀλλ' αὐτίκα τεθνήξονται. τὸ μὲν γὰρ ἐπὶ τῇ μάστιξιν ἀπολώλασι· τὸ δὲ ἐπὶ τῇ τῶν σωμάτων ἰσχύϊ, ζῶσιν ἔτι μέχρι ταύτης τῆς ἡμέρας, ἐν ᾗ πέμπω τὰ γράμματα· ἀλλ' οὐχ ὑγιανεῖ, φησίν, ὁ μέγας Ἀνθέμιος, οὐδὲ παύσεται πυρέττων ὁ Ῥωμαίων ὕπαρχος, ἂν μὴ Μαξιμῖνος καὶ Κλινίας ἀπόλωνται. ταῦτα Θόας ἡσυχῇ θρυλλεῖ. διὰ τοῦτο οὐδὲ εἰσφέροντος ἀνέχεται Μαξιμίνου· ἀλλ' ἀνασοβεῖ πάντας ὁ Ἀνδρόνικος, τοὺς ὠνουμένους τὰ Λευκίππου· πρόκειται γὰρ οὐ τὸ πληρωθῆναι τὰ
B δημόσια, ἀλλὰ τοὺς ὑπάρχους ὑγιαίνειν· οἵτινες εἰσκληθέντος οἴκοι Θόαντος μόνου, τοῦ σοφιστοῦ, φησί, μόνου παρόντος ἐξενηνόχασι πρὸς αὐτὸν τὸ ἐνύπνιον· καὶ οἱ λιμένες ἐκλείσθησαν ὅσα γε δὴ Θόας ὄμνυσιν, ἕως αὐτὸς ἐκπλεύσας φθάσῃ, καὶ πρὸς Ἀνδρόνικον ἐξενέγκῃ τὸ ἀπόρρητον, ἵνα μὴ λάθῃ τις διαδρὰς τῶν ἀξίων ἀντὶ τῆς Ἀνθεμίου τεθνάναι ψυχῆς. εἶτα ἀφ' ὧν ἕτερος ὄναρ ὁρᾷ, μᾶλλον δὲ ἰδεῖν λέγεται, Πεντάπολις ὕπαρ πέπραγε πονήρως. Ἀνδρόνικος γὰρ ὁ τὰ τοιαῦτα πιστευθεὶς, καὶ εὐεργέτης τῆς εὐτυχοῦς τῶν ὑπάρχων οἰκίας ἐσόμενος, μαίνεται
C ἐκπάγλως πίσυνος Θόαντι, οὐδέ τι οἶδε τίειν οὔτε ἄνερας οὐδὲ Θεούς· κρατερὴ δὲ ἑ λύσσα δέδυκεν. ἐν τούτοις τῇ πατρίδι τῶν πραγμάτων ὄντων, οὐκ ἐδέησεν Εὐαγρίου μάντεως εἰς προαγόρευσιν τοῦ πονηρῶς ἀπαλλάξειν εἰς τὸ δικαστήριον ἀπελθόντι· ἀλλ' αὐτὸς Ἀνδρόνικος ἄντικρυς, οὐ πρὸς τοῦτον, οὐδὲ πρὸς ἐκεῖνον, ἀλλὰ πρὸς αὐτὸν Εὐάγριον ἐξήγγελλε τὴν γνώμην τὴν ἑαυτοῦ, καὶ ἔχεσθαι τῆς λειτουργίας ἐθελοντὴν ἐκέλευσεν, ἐὰν σωφρονῇ· πάντως γὰρ ἀποφαίνεσθαι τὴν καταδικάζουσαν.
D ἀπολελόγημαι δὴ καὶ Θεῷ, καὶ τῷ θείῳ Διοσκουρίδῃ, καὶ πᾶσιν ἀνθρώποις, ὡς ἔγωγε ἀτιμότερος ἐξ ἐντιμοτέρου γέγονα, τά γε ἀνθρώπινα· ἀσθενέστερος δὲ ἐξ ἰσχυροτέρου. καὶ Ἀνδρόνικος ἀπόντων μὲν ἡμῶν τὴν δύναμιν ἐθεράπευσε, δι' ἣν οὐ γέγονε δὶς ἐπ' Ἀλεξανδρείας ἀγώγιμος· παρόντι δὲ οὕτω χρῆται νὴ τὴν ἱερὰν ὑμῶν κεφαλὴν, ὡς ἐπειδή μοι συνέπεσεν ἀποβαλεῖν τῶν παίδων τὸ φίλτατον, κἂν ἐξήγαγον ἐμαυτὸν κρατηθεὶς ὑπὸ τοῦ πάθους· οἶσθα γὰρ ὅτι θῆλυς εἰμὶ περὶ τοῦτο πέρα τοῦ δέοντος·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δέοντος· νῦν δὲ οὐ λογισμῷ τοῦ πάθους ἐκράτησα, ἀλλ' Ἀνδρόνικος ἀντιπαρεισήγαγε, καὶ πρὸς ταῖς κοιναῖς συμφοραῖς τὸν νοῦν ἔχειν ἐποίησε· καὶ γεγόνασί μοι συμφοραὶ παραμυθίαι τῶν συμφορῶν, πρὸς ἑαυτὰς ἀνθέλκουσαι, καὶ πάθει πάθος ἐκκρούουσαι, ὀργὴ συμμιγὴς λύπῃ τὴν ἐπὶ τῷ παιδίῳ λύπην. οἶσθα ὅτι μοι μαντευτὸς ἦν θάνατος εἰς κυρίαν τοῦ ἔτους ἡμέραν· καὶ γέγονεν ἐκείνη καθ' ἣν ἱερασάμην. ᾐσθόμην μεταβολῆς βίου, ὃς ἄχρι νῦν ἐμπανηγυρείσας αὐτῷ, καὶ τιμῆς ἀνθρωπίνης καὶ πάσης γλυκυθυμίας παρ' ὁντινοῦν τῶν πώποτε πεφιλοσοφηκότων ἀπολελαυκώς, οὐχ ἧττον διὰ τὰ θύραθεν, ἢ διὰ τὴν παρασκευὴν τῆς ψυχῆς, ἅμα πάντων ἀφῃρημένος αἰσθάνομαι. τὸ μὲν οὖν μέγιστον τῶν κακῶν, ὅ μοι καὶ δύσελπιν τὸν βίον ποιεῖ· οὐκ εἰωθὼς ἀποτυγχάνειν ἐν ἱκετείαις Θεοῦ, νῦν πρῶτον οἶδα μάτην εὐξάμενος, ὃς τὴν μὲν οἰκίαν κακῶς ὁρῶ πράττουσαν, τὴν δὲ πατρίδα δυστυχοῦσαν οἰκεῖν ἀναγκάζομαι. καὶ πᾶσιν ἐγκείμενος ἐφ' ᾧ προσανακλάεσθαι, καὶ τὰ κατ' αὐτὸν ἕκαστον ὀλοφύρεσθαι, προσθήκην ἔσχον Ἀνδρόνικον τὸν κολοφῶνα τῶν κακῶν, δι' ὃν οὐδὲ ἀκαρῆ καρποῦμαι τὴν σύντροφόν μοι σχολήν· ἀλλ' ἐμὲ δεῖ μηδὲν ὄφελος ὄντα μηδενί, πάντων προσιόντων, καὶ τὴν ἀσθένειαν ἡμῶν διελεγχόντων, ἀνέχεσθαι. πρὸς ταῦτα δέομαι, πάνυ σφόδρα δέομαι ἀμφοῖν μὲν ὑμῶν, διαφερόντως δὲ σοῦ τῆς φίλης μοι κεφαλῆς, ἀδελφὲ Ἀναστάσιε· σὺ γὰρ δὴ φήμην ἔχεις προστατεῖν ἀνδρὸς λυττῶντος. εἴ τις σοι δύναμις πάρεστιν· ὑπὲρ Συνεσίου γὰρ μᾶλλον, ἢ ὑπὲρ Ἀνδρονίκου δικαιότερος ἂν εἴης αὐτῇ χρώμενος· ἀπάλλαξον κατηφείας Πτολεμαΐδα τὴν λαχοῦσάν με πόλιν, οὐκ ἐμοῦ γ' ἐθέλοντος· οἶδεν ὁ πάντα ὁρῶν ὀφθαλμὸς τοῦ Θεοῦ· οὐκ οἶδα ὑπὲρ τίνων ἐκτίνω τοσαύτας δίκας, καὶ εἴ τῳ, φησί, θεῶν ἐπίφθονοι πρότερον ἦμεν, ἀποχρώντως τετιμωρήμεθα. ἀλλὰ ταύτην γε τὴν φωνὴν ἄξιον εἰπεῖν καὶ ὑπὲρ Μαξιμίνου καὶ ὑπὲρ Κλεινίου, οὓς ἐμοὶ δοκεῖν, ἂν καὶ ὅστις ὠμότατος δαιμόνων ἠλέησεν· ἐξῃρήσθων τοῦ λόγου Θόας τε καὶ Ἀνδρόνικος, οἱ μόνοι δαιμόνων ἀμείλικτοι.

δοκεῖ.

A ad ea impotens, atque imbecillis. Cùm hæc, inquam, ita sese haberent, non ratione tamen dolorem vicerim, sed animum meum ad sese Andronicus reuocarit, ac communibus miseriis mentem aduertere coëgerit, fuerúntq; mihi ærumnæ ærumnarum remedia, quæ me ex aduersa traxerunt, ac commotionem animi commotione repulerũt, ira nempe dolori mixta, dolorem quem ex filij morte ceperam. Nosti ad certum anni diem mortem mihi prædictam fuisse: fuit ille ipse quo sum Episcopus factus. sensi ego mutationem vitæ, quam cùm hactenus perpetua quadã hilaritate, ac velut festiua celebritate tra- B duxissem, cùm honores humanos omnémque animi voluptatem supra eos omnes qui se vnquàm Philosophiæ dederunt, essem expertus, non minus ob externa illa bona, quàm ob animi statum atq; constitutionem: video me eodem tempore omnibus orbatum, ac despoliatum esse. Sed quod malorum est longè maximũ, quódq; mihi desperatam vitam facit, nũquam anteà in precibus ad Deum fundendis frustrari voto solitus, nũc primùm frustrà me sentio deprecatum, qui ærumnis oppressam familiam video, & in afflicta patria C versari cogor, & omnibus palàm propositus quã suas apud me calamitates deplorent ac lugeant, Andronicũ malorum omnium colophonem, ad ea accessionem habui, propter quem ne momẽto quidem familiari mihi otio perfrui licet, necesse autem est me cùm nulli vlla in re prodesse possim, adeuntibus omnibus & imbecillitatem nostram arguentibus æquo animo tolerare: ob hæc supplex rogo magnoperè, inquam, rogo cùm vtrumque vestrum tum carum te imprimis mihi caput frater Anastasi: Te enim fama est in furiosum ac rabidum hominem iuris nonnihil habere, si quid in te autoritatis est, iustius enim est D te ea in Synesij quàm in Andronici gratiam vti. Libera mœrore ac tristitia Ptolemaidem, quam ego vrbem sortitus sum minimè quidem volens, nouit omnia peruadens Dei oculus: quibus de causis tam graues pœnas exsoluam nescio, & si cuius, aiunt, deorum inuidiam in nos concitauerimus, satis supérq; pœnarum dedimus, verùm hac ipsa voce meritò pro Maximino & Clinia vtendum est, quorum vel crudelissimum quemq; dæmonum misertum iri mihi videtur, excipio Thoantem, & Andronicum, qui soli dæmonum implacabiles.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Theophilo. 79.

A Equidem paternis mandatis & manum, & voluntatem ministram eram adhibiturus, sed ne Ampelium quidem diligentiùs arbitror suis commodis prospexisse, quàm Nicæum, vt suis ipse bonis excideret: nam neque quid causæ anteà ad proficiscendum habuerit, satis scio, neque cur redierit, neque cur iterum peregrè sit profectus: quî enim nossem, cùm neque eum viderim, nec certi de eo quicquam renunciaretur, quum sacra tua manu scriptas literas alius quidam attulit, & has vicissim petiit, quoniam iam Nicæus è portu soluisset. B Neque verò mihi quidem ille visus non est: præfectus autem aut vidit, aut de eo aliquid audiit, sed ne ille quidem vidit aut audiit. Quomodo igitur Nicæus vincat, qui in agro procul ab iis finibus degit, & pro eo commoditates plurimas, quascumque agricolis tempestates ferunt, percipit? plures autem forent, si materna bona retinuisset.

Θεοφίλῳ.

Ἐγὼ μὲν οἷος ἦν τῷ πατρικῷ προστάγματι καὶ χεῖρα καὶ γνώμην ὑπηρέτιν εἰσενεγκεῖν· ἀλλ' οὐκ ἂν οἶμαι κάλλιον Ἀμπέλιος ἐσκέψατο περὶ τῶν ἑαυτοῦ λυσιτελούντων, ἢ Νίκαιος ὑπὲρ τοῦ πῶς ἀλλοτριωθείη τῶν ἑαυτοῦ. οὔτε γὰρ ἐφ' οἷς πρότερον ἀπῆρεν οἶδα καλῶς, οὔτ' ἐπὶ τίσιν ἐπανῆλθεν, οὔτ' ἐπὶ τίσιν αὖθις ἀποδημεῖ. πῶς γὰρ, ὃν οὔτ' εἶδον, οὔτε περὶ αὐτοῦ τι σαφὲς ἀπηγγέλλετο, ἀλλὰ τὴν ἐπιστολὴν τῆς ἱερᾶς σου χειρὸς, ἕτερός τις ἐκόμισε, καὶ ταύτην ἀντῄτησεν, ὡς ἤδη Νικαίου λύσαντος τὸ πρυμνήσιον. καὶ οὐκ ἐγὼ μὲν οὐκ εἶδον αὐτόν· ὁ δ' ἡγεμὼν εἶδεν, ἢ ἤκουσεν. ἀλλὰ κἀκεῖνος οὔτ' εἶδεν, οὔτ' ἤκουσε. πῶς οὖν ἐστὶ Νίκαιον νικᾶν ὑπερόριον ἐν ἀγρῷ διαιτώμενον· ἀλλ' ἀντὶ τούτου πολλὰ κἀγαθὰ καὶ ὅσα φέρουσιν ὧραι τοῖς γεωργοῖς ἔχοντα· πλείω δ' ἂν ἦν, εἰ καὶ τῶν μητρῴων ἐκράτησε.

Philosophiæ Magistræ. 80.

Tametsi non omnia mihi eripere fortuna potest, vult tamen quæcunque potest:

C Ili. ω *Quæ natis me me orbauit multisq; bonisque.*

Sed optima quæque velle & iniuria oppressis adesse mihi nunquam eripiet: absit enim vt animum quoq; meum expugnet. Odi itaq; iniustitiam: hoc enim licet, prohibere autem vellem equidem: verùm & hoc ex eorum genere est quæ mihi erepta sunt: istúdque ante liberos à me sublatum est.

Fortes fuerunt primitus Milesii.

Fuit tempus illud, cùm ego amicis meis essem vtilis, & tu me alienum bonum appellares, potentiorum scilicet in me obseruantia ad aliorum commodum abutentem. D Erántque illi manus meæ, nunc omnibus destitutus relinquor, nisi si tu quidpiam potes. Nam & te cum virtute in bonis deputo quæ auferri nequeunt. Ac tu sanè semper & potes plurimùm, & possis, potestate tua quàm honestissimè vtens: Nicæus autem & Philolaus præstantissimi iuuenes, & cognati, quemadmodum rerum suarum domini reuertantur, curæ sit omnibus, qui te obseruant & priuatis & magistratibus.

Τῇ φιλοσόφῳ.

Εἰ καὶ μὴ πάντα ὁ δαίμων ἀφελέσθαι μου δύναται, ἀλλὰ βούλεται ὅσα γε δύναται·

Ὅς μ' υἱῶν πολλῶν τε καὶ ἐσθλῶν εὖνιν ἔθηκεν.

Ἀλλὰ τό γε προαιρεῖσθαι τὰ βέλτιστα καὶ παραστῆναι τοῖς ἀδικουμένοις, οὐκ ἀφαιρήσεται. μὴ γὰρ δὴ καὶ τῆς γνώμης ἡμῶν κατισχύσειε. μισῶ μὲν οὖν ἀδικίαν· ἔξεστι γάρ· κωλύειν δὲ βουλοίμην μὲν, ἀλλὰ καὶ τοῦτο τῶν ἀφαιρεθέντων ἐστί· καὶ οἴχεται καὶ τοῦτο πρὸ τῶν παιδίων.

Πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι.

Ἦν ὅτε κἀγὼ φίλοις ὄφελος ἦν· καὶ σύ με ἐκάλεις ἀλλότριον ἀγαθὸν εἰς ἑτέρους δαπανῶντα τὴν παρὰ τῶν μέγα δυναμένων αἰδῶ, καὶ ἦσαν ἐκεῖνοι χεῖρες ἐμαί· νυνὶ δὲ ἁπάντων ἔρημος ὑπολείπομαι, πλὴν εἴ τι σὺ δύνῃ· καὶ γὰρ δὴ καί σε μετὰ τῆς ἀρετῆς, ἀγαθὸν ἄσυλον ἀριθμῶ. σὺ μὲν οὖν ἀεὶ καὶ δύνῃ καὶ δύναιο κάλλιστα χρωμένη τῷ δύνασθαι. Νίκαιος δὲ καὶ Φιλόλαος οἱ καλοὶ κἀγαθοὶ νεανίαι καὶ συγγενεῖς, ὅπως ἐπανέλθοιεν τῶν ἰδίων γενόμενοι κύριοι, πᾶσι μελέτω τοῖς σὲ τιμῶσι καὶ ἰδιώταις καὶ ἄρχουσι.

Fratri. 81.

Ecquem verò, ecquem admirationi esse

Τῷ ἀδελφῷ.

Τίνα μέν τοι, τίνα παρὰ τῶν οἷος αὐτὸς εἶ,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

προσήκει θαυμάζεσθαι· τὸ σώφρονα, τὸ ἐμμελῆ, τὸ παιδείας ἑταῖρον, τὸ προσανέχοντα τῷ Θεῷ καθάπαξ, τὸ οἷός ἐστι Γερόντιος. ἔχεις οὖν τὸν ἄνδρα μετὰ τῆς ἐπιστολῆς, ᾧ χρησάμενος, ἐρεῖς οὐ φαῦλον ἐπαινέτην ἐμέ.

A par est apud tui similes? Eum nempe qui & frugi homo sit, & concinnus, & disciplinæ socius, & diuino cultui deditus: & vt vno verbo dicam, qui Gerontij sit similis. Habes igitur cùm litteris hominem, quo cùm vsus fueris non malum me laudatorem dixeris.

Χρυσῇ.

Οὐχ ὅτι μοι τῶν παιδίων συγγενής ἐστιν ὁ θαυμαστὸς Γερόντιος, συνίστημι τὸν νεανίσκον τῇ φιλίᾳ τῇ σῇ· καὶ τοῦτο μὲν γάρ· ἀλλ᾽ ὅτι πρέπων ἐστὶ τοῦ χρυσοῦ Χρύσου τοῖς τρόποις, εἰ δεῖ μέ τι καὶ ψυχρὸν εἰπεῖν καὶ γοργιαῖον. πάντως μέν τοι μᾶλλόν ἐστιν ἀληθὲς εἰπεῖν σε εἶναι ἁπάσης ἀρετῆς εἴσω, καὶ τὸν διδόντα σοὶ τὴν ἐπιστολὴν, ἀξιώτατον ἀπολαύειν σου τῆς συνουσίας.

Chrysi. 82.

Non quòd liberorum meorum cognatus est præclarus Gerontius, idcircò adolescentem tuæ amicitiæ commendatum volo : quamquam & hoc ita sese habet, B sed quod aurei Chrysæ moribus conueniens est si quid frigidum dicere me, & Gorgiæ non dissimile oportet. Verùm cæteris istud omnibus longê veriùs dixerim te intra genus omne virtutis esse constitutum, eúmque qui ad te hasce litteras defert, tua esse familiaritate dignissimum.

Τῷ ἀδελφῷ.

Μῆκος ἐπιστολῆς, ἀνοικειότητα κατηγορεῖ τοῦ διακομίζοντος· ἀλλ᾽ ὁ θαυμαστὸς Γερόντιος, οἶδε μὲν ὅσα κἀγώ· εἰ δὲ μὴ πρὸς τὸ ψεῦδος ἀνοικείως εἶχε, διηγήσατο ἂν καὶ ὧν ἠπίστατο πλείονα, τῷ φιλεῖν ἐμὲ, καὶ τῷ γλῶτταν ἔχειν ἀρκοῦσαν τῇ γνώμῃ, ὃν ἂν ἴδῃς ἡδέως, εἶδες ὡς ἐγὼ βούλομαι.

Fratri. 83.

Epistolæ prolixitas alienum esse eum à quo perferatur, arguit. Præclarus autem Gerontius nouit quidem quæ ego C omnia : nisi verò ab omni mendacio esset alienus, plura etiam quàm quæ sciret dixisset, pro eo quod me amat, & linguam habet ad intimos animi sensus aperiendos idoneam, quem si tu libenter videris, videris sanê quemadmodum videri abs te cupio.

Τῷ αὐτῷ.

Δέδεξο μετὰ τῆς ἐμψύχου καὶ τὴν ἄψυχον ἐπιστολήν· μετὰ τοῦ θαυμαστοῦ Γεροντίου, ταῦτα τὰ γράμματα, νόμῳ τὸ πλέον ἢ τῇ χρείᾳ τοῦ προσειπεῖν σε γενόμενα. ὅτι γὰρ ἡμεῖς συζῶμεν τῇ περὶ σοῦ μνήμῃ, μυρίων ἐπιστολῶν μακρῶν μεγαλοφωνότερον ὁ νεανίσκος ἂν διηγήσαιτο.

Eidem. 84.

Accipe cum animata, etiam animæ expertem epistolam, cum egregio Gerontio quas ad te scripsi litteras, quæ legi cuidam potiùs quàm salutandi tui necessitati sunt concessæ, quod enim cum assidua tui recordatione viuimus, infini- D tis litteris multo id clarius iuuenis isto narrauerit.

Τῷ αὐτῷ.

Ἐπιστολὴν ἐπέθηκα τῷ θαυμαστῷ Γεροντίῳ πρὸς τὴν ἱεράν σου καὶ περιπόθητον κεφαλὴν τῆς πρώτης ἐντεύξεως παρέξουσαν πρόφασιν. τότε μὲν γὰρ αὐτὸν ἴσως δι᾽ ἐμὲ τιμήσεις· μετὰ δὲ τὴν πεῖραν, ἕτερόν τινα δι᾽ αὐτόν.

Eidem. 85.

Litteras ad sacrum tuum, mihique imprimis optatum caput, præclaro Gerontio commisi, quibus primi illi ad te aditus occasio præbeatur. Tum enim fortassis illum mei gratia honorabis: Postquàm verò periculum feceris, etiam alium eius gratia.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A

Eidem. 86.

Cui litteras hasce committo Dalmatiæ Legionis Quæstor est, & Annonæ Præfectus. Ego verò Dalmatas omnes perinde ac filios meos amplector, populus enim Vrbis eius sunt, quæ me sortita est, hoc solùm indicare tibi debui: tuum erit talem te erga meos, qualem erga tuos præbere.

Τῷ αὐτῷ.

Ὧι δέδωκα τὴν ἐπιστολήν, ταμίας ἐστὶ καὶ σιτοδότης τοῦ Δαλματῶν τάγματος· πάντας δ' ἐγὼ τοὺς Δαλμάτας, ἴσα καὶ τοὺς υἱέας τιμῶ. δῆμος γάρ εἰσι λαχούσης με πόλεως· μόνα οὖν ταῦτα μηνύσαι πρός σε. σὸν δὲ τοῖς ἐμοῖς ὡς σαυτοῦ χρήσασθαι.

Pylæmeni. 87.

B Cùm ego vernas ex Thracia litteras accepissem, Epistolarum fasciculum diu multúmque versaui, si cui forte præclarum Pylæmenis nomen esset inscriptum; quòd nefas ducerem aliud prius scriptum attingere: sed nihil vsquam visum est. Itaque si quidem absens es, propediem feliciterque reuertere: sin tum præsens aderas cùm noti omnes Zosimo litteras ad me dabant, sanè mirum fuerit quemquem mei magis esse Pylæmene recordatum.

Πυλαιμένει.

Ηεμᾶς ἀπὸ Θράκης ἐπιστολὰς κομισάμενος, ἠνώχλησα τῷ φακέλῳ τῶν γραμμάτων, εἴπου τις εἴη τὸ κλεινὸν ἐπιγεγραμμένη Πυλαιμένους ὄνομα· ὡς οὐκ ἄξιον ἑτέρῳ βιβλίῳ προεντυχεῖν· ἀλλ' ἦν οὐδὲν οὐδαμοῦ. εἰ μὲν οὖν τυγχάνεις ἀποδημῶν, ἀλλ' ἐπανέλθοις ταχέως τε καὶ καλῶς· εἰ δ' ἐπεδήμεις ἡνίκα πάντες οἱ γνώριμοι Ζωσίμῳ τὰς ἐπιστολὰς ἐπεδίδοσαν, τοῦτ' ἂν εἴη τὸ παράδοξον, εἴ τις ἐγένετο περὶ ἐμὲ Πυλαιμένους μνημονικώτερος.

Fratri. 88.

C Hactenus res nostræ felici in statu fuerant: inde velut reciproco quodam fluminis impetu, & publica me, & priuata mœrore afficiunt: viuo enim non priuatus in infesta regione, mihíque singulorum calamitates deplorandæ sunt, & in mense sæpiùs ad propugnacula prosiliendum, quasi ad militiæ societatem non ad fundendas preces sim conductus. tribus ex maribus vnus adhuc mihi superest. tu verò si secundo vento nauiges, feliciterque viuas, non vsquequaque fortuna nobis infesta est.

Τῷ ἀδελφῷ.

Τέως μὲν ἐνεκαρτεροῦμεν εὖ· εἶθ' ὥσπερ ῥεύματος ἀνθυπενεχθέντος, καὶ τὰ κοινὰ λυπεῖ, καὶ τὰ ἴδια. ζῶ τε γὰρ οὐκ ἰδιώτης ἐν χώρᾳ πολεμουμένῃ· κἀμὲ δεῖ κλαίειν ἀεὶ τὴν ἑκάστου συμφοράν· καὶ τοῦ μηνὸς πολλάκις ἐπὶ τὰς ἐπάλξεις πηδῶ, ὡς ἐφ' ᾧ γε συστρατεύσομαι μεμισθωμένον, οὐκ ἐφ' ᾧ γε προσεύξομαι. τριῶν ἀρρένων ἓν ἔτι μοι λείπεται· σὺ δὲ ἐὰν ἐξ οὐρίας πλέῃς καὶ ζῇς ἡδέως, οὐ πάντα ἡμᾶς ὁ δαίμων λυπεῖ.

D

Theophilo. 89.

Sublata ex hominibus iustitia est. Andronicus & anteà faciebat, & modò patitur iniuriam. Est autem Ecclesiæ animus eiusmodi vt depressos extollat, elatos deprimat. Hunc igitur Andronicum oderat quidem eorum meritò quæ perpetrabat, ideóque eò illum recipere passa est: nunc verò miseretur, quod illum quauis imprecatione grauiora expertum sentiat: adeò vt potentibus etiam viris eius grati molesti fuerimus.

Θεοφίλῳ.

Οἴχεται τὸ δίκαιον ἐξ ἀνθρώπων. Ἀνδρόνικος " καὶ πρότερον ἠδίκει, καὶ νῦν ἀδικεῖται. τὸ δὲ τῆς ἐκκλησίας " ἦθος, οἶδεν ὑψῶσαι μὲν ταπεινόν, ταπεινῶσαι δὲ ὑψηλόν. τοῦτον δὴ τὸν Ἀνδρόνικον, ἐμίσει μὲν ἐφ' οἷς ἐποίει· διὸ καὶ προήκατο μέχρι τούτων ἐλθεῖν· ἐλεεῖ δὲ νῦν, ἐφ' οἷς ἤδη τοῖς ὑπὲρ κατάραν ὡμίλησεν· " ὅτι καὶ τοὺς νῦν ἐν δυνάμει δι' αὐτὸν ἐλυπησάμεθα.

χ. πρότ. μὲν ἠδ.
ἢ ἀδ.
χ. ἔθος.
χ. ὅτι.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A ἀλλὰ δεινόν, εἰ μηδέποτε μετὰ τῶν εὐημερούντων στησόμεθα· τοῖς δὲ κλαίουσιν ἀεὶ συνδακρύσομεν. ἡμεῖς τε οὖν ἐνταῦθα στυγνοῦ βήματος αὐτὸν ἐξελόμεθα, καὶ τἄλλα ἐλάττους αὐτῷ παρὰ πολὺ τὰς συμφορὰς ἐποιήσαμεν· κἂν ἡ σὴ θεοσέβεια φροντίδος αὐτὸν ἀξιώσῃ, τοῦτο μέγιστον ἐγὼ τεκμήριον δέξομαι, τοῦ μὴ παντάπασι τὸν ἄνθρωπον ἀπογνωσθῆναι παρὰ Θεοῦ.

Enimuerò acerbum illud est, si nunquam nos cum felicibus, ac florentibus stabimus, sed vnà cum flentibus perpetuò flebimus. Quare nos hîc eum funesto è Tribunali extraximus, cæterísque in rebus ei leuiores multò calamitates reddidimus. Quòd si qua tua illum pietas cura ac sollicitudine dignabitur, magno hoc mihi argumento fuerit, hominem à Deo non omninò esse derelictum.

Τρωΐλῳ.

Troilo. 90.

B Πάλαι μὲν ἀπραγμονεστέρας ἐποιούμην τὰς πρὸς τοὺς ἑταίρους ἐντεύξεις καὶ παρὼν καὶ γράφων. ἔζων γὰρ ἐπὶ τῶν βιβλίων, τρόπον τινὰ ἀσύντακτος πάσῃ πόλει καὶ πολιτείᾳ· νυνὶ δὲ, ἐπέταξε γὰρ ὁ Θεὸς εἰς ἀποδεδειγμένον χωρίον οἰκεῖν, καὶ αὐτὸν ἔχειν ἐν τῇ πόλει τινὰ τάξιν, καὶ ζῆν ἐν διηριθμημένοις ἀνθρώποις· βουλοίμην ἂν οὖν ὄφελος εἶναι τοῖς συλλαχοῦσι, καὶ ποιεῖν ἀγαθὸν, ὅ,τι δυναίμην, καὶ ἕκαστον ἰδίᾳ, καὶ τὴν πόλιν κοινῇ, ἵν᾽ ὁρῴην τε καὶ ὁρῴμην ἡδέως παρὰ τῶν, ὡς ἂν εἴποι τις, συμπλόων τοῦ βίου. εἴ τι τοίνυν Μαρτύριος ὤναιτο τῆς δι᾽ αὐτὸν γενομένης ἐπιστολῆς, ἴσθι μοι χαρισάμενος ἐν ἀνδρὶ συνδιημερεύοντι, καὶ ναὶ μὰ τοὺς λόγους τὰ ἐμὰ καὶ σὰ παιδικὰ, πολλάκις εἰς τὸ συνεῖναί μοι πολὺ καὶ τῆς νυκτὸς μέρος ἐπιλαμβάνοντι.

Olim quidem securiori, ac faciliori amicorum consuetudine perfruebar, cùm præsens ipse, tum per literas: ætatem enim in libris consumebam ab omni quodammodo & ciuitate & Republica abhorrens. Iam verò, præcepit quippe mihi Deus, vt in loco constituto degerem, certúmq; in ciuitate ordinem tenerem, & cum definitis hominibus ætatem agerem: vellem equidem iis quibuscum mihi viuendum est aliqua in re commodare, benéque de iis quacumque possem ratione mereri, cùm vnoquóq; priuatim tum publicè vniuersa C ciuitate, vt & videre & videri ab iis libenter possem, eiusdem, vt ita dicam, vitæ nauigationis sociis. Quare si qua in re Martyrio, quam pro illo scripsi Epistola adiumento fuerit, scito te mihi in eo viro gratificaturum, qui mecum assiduè versetur, quique, per scientias ac disciplinas iuro, meas tuásq; delitias, sæpe dum nostra consuetudine delectatur, bonam noctis partem insumit.

Τῷ ἀδελφῷ.

Fratri. 91.

Κακὸν οὐ μικρὸν ἀπολαύσω τῆς ἀγροικίας, τῶν τρόπων λίαν ἀληθεύων διαθέσιν, οὐ ἴσθι ὄντι, καὶ ἐπὶ τῆς Λιβύων ἐσχατιᾶς.

τὴν τῶν τρόπων [margin note]

Non mediocre mihi damnum mea illa morum rusticitate conscisçam: cùm valdè ingenio meo, naturæq; seruiam, etiam in extremis illis Libyæ finibus.

D

Ἡσυχίῳ.

Hesychio. 92.

Ἀθηναῖοι Θεμιστοκλέα τὸν Νεοκλέους ἐπῄνεσαν, ὅτι καί τοι πολιτικῆς δυνάμεως ἐραστὴς παρ᾽ ὁντινοῦν τῶν ἐφ᾽ ἑαυτοῦ γενόμενος, ἀπηύξατο πᾶσαν ἀρχὴν, ἐν ᾗ τῶν ξένων οὐδὲν ἔμελλον πλέον ἕξειν οἱ γνώριμοι. σοῦ δὲ ὅτι μὲν ἐπέγνωσαν τὴν ἀρετὴν οἱ καλοὶ, καὶ διά σε παρῆλθεν εἰς τὴν πολιτείαν ἀρχῆς ὄνομα, καὶ πρᾶγμα καινὸν, ἥσθην μὲν ὥσπερ εἰκὸς ἑταίρους ἐκ παλαιοῦ γεγονότας, τῆς ἱερᾶς γεωμετρίας ἀλλήλοις ἡμᾶς μνηστευσάσης·

ἑαυτῷ. [margin note]

Athenienses Themistoclem Neoclis filium laudarunt, quòd tametsi pro cæteris qui iisdem temporibus vixerunt, ciuilis potentiæ appetens foret; imperium tamen omne detrectabat, in quo nihilo plus noti ignotis ac peregrinis consequerentur. Tua verò virtus, quoniam iisce tēporibus experta est, ac propter te nouum in Rempub. nomen, nouáq; res introducta; & gauisus equidem sum, quòd facere par erat eos, qui iampridem necessitudinem contraxissent, cùm nimirum sacra Geometria nos inuicem conciliasset.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A Quoniam verò in Senatorum numerum etiam fratrem meum ascribis, nec eius familiam ex infelicibus tabulis eximis, etiamsi pro veteri calamitate antehac aliquid contigerit, istud verò non iam Themistoclis simile fieri abs te dico, nec diuinæ Geometriæ consentaneum. Euoptium enim tibi fratrum tuorum loco esse oportebat, si quæ eadem vni sunt, eadem & inter se esse necesse est. Quòd si affluentum negotiorum multitudine districtus officij tui rationem nullam hactenus habuisti fac istud comprobes, ô præclare vir, statimque vt litteras acceperis, socrum eius ab iniqua mulcta exime, tam futuri quàm præ-
B teriti temporis; fratrémque meum mihi reddito, qui vtrum eius rei gratia peregrè sit profectus, nouit Deus: apud me quidem, qui ob plerasque quæ auditæ tibi sunt, calamitates consolatione egeo, nullam aliam absentiæ suæ excusationem prætendit.

A ὅτι δὲ ἐν τοῖς βουλευταῖς καὶ τὸν ἐμὸν ἀδελφὸν ἀξιοῖς ἀριθμεῖν, ἀλλ' οὐκ ἀπαλείφεις τὴν οἰκίαν ἀπὸ τοῦ πονηροῦ βιβλίου, κἂν εἴ τι κατὰ συμφορὰν ἀρχαίαν περιελήφθη γενόμενον, τοῦτο δὲ, οὐ κατὰ Θεμιστοκλέα σέ φημι ποιεῖν, οὔτε ὁμολογοῦντα τῇ θείᾳ γεωμετρίᾳ. Εὐόπτιον γὰρ ἐν ἀδελφοῖς ἔδει τετάχθαι τοῖς σοῖς, εἰ τὰ τῷ αὐτῷ τὰ αὐτὰ, καὶ ἀλλήλοις εἶναι δεῖ τὰ αὐτά. εἰ δὲ διὰ τὸν τῶν περικεχυμένων πραγμάτων ὄχλον, ὃ χρεὼν ἠμέληται μέχρι τοῦ νῦν, δεῖξον, ὦ θαυμάσιε, καὶ λαβὼν τὴν ἐπιστολὴν, ἄνες τὸν πενθερὸν αὐτοῦ τῆς ἀτόπου ζημίας, καὶ
B τὰ μετὰ ταῦτα, καὶ τὰ πρὸ τοῦ· καὶ ἀπόδος μοι τὸν ἀδελφὸν, ὃς εἰ μὲν δι' αὐτὸ τοῦτο ἀποδημεῖ, Θεὸς οἶδε· πρὸς ἐμὲ δὲ πάνυ παραμυθίας δεόμενον ἐπὶ πολλαῖς, ὧν οὐκ ἀνήκοος εἶ συμφοραῖς, οὐδὲν ἕτερον προφασίζεται.

Anysio. 93.

Nuper ego simul atque molestum è Cyrene nuntium accepissem, statueram, quàm possem celerrimè eius rei famam
C ad Teuchira transmittere: cùm ad me perlatum est, Imperatorem extremos Prouinciæ fines insedisse, priùs enim istud ipsum audieras: vtinam tantæ à Deo diligentiæ præmium nunc & in posterum consequaris. Ego verò qui & ea ipsa collaudarent, & in quo nunc esses statu quærerent, misi. esse verò te in omnium bonorum abundantia cupio. Curam enim, curam, inquam, Pentapolis habeo. qui enim non habeam quæ mihi vt Cretes dixerint, materna ciuitas extitit; maximè verò tui, gloriæque ac dignitatis tuæ? Nam in vnoquoque successu tuo mihi
D omnes gratulari censent oportere, igitur velut in te periclitans, virorum atque Imperatorum optime, meritò tuarum rerum statum nosse debeo: Ioannem adhortatus sum, quàm fortissime vt se gereret, nec alioqui in strenuum militem, modò illum Deus adiuuet. Præbe illi dextram fratris causa, qui tibi multorum vice ministrabit. Hoc mihi optimum consilium visum est, qui iuuenum indoles perspectas habeam, quóque sint erga se inuicem pudore, ac verecundia. Quòd si tibi etiam videbitur, ratum esto: Sodales eos qui militant, meo nomine salutato. Con-

Ἀνυσίῳ.

Πρώην οὐκ ἔφθασα τὴν βαρεῖαν ἀκοὴν ἀπὸ τῆς Κυρήνης πυθόμενος· κἀγὼ μὲν διε-
C νοούμην ᾗ τάχος ἐπὶ τὰ Ταύχειρα παραπέμψαι τὴν φήμην· ἧκε δέ τις ἀγγέλλων, ὡς ὁ στρατηγὸς ἤδη τὰ μετέωρα τῆς χώρας κατείληφεν· ἐφθάκεις γὰρ ἄρα πυθόμενος· ἄξιος τῆς προθυμίας ἀμοιβὴν παρὰ τοῦ Θεοῦ, καὶ νῦν καὶ εἰς ἔπειτα. ἐγὼ δὲ αὐτὰ ταῦτα καὶ νῦν ἐπαινεσόμενος ἔπεμψα, καὶ πευσόμενος ἐν οἷς εἴης· εἴης δὲ ἐν ἅπασιν ἀγαθοῖς. μέλει μὲν γάρ μοι, μέλει καὶ Πενταπόλεως. πῶς γὰρ οὔ; τῆς γε μητρίδος, ὡς ἂν Κρῆτες εἴπειεν, οὐχ ἥκιστα δὲ σοῦ καὶ τῆς δόξης τῆς σῆς. ἐφ' ἑκάστῳ γὰρ δὴ τῶν σῶν ἀγαθῶν ἐμοὶ πάν-
D τες ἀξιοῦσι συνήδεσθαι. ὡς οὖν ἐν σοὶ κρινόμενος, ἄριστε ἀνδρῶν τε καὶ στρατηγῶν, δίκαιός εἰμι καὶ εἰδέναι τὰ σά. Ἰωάννην προετρεψάμην ὡς ἐνῆν, ἀγαθὸν εἶναι, καὶ ἄλλως οὐκ ἄθυμον στρατιώτην ἐὰν ὁ Θεὸς αὐτῷ τι δῆται. δὸς αὐτῷ χεῖρα διὰ τὸν ἀδελφὸν, ὃς ἀντὶ πολλῶν ὑπουργήσει. τοῦτο ἐμοὶ μὲν ἄριστον δοκεῖ βούλευμα, τῷ τὰς φύσεις εἰδότι τῶν νεανίσκων, καὶ ὡς ἔχουσι πρὸς ἀλλήλους αἰδοῦς· εἰ δὲ καὶ σοὶ φανεῖται, κύριον ἔστω. τῶν ἑταίρων τοὺς ″ στρατευομένους ἄσπασαι. ὁ συν- γ. στρατευομένους.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ξυσφὸς μοι ταχέως ἐπανηκέτω, καλόν τι φέρων περὶ πολέμου διήγημα· ὃς καί τοι δειλότατος ὢν, ἐθάρρησε τὴν ὁδὸν, τῶν σῶν ὅπλων ἔμπροσθεν ὄντων. δὸς τῇ Κυρήνῃ τὴν συνωρίδα τῶν ἀδελφῶν· μαχοῦνται γὰρ ὑπὲρ τῆς ἐνεγκούσης τε καὶ τρεφούσης αὐτούς.

Τῷ ἀδελφῷ.

Ὅτι μὲν ἡμᾶς εἴκειν ἡγῇ τοῖς σαυτοῦ προστάγμασιν· οὕτω γὰρ γέγραφας· καλῶς γε ποιεῖς, καὶ δίκαια περὶ ἡμῶν φρονεῖς, καὶ πολλὰ κἀγαθά σοι γένοιτο διὰ τοῦτο· ὡς ἀπείληφά γε τὴν χάριν, εἴ δή τις ὀφείλεται καὶ νεωτέρῳ παρ' ἀδελφοῦ πρεσβυτέρου, τοῦ πείθεσθαι χάρις, ὡς οὐκ ἔγωγε οἶμαι· ἀλλ' ἡμῖν εἰς ἀντίδοσιν ἀρκεῖ, τὸ μὴ ἀγνοεῖσθαι παρὰ σοῦ τὴν ἔνστασιν ἡμῶν, ὅτι μόνῳ σοὶ τῶν ζώντων ἐγκείμεθα. ὅ, τι δὲ φὴς εἰδέναι σαφῶς, ὡς δι' εὐχῆς ἄγει τὰ τῆς φιλίας ἡμῶν Ἰούλιος, τοῦτο δὲ οὐκέτ' ἄξιον ἀποδέχεσθαι. λίαν γάρ ἐστιν ἀνδρὸς ἀπατωμένου, μὴ ἀπατῶντός γε εἴποιμι. ὁμοῦ γὰρ ἐγώ τε παρὰ σοῦ γράμματα ἀνεγίνωσκον, καὶ ἕτερός τις τὰ παρ' αὐτοῦ· καὶ σὺ μὲν ταῦτα φὴς, ἐκεῖνος δὲ τἀναντία· καὶ ἀνεγνωκέναι καὶ ἀκηκοέναι λέγεται, ὅτι διαλέγοιτο περὶ ἡμῶν ἀνεπιτηδείους λόγους. οὔτ' οὖν ἀπιστεῖν εἶχον ἀνδρὶ καλῷ κἀγαθῷ, καὶ πιστεύων, οὐ μὰ τὸν ὁμόγνιον τὸν ἐμόν τε καὶ σὸν, οὐ μετενόουν ἐφ' οἷς εὖ πεποιήκειν τὸν ἄνθρωπον, αὐτῇ τῇ προτεραίᾳ σὺν βίᾳ τὸν κατήγορον ἀποσκευάσας, ὃς ἐδίωκεν αὐτὸν ἀσεβείας, ὡς ἀδικοῦντα τὴν βασιλέως ἑστίαν. νὴ γὰρ τὴν ἱερὰν σου κεφαλὴν, εἰ μὴ ταῖς συχναῖς πείραις ἀντέσχον, τοῦτο μὲν τῇ τοῦ δικαστοῦ δειλίᾳ μετάνοιαν ἐπὶ τοιαύτης ὑποθέσεως οὐ προσιεμένου· τοῦτο δὲ τοῦ κατηγοροῦντος ἀπονοίᾳ, προσποιουμένου μὲν τὴν ἀνάγκην, προθυμουμένου δὲ δρᾶσαί τε κακόν τι καὶ παθεῖν, καὶ γαμετῆς ἂν αὐτοῦ καὶ παίδων ἥψατο τὸ δεινότατον, καὶ συγγενῶν συχνῶν καὶ πολλῶν φίλων, πλουσίων τε καὶ πενήτων· καὶ ὅλως κακῶν ἂν Ἰλιὰς περιέσχε τὴν πόλιν ἡμῶν, ὑπ' ἀνδρὸς ἀπογνόντος τὴν σωτηρίαν καὶ θανατῶντος· ἐνίκησε δ' ἂν Ἰούλιος νίκην, ἐφ' ᾗ ζῆν οὐκ ἂν ηὔξατο. ὑπὲρ ὧν ἁπάντων ᾠήθην ποιητέα μοι

A tubernalis meus citò ad me redeat: præclarum aliquem belli nuntium reportans: qui etsi formidolosissimus est, viæ tamen committere se ausus est, tuis armis protegentibus. da Cyrenæ par illud fratrum: pro ea enim vrbe quæ illos sustulit & aluit depugnabunt.

Fratri. 94.

Quòd tu mandatis tuis obtemperare nos arbitraris, ita enim scripsisti, rectè facis, & vt æquum est, de nobis existimas; atque eius rei gratia plurima tibi bona eueniant: quoniam hoc pacto etiam B me abs te officij debitum accepisse puto, si quod iuniori à maiore fratre officium debeatur. Quòd nequaquam in animum meum iudico. Nobis verò istud mercedis loco sufficit, si nostrum institutum non ignoretur, nimirum soli nos tibi mortalium esse obstrictos: quòd verò certò comperisse te dicis Iulium amicitiæ nostræ desiderio teneri, non hoc item probari conuenit: valdè enim hoc decepti, atque illusi hominis est, neque enim illudentis dixerim. Vnà enim & tuas ego litteras perlegebam, & ab illo C scriptas alius, ac tu quidem istud ais, ille verò contraria omnia, & legisse, & audisse dicitur, nequaquam illum congruos de nobis sermones serere. Quare neque ego honestissimo viro fidem derogare poteram, & cùm eam adhiberem non me per fraternæ tuæ meæque necessitudinis præsidem, beneficiorum pœnitebat, quæ in hominem contuleram, cùm proximo die accusatorem per vim amolitus essem, qui maiestatis illum arcessebat, tanquam qui Imperatoris domui iniuriam faceret. Etenim, per sacrum caput tuum iuro, nisi infinitis conatibus restitissem, partim ob iudicis D metum, qui in eiusmodi causa consilij mutationem nullam admittebat, partim ob accusatoris desperatam audaciam, qui per necessitatis speciem mali aliquid facere, & pati cupiebat, non modò illius vxorem, ac liberos pestifera illa labes inuasisset, sed & cognatos atque amicos quamplurimos, diuites æquè ac pauperes, prorsúsque malorum quædam Ilias vrbem nostram corripuisset, propter vnum qui salute desperata in exitium sponte præcipitaret. Iulius porrò victoriam obtinuisset, secundùm quam viuere nequaquam voluisset. Quas ob res fa-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

cienda mihi ea omnia putaui, quæcunque facta sunt: capiat ex natura, animóque meo vtilitatis aliquid etiam inimicissimus quisque: Longè enim præstabilius mihi est, aliquem à me præter meritum beneficio esse deuinctum, quàm multos pati, cùm prohibere liceat, indignê malis quamplurimis affici. neque enim vel nobilem eius vxorem, vel filios odio habeo: quamquam ne ipse quidem ob conuitia, quæ identidem in me iactat, dignus est, qui mali aliquid à me auferat. Tantùm abest: odio sane quidem prorsus dignus est: hæc enim iactitat molestiam se mihi facere arbitrans, ac velut contristaturus loquitur. Quare voluntas ipsa non reprehensione caret, sed affinis crimini est. Illud tamen intelligat, vel minimê potiùs intelligat, desineret enim hanc mecum gratiam inire: tu verò perspicuê intelligas, quod veteri prouerbio tritum est, vtilitatem capi ex inimicis posse, nunc re ipsa esse comprobatum. Quid enim non ad gloriam nobis atq; existimationem confert? Quicumque laudare nos nititur, cùm inuenire quid dicat aliud nihil potest, hoc primùm, & vnum, & maximum profert: Iulium de illo detrahere; hoc autem vno verbo quæ non bonorum copia continetur? Siquidem nequitiæ generi omni aduersari nihil aliud est, quàm esse generi omni virtutis affinem. Atque ego sane nihil eiusmodi in me esse intelligo; sed hoc ille ipse dicit. Nam dum contraria omnia dicit, fidem illius adstruit: adeò vt vel gratiam ei habeam. Per sacrum tuum caput, & liberorum salutem iuro, nihil esse in quo melius de me, quàm conuiciis ac probris lacessendo mereatur. Nam & apud Deum, & apud homines præclarum hoc mihi erit, atque amplissimum. Quinetiam mali animi pœnas dabit mihi quidem nequaquam: fortassis enim non vt maximè possem, vellem: omninò verò non si vellem, possem. Quid enim apud eum posset, qui modò præest Prouinciæ, tam infelici homo conditione, vt patriis sedibus vagus, ac profugus erret, nec reditus spem vllam habeat; cùm meis in prædiis hostes castra sua collocauerint, eáq; tanquam arce, ac præsidio aduersus Cyrenem vtantur? Cuinam igitur, cuinam pœnas dabit? Iustitiæ ipsi: ita enim proculdubiò fore polliceor, quòd præclarê scire videor. Nam illum meo & communis patriæ

A ταῦτα εἶναι τὰ γεγενημένα. τῆς δὲ ἐμῆς φύσεώς τε καὶ προαιρέσεως παραπολαβέτω καὶ ὅστις ἔχθιστος. πολλῷ γάρ ἐμοὶ κάλλιον ἔχει, τὸ ἀναξίως τινὰ πεποιηκέναι καλῶς, ἢ περιϊδεῖν πολλούς, ἐξὸν κωλῦσαι, παρὰ τὴν ἀξίαν πεισομένους κακῶς. οὐ γὰρ δὴ καὶ τὴν εὐγενῆ γυναῖκα, καὶ τὰ παιδία τοῦ ἀνθρώπου μισῶ. καί τοί γε οὐδ᾽ αὐτὸς ἄξιός ἐστιν, ἐπὶ ταῖς κατ᾽ ἐμοῦ λοιδορίαις παθεῖν τι " κακὸν ὑπ᾽ ἐμοῦ. πολλοῦ γε καὶ δεῖ· μισεῖσθαι μὲν γὰρ καὶ πάνυ· λυπεῖν B γὰρ οἰόμενος λέγει, καὶ ὡς δηξόμενος φθέγγεται. ἡ προαίρεσις οὖν οὐκ ἀναίτιος, ἀλλ᾽ ὑπαίτιος. ἴστω μέν τοι, μᾶλλον δὲ μὴ ἴστω· παύσαιτο γὰρ ἂν εὖ ποιῶν ἡμᾶς. σὺ μέν τοι σαφῶς ἴσθι τὸ πάλαι λεγόμενον, ὑπ᾽ ἐχθρῶν ὡς ἔστιν ὠφελεῖσθαι, νῦν ἔργῳ φαινόμενον. τί γὰρ εἰς εὔκλειαν ὁ ἀνὴρ ἡμῖν οὐ συντελεῖ; πᾶς ὅστις ἡμᾶς ἐπαινεῖν βούλεται, μηδὲν ἕτερον ἐξευρίσκων " εἰπεῖν, λέγει τοῦτο πρῶτον καὶ μόνον καὶ μέγιστον, ὡς Ἰούλιος αὐτὸν ἀγορεύει κακῶς. ἐν C δὲ τούτῳ τῷ λόγῳ, ποῖος οὐκ ἑσμὸς ἀγαθῶν; τὸ γὰρ ἀντικειμένως ἔχειν πρὸς παντοδαπὴν πονηρίαν, οἰκείως ἐστὶν ἔχειν πρὸς παντοδαπὴν ἀρετήν. ἐγὼ μὲν οὖν οὐδὲν ἂν ἐμαυτῷ συνειδείην τοιοῦτον· ἐκεῖνος δὲ φησιν. οἷς γὰρ τἀναντία φησί, τοῦτο πιστοῦται· ὥστε καὶ χάριν ἂν εἰδείην αὐτῷ. νὴ τὴν ἱεράν σου κεφαλήν, καὶ τὴν τῶν παιδίων μου σωτηρίαν· οὐκ ἔστιν ὅ, τι ἂν " μοι μεῖζον τοῦ λοιδορεῖσθαι χαρίσαιτο. καὶ γὰρ καὶ πρὸς Θεοῦ καὶ πρὸς ἀνθρώπων, ἐν τῷ καλλίστῳ μοι κείσεται τοῦτο. ἀλλὰ καὶ τῆς D προαιρέσεως δώσει δίκας· ἐμοὶ μέν, οὔ· τυχὸν μὲν γὰρ οὐδ᾽ ἂν εἰ δυναίμην, βουλοίμην. πάντως δέ, οὐδ᾽ ἂν εἰ βουλοίμην, δυναίμην· τί γὰρ παρὰ τὸν ἐπὶ καιροῦ δυνάστην ἄνθρωπος οὕτως ἀτυχής, ὡς ἀλᾶσθαι φεύγων τὴν ἑαυτοῦ, καὶ μηδ᾽ ἐλπίδας ἔχειν καθόδου, τῶν πολεμίων ἐστρατοπεδευκότων ἐν τοῖς ἐμοῖς, κἀκείνοις ἑρμητηρίοις κατὰ Κυρήνης χρωμένων; τίνι μέν τοι, τίνι δώσει δίκας; αὐτῇ τῇ δίκῃ. ἐγγυῶμαι γὰρ ἐγώ, τοῦτο " σαφῶς εἰδέναι δοκῶν. μεταλήσεται γὰρ αὐτὸ ὑπὲρ ἐμοῦ καὶ τῆς κοινῆς

γ. κακῶν
γ. ἐπαινεῖ
γ. κρεῖττόν μοι.
γρ. πατρῷος, ἀ.

A πατρίδος, ὑπὲρ ἧς τἀναντία πεπολιτεύμεθα, καὶ δι' ἣν ἀλλήλοις ἀπηχθήμεθα. οὐ γὰρ ὑπὲρ τῶν ἐμαυτοῦ τινός· οὐδ' ἂν αὐτὸς εἰπεῖν ἔχοι· ἀλλὰ τὰ πρῶτα μὲν ὅτι τὸ στρατιωτικόν τε καὶ τὸ βουλευτικὸν ἑώρων, εἰς θητικὸν, καὶ ἐπειρώμην ἀντέχειν. ἔπειτα μέν τοι τὰ περὶ τὴν πρεσβείαν καὶ πάνυ λαμπρῶς διεστασίασεν ἡμᾶς. ἐῶ τὰ κατὰ τὸν ἑταῖρον Διοσκουρίδην, ὅτι μετρίως ἐπράχθη, καὶ οὐχ ὡς ἂν κινῆσαι Θεοῦ τε καὶ ἀνθρώπων Νέμεσιν. αὕτη μέν τοι σαφῶς ἐστὶ περὶ ἧς πρὸς Λύραν ᾄδομεν·

B
Λήθουσα δὲ παρὰ πόδα βαίνεις·
Γαυρούμενον αὐχένα κλίνεις·
Ὑπὸ πῆχυν ἀεὶ βιοτὴν κρατεῖς.

Ἀλλὰ ψηφίζεσθαι δέον, ἐγὼ μὲν ἔγραφον ὑπὲρ τῆς πατρίδος, ἀστρατείαν εἶναι τοῖς ξένοις· ὁ δὲ ἀντέλεγεν ὑπὲρ Ἑλλαδίου καὶ Θεοδώρου. καίτοι τίς οὐκ οἶδεν, ὅτι καὶ τοὺς φύσει στρατιωτικῶς ἔχοντας τῶν ἀρχόντων, οἱ ξένοι μεταδιδάσκουσι, καὶ μετασκευάζουσιν εἰς ἐμπόρους. πάλιν ἔγραφον ὑπὲρ τοῦ λελύσθαι τὴν παρ' ἡμῖν στρατηγίαν, ὅπερ ἅπαντες ὁμοφώνως οἱ τῇδε ἄνθρωποι μόνον εἶναί φασι
C λυτήριον τῶν δεινῶν, ἐπανελθεῖν εἰς ἀρχαίαν ἡγεμονίαν τὰς πόλεις, τουτέστιν, ὑπὸ τὸν Αἰγυπτίων ἄρχοντα καὶ τὰς Λιβύων τετάχθαι· ὁ δὲ ἀντέλεγεν ὑπὲρ τῶν κερδῶν, καὶ ἄντικρυς ἀπετόλμα λέγειν, ὅτι λυσιτελεῖ ταπεινοὺς εἶναι στρατιώτας. ἀλλ' ὦ τᾶν· ἄξιον γὰρ διὰ σοῦ πρὸς αὐτὸν εἰρῆσθαι· διὰ ταῦτα, νῦν μὲν ἐπάρατος εἶ, τῆς κοινῆς τύχης ἐπὶ τἀναντία πειρώμενος· εὐτυχεῖς γὰρ ἐν ἀτυχοῦσιν· ἐγὼ δὲ τῇ πόλει συνατυχῶ. ἴσθι μέν τοι σαφῶς, ὅτι φύσεώς ἐστι νόμος, ἐμπεριέχεσθαι τῷ καθόλου τὰ μέρη· καὶ ὅταν πάνυ πολὺς ἀπὸ τῆς
D τοῦ σώματος συμφορᾶς ὁ σπλὴν αὐξηθῇ, ἕως μὲν ἀντέχει τὸ ὅλον, εὐθενεῖ τε καὶ πιαίνεται. ἀπολλυμένῳ δὲ συναπόλλυται· καὶ σὺ τὸ παρὸν εὖ τιθέμενος, λήσεις τοῖς σαυτοῦ πολιτεύμασιν εἱμαρμένη τῆς πατρίδος τε ὢν, καὶ σαυτοῦ. μέχρι τούτου Λασθένης ὠνομάζετο φίλος Φιλίππου, μέχρι προὔδωκεν Ὄλυνθον· τὸν δὲ ἄπολιν, πῶς εἰκός ἐστιν εὐτυχεῖν;

nomine vlciſcetur, pro qua diuerſas in adminiſtrando partes tenuimus, & propter quam mutuas offenſiones, atque inimicitias ſuſcepimus. Non enim vllius mearum rerum causâ ſuſcepimus: neque id dicere ille poteſt. Sed primùm omnium quod rem militarem & ciuitatis conſilium ad operas, atque mercenarios deueniſſe animaduerteram, eiq; reſiſtere conabar. Poſteà verò Legatio ipſa nos maximè inuicem abalienauit. mitto quæ in ſodalis Dioſcuridis cauſa contigerunt: quàm à me cùm omni moderatione facta, nec vt Dei aut hominum indignationem prouocarem: hæc tamen ipſa Nemeſis eſt de qua ad Lyram canimus;

Clam veſtigia gradiens premis
Elatáque colla reprimis
Sub norma vitam hominum tenes.

Verùm cùm decretum faciendum eſſet, ego quidem pro patria author eram, vt peregrini à militia immunes eſſent. At ille pro Helladio, & Theodoro repugnabat: quamquam quis eſt quin intelligat, Magiſtratus omnes, etiam eos qui natura maximè militares ſunt, à peregrinis dedoceri, & in mercatores transformari? Rurſus alterius decreti author eram, de abolendo apud nos Imperio, id quod omnes qui hîc ſunt vno conſenſu aſſerunt vnicum eſſe malorum remedium, vt antiquæ præfecturæ ciuitates contribuantur, hoc eſt vt ab Ægypti Præfecto Libyæ quoque vrbes adminiſtrentur. At ille lucri cauſa refragatus eſt, palámque dicere auſus eſt, expedire, humiles atque abiectos eſſe milites. Sed heus tu (operæpretium enim eſt, hoc illi abs te dici) propterea nunc quidem execrabilis es, qui communis fortunæ contra quàm cæteri ſis particeps: feliciter enim inter infelices degis; at ego communem cum ciuitate infelicitatem ſuſtineo. Scito tamen naturæ hanc eſſe legem, vt in toto partes comprehendantur. Ac quando ex corporis detrimento ſplen ſupra modum excreuerit, donec vniuerſum corpus ſteterit, gliſcit quidem, & diſtenditur; eo verò pereunte, vnà etiam perit. Sic tu quoque præſenti ſucceſſu vtens, paulatim conſiliis tuis fatalis & patriæ & tui peſtis atque exitium eris. Eo vſque Laſthenes Philippi amicus appellabatur, donec Olynthum prodidit: cum autem qui vrbe careat, quî veriſimile eſt eſſe felicem?

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A

Olympio. 95.

Ego Deum testem voco, quem & Philosophia, & amicitia veneratur, non vnam mortem me Episcopali dignitate antepositurum. Sed quoniam mihi Deus non quæ peterem, sed quæ vellet imposuit, illum ipsum precor qui mihi eiusmodi vitæ attributor extitit, esse & eius quod attribuit moderatorem, ac patronum: ne mihi res ista descensus à Philosophia, sed ad illam ascensus esse videatur. Interim verò, quemadmodum si quid mihi ex animi sententia contigisset, tibi omnium mihi amicissimo capiti communicassem, sic & molestorum ad te famam, auditionémque transmitto, vti & condoleas mihi, & si quid possis, re ad ingenium meum expensa, sententiam tuam de eo proferas, quid me facere oporteat. Ego enim adeò nunc è longinquo rei periculum facio, vt cùm septimum iam mensem molestum & inuisum munus ingressus sim, procul degam ab iis, apud quos Episcopus esse debeo, donec quæ eius rei natura sit, accuratè, penitúsque didicerim. Quòd si vnà cum Philosophia facere istud liceat, munus exercebo, sin abhorreat ab institutione animóque nostro, quid aliud quàm recta in celeberrimam Græciam nauigans demigrabo? Etenim simul Episcopatum eiurauero desperandus mihi patriæ aspectus est, nisi me omnium inhonoratissimum & execratissimum esse oporteat, in hominum infensorum & inimicorum turba assiduè versantem.

Ὀλυμπίῳ.

Ἐγὼ μάρτυρα ποιοῦμαι θεόν, ὃν καὶ φιλοσοφία καὶ φιλία πρεσβεύει, πολλοὺς μὲν ἂν θανάτους ἀνθ' ἱερωσύνης ἑλόμενος· τοῦ θεοῦ δὲ ἐπενεγκόντος οὐχ ὅσαπερ ᾔτουν, ἀλλ' ὅσαπερ ἐβούλετο, εὔχομαι τὸν γενόμενον νομέα τοῦ βίου, γενέσθαι καὶ τοῦ νεμηθέντος προστάτην, ὡς μὴ φανῆναί μοι τὸ πρᾶγμα φιλοσοφίας ἀπόβασιν, ἀλλ' εἰς αὐτὴν ἐπανάβασιν. πῶς δὲ B ὥσπερ εἴ τι μοι τῶν ἡδέων συνεπεπτώκει, ἐκοινωσάμην ἂν σοὶ τῇ πάντων φιλτάτῃ μοι κεφαλῇ, οὕτω καὶ τὴν δυσχερῶν εἰς σὲ παραπέμπω τὴν ἀκοήν, ἵνα συνάχθοιό τε, καὶ εἴ τι δύναιο πρὸς τὴν ἐμὴν φύσιν τὸ πρᾶγμα ἐξετάσας, εἰσηγήσαιο γνώμην, ὅ, τι με δέησῃ ποιεῖν. νῦν γὰρ ἐγὼ πόρρωθεν οὕτω διαπειρῶμαι τοῦ πράγματος, ὡς ἕβδομον ἤδη μῆνα γενόμενος ἐν τῷ δεινῷ, μακρὰν ἀποδημῶ τῶν ἀνθρώπων παρ' οἷς ἱεράσομαι, ἕως ἂν ἀκριβῶς ὁποῖόν ποτέ ἐστι τῇ φύσει καταC νοήσω· κἂν μὲν ἐγχωρῇ μετὰ φιλοσοφίας τὸ πρᾶγμα ἐργάσομαι· εἰ δὲ ἀλλοῖόν ἐστιν, ἢ κατὰ τὴν ἐμὴν ἀγωγήν τε καὶ προαίρεσιν, τί ἄλλο, ἢ τὴν εὐθὺ τῆς κλεινῆς Ἑλλάδος ἀποπλέων οἰχήσομαι. ἀπειπάμενος γὰρ τὴν ἱερωσύνην, ἀπογνωστέον ἐστὶ καὶ τῆς πατρίδος, εἰ μή με δεῖ πάντων ἀτιμότατον εἶναι, καὶ ἐναγέστατον ἐν ὄχλῳ μισούντων ἀναστρεφόμενον.

Eidem. 96.

Cùm epistolam perlegerem, in qua de valetudine tua narrabas, & initio veritus sum, & postremò animum resumpsi, intentato enim discrimine postmodùm meliora nuntiasti, de quibus verò postulas, vt à nobis aut mittantur, aut perferantur quæcumque in nostra potestate erunt, omnia vtique aut mittentur, aut perferentur. Nunc quæ in nostra sint potestate, quæ non sint, scribere superfluum fuerit; donatio enim ipsa comprobabit. Sanus, felixque perpetuè viuas, Deóque acceptus, ô sodalis optatissime, & vtinam aliquando mutua consuetudine gaudentes inuicem frui liceat, nec tu antè discedas quàm

Τῷ αὐτῷ.

Τὴν ἐπιστολὴν ἀναγινώσκων, ἐν ᾗ διηγήσω περὶ τῆς ἀρρωστίας, καὶ ἐφοβήθην ἀρχόD μενος, καὶ παυόμενος ἀνεθάρρησα. ἀπειλήσας γὰρ κίνδυνον, εὐηγγελίσω τὰ λῷστα. περὶ ὧν δὲ ᾔτησας πεμφθῆναι παρ' ἡμῶν ἢ κομισθῆναι, τὰ δυνατὰ πάντα πάντως ἢ πεμφθήσεται, ἢ κομισθήσεται· τίνα δὲ αὐτῶν τὰ δυνατά, καὶ τὰ μὴ δυνατά, περιττὸν γράφειν. αὐτὴ γὰρ ἡ δόσις ἐπιδείξει. ἐρρωμένος καὶ εὐδαιμόνως διαβιώης θεῷ κεχαρισμένος, ἑταῖρε τριπόθητε· γένοιτο ἡμᾶς καὶ συμμίξαντας, ἀλλήλων αὖθις ἀπολαῦσαι, καὶ μὴ προεξέλθοις πρὶν ἂν ἀλλήλοις ἐν-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τυχομεν. εἰ δὲ Θεὸς ἄλλῃ πῃ βεβούλευται, σὺ δὲ καὶ ἀπόντων ἡμῶν μέμνησο. βελτίοσι μὲν γὰρ Συνεσίου ἐντεύξῃ πολλοῖς· φιλοῦσι δὲ μᾶλλον, οὐκ ἂν ἄλλοις ἐντύχοις.

A nos inter nos viderimus! ſin aliud Deo viſum fuerit, tu verò etiam abſentis noſtri recordare. Etenim meliores Syneſio multos reperies: qui impenſius ament, non temerè multos reperies.

Τῷ αὐτῷ.

Πῶς οἴει με διψῶντα ταῖς ἡδίσταις ἐπιστολαῖς ἐντετυχηκέναι; περὶ ποῖα δὲ μέρη τῆς ἐπιστολῆς, οὐχὶ πάσῃ διακεχύσθαι τῇ ψυχῇ; ἀφ' ὧν ἦλθον εἰς πολλαπλασίαν διάθεσιν, καὶ οὐκ εἰς μακρὰν προσδοκῶ τὴν Ἀλεξάνδρειαν ἔχουσαν ἔτι τὴν φίλην κεφαλὴν ὄψεσθαι. ἐφ' οἷς γὰρ Σεκοῦνδον εὖ ἐποίησας, ἡμᾶς ἐτίμησας· καὶ ἐφ' οἷς οὕτω γράφων τιμᾷς, ἐξηρτήσω σαυτοῦ, καὶ ἐποίησας εἶναι σούς, ὅσον τῶν χαμαὶ ἐρχομένων ὄντες, οὐκ ἐπιγινώσκομεν τὴν ἀξίαν, διπλῇ τιμώμενοι, καὶ τοῖς μεγέθεσι τῶν γραφομένων, καὶ τῇ σπουδῇ τῶν γινομένων. τῷ δεσπότῃ μου τῷ Κόμητι γέγραφα μὲν ἤδη πολλάκις· ἐπεὶ δὲ ἐν ταῖς διὰ τοῦ παιδὸς ἐπιστολαῖς, αἰτιᾷ μὴ γεγραφότα πρὸς αὐτόν, ἐπέθηκα καὶ τῷ δεσπότῃ μου τῷ ἀδελφῷ πρὸς αὐτὸν γράμματα· ἐρρωμένος καὶ εὐδαιμονῶν διατελοίης φιλοσοφίας ἔχων φροντίδα, ὅση προσήκει τοῖς μετὰ θείων ἐρώτων ἡρημένῳ ταύτης. ἀπὸ τῆς κλίνης σοι γέγραφα, μόλις ἀρκούμενος εἰς διασκευὴν τῶν γραμμάτων. εὔξαι τὰ ἄριστα ἡμῖν, ἅπερ ἂν ὁ Θεὸς ἄριστα δοκιμάσοι. ἐὰν ἀνασφήλω, ἐπὶ τὴν Ἀλεξάνδρειαν εὐθὺς ἵεμαι.

Eidem. 97.

Quàm me putas ſitientem ſuauiſſimas litteras tuas accepiſſe? quam verò in partem litterarum non animum omnem effudiſſe? Ex quibus variis ſum modis affectus, nec longo pòſt tempore ſpero me Alexandriam amicum ad-
B huc mihi caput habentem viſurum eſſe. Nam quod tu de Secundo bene es meritus, me honore affeciſti; & quòd adeò honorificè ſcribis, me tibi penitus deuinctum, tuúmque reddidiſti. Quandoquidem humi nos repentes tantæ rei meritum non agnoſcimus, cùm dupliciter honoramur, & eorum quæ ſcribuntur magnitudine, & quæ facta ſunt ſtudio ac voluntate. Domino meo Comiti ſcripſi quidem & aliàs ſæpe: ſed quoniam in litteris quas per puerum miſit, accuſat me quòd nihil ad ſe ſcrip-
C ſerim, Domino meo fratri litteras ad eum perferendas dedi. Incolumis, felixque perſeueres, Philoſophiæ tanto ſtudio addictus, quantum ineſſe ei par eſt qui diuini cuiuſdam amoris impulſu illam attigerit. E lectulo ad te ſcripſi, ægrè ad litteras conficiendas ſufficiens: precare quàm optima nobis, quæ ſcilicet Deus optima eſſe iudicauerit: ſi conualuero ſtatim Alexandriam aſpirabo.

Τῷ αὐτῷ.

Καινὸς οὗτος ὁ τρόπος ἐπιτηδεύεται παρ' ἐμοῦ χρείας ἐπιστολῶν. οὐ γὰρ ἵνα συστήσω τῇ φιλίᾳ τῇ σῇ τὸν ἐπιδιδόντα τὴν ἐπιστολὴν γέγραφα· ἵνα δέ σοι τὸν ἄνδρα χαρίσωμαι, κέρδος οὐ μικρὸν ἐσόμενον σοί τε τῷ μεγάλῳ Διογένει τοῖς σοῖς παιδικοῖς. καὶ μὴ χαλεπήνῃς εἰ κέρδος οὐχ ὑμᾶς Θεοτίμῳ, Θεότιμον δὲ ὑμῖν εἶναι δοκιμάζω καὶ λέγω. ἀλλὰ τοῦτο εἴ γε ποιητὴς ἀνὴρ τῶν νῦν ἐνθεώτατος δυνάμεως δέ-
ἴσως ἂν οιτο· δυνάμεως δὲ δεῖται τῆς ποιητικῆς, ἵνα καὶ τοῖς μετέπειτα δόξῃ, καὶ μηδὲ τοὺς ἀπόντας λάθῃ. τὰ γὰρ μεγάλα τῶν ἔργων, αἱ μὴ

Eidem. 98.

Noua hæc in vſu Epiſtolarum à me
D inita ratio eſt. Neque enim eo ſcripſi, vt eum amicitiæ tuæ commendarem, qui tibi haſce litteras daret, ſed vt beneficij ac gratiæ tibi eum loco darem, non mediocre tibi lucrum, magnóque Diogeni deliciis tuuis futurum. Nec tu mihi ſuccenſeas, ſi non vos Theotimo, ſed Theotimum vobis lucro futurum ſentio, atque dico. Sed hoc nimirum ita ſe habet, ſi & vir ille omnium qui nunc viuunt, Poëtarum diuiniſſimus eſt, & Poëtica vi opus quiſpiam habet, vt & poſteris illuſtris videatur, neque abſentibus ignotus ſit. Præclara enim quæque facinora, ſi

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

præconio orationis destituantur, excidunt è memoria, & obliuionem induunt, solo illo quo fiunt tempore inter eos qui viderint celebrata. Quamobrem præter spem oblatum vobis hoc commodum magni faciendum est, & summo studio complectẽdum etiam citra necessitatem. Nam ob Musarum reuerentiam etiam harum sacerdotes omni humanitate prosequi æquum est: nec inferiores iis habere, qui aulas principum adulari didicerũt. Accedat & tertia quædam honoris erga illum vestri ratio, Synesius illum per omnia probans & admirans, ob quæ homines ab hominibus collaudari ac prædicari solent: perpetuò sanus atq; incolumis degas, vir summo in omnibus à me pretio habende, sacram animi tui affectionem salutant omnes qui in eadem mecum familia sunt: præ cæteris verò tuus Isio, & nos omnes qui vnà tecum sunt: præsertim autem Abramium meum. Comiti quæ scripsi danda erunt, nec ne, iudicabis.

Pylæmeni. 99.

Hic ille est sæpius à me memoratus Anastasius: sed & si teipsum illi significarem eadem tui prædicatione vterer. Igitur tanquam apud me pridem consociati, coniunctionem illam mutuæ agnitionis instar habentes mutua vos humanitate complectimini. Idque in communi videte, quemadmodum boni mihi aliquid conciliaueritis. otium porrò maximum bonum est, quod opimi instar, & vberis soli omnia bonorum genera Philosophi animo producere dici non immeritò potest: otio verò tum perfruar, cùm Romanæ Reip. contributus esse desiero. Quod ita demum accidet, si detestanda publici muneris functione liberer, à qua, quantum in imperatore erat, immunis factus sum. Sed meritò meipsum accusauerim, qui ex proprio studio aliquid capere commodi erubuerim. Itaque mihi ipse patrocinabor, videbor enim rursus per me legationem obire. Nam rursus lingua mea legatione fungitur. Nec quisquam eorum contradicet qui Pythagoram laudant, qui amicum alium esse semetipsum asseruit.

Eidem. 100.

Phycontius homo, (est autem Cyrenæorum nouale Phrycus) litteras ad

A τύχῃ λόγων κηρύκων, ἀπορρεῖ τῆς μνήμης, καὶ λήθην ἀμπίσχεται, παρ' αὐτὸν μόνον τὸν τοῦ πράττεσθαι χρόνον ἐν τοῖς ὁρῶσιν αἰσθησόμενα. ταύτῃ τε οὖν τιμητέον ὑμῖν τὸ ἕρμαιον, καὶ αὐτὸ παντὸς σπουδαστέον, καὶ δίχα τῆς χρείας. αἰδοῖ γὰρ μουσῶν, τοὺς ἱερεῖς αὐτῶν ἄξιον περιέπειν, καὶ μὴ δευτέρους τίθεσθαι τῶν κολακεύειν τὰς θύρας εἰδότων. προσκείσθω καὶ τρίτη τις αἰτία τῆς παρ' ὑμῶν εἰς τὸν ἄνδρα τιμῆς, Συνέσιος ἀγασθεὶς αὐτοῦ πάντα, ἐφ' οἷς ἄνθρωποι ἀνθρώπους ἐπαινοῦσι καὶ B μακαρίζουσιν. ἐρρωμένος διαβιώης πάντων ἕνεκα, ἐμοὶ τίμιε. προσαγορεύουσι τὴν ἱερὰν σοῦ διάθεσιν πάντες οἱ τὴν αὐτὴν ἡμῖν οἰκίαν οἰκοῦντες· ἐξ ἁπάντων δὲ μάλιστα ὁ σὸς Ἰσίων· καὶ ἡμεῖς οἱ ἅμα σοὶ, μάλιστα δὲ τὸν ἐμὸν Ἀβράμιον. τῷ κόμητί γε δοῦναι ἃ γέγραφα αὐτὸς δοκιμάσεις, εἴτε μή.

Πυλαιμένει.

Οὗτος ἐκεῖνος ὁ πολὺς ἐν τοῖς λόγοις ἡμῶν Ἀναστάσιος· καί σε δ' ἂν αὐτῷ δείξας, τὸν αὐτὸν ἔπαινον εἶπον ἂν περί σου. ὥσπερ οὖν ἐν C ἐμοὶ συνελθόντες πάλαι, καὶ τὴν συντυχίαν ἀναγνωρισμὸν ποιησάμενοι, φιλοφρονήσασθέ τε ἀλλήλους, καὶ κοινῇ σκοπεῖτε πῶς ἂν ἀγαθόν τί με ποιήσητε. σχολὴ δὲ μέγιστον ἀγαθόν, ἣν εἴποι τις ἂν ὥσπερ χώραν πάμφορον ἅπαντα καλὰ φέρειν τῇ τοῦ φιλοσόφου ψυχῇ· καρπώσομαι δὲ σχολήν, ἂν τοῦ συντετάχθαι τῇ πολιτείᾳ Ῥωμαίων ἀπαλλαγῆναί μοι γένηται. τοῦτο δὲ ὑπάρξαι, τῆς λειτουργίας ἀνιεμένῳ τῆς καταράτου, ἧς τὸ μὲν ἐπὶ βασιλεῖ, γέγονα ἐκτός· ἐμαυτὸν δ' ἂν αἰτιασαίμην D δικαίως, αἰσχυνθεὶς ὄνασθαι σπουδῆς οἰκείας. ἀπολογήσομαι τοίνυν αὐτὸς ἐμαυτῷ· δόξω γὰρ αὐτουργεῖν πάλιν τὴν πρεσβείαν. πάλιν γὰρ ἐμὴ γλῶττα πρεσβεύει· καὶ οὐδεὶς ἀντερεῖ τῶν Πυθαγόραν ἐπαινεσάντων, ὃς τὸν φίλον ἄλλον ἑαυτὸν ὡρίσατο.

Τῷ αὐτῷ.

Φυκουντίος ἄνθρωπος· Κυρηναίων δ' ἐπίνειον ὁ Φρυκοῦς· ἐπέδωκέ μοι φέρων ἐπι-

στολὴν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

στολὴν δὲ σὴν ἐπιγεγραμμένην ὄνομα. ταύτην ἀνέγνων ἡδέως ἅμα καὶ ἀγαμένως. ὠφείλετο γὰρ τὸ μὲν, τῇ διαθέσει τῆς ψυχῆς· τὸ δὲ, τῷ κάλλει τῆς γλώττης· καὶ δῆτα παρεσκεύασά σοι θέατρον ἐπὶ Λιβύης ἑλληνικὸν, ἐπαγγείλας ἥκειν ἀκροασομένοις ἐλλογίμων γραμμάτων. καὶ νῦν ἐν ταῖς παρ' ἡμῖν πόλεσιν ὁ Πυλαιμένης πολὺς, ὁ δημιουργὸς τῆς θεσπεσίας ἐπιστολῆς· ἓν τοῦτο ἄτοπον ἐφάνη καὶ παρὰ δόξαν ἀπήντησε τῷ θεάτρῳ· τὰς Κυνηγετικὰς ἤτεις τὰς ἐμὰς, ὡς δή τι σπουδαῖον αὐταῖς ἐνόν. ἔδοξας οὖν σεσηρὸς ἦθος παρέχεσθαι, καὶ εἰρωνείας ἀνάπλεων. οὐ γὰρ ἠξίουν τὸν παρὰ σφίσι τὸν φαυλότατον εἰπεῖν, ἐξενέγκαι τι παίγνιον τῆς παρά σοι σπουδῆς ἄξιον. ἐγὼ δὲ τούτου μέν σε παρῃτούμην τῆς εἰρωνείας· ἐδίδασκον δὲ, ὅτι πρὸς τοῖς ἄλλοις, ἅ σοι πάρεστιν ἀγαθὰ, φιλανθρωπότατός τε εἴης, καὶ τῶν ἐγκωμίων φιλοδωρότατος· οὔκουν ἐπὶ καταγέλωτι πεποιῆσθαι τὴν αἴτησιν· ἀλλ' ἵνα ἡδοίμην, τῇ παρὰ τοῦ τοιοῦδε μαρτυρίᾳ τιμώμενος. γράφε οὖν ὁσάκις ἂν ἐγχωρῇ, καὶ ἑστία Κυρηναίους τῷ λόγῳ, ὡς οὐδὲν ἂν αὐτοῖς ἥδιον ἀνάγνωσμα γένοιτο τῶν Πυλαιμένους γραμμάτων, ἤδη κατεσχημένοις ὑπὸ τοῦ "δείγματος· πάντως δὲ συχνοῖς ἐντεύξῃ τοῖς δεῦρο ἀφικνουμένοις, καὶ εἰ μηδέσιν ἄλλοις, ἀλλὰ τοῖς "ἄρξουσιν ἡμῶν καὶ τὴν ἐλάττω, καὶ τὴν μείζω, καὶ τὴν Αἰγυπτίων ἀρχήν· οὓς οὐκ εἰκὸς ἀγνοεῖσθαι διὰ τὴν ἀκολουθίαν τῶν δανειστῶν. ἐπεὶ δὲ διαφέρει σοὶ τἀμὰ εἰδέναι· φιλοσοφοῦμεν, ὦ 'γαθὲ, τὴν ἐρημίαν ἀγαθὴν ἔχοντες συνεργὸν, ἀνθρώπων δὲ οὐδένα, οὐδ' ἔστιν ὅπου ποτὲ ἐπὶ Λιβύης ἀκήκοα φωνὴν ἀφιέντος φιλόσοφον, ὅτι μὴ τῆς ἠχοῦς ἀντιφθεγγομένης "ἡμῖν. ἀλλὰ κόσμει, φησὶν, ἣν ἔλαχες Σπάρτην· κἀγώ μοι δοκῶ τὴν εἱμαρμένην ἀγαπήσειν τε καὶ κοσμήσειν τὴν αὐτὸς ἐμαυτοῦ, ἡγούμενος ἀγώνισμα τοῦτο προκεῖσθαι τῷ βίῳ καὶ βάσανον, εἰ μηδὲ ἀτυχοῦσαν ἀπολιμπάνω φιλοσοφίαν· ἐμοὶ γὰρ εἰ μηδεὶς ἄλλος μαρτυρεῖ, "ἀλλ' αὐτός γε πάντως ὁ Θεὸς, οὗ σπέρμα ὁ νοῦς ἐς ἀνθρώπους ἥκει.

(Margin: ῥήματος, θρυλήμ. — ἄρξασι, ἢ ... ουσιν. — ἐμοί. — πάντως γε)

A ad me tuo nomine inscriptas detulit: quas cùm iucundè, tum non sine stupore perlegi. Illud enim amori erga te meo, hoc sermonis venustati debebatur. Statímque græcum tibi in Libya spectaculum constitui, condicens omnibus, vt ad eruditas litteras audiendas conuenirent. Et nunc per vrbes nostras in ore omnium frequens est Pylæmenes, diuinæ illius epistolæ artifex. Vnum hoc absurdum, ac præter conuentus expectationem accidit, quòd Cynegeticas meas peteres, tanquam studio aliquid in iis dignum inesset. B Videbaris ergo ingenium præ te ferre cauillatione simulationéque plenum. Non enim fieri posse arbitrabantur, vt qui apud se omnium esset ad dicendum ineptissimus ludicrum, aliquid emitteret, quod studio tuo dignum videretur. At ego hac quidem te simulationis suspicione liberabam, docebam verò te ad cæteras animi dotes, longè humanissimum esse, & in laudando apprimè liberalem: Quare non ad irrisionem hanc esse petitionem comparatam, sed vt mihi ipse gratularer, C tanti viri testimonio honoratus. Itaque scribe quoties licuerit, & orationis tuæ quasi epulas quasdam Cyrenensibus præbe, quoniam nulla iis lectio iucundior accidere potest Pylæmenis litteris, qui quidem huius speciminis admiratione detinentur; prorsus verò multos reperies, qui huc proficiscantur: & si nullos alios, at eos saltem qui apud nos minori ac maiori, & Ægypti imperio præpositi sunt, quos ex creditorum comitatu nemo non facilè agnouerit. Et quia rerum mearum statum intelligere tua interest: Philosophamur, ô bone vir, optimam ad id adiutricem solitudinem nacti, hominum D verò neminem; nec vllum vnquam in Libya audiui, qui vocem emitteret Philosophiam redolentem, nisi Echo fortasse, voces nostras remittentem. sed illustra, aiunt, quam sortitus es Spartam: mihíque videor hoc meo fato fore contentus, meámque patriam ornaturus: certamen hoc vitæ propositum, atque experimentum ratus, si ne infelicem quidem Philosophiam deseram: Nam mihi vt omni alio teste caream: ipse tamen Deus testis erit, cuius semen quoddam hominibus insita

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

mens est. Ac me stellæ etiam ipsæ benignè identidem despectare videntur, quem in vastissima regione solùm cùm scientia sui inspectorem intuentur. Igitur nobis istud precare, vt eodem in statu perseueremus; tibi verò vt infelix forum relinquas, ô qui malè indole tua vteris. Maximè quidem velim te, adhuc externa felicitate affluentem ad interiora conuerti. Nam felicitatem velle cum secundis rebus commutare, aurea est pro æreis rependere. Atque ego ob hoc irrideri me gaudeo, quòd cognatis magistratus ambientibus, solus inter multos priuatus existam. Animum enim virtutum velut stipatu cingi, quàm corpus militibus malo, cùm præsens rerum status Reipublicæ administratorem Philosophum non ampliùs capiat. Sin nihilo in forensibus negotiis feliciùs versaris, quemadmodum neque opinor, nec malè de te vnquam speraui, fore vt à te ipso dissentires, & scribarum istorum similis esses, qui in ore hominum versantur: neque enim oratorum dixerim: si, inquam, nulla alia vestro foro ditandi sui ratio est, quàm si diuina omnia, & humana iura misceantur, & pro libero, atque ingenuo veterator aliquis efficiatur; si igitur ne ditaris quidem, multò magis Philosophiam respice: Quòd si hominem nactus fueris, qui strenuè ac viriliter philosophetur, ad eum inuestigandum, & Græciam, & Barbarorum oras peragrare minimè reprehendendum fuerit: nobísque fac oblatum istud lucrum impertias. Sin velut in annonæ sterilitate, nos tibi satisfacere posse videamur, veni & nostri, & nostrorum omnium particeps futurus, dum æquo atque eodem iure istud facias, vt in Lacedæmoniorum scripto continetur. Salutem meo nomine, etiam atque etiam impertias venerabili imprimis Marciano, quem si ante Aristidem Mercurij scientiarum præsidis typum, ad homines peruenisse dixissem, non essem eius meritum assecutus, plus est aliquid quàm typus. Epistolam ad ipsum dirigere, etsi maximè vellem, non sum ausus, ne varia eruditione refertis illis ratio mihi reddenda esset, qui voculas omnes ad viuum resecant. Non parum enim periculi est, ne in totius Græciæ conuentu epistola legatur: In

A δοκῶ δέ μοι καὶ τοὺς ἀστέρας εὐμενῶς, " ἐνατενίζειν ἑκάστοτε ὂν ἐν ἠπείρῳ πολλῇ μόνον ὁρῶσι θεωρὸν αὐτῶν σὺν ἐπιστήμῃ γινόμενον. συνεύξαι τοίνυν ἡμῖν ἐν οἷς ἐσμὲν εἶναι· σαυτῷ δὲ ἀπολιπεῖν τὴν κακοδαίμονα ἀγορὰν, ὦ κακῶς σὺ τῇ φύσει χρώμενε. μάλιστα μὲν οὖν ἀξιῶ σε καὶ εὐροούντων τῶν ἔξωθεν, ἰδεῖν εἰς τὰ εἴσω. τὸ γὰρ " εὐτυχίας εὐδαιμονίαν, ἀλλάξασθαι χρύσεα χαλκείων ἐστί. κἀγὼ χαίρω καταγελώμενος, ὅτι τῶν συγγενῶν σπουδαρ-
B χιώντων, μόνος ἐν πολλοῖς ἰδιώτης εἰμί. τὴν γὰρ ψυχὴν ἀρεταῖς δορυφορεῖσθαι προτιμῶ μᾶλλον, ἢ στρατιώταις τὸ σῶμα, οὐκέτι τῶν πραγμάτων χωρούντων ἐπιμελητὴν πολιτείας φιλόσοφον. εἰ δὲ μηδὲ ἐν τοῖς κατ᾿ ἀγορὰν βέλτιον πέπραχας, ὥσπερ οὐδὲ οἶμαι, οὐδὲ ἔστιν ὅτε περὶ σοῦ πονηρὰς ἔσχον ἐλπίδας, ὡς ἄρα ἐκστήσῃ σαυτοῦ, καὶ ὁμότροπος ἔσῃ τοῖς εὐδοκιμοῦσι τῶν γραμματέων· οὐ γὰρ ἂν εἴποιμι τῶν ῥητόρων· ἑτέρως δὲ οὐκ ἔστι
C πλουτεῖν ἐν ταῖς καθ᾿ ὑμᾶς ἀγοραῖς, μὴ πάντα μιγνύντα καὶ θεῖα καὶ ἀνθρώπινα δίκαια, καὶ κέρκωπα ἀντ᾿ ἐλευθέρου γινόμενον. εἰ τοίνυν οὐδὲ πλουτεῖς, ἔτι μᾶλλον εἰς φιλοσοφίαν ἴδε· κἂν μὲν ἐντύχῃς ἀνδρὶ συντόνως ἐργαζομένῳ φιλοσοφίαν· " ἀνεμέσητον δὲ ἐκπερινοστεῖν καὶ τὴν Ἑλλάδα, καὶ τὴν βάρβαρον ἐπὶ θήρᾳ τοιᾷδε· καὶ ἡμῖν τὸ ἕρμαιον κοίνωσαι. εἰ δὲ ὡς ἐν αὐχμώσῃ τῇ φορᾷ, καὶ ἡμεῖς ἀρκεῖν σοι δοκοῦμεν, ἧκε μεθέξων καὶ ἡμῶν καὶ τῶν ἡμετέρων, ἐπὶ τὰ ἴσα καὶ τὰ ὅ-
D μοια, φησι, τὸ γράμμα τὸ λακωνικόν. πρόσειπε παρ᾿ ἐμοῦ πάνυ πολλὰ τὸν σεβασμιώτατον Μαρκιανὸν, ὃν εἰ προλαβὼν Ἀριστείδην Ἑρμοῦ λογίου τύπον εἰς ἀνθρώπους ἔφην ἐληλυθέναι, μόλις ἂν ἔτυχον τῆς ἀξίας, ὅτι πλέον ἐστὶν ἢ τύπος. ἐπιστολὴν δὲ ἐξ εὐθείας πρὸς αὐτὸν ἐπιθεῖναι, καί τοι προθυμηθεὶς ἐνάρκησα, ἵνα μὴ εὐθύνας ὑπόσχω τοῖς πολυδέκταις, τοῖς ἀποσμιλεύουσι τὰ ὀνόματα. οὐ γὰρ μικρὸς ὁ κίνδυνος ἐν τῷ πανελληνίῳ τὴν ἐπιστολὴν ἀναγνωσθῆναι. καλοῦ

κ. ἀπν

κ. ἀτυχί. εὐδαιμ.

κ. ὑπη. πεν. ν

γὰρ οὕτω τὸν τόπον, ἐν ᾧ πολλάκις ἐφρόντισα A τὰς βαρείας φροντίδας, τῶν ἁπανταχόθεν ἐλλογίμων συνιόντων, ἐφ' ᾧ τῆς ἱερᾶς ἀκοῦσαι τοῦ πρεσβύτου φωνῆς, παλαιὰ, καὶ νέα καταμαστευούσης διηγήματα· ἀλλὰ καὶ τὸν ἑταῖρον Εὐχάριστον χαίρειν κέλευσον παρ' ἐμοῦ, καὶ πάντας ὅσους ἄξιον.

enim locum eum appello, vbi sæpe graues curas suscepi, vndique doctorum hominum affluente copia, ad sacram senis vocem audiendam, quæ vetera ac recentia omnia perscrutatur: sed & sodalem meum Eucharistum saluere à me iubeas, omnésque quos æquum esse iudicaueris.

Τῷ αὐτῷ.

Συνίστημι τῇ φιλίᾳ, καὶ τῇ προστασίᾳ τῇ σῇ τὸν θαυμάσιον Σωσήναν· ᾧ τὴν διὰ λόγων τραφέντι καὶ αὐξηθέντι, τὰ παρὰ τῆς τύχης οὐκ B ἀπαντᾷ κατὰ λόγον. αἰτιᾶται δὴ τὴν τῆς πατρίδος ἀκληρείαν· καὶ πείθει τις αὐτὸν λόγος, ὡς ἔστι συμμεταβαλεῖν τῷ χωρίῳ τὴν τύχην· ἀφίξεται γοῦν παρὰ τὴν ἔχουσαν τὸν βασιλέα πόλιν, ὡς ὅπου βασιλεὺς, ἐκεῖ καὶ πάνυ τῆς τύχης οὔσης, καὶ τυχὸν ἐπιγνωσομένης αὐτόν. εἰ δή τίς σοι δύναμις, συντέλεσον αὐτῷ πρὸς ὅ, τι βούλεται. σοῦ γὰρ ἄξιον τὸ καὶ δύνασθαι, καὶ τοὺς δεομένους συνιστάναι τῇ ἀγαθῇ τύχῃ. ἐὰν δέηται τῶν σοὶ φίλων, αὐτὸς προσοίσεις αὐτόν.

Eidem. 102.

Commendo amicitiæ, patrocinióque tuo egregium Sosenam, cui quidem inter disciplinas educato & adulto, fortuna nequaquam pro meritis respondet, & patriæ quidem infelicitatem incusat: ac nonnulla illi opinio persuadet, posse fortunam vnà cum loco mutari: iturus igitur est in imperatoriam ciuitatem quasi ibi, vbi est imperator, etiam fortuna ipsa resideat, & forsan eum agnitura sit. Si quid ergo in te potestatis est, adiumento sis ei ad id omne quod voluerit. Te enim dignum est & posse plurimum, & qui istud desiderent, meliori fortunæ commendare. Si quid ei amicis tuis opus est, tute illis ipsum offeres.

Τῷ αὐτῷ. C

Οὐ μὰ τὸν φίλιον τὸν ἐμόν τε καὶ σὸν, οὐκ ἔγωγε, ὦ Πυλαιμένες, ἀπέσκωψά σου τὴν εἰς τὴν ἐνεγκοῦσαν εὔνοιαν. οὐχ οὕτως ἄπολίς εἰμί τις, οὐδὲ ἀνέστιος· ἀλλὰ σὺ κακῶς ἐξεδέξω τὸν νοῦν τῆς ἐπιστολῆς· καὶ κατηγόρηκας ἐμοῦ μὲν ἄττα οὐκ ἄξιον. ἐγὼ γὰρ ὅτι μὲν Ἡρακλείας ἐρᾷς, καὶ πρόθυμος εἶ ποιεῖν τι τὴν πόλιν ἀγαθὸν, ἐπαινῶ, τοὺς λόγους δὲ ἐποιούμην, ὑπὲρ τοῦ δεῖν ἀνθελέσθαι φιλοσοφίαν τῆς ἀγορᾶς ταύτης διατριβῆς. εἶτα σύ μοι δοκεῖς, ἂν δίκας ἀγορεύων, οἴεσθαι μᾶλλον ἢ φιλοσοφῶν, ὠφελιμώτερος ἔσεσθαι τῇ πατρίδι· D πῶς τοῦτο; ὅτι τοῦ μὴ ἂν μεταπεπεῖσθαί σου τὴν προαίρεσιν, ᾐτιάσω τὸ τῆς γνώμης φιλόπατρι. τοῦτ' οὖν ἀπέσκωψα, καὶ οὐχὶ τὴν εὔνοιαν, ὅτι κακῶς οἴει προὔργου σοί τι ποιήσειν εἰς τὸν καλὸν τοῦτον ἔρωτα, τὸ προσεδρεύειν ταῖς δίκαις. καὶ γὰρ εἰ λέγοιμι φιλοσοφίαν ἱκανὴν εἶναι τὰς πόλεις ὀρθοῦν, ἐλέγξει με Κυρήνη, κειμένη πολὺ δήπου τῶν ἐν τῷ Πόντῳ πόλεων ἀκριβέστερον· ἀλλ' εἴποιμι μὲν ἄν,

ι δίκας ρεύεις.

μεταθέσθαι.

Eidem. 103.

Non per amicitiæ tuæ, meæque Præsidem, non ego, ô Pylæmenes, tuam in patriam charitatem cauillatus sum. Non ita vrbis inops ac lare destitutus sum, sed tu male epistolæ sensum interpretatus es, méque de quibus minimè oportebat, accusasti. Nam quòd Heracleam amas, beneque aliquo modo mereri de ea ciuitate affectas, laudo: sed de ea verba faciebam, esse forensi huic occupationi philosophiam anteponendam: & tu mihi in animum induxisse videris, te ex causarum actione plus vtilitatis patriæ, quàm ex Philosophiæ studiò allaturum. Quî istud? Quoniam tibi, quòd sententiam non mutasses, tuum in patriam amorem causam esse dixisti. hoc igitur, non patriæ caritatem irrisi, quòd operæpretium futurum tibi ad egregium illum amorem patriæ censes, si assiduè in causis volueris. Nam si Philosophiam idoneam esse dicam ad ciuitates erigendas, ipsa me Cyrene arguet, quæ magis quàm vlla Ponti ciuitas iacet. Verùm hoc ego

dixerim Philosophiam non modo oratorio, sed & alia omni arte scientiáve, vtpote quæ præsit omnibus, vtiliorem eum qui possideat, & priuatis, & familiis, & ciuitatibus præstare. Non tamen per sese sufficiens est, vt boni aliquid afferre possit hominibus. Sic enim se res habet, optime Pylæmenes, præstantissimæ quæque disciplinæ facultates quædam sunt, & animi habitudines, ac tanquam vtendi sola vis & habilitas. Temporum autem ac fortunæ vicissitudines, sus déque res ciuitatum impellunt: & modò ita sese, modò aliter habent, pro naturæ, quàm sortita sunt, necessitate. Tu igitur patriæ quidem amans es: Ego verò non minùs hoc idem ipse sum. Tu oratoriam profiteris: Ego te in ea occupari non sino, sed in præclara illa, atque egregia disciplina, quàm neque ipse, opinor, Plato describere conatus est. Ego Philosophiam colo, cæterisque, quæ in vita sunt hominum, bonis antepono. Quid igitur tandem hac oratione boni procurare ciuitatibus possumus, nisi vitæ quædam genera subijcianrur, quæ ad voluntatem, ac propositum exequendum sufficiant? Materia quippe idonea opus est, opus itidem instrumentis ei, qui vti possit; atque hæc omnia comparare fortunæ proprium est. Iam si illo duntaxat modo, hoc est vnico Rhetoricæ præsidio fortunam tibi affuturam confidis, vt aut aliquando magistratum aliquem capessere, aut præfecturam vrbis assequi, qui magistratuum summus est, eius beneficio possis: quid Philosophiam infelicitatis damnas? sin ex equo ab vtraque abesse, aut adesse ista contingat, quid tu hactenus non ex apparentibus & incertis eligis quid sit præstantissimum? Nam ipsam per sese Philosophiam Rhetoricæ antecellere tute ipse fateris: quod verò prodesse patriæ debeas, id tibi quod deterius est magis necessarium reddit. Quasi nunc quidem meliora sperare liceat: simul verò philosophari cœperis, dij tibi omnes inimici sint, fortunámque omnem aliò deriuent vt ne in spe quidem relinquatur. Ego verò nondum in hanc vsque diem audire memini, hanc esse sanctæ Philosophiæ diuinitùs sortem attributam, vt infelix esset: verumtamen ægrè quidem in communi mortalium natura vis, & prudẽtia in vnum conuenerint; nõnunquam tamen ambas Deus copulauerit. Quamobrẽ licebit ex mea oratione, vel necesse erit

A ὅτι φιλοσοφία καὶ ῥητορικῆς καὶ ἧς τινος βούλει καὶ τέχνης καὶ ἐπιστήμης, ἅτ' ἐπὶ πάσαις οὖσα, παρέχεται τὸν ἔχοντα καὶ ἰδιώτῃ καὶ οἴκῳ καὶ πόλεσιν ὠφελιμώτερον· οὐ μὴν ἀρκεῖ τὸ καθ' ἑαυτὴν ἀγαθόν τι ποιεῖν τοὺς ἀνθρώπους. ἔχει γὰρ οὕτως, ὦ λῷστε Πυλαίμενες, τὰ καλὰ τῶν ἐπιτηδευμάτων, δυνάμεις τινές εἰσι, καὶ παρασκευαὶ ψυχῆς, καὶ οἷ αὐτὸ μόνον τὸ χρώμενον· καιροὶ δὲ καὶ τύχαι φέρουσιν ἄνω καὶ κάτω τὰ τῶν πόλεων
B πράγματα· καὶ νῦν μὲν οὕτως ἔχει· νῦν δ' ἑτέρως, ἀνάγκῃ φύσεως ἧς μετείληφε. φιλόπολις μὲν οὖν εἶ σύ. τυγχάνω δὲ ὢν καὶ " ἐγώ. καὶ σὺ μὲν ἐργάζῃ ῥητορικήν· γ. αὐτὴ καὶ συγχωρῶ σοι μὴ ταύτην ἐπιτηδεύειν, ἀλλὰ τὴν ὀρθὴν καὶ γενναίαν, ἣν οὐδὲ Πλάτων, οἶμαι, διαγράφειν πειρᾶται. ἐγὼ δὲ φιλοσοφίαν τιμῶ τε, καὶ τῶν ὅσα ἀνθρώπινα ἀγαθὰ προτιμῶ. τί οὖν ταύτῃ παρ' ἑκάτερον πλέον ταῖς πόλεσιν, εἰ μὴ καὶ βίοι τινὲς ὑποβληθεῖεν ἀρκοῦντες ταῖς προαιρέσεσι; δεῖ μὲν γὰρ ὕλης ἐπιτη-
C δείας· δεῖ δὲ ὀργάνων τῷ χρῆσθαι δυναμένῳ· τὸ δὲ ταῦτα παρασκευάζον, ἡ τύχη. εἰ μὲν οὖν ἐκείνως μόνον, τουτέστι, διὰ τῆς ῥητορικῆς οἴει σοι παρέσεσθαι τὴν τύχην, ὥστε ἄρξαι ποτὲ παραχεῖν ἢ ὑπάρξαι τὴν μεγίστην ἀρχήν, τί κατέγνωκας ἀτυχίαν φιλοσοφίας; εἰ δ' ἐπίσης ἀμφοῖν ἐνδέχεται καὶ ἀπεῖναι καὶ παραγενέσθαι, τί μὴ τέως αἱρῇ τῶν φαινομένων τὸ ἄριστον; αὐτὸ μὲν γὰρ καθ' αὑτὸ, φιλοσοφίαν καὶ σὺ φῂς εἶναι καλλίω ῥητορικῆς· τὸ δὲ δεῖν ὄνασθαί σου τὴν
D πόλιν, ἀναγκαιότερόν σοι τὸ χεῖρον ποιεῖ· ὡς δὴ νῦν μὲν ἔξεστιν ἐλπίζειν τὰ ἀμείνω, φιλοσοφήσαντι δὲ οἱ θεοὶ πάντες ἐχθροὶ καὶ τὴν τύχην ἐξοχετεύσουσιν, ὥς μηδ' ἐν ταῖς ἐλπίσιν ἀπολελεῖφθαι. ἐγὼ δὲ οὔπω καὶ τήμερον τοῦτον ἀκηκοὼς οἶδα τὸν λόγον, ὅτι τῇ σεμνῇ φιλοσοφίᾳ θεῖος ἐστι κλῆρος ἀτυχεῖν. ἀλλὰ μόλις μὲν ἂν ἐν τῇ κοινῇ τῇ θνητῇ φύσει, συνέλθοιεν ἰσχύς τε καὶ φρόνησις. ἔστι μὴν ὅτε συνήγαγεν αὐτὰς ὁ Θεός. ἔξεστιν οὖν ἐκ τοῦ λόγου,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μᾶλλον δὲ πᾶσα ἀνάγκη, τὸν αὐτὸν εἶναι καὶ φιλόσοφον καὶ φιλόπολιν, καὶ μηδὲ ἀπογινώσκειν τῆς τύχης, ἀλλὰ καὶ προσδοκᾶν τὰ ἀμείνω, διὰ τὴν οἰκείαν ἀξίαν. οὐχ ἥκιστα γὰρ μόνῳ πλεονεκτοῦσιν ὡς ὁ παλαιὸς λόγος, οἱ χρηστοὶ τῶν πονηρῶν ταῖς ἀγαθαῖς ἐλπίσι. πῶς οὖν ἔλαττον αὐτοὺς ἔχειν συγχωρήσομεν; ἀνάγκη δέ, εἰ πρὸς τὸν παρὰ σοῦ λόγον ἐνδοίημεν, ὃς εἰς
ἴσ. τοῦτό σε προήγαγεν ἁμαρτίας, "τὸ φάναι τῆς πόλεως ἕνεκα δεῖν μένειν ἐπὶ τῆς τέχνης. ἀνάγκου γάρ μου μεταθέντος εἰς κατηγορίαν τὴν περὶ τοῦ σκώμματος ἀπολογίαν, ὃ δὴ μὴ ὄν, ἔδοξεν εἶναί σοι πρότερον. οὐ γὰρ οἶμαι νῦν ἔτι δοκεῖ. ἐπεί τοι κινδυνεύω καὶ διαβεβλῆσθαι πρὸς τὴν ἱερὰν Κυρήνην ὑπὸ σοῦ, καὶ ταῦτα τῆς φίλης μοι κεφαλῆς. εἰ γὰρ δὴ πεισθεῖεν αἱ πόλεις, ὅτι ῥητορικὴ μόνη δύναται μεταθεῖναι τὰς παρούσας αὐτοῖς συμφοράς, καὶ μόνον ἐστὶ τοῦτο γέρας τῶν βοηθούντων τοῖς ἔχουσι περὶ συμβολαίων τὰς δίκας, χαλεπαινοῦσιν ἡμῖν τοῖς ἄλλο τι θεραπεύουσιν ἀντὶ τοῦ βήματος. εἷς οὖν ἐμοὶ πρός σέ τε καὶ τὰς πόλεις ἁπάσας ὑπὲρ φιλοσοφίας ὁ λόγος, ὅτι ἐπιρρούσης μὲν τύχης καὶ καλεσάντων αὐτὴν ἐπὶ τὰ πράγματα τῶν καιρῶν, οὐδεμιᾶς ἐστὶ τέχνης, ἀλλ' οὐδὲ ἅμα πασῶν ἐρίσαι φιλοσοφίᾳ περὶ τοῦ τὴν συντονωτέραν ἁρμόσαι, καὶ μετατάξαι, καὶ βελτίω τοῖς ἀνθρώποις ποιῆσαι τὰ πράγματα· τῆς εἱμαρμένης δὲ οὔπω ταύτῃ ῥυείσης νοῦν ἔχει πολλὴν οἰκειοπραγεῖν, ἀλλὰ μὴ παραδιοικεῖν, μηδὲ ἀσχημονεῖν ἀξιοῦντας ὠθίζεσθαι παρὰ τὸ τοῦ δεῖνος ἀρ-
εἰ μή. χεῖον," οἷς μὴ πᾶσα ἀνάγκη. ἀνάγκῃ δὲ οὐδὲ θεοί, φασί, μάχονται. ἡμῖν δέ ἐστιν ἄλλα σεμνότερα. καὶ ὅταν ὁ νοῦς ἀνενέργητος ᾖ περὶ τὰ ἐνθάδε, περὶ τὸν Θεὸν ἐνεργεῖ. δύο γὰρ αὗται μερίδες φιλοσοφίας, θεωρία καὶ πρᾶξις· καὶ δὴ τὰ δύο δυνάμεις ἑκατέρᾳ πρὸς ἑκατέραν μερίδα, Σοφία καὶ Φρόνησις· αὕτη μὲν δεομένη τύχης, Σοφία δὲ αὐτάρκης καὶ ἀκώλυτος ἡ κατ' ἐκείνην ἐνέργεια.

Τῷ ἀδελφῷ.

Τοὺς αὐτοὺς ἂν ἴδοις ἐν μὲν εἰρήνῃ θρασεῖς, ἐν δὲ πολέμῳ δειλούς, τουτέστιν, ἁπανταχοῦ πονηρούς·

A potiùs eundem & Philosophum esse, & patriæ amantem, nec fortunam desperare, sed pro suis etiam meritis sperare meliora. Etenim hoc vno præsertim, vt veteri prouerbio dicitur, probi malos superant, bona spe. Quomodo igitur inferiori illos esse conditione fatebimur? Necessarium autem id erit, si quid opinioni tuæ tribuamus: quæ te eo erroris adduxit, vt diceres tibi Reipublicæ causa in tua arte esse persistendum. Patere enim me purgationem hanc cauillationis in accusationem conuertere, quæ tibi cùm nulla esset, priùs esse aliqua visa est. Ne- B que enim iam opinor videbitur. Alioqui periculum est, ne apud sacram Cyrenem abs te in criminationem adducar, idque ab amicissimo mihi capite: si enim hoc ciuitatibus persuasum erit: solam oratoriam præsentia incommoda mutare posse, idque vnicum eorum esse decus, qui iis opitulentur, qui de contractibus lites habeant nobis illæ succenseant quòd aliis omnibus, quam tribunali, sumus addicti. Vna igitur mihi ad te, & ciuitates omnes, C pro Philosophia est responsio. Cùm fortuna nimirum ingruerit, & illam ad negotia capescenda temporum ratio reuocauerit, nullam artem, ac ne omnes quidem simul de ordinando citiùs, aut immutando Reipublicæ statu, aut omninò in melius constituendis hominum rebus, cum Philosophia posse contendere. Sed cùm nondum eò fatalis necessitas peruenerit, sapientis est suarum rerum satagere, non perperam actui rerum se immiscere, nec præter decorum ad huius prætorium perrumpere, nisi extrema necessitas compulerit. Necessitati verò ne dij D quidem, vt aiunt, repugnant: Nobis autem alia sunt sanctiora: cúmque ab iis inferioribus animus vacat, circa Deum occupatur. Duæ enim hæ sunt Philosophiæ partes, contemplatio, & actio, ac totidem iccircò facultates singulæ singulis attributæ partium, sapientia, & prudentia: hæc fortunæ indigens, illa sibi sufficiens, nec impediri eius functio potest.

Fratri. 104.

Eosdem homines videas pacis tempore audaces, in bello ignauos, hoc est vbique

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

nequissimus. Vnde hæc mihi meritò habenda bello gratia videtur, quòd qualis circa cor cuique sanguis sit, optima sit probandi ratio, ac complures quos arrogantes acceperit, moderatiores nobis efficiat, non enim deinceps opinor superbè in foro volitabit dirus ille Ioannes, nec pugno impetet, nec calcibus quemquam modestiorem infestabit. Heri quidem manifestè prouerbium illud comprobauit, vel oraculum potiùs, oraculum enim profectò est, hoc verò nosti omninò.

Nullus capillum, quin Cinædus sit, fouet.

Aliquos enim dies continuò hostium excursio nuntiabatur ac mihi occurrendum videbatur: & Balagritas instructos Tribunus eduxerat: Post hæc in apertum campum prodeuntes operiebamur. Sed cùm nusquam comparerent, ad vesperam domum quisque rediimus, cùm ita conuenisset, vt iterum postridie adessemus: intereà Phryx Ioannes nusquam erat, non inquam, vt manifestè appareret, sed rumores spargebat: interdum fregisse sibi crus, atque ideò præcidi: interdum suspiriosum se esse, aliàs grande aliquod sibi malum accidisse: eiusmodi quidam famigeratores volitabant, alius aliunde venire se nuntiantes, vt ne certo constaret, quonam terrarum subijsset, ac delituisset Ioannes. Inter narrandum importunitatem huiusce calamitatis deplorabant, lachrymabant. Nunc audaci illo spiritu opus foret, nunc illius manibus. Quid fecisset? quid euenisset? Ac demum, ô infelix fatum, cùm singuli dixissent, manúsque complosissent, recipiebant sese: erántque ij ex eorum numero, qui nulli bono apud eum alebantur: capillati & ipsi, sanique nihil,

Quique agnos, hædósq; palàm raptare solebãt.

Ac per Deos nonnunquam etiam mulieres: eiusmodi manipulos iamdudum comparauit, quibuscum virum se præbere ne conatur quidem, difficile enim est: Callidus autem est, & quemadmodum præ cæteris, qui reipsa sunt, virile esse animo videatur, optimè consuluit, sed mihi fortuna præclarè videtur eius consiliis aduersari: Quantum enim iam diem cum armis progressi fueramus, cùm adhuc hostes extremos prouinciæ fines popularentur: tum is de illorum aduentu desperans penitùs, quod nequaquam in interiora penetrare ausuri essent, aduolat,

A ὥστε μοι δοκεῖ ταύτην τις δικαίως εἰδέναι τῷ πολέμῳ χάριν, ὅτι βάσανός ἐστι τοῦ περὶ τὴν καρδίαν αἵματος ἀκριβὴς, καὶ συχνοὺς ἀλαζόνας παραλαβὼν, μετριωτέρους ἡμῖν ἀποδίδωσιν. οὐ γὰρ οἶμαι τὸ ἀπὸ τοῦδε σοβήσειν διὰ τῆς ἀγορᾶς Ἰωάννην τὸν ἀλιτήριον, οὐδὲ πὺξ ἐντενεῖν, οὐδὲ λὰξ ἐναλεῖσθαι τῶν ἐπιεικεστέρων τινί. χθές τοι πάνυ λαμπρῶς συνηγόρηκε τῇ παροιμίᾳ, μᾶλλον δὲ τῷ χρησμῷ· χρησμὸς γὰρ ἄντικρυς. τοῦτό γε πάντως οἶσθα, τὸ,

Οὐδεὶς κομήτης, ὅστις οὐ ψιωίζεται.

Ἡμέρας μὲν γάρ τινας ἑξῆς οἱ πολέμιοι προσηγγέλλοντο· κἀμοί τε ἀπαντητέον ἐδόκει, καὶ Βαλαγρείτας συντεταγμένους ἐξῆγεν ὁ φύλαρχος. εἶτα φθάσαντες εἰς τὴν πεδινὴν, περιεμένομεν· οὐδαμοῦ δὲ φαινομένων, περὶ βουλυτὸν ἀπεχωροῦμεν ἕκαστος οἴκαδε, συνθέμενοι πάλιν ἥξειν εἰς τὴν ὑστεραίαν· ὁ δὲ Φρὺξ Ἰωάννης τέως μὲν ἦν οὐδαμοῦ, οὐκοῦν ὥστε καὶ φανερὸς εἶναι· φήμας δὲ ὑπέπεμπε, νῦν μὲν ὡς κατεαγὼς εἴη, καὶ διαφθείρεται τὸ σκέλος· νῦν δὲ ὡς τὸ ἆσμα νοσεῖ· νῦν δὲ ἄλλο τι κακὸν ἐξαίσιον ἔχει. τοιοῦτοί τινες ἐφοίτων λογοποιοὶ, ἄλλος ἄλλοθεν ἥκειν φάμενοι, τοῦ μηδὲ σαφὲς εἶναι ποῖ γῆς Ἰωάννης δέδυκεν ἢ κρύπτεται. μεταξὺ δὲ ἂν διηγούμενοι, πρὸς τὴν ἀγγελίαν τῆς συμφορᾶς ἐσχετλίαζον, ὑπεδάκρυον. νῦν ἔδει τοῦ γενναίου λήματος, νῦν τῶν ἐκείνου χειρῶν. τί δὴ ἐποίησε; τί ἂν ἐγένετο; καὶ ἐπὶ πᾶσιν, ὢ τοῦ δαίμονος, εἰπὼν ἂν ἕκαστος, καὶ τὼ χεῖρε πατάξας, ἀπηλλάττετο. ἦσαν δὲ οὗτοι τῶν ἐπ' οὐδενὶ χρησίμῳ πάλαι περιτρεφομένων αὐτῷ, κομῆται καὶ οὗτοι, καὶ οὐδὲν ὑγιές,

γ. οἴκοι.

Ἀρνῶν ἠδ' ἐρίφων ἐπιδήμιοι ἁρπακτῆρες. Il. ω.

D καὶ νὴ τοὺς θεοὺς, ἔστιν ὅπου καὶ γυναικῶν. τοιούτους λοχίτας ἐκ πολλοῦ παρεσκευάσατο, μεθ' ὧν εἶναι μὲν ἀνὴρ οὐδ' ἐπιχειρεῖ· χαλεπὸν γάρ. σοφιστὴς δ' ἐστὶ, καὶ ὡς ἂν δόξειεν ἀνὴρ εἶναι παρὰ τοὺς ὄντας ἄνδρας, ἄριστα σκέπτεται. ἀλλά μοι δοκεῖ καλῶς αὐτῷ τὸ δαιμόνιον ἀντιπολιτεύσασθαι. πέμπτην μὲν γὰρ ἤδη ἐν τοῖς ὅπλοις μάτην περιεληλύθειμεν, ἔτι τὰ μετεωρότερα κακουργούντων τῶν πολεμίων· ὁ δὲ καὶ παντάπασιν ἀπεγνωκὼς ἥξειν αὐτοὺς, ὡς οὐκ ἂν τὸ βάθος τῆς χώρας θαρρήσοντας, πρώην,

καὶ πάντα εὐθὺς ἀκοσμίας ἐμπίπλησι· καὶ ἀσθενείας μὲν οὐκ ἐμέμνητο· κατεγέλα γέ τοι καὶ ἀναχομένων ἀκοῦσαι· αὐτὸς δὲ ἥκειν ἔφη πόῤῥωθεν, οὐκ οἶδα ὅθεν. ἐκεῖ γὰρ εἰς συμμαχίαν παρακεκλῆσθαι· παρ' ὃ καὶ σεσῶσθαι τοὺς ἐπικαλεσαμένους ἀγρούς. οὐδὲ γὰρ ἐμβεβληκέναι τοὺς πολεμίους, πρὸς τὴν φήμην τῆς Ἰωάννου παρουσίας καταπλαγέντας. ἀσφαλῶς δὲ τάχει καταστησάμενος, πρὸς τὸ πονοῦν ἔφη "δεδραμηκέναι. προσδέχεσθαι γὰρ ὅσον οὔπω τοὺς ἄνδρας, ἢν λάθῃ παρών· καὶ μὴ διαδοθῇ τοὔνομα. εὐθὺς οὖν ἅπαντα ἀκοσμίας ἐμπίπλησι παραστρατηγεῖν ἀξιῶν, καὶ ἐν βραχεῖ τέχνην τῆς νίκης παραδώσειν ὑπισχνούμενος, βοῶν ἐπὶ μέτωπον, ἐπὶ φάλαγγα, καὶ κατὰ τὸ κέρας πολὺ, τὸ πλαίσιον· ποιῶν ὀνόματα τάξεων, ὧν ἠγνόει τὴν χρείαν. καί τισιν ἀπὸ τούτου ἔδοξέ τις εἶναι, καὶ τήν γε φύσιν ἐμακάριζον, καὶ ἐμαθητίων πολλοί. ἤδη δὲ δείλη τε ἦν ὀψία, καὶ καιρὸς ἐφόδου· καὶ δὴ πρόσω τῆς ὀρεινῆς καταβαίνοντες ἐγινόμεθα. κἀν τούτῳ νεανίαι τέσσαρες, ἐσταλμένοι "χωρικῶς, καὶ κεκραγότες ὅσον ἐχώρουν αἱ κεφαλαὶ, δρόμῳ πρὸς ἡμᾶς ἔθεον, ὡς μηδενὶ μάντεως δεῖν, ὅτι πολεμίους πεφόβηνται, καὶ σπεύδουσιν εἴσω τῶν ὅπλων γενέσθαι· πρὶν δὲ καὶ καλῶς αὐτῶν ἐκείνων ἀκοῦσαι, λεγόντων ὅτι καὶ δὴ πάρεισιν, ὁρῶμεν ἐφ' ἵππων ἀνδράρια πονηρὰ, καὶ ὡς ἐμοὶ "δοκεῖν ὑπὸ λιμοῦ στρατηγούμενα· προχειρότατα δ' οὖν ὑπὲρ τῶν ἡμετέρων ἀγαθῶν ἀποθνήσκειν ἐθέλοντα. ἐπεὶ δ' οὖν εἶδον καὶ ὤφθησαν πρὶν εἴσω βέλους ἐλθεῖν, οἱ μὲν ἀποβάντες ὥσπερ εἰώθεσαν, τῶν ἵππων, ὡς εἰς μάχην διεσκευάζοντο· καί μοι καλῶς ἔχειν ἐδόκει μιμεῖσθαι τοὺς ἄνδρας· καὶ γὰρ ἄφιππα ἦν· ὁ δὲ γεννάδας οὐκ ἔφη παρανομήσειν εἰς τὴν ἱππικὴν, ἀλλὰ τὸν ἀγῶνα τῶν ἵππων ποιήσειν. τί οὖν; περιενεγκὼν βίᾳ τὸ ψάλιον, καὶ μεταστραφεὶς, ἔφευγεν ἀνακράτος ἐξελαύνων, ἐξαιμάττων τὸν ἵππον, ἅπασαν ἡνίαν ἀφεὶς, κέντρῳ παντὶ χρώμενος· καὶ ἡ μάστιξ πυκνὴ, καὶ ἡ βοὴ τὸ κελευστικὸν ἤχει. ἐν τούτῳ δὲ οὐκ ἔστι ῥᾴδιον εἰπεῖν, ὅν τινά τις μᾶλ-

A & omnia rurſus perturbatione complet. Atque ægritudinis quidem mentio nulla, quin eos irridebat, qui id audire ſuſtinuiſſent, ſe verò è longinqua regione neſcio qua reuertere aiebat. Illô enim auxilij ferendi gratia excitum ſe eſſe: hac vna re eorum qui vocauerant agros eſſe ſeruatos: neque enim irrupiſſe hoſtes, ſola aduentus Ioannis fama perculſos: Quæ cùm omnia in tuto collocaſſet, ſtatim ad eam prouinciæ partem, quæ laboraſſet, accurriſſe dicebat: Propediem enim expectare ſe,
B venturos ſi eius præſentia celaretur, nec nomen diuulgaretur. Repentè igitur perturbare, ac permiſcere omnia, cùm ſe perperam ducis officio immiſceret, ac breui vincendi artem tradituram pollicetur: hæc identidem ſuclamans, in frontem, in phalangem & ad cornu ſæpius, & quadratum oblongum ingeminans, ordinúmque appellans nomina, quorum vſum ignorabat. Ac quibuſdam ob id aliquis eſſe viſus eſt, & indolem prædicabant, & diſcipuli eſſe cupiebant: Et iam adueſperaſcebat, tempúſque irruptionis appetebat: Itaque breui montibus digreſſi longè proceſſimus. Hîc adoleſcen-
C tes quatuor ruſtico habitu, vociferantes quantum capita ferebant, curſu ad nos contendebant, vt nemini vate opus eſſet ad diuinandum, hoſtes ab iis metui, feſtinatóque eos in aciem recipere ſeſe velle. Ac priuſquam penitùs illos exaudiremus, adeſſe hoſtem nunciantes, miſeros homunciones in equis conſpicimus, qui, vt mihi videbantur, famis ductu regebantur: cæterùm ad mortem pro bonis noſtris oppetendam paratiſſimos. Qui cùm nos conſpexiſſent, conſpectique eſſent: antequàm intra teli iactum veniretur: Alij
D vt ſolebant equis delapſi ſe ad certamen accingebant: mihíque homines imitari factu optimum eſſe videbatur: Regio enim ipſa minimè equitatui opportuna erat. Verùm generoſus ille nequaquam ſe in equitum iura peccaturum dixit, ſed equeſtre certamen initurum; Quid igitur? frœnis violenter detortis, conuertens ſe quanto poterat impetu fugiebat, equum cruore ſpargens, omnibus habenis laxatis, ſtimuliſque omnibus adhibitis: tum crebra verbera, vóxque hortamentum inſonans. In quo difficile admodum di-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ctu est, vtrùm potiùs laudasset quispiam, equúmne an equitem: Nam ille eodem modo per prona, eodem per accliuia, pérque consita non minùs quàm nuda ferebatur. Vno impetu fossas transmittebat, supra tumulos attollebatur. Hic vbique equo considebat, nec vsquam de sessione prolapsus est. Mihi enim vel hostibus elegans hoc spectaculum accidisse videtur: plurimáque eiusmodi intueri velint. Nihilominus tamen quantum in nobis fuit, non viderunt, sed animo, vt par erat, contractiores fuimus: plurimum spe falsi, quam in cincinnato isto habuimus: itaque aciem instruximus, tanquam si quis aggrederetur, excepturi, ipsimet autem prælium inuadere minimè statuimus. Etenim qui strenuus ipse, ac fortis esset, socio tamen diffidebat, cùm ad recens exemplum respiceret. Tum nihil coma turpius videbatur, quam vt quisque habebat, ita primus nos maximè proditurus existimabatur. Verumtamen nescio an idem quoque hostibus in animo erat. Nam & instructi operiebantur nos, velut restituri, si eos aggrederemur: Posteaquàm verò neutra ex parte tentatum prælium est, primùm illi ad læuam, inde nos alteram ad partem aciem conuertimus, neutri accelerato gradu, sed lentiore progressu, ne receptus iste fuga videretur. Posteà tamen quamuis in hisce rebus versaremur, sciscitati sumus, vbinam terrarum Ioannes esset. At ille vno spiritu Bombæam vtique perueniens agrestis muris instar sese in saxum abdiderat. Est Bombæa mons concauus, quem ars & natura consentientes munitissimum castellum reddiderunt. Hoc iam olim meritò celeberrimum erat, nonnullíque cum Ægyptiis cuniculis comparabant. Sed nunc muros omnes ac propugnacula omnium iudicio superat, quandoquidem ille præ cæteris sui prouidentissimus, ne nimium ineptè dixerim formidolosissimus, quæ propria est rei appellatio, in eo delitescit, & salutem suam cæteris prætulit. Est enim ingredienti statim in flexus & ambages sinuatus, & explicatu difficilis, vt solam Ioannis fugam capere possit.

A λον ἐπῄνεσε, πότερον τὸν ἵππον, ἢ τὸν ἱππέα· ὁ μὲν γὰρ ὁμοίως κατὰ τῶν φαραγγῶν, ὁμοίως κατ' ὀρθίων ἐφέρετο, καὶ διὰ τῶν δασέων, καὶ διὰ τῶν ψιλῶν, ῥύμῃ μιᾷ διεπήδα τὰς τάφρους, ὑπὲρ τοὺς ὄχθους ἤρετο· ὁ δὲ, διὰ πάντων τῶν χωρίων ἔποχος ἦν, καὶ ἐν οὐδενὶ τῆς καθέδρας ὠλίσθησε. δοκεῖ γάρ μοι καὶ τοῖς πολεμίοις καλὴ θέα γενέσθαι, καὶ ὡς πολλὰ ἂν εὔξαιντο τοιαῦτα θεάσασθαι· οὐ μὴν τό γ' ἐφ' ἡμῖν, εἶδον, ἀλλ' ἀθυμότεροι μὲν ὡς τὸ εἰκὸς ἐγενόμεθα, ψευσθέντες παρὰ πολὺ τῶν εἰς τὸν κομήτην ἐλπίδων. B ἐταξάμεθα γοῦν, ὡς εἴ τις ἐπίοι, δεξόμενοι. αὐτοὶ δὲ μάχης ἄρχειν οὐ διενοούμεθα. ὁ γὰρ ὅστις αὐτὸς εὔψυχος ἦν, ἠπίστει τῷ πέλας πρὸς παράδειγμα τὸ γειτονὸς ὁρῶν· ἔνθα οὐδὲν ἦν αἴσχιον κόμης. οὕτω γὰρ ἦν πρόχειρος ἐστὶν ἐπιδοξότατος πρὸς τὸ προδοῦναι ἡμᾶς· οὐ μὴν ἀλλὰ καὶ τοῖς πολεμίοις ταυτὸν ἴσως τοῦτο παρέστη· ταξάμενοι, περιέμενον ἡμᾶς, ὡς ἢν ἐμβάλωμεν, ἀμυνούμενοι· ἐπεὶ δὲ παρ' οὐδετέρων ἐπεχειρεῖτο, πρότεροι μὲν αὐτοὶ τὴν ἐπὶ τὰ λαιὰ φέρουσαν, C καὶ μετ' ἐκείνους ἡμεῖς τὴν ἐπὶ θάτερα ἐτραπόμεθα, οὐδ' ἕτεροι θᾶττον ἢ βάδην, ἀλλὰ σχολαίῳ βαδίσματι, τῷ μὴ δοκεῖν εἶναι φυγὴν τὴν ἀναχώρησιν. εἶτα μέντοι καὶ περ ἐν τούτοις ὄντες, ἐπυνθανόμεθα ποῖ γῆς Ἰωάννης. ὁ δ' ἑνὶ πνεύματι καταλαβὼν ἄρα τὴν Βομβαίαν, δίκην ἀρουραίου μυὸς ἐνδεδύκει τῇ πέτρᾳ. ὄρος ἐστὶν ἡ Βομβαία κοῖλον, ὃ συνελθοῦσαι τέχνη καὶ φύσις εἰργάσαντο φρούριον ἐρυμνότατον. τοῦτο καὶ πάλαι μὲν εὐδοκίμει δικαίως· καί τινες αὐτὸ παρὰ τὰς Αἰγυπτίας ἐξήταζον σύριγγας· νυνὶ δὲ κέκριται τὰ πανταχοῦ D τείχη νικᾶν, οἷς ὁ παρὰ πάντας ἑαυτοῦ προμηθέστατος, ἵνα μὴ λίαν ἀγροίκως εἴπω δειλότατος, αὐτὸ τὸ τοῦ πράγματος ὄνομα, τούτῳ παρακάθηται· καὶ " τὴν σωτηρίαν προυτίμησε. καὶ γὰρ εἰσελθόντι λαβυρινθῶδές ἐστι, καὶ δυσδιεξίτητον, ὡς μόνους ἂν χωρῆσαι τοὺς Ἰωάννου δρασμούς. for. εἰς τὴν

Eidem. 105.

Ineptus essem profectò, si non Ptolemaeis ingentes gratias haberem,

Τῷ αὐτῷ.

Ἀνόητος ἂν εἴην, εἰ μὴ πολλὴν χάριν εἰδείην Πτολεμαΐοις, ὅτι με τοσούτων ἀξιοῦσιν,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A ὅσων οὐδὲ αὐτὸς ἐμαυτόν. ἀλλ' οὐκ εἰ μεγάλα χαρίζονται, τοῦτο προσήκει σκοπεῖν, ἀλλ' εἰ λαβεῖν ἐμοὶ δυνατά. τὸ γὰρ ἄνθρωπον ὄντα, μικροῦ θείας καρποῦσθαι τιμὰς, δικαίῳ μὲν ὄντι τυγχάνειν ἥδιστον εἰς ἀπόλαυσιν ἔρχεται· λειπομένῳ δὲ παραπολὺ τῆς ἀξίας, ἐλπίδα πικρὰν ὑποτείνει τοῦ μέλλοντος. οὐ γὰρ νεώτερόν ἐστι τὸ δέος, ἀλλὰ καὶ λίαν ἀρχαῖον, τὸ, μή τι περὶ Θεὸν ἀμπλακὼν, τιμὴν πρὸς ἀνθρώπων ἐφθίρω. ἐγὼ δὲ καταμανθάνων ἐμαυτὸν, εὑρίσκω πάντα πάσιν ἐνδεέστερον,
B τὴν ὡς ἁρμόσαι τῇ τῆς ἱερωσύνης σεμνότητι· καὶ νῦν τὰ διαλέξομαι πρός σε περὶ τῶν τῆς ἐμαυτοῦ ψυχῆς κινημάτων. οὐ γὰρ ἔχω πρὸς ὅν τινα ἄλλον ἀντὶ τῆς σῆς φίλης καὶ συντρόφου μοι κεφαλῆς. σὲ γὰρ εἰκὸς καὶ μετέχειν μοι τῶν ἴσων φροντίδων, καὶ νύκτωρ ἀγρυπνεῖν, καὶ μεθ' ἡμέραν σκοπεῖν, ὅπως ἄν ἀγαθόν τί μοι γένηται, καὶ ὅπως ἂν κακόν τι διαφύγοιμι. ἄκουε τοίνυν ὡς ἔχει τἀμά· τὰ πλείω δή ἂν αὐτῶν καὶ εἰδείης. μικρὸν ἀράμενος φορτίον,
C καλῶς ἐνεγκεῖν μοι δοκῶ, τὸ μέχρι τοῦδε, φιλοσοφίαν· διὰ δὲ τὸ δόξαι μὴ παντάπασιν αὐτῆς ἁμαρτάνειν, ἐπαινεθεὶς ὑπ' ἐνίων, ἀξιοῦμαι μειζόνων, παρὰ τῶν οὐκ εἰδότων κρίναι ψυχῆς ἐπιτηδειότητα. φοβοῦμαι δὲ μὴ χαῦνος γενόμενος, καὶ προσιέμενος τὴν τιμὴν, ἀμφοῖν διαμάρτω, τοῦ μὲν ὑπερειδὼν, τοῦ δὲ τῆς ἀξίας οὐκ ἐφικόμενος. σκόπει γὰρ οὕτω· δύο τούτοις ἑκάστοτε μερίζω τὸν χρόνον, παιδιᾷ, καὶ σπουδῇ· καὶ σπουδάζων ἴδιός εἰμι, μάλιστά γε τὰ θεῖα· καὶ παίζων, κοινότα-
D τος. οἶσθα γὰρ ὡς ὅταν ἀνακύψω τῶν βιβλίων, ἐπιρρεπής εἰμι πρὸς ἅπασαν παιδιάν. πολιτικῆς δὲ φροντίδος ἄμοιρος καὶ φύσει καὶ μελέτῃ· τὸν δὲ ἱερέα, ἄνδρα δεῖ θεσπέσιον εἶναι, ὅν γε πρὸς μὲν παιδιὰν ἅπασαν, ἴσα καὶ Θεῷ ἀμείλικτον εἶναι χρή· ὃς ἵνα τηρῇ τὴν ὑπόθεσιν, ὑπὸ μυρίων ὀμμάτων φρουρεῖται· ὧν οὐδὲν ἢ μικρὸν ὄφελος, εἰ μή τις εἴη κατεσκευασμένος σκυθρωποῖς τε καὶ πρὸς ἅπασαν γλυκυθυμίαν ἀνένδοτος. τὰ δέ γε πρὸς τὸν Θεὸν, οὐκ

quod me tantis rebus dignentur, quantis ne ego quidem me ipsum. Verum non istud demum quàm magna offerant spectare conuenit, sed quàm sint eiusmodi, à me vt accipi possint. Etenim hominem diuinos prope honores capere, si quidem dignus sit qui assequatur, ad animi fructum accidit suauissimum; sin multum rei dignitate sit inferior, acerbam futuri spem proponit. Neque enim recens ille mihi metus est, sed cum primis antiquus, ne qua in re in Deum peccans, honorem ab hominibus consequar. Ego verò cùm me ipsum considero, omnino inferiorem sentio, quàm vt Episcopali fastigio respondere possim. Ac sanè apud te de animi mei motibus disputabo. Neque enim apud alium, quàm amicissimum tuum, vnáque mecum educatum caput, commodiùs istud facere possim. Te enim æquum est & earumdem mecum curarum participem esse, & cùm noctu vigilare, tum interdiu cogitare, quemadmodum aut boni mihi aliquid contingat, aut mali quidpiam euitare possim. Audi igitur qui sit mearum rerum status, quarum pleræque iam, opinor, tibi fuerint cognitæ. Cùm exiguum onus suscepissem, commodè mihi hactenus sustinuisse videor, Philosophiam nimirum. Pro eo verò, quod non omninò ab ea aberrare videor, à nonnullis laudatus, maioribus dignus ab iis existimor, qui animi facultatem habilitatémque dignoscere nequeant. Vereor autem, ne arrogantior redditus eum honorem admittẽs, ab vtroque excidam, postquàm alterum quidem contempsero, alterius verò non fuero dignitatem assecutus. Sic enim habeto. Duobus hisce tempus identidem distinguo, ludo atque studiis. Ac cùm in studiis occupor, tum mihi vni deditus sum, in diuinis præsertim: In ludendo verò, maximè omnibus expositus. Scis enim me, cùm à libris oculos auocaui, ad omne ludorum genus esse propensum. Ciuilis porrò curæ ac sollicitudinis & natura & studio penitus sum expers. At Episcopum diuinum esse hominẽ oportet, vtpote qui ab omni ludo peræquè, atq; Deus ipse, alienus, & inexorabilis esse debeat: qui quo vitæ suæ propositũ teneat, ab innumerabilibus oculis custoditur, quorũ aut nulla, aut perexigua vtilis est, nisi ita sit factus quispiã, vt & ad mœstitiã sit compositus, & ad nullam voluptatem confringi, atque emolliri possit. In iis autem quæ ad Deum pertinent, non

ille sibi vni vacans, sed communissimus A omnium esse debeat, vt qui legum doctor sit, & quæ legibus consentanea sunt loquatur. Necesse verò est ipsum tam multa vnum negotia sustinere, quàm multa cæteri simul omnes. Vnus enim quæ omnium sunt, efficere debet, aut criminationibus omnibus obnoxius sit oportet. Quomodo igitur non ingentis cuiusdam & maximi animi erit, tantam sollicitudinum molem, pondúsque sustinere, neque iis mentem obruere, nec in animo restinctam diuinam particulam intueri, cùm tanta illum studiorum varietas distraxerit? Nec me præterit fieri istud à nonnullis posse, atque B istiusmodi felicem indolem prædico, ac reipsa diuinos illos esse viros censeo, quos assidua humanarum rerum tractatio nihil à diuina consuetudine amoueat. Sed ego meipsum intelligo & ad vrbem descendere, & ab vrbe ascendere esse solitum, iisque rebus implicari, quæ ad terrena & infima detrahant; & quantis nemo dixerit sordibus inquinari. Nam ad ipsum, quod priuatæ mihi & inueteratæ labes inoleuerint, quicquid vel minimum adiectum fuerit, cumulatissimam accessionem facit. Robur autem nullum mihi est, nec quæ intus C sunt satis firma, & ad externa sufficere nequeo, longéque à conscientiæ angoribus ferendis absum. Ac quoties à me aliquis suscitatur, palàm sine vlla cunctatione dico: Episcopum nulla omninò labe pollui debere; multum vt ei supersit, tanquam qui aliorum piacula ac sordes abstergat. Quinetiam in iis, quas fratri scribo literis, hoc apponi insuper necesse est. Omnino enim plerique epistolam hanc lecturi sunt. Nam huius potissimum eam gratia dictaui, quô manifestè omnibus constaret me onus istud reformidare; vt quicquid ac- D ciderit & apud Deum & apud homines culpa omni caream, imprimísque apud Patrem Theophilum. Cùm enim mea omnia palàm in medium proferam, atque ex omnibus de me illi deliberandi potestatem faciam, quid est quod ego accusari meritò possim? Mihi igitur & Deus ipse, & lex, & sacra Theophili manus vxorem dedit. Quare hoc omnibus prædico ac testor, neque me ab ea prorsus seiungi velle, neque adulteri instar cum ea clanculum consuescere. Alterum enim nequaquam pium est,

A ἂν ἴδιος, ἀλλὰ κοινότατος εἴη, νομοδιδάσκαλος ὤν, καὶ νενομισμένα φθεγγόμενος. χρὴ δὲ αὐτὸν καὶ πράγματα πράττειν, ὅσα πάντες ἅμα. τὰ γὰρ ἁπάντων μόνον δεῖ πράττειν, ἢ πάσαις αἰτίαις ἐνέχεσθαι. πῶς οὖν οὐκ εἴη ὑπὲρ μεγέθους ψυχῆς καὶ κρατίστης, ἐνέγκαι τοσοῦτον ὄγκον φροντίδων, καὶ μὴ κατακλύσαι τὸν νοῦν, καὶ μὴ κατασβεσθεῖσαν ἐν τῇ ψυχῇ περιιδεῖν τὴν μοῖραν τὴν θείαν, οὕτω παντοδαπῶν ἐπιτηδευμάτων ἀπαγαγόντων αὐτόν; οὐ οἶδα ὅτι δυνατὸν ἐνίοις τοῦτο, καὶ μακαρίζω τὰς φύσεις αὐτῶν, κἀ- χ. ἐπαγαγόντων B κείνους ἀληθῶς εἶναι ἡγοῦμαι τοὺς θείους ἄνδρας, οὓς τὸ ὁμιλεῖν πάνυ πράγμασιν ἀνθρωπίνοις μὴ ἀποκρύπτει τοῦ θείου. ἀλλὰ καὶ " αὐτὸν οἶδα εἰς ἄστυ τε κατιόντα, καὶ χ. ἐμαυτ. ἀπ᾽ ἄστεος ἀνιόντα, καὶ ἐνειλούμενον τοῖς πρὸς τὰ γεώδη " μεθέλκουσι, καὶ ἐμπιμπλάμενον κηλῖδος οὐκ ἂν εἴποι τις ὅσης. τὰς χ. με ἐνδ. γὰρ οἰκείους εἶναί μοι καὶ πάλαι μολυσμούς, καὶ τὸ τυχὸν μέρος ἐπιλυόμενον εἰς προσθήκην μέγα συμβάλλεται. ῥώμη δὲ οὐκ ἔστι μοι, " καὶ τὸ ἔνδον οὐχ ὑγιῆ, καὶ πρὸς χ. τὸ πᾶν ἔνδ. C τὸ ἐκτὸς ἀρκεῖν οὐχ οἷός τέ εἰμι, καὶ πολλοῦ δέω τὴν ἐκ τοῦ συνειδότος φέρειν ἀνίαν. καὶ ὁσάκις ἄν μέ τις " ἔροιτο, λέγειν χ. ἐρωτῴη διαρρήδην οὐκ ἀναδύομαι, ὡς τὸν ἱερέα διὰ πάντων ἀκηλίδωτον εἶναι προσήκει, πολλῷ τῷ περιόντι, ὡς καὶ ἑτέροις τῶν μιασμάτων ἐκπλύνοντα. κἀκεῖνο δεῖ προσεῖναι τοῖς πρὸς τὸν ἀδελφὸν γράμμασι. πάντως δὲ ἀναγνώσονται συχνοὶ τὴν ἐπιστολήν. καὶ γὰρ οὐχ ἥκιστα τούτου χάριν αὐτὴν ὑπηγόρευσα, " τοῦ πᾶσι κατα- Vide Nitas. φανὲς εἶναι τὸ πρᾶγμα, δεδιὼς ὡς ὅ, τι D ἂν ἀποβῇ, ἵνα πρὸς Θεοῦ καὶ πρὸς ἀνθρώπων ἀναίτιος ὦ, καὶ οὐχ ἥκιστα πρὸς τοῦ πατρὸς Θεοφίλου. τιθεὶς γὰρ ἐν μέσῳ τἀμά, καὶ διδοὺς ἐξ ἁπάντων αὐτῷ βουλεύσασθαι περὶ ἐμοῦ, πῶς ἂν ὑπαίτιος εἴην; ἐμοὶ τοιγαροῦν, ὅ, τε Θεός, ὅ, τε νόμος ὅ, τε ἱερὰ Θεοφίλου χείρ, γυναῖκα ἐπιδέδωκε. προαγορεύω τοίνυν ἅπασι καὶ μαρτύρομαι, ὡς ἐγὼ ταύτης οὔτε ἀλλοτριώσομαι καθάπαξ, οὔτε ὡς μοιχὸς αὐτῇ λάθρα συνέσομαι. τὸ μὲν γὰρ ἥκιστα εὐσεβές,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸ δὲ ἥκιστα νόμιμον. ἀλλὰ βουλήσομαί τε καὶ εὔξομαι συχνά μοι πάνυ καὶ χρηστὰ γενέσθαι παιδία. ἓν δὴ τοῦτο δεῖ τὸν κύριον τῆς χειροτονίας μὴ ἀγνοῆσαι· μαθέτω δὲ αὐτὸ παρὰ τῶν ἀμφὶ τὸν ἑταῖρον Παῦλον καὶ Διονύσιον, οὓς πρεσβευτὰς ᾑρῆσθαι παρὰ τοῦ δήμου πυνθάνομαι. ἐκεῖνο δὲ οὐδὲν δεῖ μαθεῖν αὐτὸν, ἀλλ᾽ ὑπομνησθῆναι· διαλέξομαι δὲ πλείω περὶ αὐτοῦ. καὶ γὰρ δὴ ἅπαντα τἆλλα μικρὰ, πρὸς ἕν τις αὐ τοῦτο θείη. χαλεπόν ἐστιν, εἰ μὴ καὶ λίαν ἀδύνατον, εἰς ψυχὴν τὰ δι᾽ ἐπιστήμης εἰς ἀπόδειξιν ἐλθόντα δόγματα σαλευθῆναι. οἶσθα δὲ ὅτι πολλὰ φιλοσοφία τοῖς θρυλλουμένοις τούτοις ἀντιδιατάττεται δόγμασιν· ἀμέλει τὴν ψυχὴν οὐκ ἀξιώσω ποτὲ σώματος ὑστερογενῆ νομίζειν· τὸν κόσμον οὔ φημι καὶ τἆλλα μέρη συνδιαφθείρεσθαι· τὴν καθωμιλημένην ἀνάστασιν ἱερόν τι καὶ ἀπόρρητον ἥγημαι, καὶ πολλοῦ δέω ταῖς τοῦ πλήθους ὑπολήψεσιν ὁμολογῆσαι. νοῦς μὲν οὖν φιλόσοφος ἐπόπτης ὢν τἀληθοῦς, συγχωρεῖ τῇ χρείᾳ τοῦ " ψεύδεσθαι. ἀνάλογον γάρ ἐστι φῶς πρὸς ἀλήθειαν, καὶ ὄμμα πρὸς δῆμον. ἣ οὖν ὀφθαλμὸς εἰς κακὸν ἂν ἀπολαύσειεν ἀπλήστου φωτὸς, καὶ ἣ τοῖς ὀφθαλμιῶσι τὸ σκότος ὠφελιμώτερον· ταύτῃ καὶ τὸ ψεῦδος ὄφελος εἶναι τίθεμαι δήμῳ, καὶ βλαβερὸν τὴν ἀλήθειαν τοῖς οὐκ ἰσχύουσιν ἐνατενίσαι πρὸς τὴν τῶν ὄντων ἐνάργειαν. εἰ ταῦτα καὶ οἱ τῆς καθ᾽ ἡμᾶς ἱερωσύνης συγχωροῦσιν ἐμοὶ νόμοι, δυναίμην ἂν ἱερᾶσθαι, τὰ μὲν οἴκοι φιλοσοφῶν, τὰ δ᾽ ἔξω φιλομυθῶν, εἰ μὴ διδάσκων, ἀλλ᾽ οὐδὲ μέντοι μεταδιδάσκων, μένειν δὲ ἐῶν ἐπὶ τῆς προλήψεως. εἰ δέ φασιν οὕτω δεῖν καὶ κινεῖσθαι, καὶ δῆμον εἶναι τὸν ἱερέα ταῖς δόξαις, οὐκ ἂν φθάνοιμι φανερὸν ἐμαυτὸν ἅπασι καταστήσας. δήμῳ γὰρ δὴ καὶ φιλοσοφίᾳ, τί πρὸς ἄλληλα; τὴν μὲν ἀλήθειαν τῶν θείων ἀπόρρητον εἶναι δεῖ· τὸ δὲ πλῆθος ἑτέρας ἕξεως δεῖται. αὖθις δὲ καὶ πολλάκις ἐρῶ, μηδεμιᾶς ἀνάγκης παρούσης· οὔτ᾽ ἐλέγχειν σοφὸν, οὔτ᾽ ἐλέγχεσθαι. καλούμενος δὲ εἰς ἱερωσύνην, οὐκ ἀξιῶ προσποιεῖσθαι δόγματα. ταῦτα Θεὸν, ταῦτα ἀνθρώπους μαρτύρομαι. οἰκεῖον ἀλήθεια Θεῷ,

ψεύδους.

A alterum illicitum. Sed hoc vtique cupiam ac precabor, plurimos mihi & quam optimos esse liberos. Hoc vnum ab eo ignorari non oportet, qui creandi vim habet, quòd de sodali Paulo ac Dionysio intelligere potest, quos quidem Legatos à populo electos audio. Illud verò docendus non est, sed in memoriam duntaxat ei reuocandum; ac plura sanè ea de re disputabo. Etenim cætera omnia si quis cum hoc vno contulerit, parua ac contemnenda censeantur. Difficile est, vel fieri potiùs nullo pacto potest, vt quæ dogmata scientiarum ratio-
B ne ad demonstrationem perducta in animum peruenerint, conuellantur. Nosti autem Philosophiam cum plerisque ex peruulgatis iisce decretis pugnare. Etenim nunquam profectò mihi persuasero animum originis esse posteriorem corpore. Mundum cæterásque eius partes vnâ interire nunquam dixero. Tritam illam ac decantatam resurrectionem sacrum quidpiam, atque arcanum arbitror; longéque absum ab vulgi opinionibus comprobandis. Animus certè quidem Philosophia imbutus, ac
C veritatis inspector mentiendi necessitati nonnihil remittit. Lux enim veritati, Oculus vulgo proportione quadam respondent. Et oculus ipse non sine damno suo immodica luce perfruatur. Ac vti ophtalmicis caligo magis expedit, eodem modo mendacium vulgo prodesse arbitror, contra nocere veritatem iis, qui in rerum perspicuitatem intendere mentis aciem nequeunt. Hæc si mihi Episcopalis nostri muneris iura concesserint, subire hanc dignitatem possim, ita vt domi quidem philosopher; foris verò fabulas texam, vt nihil penitùs docens, sic nihil etiam dedocens, atque in
D præsumpta animi opinione permanere sinens. Sin ita etiam mouere se oportere dixerint, ac Episcopum opinionibus esse popularem, ego me illico manifestum omnibus præbebo. Vulgo enim cum Philosophia quid esse commune potest? Diuinarum quidem rerum veritatem occultam esse conuenit: vulgus alio modo affectus esse debet. Rursum ego & sæpiùs dicam, cùm nulla necessitas cogat: Neque arguere, neque argui sapientis esse duco. Sed si ad episcopale munus vocer, nolo mentiri dogmata. Horum Deum, horum homines testes facio. Affinis est Deo veritas, apud

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

quem criminis expers omnis esse cupio. Hoc vnum ego non dissimulabo. Cùm ludendi appetens sim (vtpote cui iam inde à pueritia armorum, atque equorum immoderatum studium probro datum fuerit) mœrore quidem afficiar; quomodo enim charissimos mihi canes venationis expertes intueri potero, vel arcus à teredinibus exesos? feram tamen vtcumque, si ita Deus iubeat. Et quamuis à curis alienus sim, non sine moléstia quidem, sed liticulas tamen ac negotia sustinebo, munus istud, etiamsi graue, Deo præstans. Dogmata porrò mea nequaquam obtegam, neque mihi ab animo lingua dissidebit: Ita sentiens itáque dicens, placere me Deo arbitror. Nolo autem sermonem de me cuiquam præbere, quasi ignotus creationem illam raptim occupauerim. Sed tanquam rei totius gnarus Deo charissimus Pater Theophilus, ac quemadmodum probè omnia norit perspicuè mihi significans, ita de me deliberet. Nec enim meo me in vitæ statu persistere, ac mecum philosophari permittet, aut iudicij de me posteà ferendi, méq; ex Episcoporum numero expungendi locum sibi nullum relinquet. Cum his alia omnia consilia si comparentur, meræ nugæ sunt. Veritatem enim scio Deo imprimis acceptam esse. Ac per sacrum caput tuum iuro, & quod eo mihi antiquius est, per veritatis præsidem Deum, molestè id quidem fero, (quî enim non debeam, cùm me ab vno ad aliud vitæ genus demigrare necesse sit?) Sed si posteaquàm ista manifesta fuerint, quæ cælari minimè volo, in Episcoporum numerum nos adscribat, cui eius potestas à Deo commissa est, cedam necessitati, ac tanquam diuinitus oblatam tesseram accipiam. Ita enim apud me existimo. Si quid mihi aut Imperator præcipiat, aut infelix nescio quis Augustalis, pœnas vtique dem, nisi mandatis obtemperem. Deo autem sponte obtemperandum est. Quòd si me muneris huius administrum repudiet Deus, vel ipso statim initio bonorum eius longè diuinissima adamanda veritas est potiùs, quàm contraria maximè ratione, cuiusmodi mendacium est, in illius famulatum irrepatur. Quamobrem cura vt hæc à scholasticis intelligantur, & ad illum perferantur.

A ὧν πάντων ἀναίτιος εἶναι βούλομαι· ἓν
τοῦτο μόνον οὐκ ἀποκρύπτομαι. ἐπεὶ καὶ φιλο-
παίγμων ὤν, ὅς γε παιδόθεν αἰτίαν ἔσχον ὁ-
πλομανεῖν τε καὶ ἱππομανεῖν πέρα τοῦ δέοντος,
ἀνιάσομαι μέν· τί γὰρ καὶ πάθω τὰς φιλτά-
τας κύνας ἀθήρους ὁρῶν, καὶ τὰ τόξα θρι-
πηδέστατα; καρτερήσω δέ, ἂν ἐπιτάττῃ Θεός.
καὶ μισοφρόντις ὢν ὀδυνήσομαι μέν, ἀνέξομαι
δὲ δικιδίων καὶ πραγμάτων, λειτουργίαν τινὰ
ταύτην, εἰ καὶ βαρεῖαν, ἐκπιμπλὰς τῷ
Θεῷ· δόγματα δὲ οὐκ ἐπηλυγάσομαι, οὐδὲ
B στασιάσει μοι πρὸς τὴν γλῶτταν ἡ γνώμη.
οὕτω λέγων ἀρέσκειν οἶμαι Θεῷ. οὐ βούλομαι
δὲ καταλελεῖφθαί " τινι περὶ ἐμοῦ λόγον, ὡς γ. τινα.
ἀγνοηθεὶς ἥρπασα τὴν χειροτονίαν. ἀλλ' εἰ-
δὼς ὁ θεοφιλέστατος πατὴρ Θεόφιλος, καὶ ὡς
ἐπίσταται, σαφές μοι ποιήσας, οὕτω βουλευ-
σάσθω περὶ ἐμοῦ. ἢ γὰρ κατὰ χώραν ἐάσει
μένειν ἐπ' ἐμαυτοῦ φιλοσοφοῦντα, ἢ τοῦ μετὰ
ταῦτα κρίνειν καὶ διαγράφειν ἡμᾶς τοῦ χο-
ροῦ τῶν ἱερέων ἑαυτῷ χώραν οὐχ ὑπολείψει.
πρὸς ταῦτα, λῆρος ἐστὶν ἅπασα γνώμη. τὸ
γὰρ ἀληθές, εὖ οἶδ' ὅτι τῷ Θεῷ προσφι-
C λέστατον. καὶ νὴ τὴν ἱερὰν σου κεφαλήν, καὶ
ἔτι πρὸ ταύτης, νὴ τὸν ἔφορον ἀληθείας Θεόν,
ἄχθομαι μέν· πῶς γὰρ οὐ μέλλω, δεῆσον ὥσ-
περ εἰς βίον ἀπὸ βίου μετασκευάζεσθαι; εἰ
δὲ τούτων φανερῶν γινομένων, ἅπερ οὐκ ἀ-
ξιῶ λανθάνειν, ἐγκρίνειεν ἡμᾶς ἱερεῦσιν, ᾧ τοῦ-
το δέδωκεν ὁ Θεός, ὑποδύσομαι τὴν ἀνάγ-
κην, καὶ ὡς θεῖον σύνθημα καταδέξομαι. λο-
γίζομαι γὰρ ὅτι καὶ βασιλέως ἂν ἐπιτάξαντος,
καὶ κακοδαίμονός τινος Αὐγουσταλίου, δίκην
ἂν ἔδωκα μὴ πειθόμενος· τῷ Θεῷ δὲ ἐθελον-
τὴν δεῖ πείθεσθαι. εἰ δὲ μὴ προσίεταί με
D λειτουργὸν ὁ Θεός, καὶ ἐκ προοιμίων δεῖ τὸ
θειότατον ἀγαπῆσαι τὴν ἀλήθειαν, ἀλλὰ μὴ
διὰ τῶν ἐναντιωτάτων, ὁποῖόν ἐστι τὸ ψεῦδος,
εἰς τὴν ὑπηρεσίαν αὐτοῦ παραδύεσθαι. γνοῦ
δὴ τοὺς περὶ σχολαστικοὺς εἰδέναι ταῦτα, καὶ πρὸς
ἐκεῖνον ἐξαγγεῖλαι.

Eidem. 106.

Τῷ αὐτῷ.

De Laserpitio ab adolescente quæsiui,

Ἠρόμην δὲ μειράκιον περὶ τοῦ σιλφίου,
πότερον

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A πότερον ἀπὸ γεωργίας σοὶ γέγονεν, ἢ δῶρον λαβὼν, ἔδου μερίδα κἀμοί. καὶ δῆτα μαθὼν ὡς τὸ σπουδαζόμενον ὑπό σου κηπίον, πρὸς ἅπασι καὶ τοῦτον ἐκόμισε τὸν καρπὸν, ἥσθην διπλῆ, τῷ τε κάλλει τοῦ λαχάνου, καὶ τῇ φήμῃ τοῦ τόπου. ὄναιο τοῦ παμφόρου χωρίου, καὶ μήτε σὺ κάμοις ἐπαντλῶν ταῖς φιλτάταις πρασιαῖς, μήτ᾽ ἐκεῖναί ποτε πρὸς τὰς ὠδῖνας ἀπαγορεύσειαν, ἵν᾽ ἔχῃς αὐτός τε χρῆσθαι, καὶ ἡμῖν διαπέμπειν ὅσα φέρουσιν ὧραι.

num ex cultura tibi prouenisset, an eo tibi munere dato, partem mihi sepo-suisses. Statimque tibi intellexi hortulum illum tuum, cuius tantoperè studiosus es, præter alia omnia hunc etiam fructum attulisse; dupliciter gauisus sum, cùm oleris pulchritudine, tum loci illius fama. Macte tam fertili atque vberi prædio, nec tu vnquam carissimas areolas irrigans fatigeris, nec illæ ad eiusmodi partus lassæ vnquam atque effœtæ sint, vt & vti, & ad nos mittere possis, quæcunque tempestates ferunt.

Τῷ αὐτῷ.

B

Ἡδὺς εἶ κωλύων ἡμᾶς ὅπλα κατασκευάζεσθαι, τῶν πολεμίων μὲν ἐπεχόντων, καὶ λείαν ἅπαντα ποιουμένων, καὶ ἀποσφαττόντων ὁσημέραι δήμους ἀθρόους, στρατιωτῶν δὲ οὐκ ὄντων, ὥστε καὶ φαίνεσθαι. εἶτα λέξεις ὡς οὐκ ἐξὸν ἰδιώταις ἀνθρώποις ὁπλοφορεῖν, ἀποθνήσκειν δὲ ἐξὸν, εἴπερ καὶ ἡ πολιτεία " χαλεπαίνει τῷ πειρωμένῳ σώζεσθαι; ἀλλ᾽ εἰ μηδὲν ἄλλο κερδαίνομεν, τὸ γοῦν τοὺς νόμους γενέσθαι κυρίους ἀντὶ τούτων τῶν ἀλαστόρων· καὶ πόσου δοκεῖς τοῦτο τιμῶμαι, πάλιν εἰρήνην ἰδεῖν, καὶ βῆμα κεκοσμημένον, καὶ κήρυκα σιγὴν ἐπιτάττοντα; αὐτίκα τεθναίην, τὸ πρότερον σχῆμα τῆς πατρίδος ἀπολαβούσης.

" χαλεπαίνοι

Eidem. 107.

Iucundus es, cùm nos arma fabricare prohibes, hostibus latè omnia tenentibus omniáque deprædantibus, atque in dies integros populum confertim iugulantibus, cùm miles nullus adsit, qui quidem compareat. Quæ cùm ita sint, tamenne licere negabis priuatis hominibus arma ferre? mori autem licere dices, si iis qui saluti suæ consulant, Respublica succenseat? Verùm si nihil aliud, hoc saltem lucrifaciam, vt pro execrandis illis pestibus, leges ac iura dominentur. Quanti verò istud à me fieri putas, pacem vt C rursum videam, Tribunal ornatum, & Præconem silentium indicentem? Extemplo emoriar, postquàm Patria pristinam formam recuperarit.

Τῷ αὐτῷ.

Ἐμοὶ λόγχαι μὲν ἤδη γεγόνασι τριακόσιαι, καὶ κοπίδες τοσαῦται, ξίφη δὲ ἀμφήκη καὶ πρότερον ἦν, οὐ πλείω τῶν δέκα. παρ᾽ ἡμῖν δὲ οὐ χαλκεύεται τὰ πάνυ προμήκη ταῦτα σιδήρια· ἀλλ᾽ οἶμαι τὰς κοπίδας ἐρρωμενέστερον ἐμβάλλειν τοῖς τῶν ἀντιτεταγμένων σώμασι. τούτοις οὖν χρησόμεθα. Εἰ χρηστέον δὲ, καὶ κορύνας ἕξομεν· ἀγαθοὶ δὲ οἱ κότινοι παρ᾽ ἡμῖν. ἐνίοις δὲ ἡμῶν εἰσὶ καὶ πελέκεις ἑτερόστομοι περὶ τὴν ζώνην ἑκάστῳ, οἷς τὰς ἀσπίδας αὐτῶν ἀλοήσαντες, ἐν ἴσῳ στησόμεθα αὐτοῖς οἱ μηδὲν ἔχοντες ὅπλων πρόβλημα. ὁ δὲ ἀγὼν, ὡς εἰκάσαι, τῆς ὑστεραίας. τοῖς γὰρ σκοποῖς ἡμῶν περιτυχόντες ἔνιοι τῶν πολεμίων, καὶ διώξαντες ἀνακράτος, ὡς ἔγνωσαν κρείττους ὄντας ἢ ἁλῶναι, ἐκέλευσαν ἀγγέλλειν ἡμῖν ἅττα

Eidem. 108.

Mihi iam trecentæ lanceæ fabricatæ sunt, & machæræ totidem, ancipites verò gladij iam anteà non plures decem fuêre. Apud nos verò oblonga id genus ferramenta non cuduntur, sed machæras opinor validiùs in corpora hostium incumbere: quare iis vtemur. Atque D etiam si iis opus sit, clauas habebimus, optimi enim sunt apud nos oleastri. Quidam nostrum secures habent in zona singuli, altera tantùm acutas parte, quibus eorum scuta tundentes æquo nobiscum Marte decertare cogemus, qui nullum armorum numinentum habemus. Prælium autem, quantum conijcio, postridie committetur. Nam cùm hostium quidam in speculatores nostros incidissent, totísque viribus insecuti essent, vbi velociores eos esse, quàm vt capi possent, agnouerunt, renuntiare nobis iusserunt quæ iucundissima

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

sunt; si nimirum non amplius oberrandum nobis erit, ad eos homines vestigandos, qui in vastas continentis regiones subeunt. Manere enim sese dixerunt, velléque cognoscere cuiusmodi tandem homines simus, qui tot dierum itinere ab nostris sedibus abstrahi non dubitauerimus, vt cum bellicosis hominibus manus consereremus, qui palantes ac segregati viuunt, eadémq; Reipublicæ forma, qua nos expeditionis, atque exercitus, vtuntur. Igitur tanquam crastina die fauente Deo hostes superaturus, aut si ita tamen necesse sit, rursum superaturus (nihil enim malè ominari velim) liberorum meorum curam tuæ fidei commendo: te enim qui patruus sis, meæ apud te gratiæ memoriam in eos transferre conuenit.

A ἥδιστα. εἰ μηκέτι δεήσοι πλανᾶσθαι, ζητοῦντας ἀνθρώπους ἐνδυομένους ἠπείρου πλάτη. μένειν γὰρ ἔφασαν, καὶ ἐθέλειν μαθεῖν οἵ τινες ὄντες, ἡμερῶν τοσούτων ὁδὸν ἀποσπάσαι τῆς χώρας ἐτολμήσαμεν, ἐφ' ᾧ συμμῖξαι πολεμισταῖς ἀνθρώποις βίον ζῶσι νομαδικόν, καὶ τὰ εἰς πολιτείαν οὕτω καθεστησαμένοις, ὥσπερ ἡμεῖς τὰ ἐπὶ τῆς στρατιᾶς. ὡς οὖν αὔριον σὺν Θεῷ τοὺς πολεμίους νικήσων, ἂν μέντοι δέῃ πάλιν νικήσων· μηδὲν γὰρ ἀπαίσιον φθεγξαίμην· ἐπισκήπτω σοὶ τῶν παιδίων ἐπιμεληθῆναι. B προσήκει δὲ ὄντι θείῳ εἰς αὐτὰ ἀπομνημονεῦσαι τὴν χάριν.

Eidem. 109.

Τῷ αὐτῷ.

Neque Asini mihi, neque Muli, aut Equi copia est, omnibus ad pabula dimissis, quibus ad te amicissimum mihi caput possem contendere. Pedibus porrò iter facere omninò quidem volebam, ac forsitan istud poteram, sed propinqui committendum istud negarunt, ne iis qui occurrerent risum de nobis præberemus. Hos enim qualescunque demum sint, vsqueadeò sapientes esse putant, tantáque mentis solertia, vt vnusquisque melius quid me deceat, quàm egenus ipse peruideat. Ita multis nos arbitris deuinciunt, qui nos hominum famæ existimationíque seruire compellunt. Peruicère autem non admonendo duntaxat, sed maiore quadam adhibita vi: quippe cùm ego proficiscerer, permittere noluerunt, sed me pallio retraxerunt. Quid igitur reliquum erit, nisi vt vicariam mei hanc ad te epistolam mitterem? Qua tibi salutem impertio: tum illud abs te quæro, quidnam è Ptolemaide allatum sit: recentes nescio quos nuntios intelligo, quos ex Prætorio reportare te verisimile est. Præsertim quid sit illud peruulgatum arcanum ex Occidente. Scis enim mea interesse, ita factum, an secus fuerit. Itaque si quidem literas ad me perspicua omnia significantes miseris, manebo; sin minus, tu me ipse quoque de cursu reprehendes.

Οὐκ ὄνος, οὐχ ἡμίονος, οὐχ ἵππος ἐστί μοι, ἀπολύτων ἀφειμένων εἰς πόαν, οἷς χρησάμενος ἂν ἦλθον "εἰς σὲ τὴν φιλτάτην μοι κεφαλήν. γρ. εἰς σὲ φιλτάτης κεφαλῆς. βαδίζειν δὲ πάνυ μὲν ἐβουλόμην, καὶ τυχὸν ἠδυνάμην· οὐ μὴν ἔφασαν οἱ προσήκοντες C δεῖν, ἵνα μὴ διατριβὴ τοῖς ἀπαντῶσι γενοίμεθα. οὗτοι γάρ, οἵτινες ἂν ὦσιν, οὕτω πάνυ σοφοὶ ἥγηνται, καὶ τοσοῦτον νοῦν ἔχειν, ὡς ἕκαστον αὐτῶν ἄμεινον ἂν ἐμοῦ σκέψασθαι περὶ τῶν πρεπόντων ἐμοί. τοσούτων ἡμᾶς ἐξαρτῶσι κριτῶν, οἱ πρὸς δόξαν τὴν ἔξω ζῆν ἀναγκάζοντες. περιεγένοντο δὲ οὐ νουθετοῦντες, ἀλλὰ τὸν βιαιότερον τρόπον, ἐπεὶ προῄειν, οὐκ ἐπιτρέποντες, ἀλλ' ἀντιλαμβανόμενοι τοῦ τριβωνίου. τί οὖν ὑπόλοιπον, ἢ τὴν ἐπιστολὴν ἀντ' ἐμοῦ στεῖλαι πρός σε; δι' ἧς ἀσπάζομαί τέ σε, καὶ πυνθάνομαι τίνα τὰ ἀπὸ D Πτολεμαΐδος ἀγώγιμα, λόγους καινοὺς οὓς εἰκός σε κομίζειν ἀπὸ τοῦ στρατηγίου· καὶ μάλιστα τί τὸ θρυλλούμενον ἀπόρρητον ἀπὸ τῆς ἑσπέρας. οἶσθα γὰρ ὅτι πάνυ μοι διαφέρει γινόμενον οὕτω, καὶ μὴ γινόμενον. εἰ μὲν οὖν ἕκαστα σαφῶς ἔχουσαν ἐπιστολὴν ἐκπέμψεις, ἔξω κατὰ χώραν· εἰ δὲ μή, καὶ σὺ μέμψῃ περὶ τοῦ δρόμου.

Eidem. 110.

Τῷ αὐτῷ.

Chilas leno, quem à paucis ignorari præ artis claritate verisimile est:

Χείλας ὁ πορνοβοσκός, ὃν οὐκ εἰκὸς ὑπὸ πολλῶν ἀγνοεῖσθαι, διὰ τὴν ἐκ τῆς τέχνης λαμπρότητα·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ γὰρ ἡ μῖμος Ἀνδρομάχη, τῆς τούτου γέγονε φάλαγγος, ἣν τὸ κάλλιστον τῶν γυναικῶν ἐν τοῖς καθ' ἡμᾶς χρόνοις ἀνθήσασα. σὺν τοῦ ἐννεάσας τοῖς οὕτω καλοῖς ἐπιτηδεύμασι, πρέπον ᾠήθη τοῖς προβεβιωμένοις αὐτῷ, ἐν γήρᾳ στρατιωτικαῖς ἐλλαμπρύνεσθαι τάξεσιν. ἔναγχος οὖν ἥκει παρὰ βασιλέως στρατηγεῖν εὑράμενος τῶν γενναιοτάτων Μαρκομάνων, οὓς εἰκὸς ἡμῖν ἐστὶ καὶ πρότερον ἀγαθοὺς στρατιώτας ὄντας, νῦν ἐπιτυχόντας καὶ πρέποντος στρατηγοῦ, μέγα τι καὶ γενναῖον ἔργον ἐπιδείξασθαι. ἔλεγε γοῦν Συριανῷ συγγενόμενος· οἶσθα τὸν ἐκ γειτόνων τὸν ἰατρόν· ὁ δὲ Συριανὸς ἀπήγγειλε πρὸς ἡμᾶς, ἐν οἷς ἀπολείποι τὸ θεῖον στρατόπεδον. τὰ μὲν οὖν ἄλλα τί ἂν δέοι πρός σε γράφειν, ὧν κἀγὼ παρέργως ἠκροασάμην; ἐφ' οἷς δὲ αὐτὸς ἀκούσας ἥσθην ὑπερφυῶς, σέ τε δι' αὐτῶν εὐφρανθῆναι βούλομαι, τάδε ἐστίν· ὁ θαυμαστὸς Ἰωάννης, μικρὸν εἰπεῖν, ἐν τοῖς αὐτοῖς ἐστίν, ἐπιδιδούσης τῆς τύχης ἐν τοῖς ἐκείνου πράγμασιν, ὅσον ἐπιδόσεως χωρεῖ, καὶ ἵνα καθ' ἑαυτὴν ὑπερβολὴν ἐξευρούσης. αὐτῷ τε γὰρ ἀνεῖται τὰ βασιλέως ὦτα· καὶ περὶ τούτων ἡ γνώμη χρῆσθαι πρὸς ὅ, τι δέοιτο. καὶ ὅσα Ἀντίοχος δύναται, δύναται τούτῳ· δύναται δὲ Ἀντίοχος ὅσα βούλεται. Ἀντίοχον ἡγοῦ μὴ τὸν ἀπὸ Γρατιανοῦ, τὸ ἱερὸν ἀνθρώπιον, τὸ βέλτιστον μὲν τοὺς τρόπους, εἰδεχθέστατον δὲ τὴν ὄψιν. ἀλλ' ἕτερός ἐστιν ὁ νεανίσκος ὁ προκοίλιος, ὁ Ναρσῇ τῷ Πέρσῃ παραδυναστεύσας, καὶ ἐπιδυναστεύσας· τοῦτον ἐξ ἐκείνου μέχρι νῦν ἡ τύχη μέγαν ποιεῖ. τούτων οὕτως ἐχόντων, εἰκός ἐστι κορώνης ἐνιαυτοὺς ἄρξαι παρ' ἡμῖν τὸν δικαιότατον ἄρχοντα, τοῦ μὲν ὄντα συγγενῆ, τοῦ δὲ οἰκεῖον γενόμενον.

ἐκλαμ- ῥξ. Σερίωια- Σερίωια- δήσοι.

A Etenim Andromacha mima quæ pulchritudinis laude præ omnibus ætatis nostræ mulieribus floruit, de eius cohorte extitit. Hic igitur per adeò præclara studia iuuentutem traducens, anteactæ vitæ conuenire arbitratus est, vt in senectute militaribus gradibus nomen suum illustraret. Nuper igitur venit infortissimos Marcomanos imperium à Rege sortitus, quos credibile est, nobis cùm anteà milites optimi fuerint, si iam idoneum ducem obtinuerint, memorabile aliquod atque egregium facinus edituros. Hoc inter colloquendum Syriano B dixit, nosti illum de vicinia medicum; Syrianus ad nos detulit, quonam in statu diuina illa castra reliquisset. Cætera porrò quod attinet scribere, quæ ego etiam obiter accepi? Sed quibus auditis mirificè sum delectatus, quorúmque lætitiam impertiri volo, ea eiusmodi sunt. Egregius noster Ioannes (paruum hoc dictu est) in iisdem semper versatur, cùm illius in rebus fortuna se in dies efferat, quantum efferri potest, atque etiam incrementum aliquod sui excogitauerit. Nam illi patet imperatoris aures, & quod caput est, animus ipse, quo ad ea omnia C quæ velit vtatur. Et quicquid Antiochus potestatis habet, in illis commodum habet: potest autem Antiochus quæcumque libet. Antiochus dico, non qui cum Gratiano fuit, sanctum homuncionem, moribus spectatissimis, sed oppidò deformem: Verùm alius quidam est iuuenis ventrosus, qui apud Narsen Persen præcipua in autoritate fuit, eandémque post eum retinuit. Ab eo tempore magnum illum hucusque fortuna reddit. Quæ cùm ita sint, consentaneum est Cornicis annos præfuturum nobis æquissimum magistratum, qui cum altero cognatione, cum altero necessitudine sit coniunctus.

D

Τρωΐλῳ.

ἀπαγγέλλοι.

Πυνθάνῃ περὶ Διοσκορίου πόσους ἀπαγγέλλει στίχους ἑκάστης ἡμέρας; πεντήκοντα. τούτους ἀποδίδωσιν, οὐ προσπταίων, οὐ διλογῶν, οὐκ ἐφιστάμενος ἐφ' ᾧ τὴν ἀνάμνησιν ἀθροῖσαι σὺν χρόνῳ· ἀλλ' ἐπειδὰν ἄρξηται λέγειν, κατατείνει συνεχῶς· καὶ ἡ σιωπὴ τέλος ἐστὶ τῆς ἀπαγγελίας.

Eidem. III.

Quæris de Dioscorio, quot versus quotidie pronuntiet? quinquaginta. Hos quidem reddit, nihil hæsitans, nihil iteratò repetens, neque identidem insistens ad colligendam cum tempore memoriam: sed postquàm cœperit, continuò percurrit, pronuntiandíque finis est silentium.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A

Troilo. 112.

Neque easdem ob caussas diligunt ac laudant homines, nec eadem animæ facultas vtrisque illis præstandis attributa est, sed ea quidem parte quæ affectibus mouetur, conciliamur aut alienamur inuicem: Quæ verò iudicandi vi prædita est & rationem continet, ea laudamus, aut reprehendimus.

Τρωίλῳ.

Οὔτε ἐπὶ τοῖς αὐτοῖς οἱ ἄνθρωποι φιλοῦσι καὶ ἐπαινοῦσιν, οὔτε μία δύναμις τῆς ψυχῆς ἐπ' ἄμφω τέτακται ταῦτα· ἀλλὰ τῷ παθητικῷ μὲν οἰκειούμεθα καὶ ἀλλοτριούμεθα. τῷ δὲ κρίνειν δυναμένῳ καὶ λόγον ἔχοντι τῆς ψυχῆς, ἐπαινοῦμέν τε καὶ μεμφόμεθα.

Fratri. 113.

Itáne verò? miseros illos videamus sponte mortem subire pro alienis rebus velle, quascunque deprædati fuerint, ne rursum iis quorum illæ sunt, tradere cogantur; nos pro sedibus nostris, pro sacris, pro legibus, pro fortunis quibus nos magis temporis diuturnitas assuefecit, non periculis omnibus vitam exponemus, sed animæ nostræ consulemus? Haud sanè viri esse videbimur. Mihi quidem vtut habeo, recta in illos eundum est, experimentúmque de tam audacibus hominibus capiendum, quales tandem cùm sint insultare Romanis non dubitent, quocumque ij modo sese habeant. Camelus enim, aiunt, etiam scabiosus multorum Asinorum onera sustinet. Enimuerò mori ferme in eiusmodi casibus eius video, qui vitæ suæ plurimum student, & viuere quotquot vitam desperauerint. Horum ego vnus ero. Pugnabo enim tanquam moriturus: Nec dubito quin superstes sim futurus. A Lacedæniis enim ortum duco: & magistratuum ad Leonidam literas probè teneo. Tanquam illicò morituri dimicent, & non morientur.

Τῷ ἀδελφῷ.

B Εἶτα, τοὺς μὲν κακοδαίμονας τούτους ὁρῶμεν ἀποθνήσκειν ἐθέλοντας ὑπὲρ τῶν ἀλλοτρίων, ἅττα ἂν λείαν περιποιήσωνται, τοῦ μηκέτι παρέσεσθαι τοῖς κυρίοις αὐτά. ἡμεῖς δὲ ὑπὲρ χώρας, ὑπὲρ ἱερῶν, ὑπὲρ νόμων, ὑπὲρ κτημάτων, οἷς ἡμᾶς ὁ χρόνος συνηθεστέρους ἐποίησεν, οὐκ ἀφειδήσομεν ἑαυτῶν, ἀλλὰ περιεξόμεθα τῆς ψυχῆς; οὐκ ἄρα δόξομεν ἄνδρες εἶναι. ἐμοὶ μὲν οὖν ἰτητέον ἐστὶν ἐπ' αὐτοὺς ὡς ἔχω, καὶ πεῖραν ληπτέον τῶν πάνυ τούτων τολμώντων, οἵτινες ὄντες ἀξιοῦσι Ῥωμαίων καταγελᾶν, ἐχόντων ὅπως ποτὲ ἔχουσιν. ἀλλ' ἡ κάμηλος γάρ τοί φασι καὶ ψωριῶσα
C πολλῶν ὄνων ἀνατίθεται φορτία· ἀλλὰ μὴν καὶ ἀποθνήσκοντας, ὡς ἐπίπαν ἐν τοῖς τοιούτοις ὁρῶ τοὺς περὶ πλείστου ποιουμένους τὸ ζῆν, καὶ ζῶντας ὅσοι τοῦ ζῆν ἀπεγνώκεισαν· τούτων ἔσομαι. μαχήσομαι γὰρ ὡς ἀποθανούμενος· καὶ εὖ οἶδ' ὅτι περιέσομαι. λάκων γὰρ ἄνωθέν εἰμι, καὶ οἶδα τὴν πρὸς Λεωνίδην ἐπιστολὴν τῶν τελῶν. μαχέσθων ὡς τεθνηξόμενοι, καὶ οὐ τεθνήξονται.

Eidem. 114.

Et miraris, cùm apud æstuosos Phycuntas habites, si rigeas, & sanguinem corruperis. At contra mirandum hoc sanè foret, si corpus tuum ardorem illum peruincere posset. Verum potes tu, fauente numine, si ad nos migraueris, valetudinem recuperare, postquàm aëre ex palustri vapore infecto liberatus fueris, liberatus item aquis salsis, ac tepidis, penitúsque stantibus, quod idem est ac si mortuis dicam. Quæ verò tandem voluptas est, in litoris arenæ recumbere, qui vnicus vobis secessus est.

Τῷ αὐτῷ.

D Εἶτα θαυμάζεις ὅστις τοὺς αὐχμώδεις Φυκοῦντας οἰκῶν, εἰ ῥιγοῖς, καὶ τὸ αἷμα ἐξεπονήρευσας; τοὐναντίον μέν τοι θαυμάζειν ἐχρῆν, εἴ σοι τὸ σῶμα κρεῖττόν ἐστι τῆς αὐτόθι φλογός. ἀλλ' ἔστι σοὶ παρ' ἡμᾶς ἐλθόντι σὺν τῷ Θεῷ, ῥάονι γενέσθαι, ἀπαλλαγέντι μὲν ἀέρος διεφθορότος ἐκ τῆς ἐλώδους ἀτμίδος, ἀπαλλαγέντι δὲ ὕδατος ἁλυκοῦ, καὶ χλιαροῦ, καὶ τὸ ὅλον ἑστῶτος· ὃ ταυτὸν εἰπεῖν καὶ νεκροῦ. τί δὲ καὶ καλὸν ἐπὶ τὴν ψάμμον τὴν αἰγιαλῖτιν ἀναπεσεῖν, ἣν μόνην ἔχετε διατριβήν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ποῖ γὰρ δὴ καὶ τραπήσεσθε; ἐνταῦθα δὲ, ἔξεστι μὲν ὑπελθεῖν δένδρου σκιάν· κἂν δυσαρεστῇς, ἔστιν ἀμεῖψαι δένδρον ἐκ δένδρου, καὶ ὅλον ἄλσος ἐξ ἄλσους. οἷον δὲ τὸ διαβῆναι παραρρέον ὑδάτιον; ὡς ἡδὺ ὁ ζέφυρος ὑποκινῶν ἠρέμα τοὺς κλάδους; ποικίλαι δὲ καὶ ὀρνίθων ᾠδαὶ, καὶ ἀνθέων χροιαὶ, καὶ λειμῶνος θάμνοι· τὰ μὲν, γεωργίας ἔργα· τὰ δὲ, φύσεως δῶρα· πάντα εὐώδη· γῆς ὑγιαινούσης χυμοί. τὸ δὲ τῶν Νυμφῶν ἄντρον οὐκ ἐπαινέσομαι· Θεοκρίτου γὰρ δεῖ. ἔστι δέ τι καὶ παρὰ ταῦτα.

A Quonam enim vos vertetis? Apud nos contra licet sub arboris vmbra considere: sin te fastidium capiat, ab vna ad aliam arborem, aut ab saltu transire ad saltum alium licet. Quale verò est & alluentem aquulam traijcere? Quàm est Zephyrus ille suauis, qui ramos leniter concutit? Nec varij concentus volucrum desunt, neque florum picturæ, aut in pratis frutices, partim culturæ opera, partim naturæ dona, fragrantia omnia, bene habitæ telluris succi. Nympharum porrò speluncam nihil laudabo: Theocrito enim opus est: Ac præter hæc, etiam aliud quiddam est. B

Θεοδώρῳ Ἰατρῷ.

Ἀγαθὸν ἀναγκαῖον ἡ ὀλιγοσιτία, ἣν ἕτερος μὲν ἄν τις καὶ σκώψειε· σοὶ δὲ οὐ θέμις Ἱπποκράτην αἰσχῦναι, ὃς ἀφορίζων τὴν ἔνδειαν, ἔφη ὑγείας εἶναι μητέρα.

Theodoro Medico. 115.

Necessarium bonum est cibi parsimonia, quam vt alius quispiam irriserit, tibi certè nefas est, qui Hippocratem iactes; qui in breuibus sententiis, inediam dixit sanitatis matrem esse.

Αὐξεντίῳ.

Αὐξαίνοντι

Εἰς ὄρος, ἢ εἰς κῦμα πολυφλοίσβοιο θαλάσσης

Ὅμηρος ἀποδιοπομπεῖται τὰ ἐκ φιλονεικίας κακά. φιλοσοφία δὲ οὐδὲ τὴν ἀρχὴν αὐτοῖς δίδωσι πάροδον εἰς ψυχήν. ἀλλ' ἡμεῖς ἀσθενέστεροι μὲν, ἢ ὥστε φιλοσοφεῖν, τό γε ἐμὸν μέρος· οὐ μὴν ἀξιοῦμεν πάντάπασι φαυλότεροι ἔχειν ἀνθρώπων στρατιωτῶν, ἐφ' οἷς ἡ ποίησις γέγονε. πάλιν οὖν Ὁμήρῳ χρηστέον, ὅς που φησὶν,

Ἄρχε, σὺ γὰρ γενεῆφι νεώτερος.

Μάχη γὰρ μὴ γένοιτο μέν· εἰ δὲ γένοιτο, ὁ νεώτερος αὐτῆς ἀρχέτω. τοιοῦτον γάρ τι νοεῖται τῷ Ποσειδῶνι, τὸ παραχωρεῖν τοῦ προκατάρξασθαι τῷ νεωτέρῳ Θεῷ. τὸν δὲ πρεσβύτερον, ἡγεμόνα δεῖ τῶν καλλίστων εἶναι· κάλλιστον δὲ ὁμόνοια. ἐγὼ δὲ ὡς οὐ σοῦ πρεσβύτερος μόνον, ἀλλὰ καὶ ἤδη πρεσβύτης, χρῷ δῆλον, ὁ Φερεκύδης φησίν. ἐμοὶ οὖν τὰ τῆς ἀπολογίας εἰς ἐμὲ περιίσταται. εἰ δὲ καὶ τὸν πρότερον ἁμαρτάνοντα δεῖ πρότερον ἐνδοῦναι, σὺ δ' ἐμὲ βούλει τοῦτον εἶναι, συγχωρῶ σοῦ χαίρειν καὶ τοῦτο. δεῖ γὰρ ἀντιποιηθέντα σου πρότερον, εὐθὺς ἐθελήσοντί σοι χαρίσασθαι.

Auxentio. 116.

In montem, aut pelagi vndantes cum murmure fluctus C

Homerus contentionis mala procul amandari exoptat. Philosophia verò ne initio quidem aditum illis ad animum præbet: Verùm imbecilliores nos sumus, quàm vt philosophemur, quòd quidem ad me attinet. Nolumus tamen militibus esse deteriores, quos versibus suis ille descripsit. Rursum itaque Homero vtendum est, qui alicubi dixit,

Incipe, nam natu minor es.

Pugna enim atque contentio absit quidem omninò: sin aliqua interuenerit, eam iunior inchoet. Tale enim quiddam Neptuno in animum venit, vt auspicandi preij iuniori Deo potestatem faceret. D Grandiorem ve[illegible] natu, præire ad honestissima quæque consentaneum est: honestissima porrò Concordia est. Ego autem quàm te non modò senior sim, verumetiam senex de cute manifestum est (aiebat Pherecydes.) Quare meæ sunt excusandi partes. Quòd si insuper eum, qui primus peccarit, primum credere atque animum remittere oportet, & tu me eum esse vis, hoc etiam tua causa concedo. Decet enim qui te prior conciliare sibi studuerit, subinde eum tibi quæ volueris condonare.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A

Heliodoro. 107.

Communi hominum fama percrebuit, plurimùm te apud Ægypti Præfectū gratia, & autoritate valere, veréque illa de te prędicat: dignissimus enim es, qui potestate quàm honestè vtaris. Vt igitur aliquem ex indole, potestateq; tua fructum capias, quę meus Eusebius abs te desideret, ea exponentem illum audias, vt etiam oratorem intelligas à me esse commendatum.

Ἡλιοδώρῳ.

Ἡ φήμη λέγει δύνασθαί σε πολλὰ παρὰ τῷ νῦν ἔχοντι τὴν Αἰγυπτίων ἀρχήν, καὶ ἀληθῆ λέγει· δικαιότατος γὰρ εἶ, καλῶς τῷ δύνασθαι χρώμενος. ὅπως οὖν ὄναιο τῆς σῆς φύσεως καὶ δυνάμεως, ὑπὲρ ὧν ὁ ἐμὸς Εὐσέβιος δεῖται, λέγοντος ἄκουσον, ἵν' εἰδῇς ὅτι καὶ ῥήτορα συνεστησάμην.

Troilo. 108.

B

Si Maximinum heroem nosti, diu enim in castris commoratus est, omninò & bonum virum esse nosti. Huius filius, consobrinus ex patre meus est, qui tibi hasce literas dabit; cui alius forte quispiam vel fortunæ nomine bonorum deferet: ex iis enim est, qui non obscurum Magistratum gesserunt. At Philosophus Troilus intimos adolescentis recessus penetrabit, indéque illum laudabit. Perspicuum autem est te illi in præsenti necessitate præsidio futurum. Laceratur enim à delatoribus in Cyrenem grassantibus, nisi vires induis ipse. Quicquid enim Anthemio, aut alteri cuilibet pari autoritate pro nobis ac veritate loqui persuaseris, tuum hoc vtique erit, eiúsque quicquid factum erit, causa esse existimaberis. Per vnum itaque hominem, vnámque rem quæso te, da operam, vt nequissimis iisce belluis liberemur. Hoc enim ipsum, quòd iis, qui periculum primi fecerint, prosperè successerit, plerosque vt similes esse velint, hortabitur.

Τρωΐλῳ.

Εἰ τὸν ἥρωα Μαξιμῖνον οἶσθα· διέτριψε γὰρ χρόνον ὑπόσυχνον ἐπὶ στρατοπέδου· πάντως καὶ ὅτι χρηστὸς ἦν, οἶσθα. τούτου παῖς, ἐμὸς ἐξανέψιος, ὃς ἐπιδώσει σοι τὴν ἐπιστολήν· ὃν ἕτερος μέν τις ἴσως καὶ διὰ τὴν τύχην τιμήσει· τῶν γὰρ ἀρξάντων ἐστὶν οὐκ ἀφιλότιμον ἀρχήν. ὁ δὲ φιλόσοφος Τρωΐλος τὰ ἔνδον ὄψεται τοῦ νεανίου, κἀκεῖθεν αὐτὸν ἐπαινέσει. δῆλον δὲ ὅτι καὶ συνδιοίσεις τὰ παρόντα αὐτῷ. σπαράττεται γὰρ ὑπὸ ἐνδεικτῶν κακῶς ἐπιφυέντων τῇ Κυρήνῃ, εἰ μὴ σύ γε δύσεαι ἀλκήν. ὅ, τι γὰρ Ἀνθέμιον, ἤ τινα τῶν ὁμοτίμων αὐτῷ πείσεις ὑπὲρ ἡμῶν τε καὶ τἀληθοῦς φθέγξασθαι, τοῦτο σὸν ἔσται πάντως, καὶ σὺ αἰτίαν ἕξεις τοῦ γινομένου. δι' ἑνὸς οὖν ἀνδρός τε καὶ πράγματος, δέομαι, προθυμήθητι τῶν παμπονήρων τούτων ἡμᾶς ἀπαλλάξαι θηρίων. τὸ γὰρ εὐτυχῆσαι τὴν πεῖραν τοῖς φθάσασι, πολλοὺς ὁμοίους γενέσθαι προτρέψεται. χ. Μαξιμίνου

C

Tryphoni. 109.

D

Quæcunque in Diogenem contuleris eorum, ad quæ præstanda natura comparatus es, nihil feceris, sed tuis aliquid meritis adstruxeris. Cyrenæus enim est, ex ea quæ vestrâ operâ etiamnum vrbs est. Non solùm autem de vniuersis, verùm etiam de singulis bene mereri conuenit. Quæ sint autem ea, propter quæ amicis opus habeat Diogenes, non scribente me legere, sed eo dicente audire te oportet. Nihil enim possit eo esse qui perpessus sit disertius. Marcianum Philosophum, qui Paphlagoniæ præfuit, meo nomine salutes velim. Et si quidpiam potest,

Τρύφωνι.

Εἰς Διογένην ὅ, τι ἂν ποιήσῃς, ὧν σοι φύσις ἐστὶν ἐργάζεσθαι, οὐδὲν καινὸν ἔσῃ πεποιηκώς, ἀλλ' ἐποικοδομήσεις τοῖς σαυτοῦ. Κυρηναῖος γάρ ἐστι, τῆς δι' ὑμᾶς ἔτι πόλεως. δεῖ δὲ οὐ μόνον ἀθρόοις, ἀλλὰ καὶ καθ' ἕνα εὐεργετεῖν. τίνα δέ ἐστιν ἐν οἷς φίλων δεήσεται Διογένης, οὐκ ἐμοῦ γράφοντος ἀναγινώσκειν, ἀλλ' αὐτοῦ λέγοντος ἀκούειν σε δεῖ. οὐδεὶς γὰρ ἂν γένοιτο τοῦ παθόντος ῥητορικώτερος. Μαρκιανὸν τὸν φιλόσοφον τὸν ἄρξαντα Παφλαγόνων πρόσειπε παρ' ἐμοῦ. κἂν τι δύνηται στοχάζομαι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δὲ ὅτι δύναται· κωλυσάτω συγγενῆ μου σφόδρα " αὐτανέψιον, ἔργον γενέσθαι συκοφαντῶν ἐνδεικτῶν, κοινῶν ἀλαστόρων τῆς χώρας, ὅν σοι μετὰ τῆς ἐπιστολῆς υἱὸν ἐγχειρίζω, δι' ὃν ὄντες ἀδελφοὶ δύο, τρεῖς ἀριθμούμεθα. A

(posse autem coniicio) istud prohibere contendat, ne is, qui mecum admodum cognatione coniunctus, & consobrinus est, à delatoribus calumniantibus, certissimis patriæ nostræ pestibus, miserè conficiatur, quem tibi cùm hac epistola filij loco trado, propter quem, cùm duo duntaxat fratres simus, tres numeramur.

ἀντιπέμιον

Τῷ ἀδελφῷ.

ΟΙ ἀσκληπιάδαι τοῖς δυσεμέτοις ὕδατος χλιαροῦ διδόασιν ἀπόρροφειν, ἵνα τούτῳ συνεπισπάσωνται τὸ παρακείμενον. βούλομαι δή σοι κἀγὼ φήμας καινὰς ἔναγχος ἐκ τῆς ἠπείρου διακομισθείσας ἀπαγγεῖλαι, ἵνα μοι πολλαπλασίους αὐτὰς ἀποδῷς, προσθεὶς εἴ τι πλέον εἰδὼς τυγχάνεις. B

Fratri. 120.

Medici solent iis, qui ægrè euomunt, tepidæ aquæ sorbitionem præscribere, vt quod intus est vnà cum ea extrahant. Volo igitur tibi ego nouos rumores communicare, qui ad me nuper ex continenti sunt allati, vt illos cum fœnore mihi reddas, si quid nosti amplius, adijciens.

ὑδρομύστη.

Ἀναστασίῳ τῷ " ὑδροκωμήτῃ.

Ὀδυσσεὺς ἔπειθε τὸν Πολύφημον διαφεῖναι αὐτὸν ἐκ τοῦ σπηλαίου. γόης γάρ εἰμι, καὶ εἰς καιρὸν ἄν σοι παρείην, οὐκ εὐτυχοῦντι τὰ εἰς τὸν θαλάττιον ἔρωτα. ἀλλ' ἐγώ τοι καὶ ἐπῳδὰς οἶδα, καὶ καταδέσμους, καὶ ἐρωτικὰς κατανάγκας, αἷς οὐκ εἰκὸς ἀντισχεῖν οὐδὲ πρὸς βραχὺ τὴν Γαλάτειαν. μόνον ὑπόστηθι σὺ τὴν θύραν ἀποκινῆσαι· μᾶλλον δὲ τὸν θυρεὸν τοῦτον· ἐμοὶ μὲν γὰρ καὶ ἀκρωτήριον εἶναι φαίνεται. ἐγὼ δὲ ἐπανήξω σοι, θᾶττον ἢ λόγος τὴν παῖδα κατεργασάμενος· τί λέγω καρτεργασάμενος; αὐτὴν ἐκείνην ἀποφανῶ σοι δεῦρο πολλαῖς ἴυγξι γενομένην ἀγώγιμον· καὶ δεήσεταί σου καὶ ἀντιβολήσει· σὺ δὲ ἀκκιῇ καὶ κατειρωνεύσῃ. ἀτὰρ μεταξύ μέ τι καὶ τοιοῦτον ἔθραξε, μὴ τῶν κῳδίων ὁ γράσος ἀηδὴς γένηται κόρῃ τρυφώσῃ, καὶ λουομένῃ τῆς ἡμέρας πολλάκις. καλὸν οὖν εἰ πάντα εὐθετήσας, ἐκκορήσαις τε, καὶ ἐκπλύνεις, καὶ ἐνθυμιάσαις τὸ δωμάτιον· ἔτι δὲ κάλλιον, εἰ καὶ στεφάνους παρασκευάσαιο, κιττοῦ τε καὶ " μίλακος, οἷς σαυτόν τε καὶ τὰ παιδικὰ ἀναδήσαιο. ἀλλὰ τί διατρίβεις; οὐκ ἐγχειρεῖς ἤδη τῇ θύρᾳ; πρὸς οὖν ταῦτα ὁ Πολύφημος ἐξεκάγχασέ τε ὅσον ἠδύνατο μέγιστον, καὶ τὼ χεῖρε ἐκρότησε. καὶ ὁ μὲν Ὀδυσσεὺς ᾤετο αὐτὸν ὑπὸ χαρμονῆς οὐκ ἔχειν ὅ, τι ἑαυτῷ χρήσαιτο, κατελπίσαντα τῶν παιδικῶν περιέσεσθαι· ὁ δέ, ὑπογενειάσας αὐτόν, C D

σμίλ.

Anastasio hydrocometæ. 121.

Vlysses Polyphemo suadebat, vt sese è spelunca dimitteret. Veterator enim, aiebat, ego sum, opportunéque tibi admodum subsidio fuerim, cui marini illi amores non satis ex voto respondent. Etenim ego cantiones quasdam scio & nexus, & amatorias illecebras, quibus vel tantillùm Galatea resistere non potest. Tantum hanc amouere ianuam sustine, vel saxum istud ingens potiùs: mihi enim vel promontorium esse videtur. Ego verò ad te reuertar, cùm dicto citiùs puellam adegero: quid dixi adegero? Ipsam illam multis præstigiis adductu facilem præbebo. Orabit te, & obsecrabit: Tu verò delicias ages, & illudes. Verumtamen nescio quid interim eiusmodi scrupulum inijcit, ne vellerum succidorum fœtor delicatæ puellæ, sæpiúsque de die lauanti ingratus sit. Consultò itaque feceris, si omnia componens euerras, & eluas, ac suffias cubiculum: multóque adhuc consultius, si & coronas paraueris, ex hedera, & smilace, quas tibi, tuísque deliciis imponas. Sed quid etiam restitas? non iam fores emoliris? Ad hæc igitur Polyphemus cachinnum extulit, quantum potuit maximum, manúsque complosit. Et Vlysses quidem præ gaudio illum sui compotem non esse arbitrabatur, quòd se suis deliciis potiturum speraret. At ille mentum eius leniter demulcens.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

O nemo, dixit; Vaferrimus homuncio mihi videris, & rerum vsu attritus. Verùm aliud comminiscere, nec enim ipse fugam inde capesses. Ac Vlyssi quidem (etenim iniuriâ sanè afficiebatur) sua omninò calliditas erat profutura. De te verò, qui audacia Cyclopem, factis Sisyphum referres, iustitia pœnas sumpsit, léxque constrinxit, quibus vtinam numquam illudas. Quòd si omninò legibus superiorem te esse necesse est: at ego non is sim, qui eas soluam, aut carceris fores effringam. Etenim si Reipublicæ penes Episcopos esset administratio, eosdem ipsos oporteret nequitiæ esse vindices: quandoquidem publicus gladius non minus quàm lustralis aqua, quæ in templorum vestibulis collocatur, ciuitatis est piaculum.

Sic veterum decus audimus, famámque virorum.

Hunc in modum factitabant, quoad optimum videbatur eundem pro communi bono vota facere, idémque vti contingeret procurare. Nam & Ægyptij, & Hebræum genus longo tempore Sacerdotum imperio vsi sunt. Sed posteaquàm vtriusque vitæ factum est diuortium; & alia sacris, alia principatui est attributa; aliique negotiis gerendis, nos fundendis precibus præpositi sumus: quibus lex vetat manum ad iura legésque porrigere, & vel sceleratissimum interficere: quonam modo quisquam iis concesserit manum homini veteratori contra iura porrigere? At ego quantùm in me est, omnem lapidem moueo, idque & priuatim & communibus in sacris oro, vt iniustitiâ superior iustitia sit, & ciuitas ab omni nequitia repurgetur. Hoc autem idem est, ac malè malum perire & te, & alium quemlibet tui similem. Et hoc argumentum tibi sit, qualisnam futurus fuerim, si quid mihi facere licuisset, qui quòd nihil liceat, dira tibi imprecor.

A ὦ Οὖτι, ἔφη· δριμύτατος μὲν ἀνθρώπιον ἔοικας εἶναι, καὶ ἐγκατατετριμμένον ἐν πράγμασιν· ἄλλο μέντοι τι ποίκιλλε· ἐντεῦθεν γὰρ οὐκ ἀποδράσῃς. ὁ μὲν οὖν Ὀδυσσεὺς· ἠδικεῖτο γὰρ ὄντως· ἔμελλεν ἄρα τῆς πολυεργίας ὀνήσεσθαι· σὲ δὲ Κύκλωπα μὲν ὄντα τῇ τόλμῃ, Σίσυφον δὲ τοῖς ἐγχειρήμασι, δίκη μετῆλθε, καὶ νόμος καθεῖρξεν, ὧν μή ποτε σὺ καταγελάσειας. εἰ δὲ δεῖ πάντως ὑπερέχειν σε τῶν νόμων· ἀλλὰ μὴ ἔγωγε εἴην ὁ παραλύων αὖθις, καὶ τὰς θύρας καταῤῥηγνὺς τοῦ ἐπὶ τοῖς δεσμώταις οἰκήματος. B καὶ γὰρ εἰ μὲν ἦν ἐπὶ τοῖς ἱερεῦσιν ἡ πολιτεία, τούτους ἔδει τῆς πονηρίας κολαστὰς εἶναι· ὡς ἔστι γε τὸ δημόσιον ξίφος οὐχ ἧττον, ἢ τὰ ἐν τοῖς προτεμενίσμασι χέρνιβα, πόλεως καθαρτήριον.

Οὕτω καὶ τῶν πρόσθεν ἐπευθόμεθα κλέα ἀνδρῶν.

Οὕτως ἐποίουν, ἕως ἐδόκει καλὸν εἶναι τὸν αὐτὸν εὔχεσθαί τε ὑπὲρ τῶν κοινῶν ἀγαθῶν, καὶ πράττειν ὅπως ἂν παραγένοιτο. καὶ γὰρ Αἰγύπτιοι καὶ Ἑβραίων γένος χρόνον συχνὸν ὑπὸ τῶν ἱερέων ἐβασιλεύθησαν. ἐπεὶ δὲ διῳκίσθησαν C οἱ βίοι, καὶ ὁ δὲ ἡγεμονικὸς ἀπεδείχθη, τετάχαται δὲ ἕτεροι μὲν ἐν τοῖς πράγμασιν, ἡμεῖς δὲ ἐν ταῖς εὐχαῖς εἶναι· οἷς ὁ νόμος ἀπαγορεύει χεῖρα ὀρέγειν τῇ δίκῃ, καὶ ἀποκτιννύναι τὸν πονηρότατον, πῶς ἄν τις αὖθις ἐπιτρέψειεν ἀνδρὶ πανούργῳ χεῖρα ὀρέξαι κατὰ τῆς δίκης; ἀλλ' ἐγώ, τό γε εἰς ἐμὲ ἧκον, ἅπαν ποιῶ. εὔχομαι καὶ οἴκοι καὶ ἐπὶ τῶν κοινῶν ἱερῶν ὑπερέχειν τῆς ἀδικίας τὴν δίκην, καὶ πονηρίας ἐκκαθαρθῆναι τὴν πόλιν. τοῦτο δὲ ταὐτόν ἐστι τῷ κακὸν κακῶς ἀπολωλέναι καὶ σέ, καὶ ἄλλον ὅστις σοι παραπλήσιος. ἔστω δή σοι τοῦτο τεκμήριον, D τίς ἂν ἐγενόμην, ἐξόν τι ποιεῖν, ὃς ἐπειδὴ οὐκ ἔξεστι καταρῶμαι.

Fratri. 122.

Plurima Auxiditarum sacerdotibus bona eueniant, qui cùm milites in montium se latebras abdidissent, suúmque ipsi sanguinem custodire vellent, rusticam plebem conuocantes, statim ab sacris ipsis, rectâ ad hostes duxerunt, fusisque ad Deum precibus trophæum erexerunt in Myrsinitide. Vallis hæc in

Τῷ ἀδελφῷ.

Πολλὰ κἀγαθὰ γένοιτο τοῖς ἱερεῦσιν Αὐξιδιτῶν, οἳ τῶν στρατιωτῶν καταδεδυκότων ἐν χηραμοῖς ὀρῶν, καὶ ἀξιούντων τὸ αἷμα φρουρεῖν, οἱ δὲ τὸν ἀγροῖκον λεὼν παρακαλέσαντες, ἀπὸ τῶν ἱερῶν αὐτίκα τὴν εὐθὺ τῶν πολεμίων ἡγήσαντο· καὶ προσευξάμενοι, τρόπαιον ἔστησαν ἐν τῇ Μυρσινίτιδι. φάραγξ δὲ αὕτη

al. Αὐξυμι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

περιμήκης τε καὶ βαθεῖα, καὶ ὕλη συνηρεφής· A ἀλλ' ὑπὸ τοῦ μηδὲν τοῖς βαρβάροις ὅπλον πολέμιον ἀπηντηκέναι, καὶ τὰς δυσχωρίας ἐθαῤῥήσαμεν. ἔμελλον δέ που καὶ μεγαλοψύχου τεύξεσθαι Φαύστου τοῦ διακόνου τῶν ἱερῶν· οὗτός ἐστιν ὁ πρῶτος ὑποστὰς ὁπλίτην γυμνός, καὶ παίσας ἐκ χειρὸς λίθῳ κροταφιαίαν πληγήν, οὐ βαλών, ἀλλ' ὥσπερ πὺξ ἐνθορών· πεσόντα δὲ ἤδη περιδύσας τὰ ὅπλα, συχνοὺς ἐπ' αὐτῷ κατειργάσατο· καὶ ὅστις δὲ ἕτερος ἀνὴρ ἀγαθὸς ἔδοξεν ἐν τῷ τότε, Φαῦστον αἰτιατέον τῶν γινομένων, καὶ οἷς ἐποίει καὶ οἷς B παρὰ τὸν καιρὸν ἐφθέγγετο. ἐγὼ δὲ καὶ ἅπαντας τοὺς παραγινομένους τῷ ἔργῳ, ἥδιστα ἂν στεφανώσαιμι καὶ ἀνακηρύξαιμι. πρῶτοι γὰρ ἤρξαντο καλῶν ἔργων, δεῖξαι τοῖς καταπεπληγμένοις, ὅτι μὴ κορύβαντές εἰσι, μηδὲ τῶν περὶ τὴν Ῥέαν δαιμόνων, ἀλλ' ἄνθρωποι καὶ τρωτοὶ καὶ θνητοὶ καθάπερ ἡμεῖς. εἰ δὲ καὶ ἡμεῖς ἄνδρες γενοίμεθα, ἐν τοῖς τοιούτοις, οὐδὲ τὰ δευτερεῖα γένοιτο ἂν ἀφιλότιμα. τυχὸν δὲ ἂν καὶ πρωτεῖα συγχωρηθείημεν, εἰ μὴ λοχήσαντες ἐν φάραγγι πεντεκαίδεκα προνομεύοντας C εὐτυχήσαιμεν, ἀλλὰ νομίμῳ πολέμῳ καὶ φαινομέναις παρασκευαῖς πλήθει πρὸς πλῆθος ἀγωνισαίμεθα.

longum directa & profunda, ac syluis condensa. Barbari autem quòd nulla sibi hostilia arma occurrerent, etiam aspera ac confragosa audacter erant ingressi. Sed offensuri vtique erant animosum, ac strenuum Faustum, qui in sacris Diaconi munere fungitur. Hic ille est, qui princeps armatum militem inermis sustinuit, quem cominus lapide tempori illiso percussit, non iaciens, sed pugnis infestis insiliens. Quo, cùm cecidisset, armis spoliato plurimos super illum prostrauit. Ac si quis alius id temporis vir strenuus esse visus est, vni Fausto rei totius gloria tribuenda est, cùm ob ea quæ gessit, tum ob ea quæ per illud tempus dixit. Ego verò eos omnes, qui rei interfuerunt, libentissimè coronarem, ac præconis voce prædicarem. Primi enim egregiorum facinorum authores se præbuerunt, vt hoc attonitis ac lymphatis istis ostenderent, non eos esse Corybantas neq; ex Rheæ matris asseclis dæmonibus, sed homines æquè ac nos vulneribus ac morti obnoxios. Quòd si etiam nos viri essemus, eiusmodi in rebus ne secundæ quidem partes honore carerent. Et forsitan vel primæ tribuerentur, si non insidiis in conualle dispositis, quindecim tantùm prædabundi felici successu pugnaremus, sed iusto certamine, ac manifesto apparatu collatis copiis decerneremus.

Τρωίλῳ.

Εἰ δὲ θανόντων περ καταλήθοντ' εἰν ἀΐδαο,
Αὐτὰρ ἐγὼ κἀκεῖθι φίλου μεμνήσομ' ἑταίρου.

Ὁμήρῳ μὲν ἐποιήθησαν οἱ στίχοι· ὁ δὲ νοῦς αὐτῶν, οὐκ οἶδα εἰ Ἀχιλλεῖ περὶ Πατρόκλου μᾶλλον ἄξιος εἰρῆσθαι, ἢ ἐμοὶ περὶ σοῦ τῆς φιλτάτης τε καὶ εὐεργέτιδος κεφαλῆς. ὡς ἐγὼ D μάρτυρα ποιοῦμαι Θεόν, ὃν φιλοσοφία πρεσβεύει, τῆς ἱερᾶς σου καὶ γλυκείας ψυχῆς ἐπὶ μέσης καρδίας ἄγαλμα περιφέρω, καὶ ἐμβομβεῖ μου ταῖς ἀκοαῖς ἡ θαυμαστή σου τῶν σοφῶν λόγων ἠχώ. τῇ πατρίδι δὲ ἐπιδημήσας ἀπὸ τῆς Αἰγύπτου, καὶ δυοῖν ἐνιαυτῶν ἐπιστολὰς ἅμα ἀνεγνωκώς, πλῆθος ὅσον δακρύων κατέσπεισα τῶν γραμμάτων. οὐ γὰρ οἷς ἀπέλαυόν σου διὰ τῶν γεγραμμένων ἥδομην, ἀλλ' ἠνιώμην ἀναφέρων ἀπὸ τῶν γεγραμ-

Troilo. 123.

Quòd si Erebo vita functorum obliuia tangunt,
Illic vel cari potero meminisse sodalis.

Sunt illi quidem ab Homero versus scripti; sed eorum sensus nescio an ab Achille potiùs de Patroclo, quàm à me de te amicissimo ac benefico capite, vsurpari meritò possit. Quandoquidem Deum ego testor, quem philosophia colit, sacri tui ac suauissimi animi infixam imaginem medio in corde circumfero, & auribus etiamnum illa sapientissimorum tuorum sermonum vox insonat. Cùm autem ex Ægypto in patriam rediissem, ac duorum annorum simul epistolas legissem, magnam equidem in literas vim lachrymarum profudi. Non tam enim quod te per literas quodammodo fruerer, mihi voluptatem afferebat, quam illud dolore afficiebat,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

flumen collocabitur: iuxta enim cœnobium instituo, ad idque vasa pura ac sancta præparo. Atque vtinam cum Deo opus aggrediar.

Fratri. 127.

Aspide abi procul, angue, rubeta, & Laodicenis,
Iunge canem rabidum, Ladiceásque iterum.

Verùm post humanissimum, ac Philosophum apprimè Pentadium, codicillos, quos Ægyptiacæ Præfecturæ signum Respublica constituit, accepit Euthalius Laodicenus. Adolescentem nostri, qui quantùm conijcere licet, sub idem nobiscum tempus in castris versatus est. Neque enim latere illum aut mores, aut cognomen ipsum sinebant. Marsupium quendam audisti, qui non à patre egregrij istius nominis hæreditatem acceperit, sed illud sibi ipse pepererit. Cùm enim, opinor, Lydiæ præpositus circa Ruffini tempora Lydos vexaret, ac diriperet, indignatus Ruffinus auri libris xv. mulctauit. Ad id milites ex cohorte sua, vt putabat, fortissimos ac fidelissimos apposuit, qui aurum illud violenter extortum, bona fide ad mensam suam deferrent. Quid ad hæc Sisyphus iste? Sed ne admodum ineptus sim adeò vulgata subtexens. Auditum omninò tibi est par illud Marsupiorum, quæ multò Eumeli equis similiora faciens, in vno quidem æreos obolos, in altero aureos numos condidit. Inde alterum horum ostendens, alterum occultans vbi enumerauerunt, vbi appenderunt, vbi denique publico sigillo aurum obsignarunt, clàm alterum loco illius subiecit, & pro aureis obolos misit. At illi in publicis tabulis confessi erant penes se aurum esse, idque quamprimum perlaturos.

Ex illo Daphnis pastorum primus habetur.

Hæc vna res Euthalium in amplam fortunam prouexit. Nulli enim risus pro Republica dolere permittebat: sed vtpote virum præ omnibus, qui vnquam extiterant, præstigiorum callidum videre gestiebant. Venit igitur accersitus tanquam de Romanis benè meritus, publico vehiculo solenni pompa per vrbes inuectus. Ego verò hominem no-

A τοῦ ποταμοῦ· περὶ αὐτὸν γὰρ κτίζω τὸ ἀσκητήριον, καὶ ἁγνὰ σκεύη προευτρεπίζομαι. σὺν Θεῷ δὲ εἴη ἐπιβαλλόμενος.

Τῷ ἀδελφῷ.

Ἀσπίδα, φρῦνον, ἔφιν, καὶ Λαδικέας περίφευγε,
Καὶ κύνα λυσσητὴν, καὶ πάλι Λαδικέας.

Ἀλλὰ μετὰ τὸν ἡμερώτατον καὶ φιλοσοφώτατον Πεντάδιον, τὰς πινακίδας, ἃς ἡ πολιτεία σύνθημα ποιεῖται τῆς Αἰγυπτίας ἀρχῆς, Εὐθάλιος ὁ Λαδικεὺς ἔχει λαβών. οἶσθα τὸ νεανίσκον, ὡς εἰκάζειν ἔξεστιν, ὑπὸ τοὺς αὐτοὺς ἡμῖν χρόνους ἐπὶ στρατοπέδου διαγαγόντα. καὶ γὰρ οὐκ εἴα λανθάνειν αὐτὸν οὔτε ὁ τρόπος, οὔτε τὸ ἐπώνυμον. Βαλλαντά τινα ἤκουες, οὐ παρὰ πατρὸς τῆς σεμνῆς ταύτης προσηγορίας κληρονομήσαντα, ἀλλ᾽ αὐτὸν περιποιησάμενον. ἐπεὶ γὰρ, οἶμαι, Λυδίας ἄρχων ἀποδειχθεὶς, ὑπὸ τοὺς Ῥουφίνου καιροὺς, ἦγε καὶ ἔφερε τὰ Λυδῶν, νεμεσᾷ Ῥουφῖνος, καὶ μέτεισι ζημίᾳ χρυσοῦ λιτρῶν πεντεκαίδεκα· πέμπει δὲ στρατιώτας ἐκ τῆς ὑπηρετῶν, ὡς ᾤετο, τοὺς ἀνδρειοτάτους καὶ δυνατωτάτους, ἐφ᾽ ᾧ σὺν βίᾳ πράξαντας τὸ χρυσίον, διακομίσαι πιστῶς εἰς τὴν τράπεζαν τὴν αὐτοῦ. τί οὖν πρὸς ταῦτα ὁ Σίσυφος; ἀλλὰ μὴ λίαν ἀπειρόκαλος ὦ, βεβοημένα ἐπιδιηγούμενος· πέπυσαι πάντως τὴν συνωρίδα τῶν βαλαντίων, ἃ τῶν ἵππων Εὐμήλου πολὺ μᾶλλον ἀλλήλοις ἐοικότα κατασκευάσας, τοῦ μὲν ἐνέθηκεν ὀβολοὺς ἐκ χαλκοῦ, τοῦ δὲ στατῆρας χρυσοῦς· καὶ τοῦτο μὲν δείξας, ἐκεῖνο δὲ κρύψας, ὡς ἀπηριθμήσαντο, ὡς ἐζυγοστάτησαν, ὡς κατεσημήναντο τῇ δημοσίᾳ σφραγῖδι τὸ χρυσίον, λανθάνει θάτερον ἀντιθεὶς, καὶ πέμψας ἀντὶ τῶν στατήρων τοὺς ὀβολούς· οἱ δὲ ὡμολογήκεσαν ἐν δημοσίοις γράμμασιν ἔχειν καὶ διακομιεῖν τὸ χρυσίον. [ἐγένετο.

Κἀκ τούτου Δάφνις παρὰ ποιμέσι πρῶτος
Τοῦτο τὸν Εὐθάλιον ἐπὶ μέγα τύχης ἐξήρεν· οὐδενὶ γὰρ ἐπέτρεψεν ὁ γέλως ὑπὲρ τῆς πολιτείας ἀγανακτῆσαι· ἀλλ᾽ ὡς ἄνδρα παρὰ τοὺς πώποτε θαυματοποιὸν ἰδεῖν ἐπεθύμησαν· καὶ ἧκε μεταπεμπτὸς ὥσπερ εὐεργέτης Ῥωμαίων, ὀχήματι δημοσίῳ πομπεύων διὰ τῶν πόλεων. κἀγὼ τὸν θεσπιον οἶδα

B
C
D

χ. Βαλλαντά
χ. ἀλλ᾽ εἰμι λίαν ἀπ. ὡς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οἶδα τῶν συνεδρευόντων ἐν τῷ προτεμενίσματι τοῦ βουλευτηρίου λαλίστερον. οὐ μὴν ὅσον οὔπω παραλύσει τῆς ἀρχῆς τὸν ἑταῖρον Πεντάδιον.

Πρὸς ἐπίσκοπον ἐξωσθέντα τῆς ἐπισκοπῆς μὴ βουληθέντα συνθέσθαι τῷ Ἀρείου δόγματι.

Ἀπέλαβες ὅπερ ἦς, οὐκ ἀπέβαλες. οὐ γὰρ ὅταν τις τοῦ τῆς ἀσεβείας χωρισθῇ καταλόγου, τότε καὶ τοῦ τῆς εὐσεβείας ἀπεστέρηται θρόνου. Αἰγύπτου δὲ περιπτύσσου τὴν ἀλλοτρίωσιν, καὶ νόμιζε καὶ πρὸς σὲ τὸν προφήτην μεγαλοφώνως κεκραγέναι· Τί σοι καὶ τῇ γῇ Αἰγύπτου, τοῦ πιεῖν ὕδωρ Γεών; τὸ γὰρ ἔθνος, θεομάχον ἀρχαῖον, καὶ πατράσιν ἁγίοις πολέμιον.

Πυλαιμένει.

Πλάτωνι Σωκράτης πεποίηται, προσιὼν μὲν ὀψέ ποτε πρὸς τὰ παιδικά, ἀξιῶν δὲ αὐτὰ μὴ θαυμάζειν, εἰ ὥσπερ, φησί, μόλις ἠρξάμην, οὕτω καὶ μόλις παυσαίμην. ἐγὼ δέ μοι δοκῶ ταυτὸ πεπονθέναι πάθος πρὸς σε, καὶ τὴν αὐτὴν δίκαιος εἶναι παραιτεῖσθαι συγγνώμην, ἐνιαυτὸν ὅλον, οὐκ ἄξιον οὐδὲ ἀληθὲς εἰπεῖν ἐπισχών, ἀλλὰ μάτην στείλας τὰς ἐπιστολάς, τῷ πάλιν αὐτὰς εἰς τὰς ἐμὰς χεῖρας ἀνακομισθῆναι. νῦν οὖν ἀθρόας ἐκπέμπω, ἃς οὐ μόνον ὥσπερ φόρων ἐλλείμματα ἀποδιδοὺς μακρηγορῶ, ἀλλὰ καὶ προσενεγκεῖν σοι βούλομαι. καί τοι νὴ τὸν φίλιον τὸν ἐμόν τε καὶ σόν, ἐπ᾽ αὐτῷ τούτῳ κατέβην ἐπὶ θάλατταν, καὶ τοῖς Φυκουντίων κωπεῦσι διείλεγμαι, χασσάμενος ἱππικήν, ἵνα στείλω πρὸς ὑμᾶς τοῦτο μὲν γράμματα, τοῦτο δέ· ἀλλ᾽ οὐκ ἄξιον ποιεῖσθαι κατάλογον τῶν πεμφθέντων μοι, ὥστε Πυλαιμένη λαβεῖν· ἐν Ἀλεξανδρείᾳ δὲ ἐκτεθέντων διὰ τὸν δυστυχέστατον ἀπόπλουν. καὶ σοῦ μὲν ἕνεκα· καί τοι τῶν ἐκεῖ φίλων ὁ φιλικώτατός μοι Πυλαιμένης ἐστίν· ἀλλὰ νὴ τὴν τιμίαν σοῦ διάθεσιν, ῥᾷον ἂν ἤνεγκα, ἢ δι᾽ ἑτέρους συχνούς, καὶ μάλιστα διὰ τὸν θαυμάσιον Πρόκλον, καὶ Τρύφωνα, περὶ ὧν καὶ μόνων, ὡς προσαγορευόντων με γέγραφας. ἀπέσταλκα οὖν τῇ μὲν τιμίᾳ σοῦ διαθέσει χρυσοῦ νομίσματα δέκα.

ἀκρίως.

A ui subbasilicanis omnibus loquaciorem. Atque ille mox sodali Pentadio in magistratu succedet.

Ad Episcopum Episcopatu pulsum, quod Arij doctrinæ acquiescere noluerat. 128.

Quod eras, receptum à te, non amissum est. Neque enim quando quis ab impietatis cœtu seiungitur, tunc etiam pietatis throno spoliatur. Hanc autem ab Ægypto auulsionem complectere: idque tibi etiam magna voce B clamasse Prophetam existima: Quid tibi, & terræ Ægypti, vt bibas aquam Geon? Gens enim ista Deo iampridem rebellis, ac sanctis Patribus inimica.

Pylæmeni. 129.

Socrates apud Platonem inducitur serò ad amasios suos accedens, ideóque vt ij minimè admirarentur postulans, si vti, inquit, ægrè cœperim, ita ægrè desistam. Ego verò eundem erga te C affectum suscepisse videor, eandémque abs te veniam meritò posse deprecari, qui toto anno, non dicam, neque verè possum, omiserim, sed frustrà dederim literas; quoniam rursus ad meas manus reuersæ sunt. Nunc itaque simul ad te omnes remitto, quas non modò velut residuum pensitationis exsoluens, verbosiùs ago, sed & aliquid offerre insuper volo. Quamquam, tuum, meúmque præsidem amicitiæ testor, ob id vnum ad mare descenderam, & cum Phycontinis remigibus egeram, equestrem omittens, vt ad vos partim literas mitterem; partim, sed minimè per- D censenda sunt, quæ cum eo animo misissem, vt ad Pylæmenem peruenirent, Alexandriæ exposita sunt, præ incommoda nauigatione. Ac quantùm sanè ad te pertinet, etsi omnium quos illic habeo amicorum amicissimus mihi est Pylæmenes, nihilominus tamen per egregium animi tui affectum iuro, minus id molestè tulissem, quàm aliorum multorum causa, præsertim clarissimi viri Procli, ac Tryphonis, de quibus solis, vt qui me salutarent, mentionem fecisti. Quamobrem egregio, ac præclaro animo tuo decem aureos numos misi:

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A Sodali autem Proclo, quemadmodum diuinus Hesiodus iubet, trientem plus quàm ab eo mihi erogatum erat, rependi. Sic enim sese res habet. Cùm peregrè essem, itáque necesse habuissem, aureos ab illo sexagenos in commeatum accepi, pro quibus ille septuagenos scripserat: at ego octogenos misi; multóque plures fuissent, si priores ad eos literæ peruenissent, vnáque nauis illa cum iis quas tum vehebat mercibus. Iam verò casu aliquo coactus Alexandriam profectus sum: cúmque ad portus vestros scapham appulsuram crederem, nullo animaduertente, B ventorum aduersantium impetu ægrè ex Creta repulsa, in mare Ægyptium euasit. Alioqui quid modò prohiberet vos, quémadmodum gallinas, ita & terrestres struthiocamelos alere? Syngrapham nostram meis æquum est à clarissimo Patre Proclo reddi, postquàm octogenos illos aureos acceperit. Da etiam operam, vt sodalis meus Troilus, quos tu ei reddideras libros quam citissimè ad me mittat; Nicostrateum dico, & Aphrodisiensis Alexandri. Si propter sacrum atque eximium animi tui affectum conciliati nobis hîc C versentur, qui Prouinciæ nostræ præfuturi sunt, multùm nobis ad philosophiam pro virili tua parte contuleris, quantùm scilicet ignominia & contemptu impediri Plato existimat.

A τῷ δὲ ἑταίρῳ Πρόκλῳ, κατὰ τὸν Ἀσκραῖον Ἡσίοδον, τριτημόρια πλείω τῶν παρ' αὐτοῦ. ἔχει γὰρ οὕτως. ἀποδημῶν ἐδεξάμην εἰς τὸν ἀπόπλουν δεηθεὶς παρ' αὐτοῦ, χρυσίνους ἑξήκοντα. τούτους γεγραφήκει μὲν ἑβδομήκοντα· ἀπέστειλα δὲ ὀγδοήκοντα. ἐγένοντο δ' ἂν ἔτι πολλῷ πλείους, εἰ τὰ πρότερα πρὸς ὑμᾶς ἐκεκόμιστο γράμματα, καὶ ἡ ναῦς ἐπ' ἐκείνοις τοῖς τότε φορτίοις. νῦν δὲ ἐγὼ μὲν, τύχῃ τινὶ χρησάμενος, ἐπὶ τὴν Ἀλεξάνδρειαν ἀπεδήμησα· καὶ τοῖς ὑμετέροις λιμέσι προσορμιεῖν ᾤμην τὸ σκά- B φος· τὸ δ' ἐλάνθανεν ἐξώσταις ἀνέμοις ἀπὸ Κρήτης μόλις εἰς τὴν Αἰγυπτίαν ἀποσωθὲν θάλατταν. ἐπεὶ τί ἐκώλυεν ὑμᾶς, ὥσπερ τὰς ἀλεκτορίδας, οὕτω τὰς χερσαίας τρέφειν στρουθούς; ἀποδοθῆναι τοῖς ἐμοῖς τὸ γραμματεῖον παρὰ τοῦ θαυμασιωτάτου πατρὸς Πρόκλου δίκαιον, τοὺς ὀγδοήκοντα χρυσίνους κομισαμένου· καὶ τὸν ἑταῖρον Τρωΐλον παρασκεύασον ἀποστεῖλαί μοι τάχιστα τὰ βιβλία, ἅπερ ἀποδέδωκας αὐτῷ, τὸν Νικοστράτειον δὴ λέγω, καὶ τὸν τοῦ Ἀφροδισέως Ἀλεξάνδρου. εἰ διὰ τὴν ἱεράν σου διά- C θεσιν φίλοι. ἡμῖν οἱ ἄρξοντες ἡμῶν ἐπιδημοῖεν, πρὸς φιλοσοφίαν ἡμῖν συντελέσεις τὸ μέρος τὸ σὸν, ὅσον Πλάτων ἡγεῖται παρὰ τῆς ἀτιμίας κωλύεσθαι.

Simplicio. 129.

Cùm nos per Cerealem salutasti, hoc ei contulisti, vt quinque dies illius nequitia celaretur; Boni enim aliquid ciuitates ab eo homine sperarunt, quem Simplicius nosse non grauaretur. At ille citò admodum pudore affecit, non te quidem (absit enim vt tuæ res sint ex altero suspensæ) sed D seipsum potiùs, ac suum magistratum; ac ne longius faciam, Romanam Rempublicam. Homo est exiguo admodum vænalis; famæ atq; existimationis contemptor, bellicæ rei imperitus, in pace importunus, qua breuissimo tempore potitus est. Non enim longo tempore opus habuit ad euertenda perturbandáque omnia. Nam perinde ac si lege aliqua militum fortunæ ad Ducem pertinerent, quæ quisq; possideret accipiens, vicissim illis vacationẽ & immunitatẽ à delectu largiebatur; copiam omnibus faciens eò se conferẽdi, vbi ali se posse sperarent. Hæc cùm indigenis fecisset, quoniã à peregrinis argẽtũ exprimere

Σιμπλικίῳ.

Ἐχαρίσω Κερεαλίῳ, δι' αὐτοῦ προσειπὼν ἡμᾶς, τῷ λαθεῖν ἡμέρας πέντε πονηρὸν ὄντα. ἤλπισαν γάρ τι χρηστὸν αἱ πόλεις παρ' ἀνδρὸς, ὃν οὐκ ἀπηξίωσεν εἰδέναι Σιμπλίκιος. ὁ δὲ τάχυ μάλα ἤσχυνε, σὲ μὲν D οὔ· μὴ γάρ ποτε ἐπ' ἄλλῳ τὰ σὰ γένοιτο· ἑαυτὸν δὲ καὶ τὴν ἀρχὴν, καὶ ἵνα μὴ διατρίβω, τὰ Ῥωμαίων πράγματα. ὤνιος ἄνθρωπος ἐλαχίστου, δόξης ἀμελὴς, ἀπόλεμος, ἐν εἰρήνῃ βαρὺς, ἧς πρὸς βραχύτατον ἀπολέλαυκεν· οὐ γὰρ ἐδεήθη χρόνου πρὸς τὸ πάντα ἀνατρέψαι τε καὶ συγχέαι. ὥσπερ γὰρ ὄντος νόμου, τὰ τῶν στρατιωτῶν εἶναι τῶν στρατηγῶν, ἃ πάντες εἶχον λαβὼν, ἀντέδωκεν αὐτοῖς ἀστρατίαν, καὶ τὸ μὴ συντετάχθαι, βαδίζειν ἐπιτρέψας ᾗ τις ᾤετο θρέψεσθαι. ταῦτα τοὺς ἐπιχωρίους ποιήσας, ἐπεὶ τοὺς ξένους

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὐκ ἦν ἀργυρολογεῖν, ἠργυρολόγησεν αὐτὰς A τὰς πόλεις, ἄγων καὶ μεθιστὰς, οὐχ ᾗ λυσιτελέστερον ἦν, ἀλλ' ᾗ κερδαλεώτερον. βαρυνόμεναι γὰρ αὐτῶν τὴν καθέδραν αἱ πόλεις, χρυσίον εἰσέφερον. τούτων ὀξέως ᾔσθοντο Μακέται, καὶ γέγονε διαβόητος ἀπὸ τῶν μιξοβαρβάρων εἰς τοὺς βαρβάρους ἡ φήμη·

Ηλθον ἔπειθ', ὅσα φύλλα καὶ ἄνθεα γίγνεται ὥρῃ.

Φεῦ τῆς νεότητος, ἣν ἀπολωλέκαμεν! φεῦ τῶν καρπῶν, οὓς μάτην ἠλπίσαμεν! ἐσπείραμεν τῷ πολεμίῳ πυρί. τοῖς πλείοσιν ἡμῶν δὲ πλουτεῖν ἐν βοσκήμασιν ἦν, ἐν ἀ- B γελαίαις καμήλοις, ἐν ἵπποις φορβάσι· πάντα οἴχεται, πάντα ἐλήλαται. αἰσθάνομαι γινόμενος ὑπὸ τοῦ πάθους ἔκφρων· ἀλλὰ σύγγνωθι. τειχήρης γάρ εἰμι, καὶ πολιορκούμενος γράφω τῆς ὥρας πολλάκις φρυκτοὺς ὁρῶν, καὶ αὐτὸς ἀνάπτων καὶ αὖθις, καὶ αἴρων τοῖς ἄλλοις σημεῖα· κυνηγέσια δὲ ἐκεῖνα τὰ πόρρω κατέλυσαν, οἷς ἐπ' ἐξουσίας ἐχρώμεθα πρότερον οὐχ ἥκιστα διὰ σέ. πάντα ἔρρει, καὶ στένομεν μεμνημένοι, ἥβης τε ἐκείνης, νοῦ τε

ἱπποκρατ. ἐκείνου καὶ φρενῶν· ἀλλ' ἱπποκροτεῖται μὲν ἅπαντα, καὶ τὴν χώραν ἔχουσι νῦν οἱ πολέμιοι. C ἐγὼ δὲ ὑπὸ μεσοπυργίῳ τεταγμένος, ὑπνομαχῶ.

Ἐν δορὶ μέν μοι μᾶζα μεμαγμένη, ἐν δορὶ οἶνος
Ἰσμαρικός· πίνω δ' ἐν δορὶ κεκλιμένος.

οὐκ οἶδα εἰ μᾶλλον Ἀρχιλόχῳ εἰπεῖν ταῦτα προσήκοντα ἦν. κακὸς κακῶς ἀπόλοιτο Κερεάλιος, εἰ μὴ καὶ προαπόλωλε τῆς ἀρᾶς. ὡς ἄξιός γε ἦν ἔργον γεγονέναι τοῦ πρώτου χειμῶνος. ὃς ἐπειδὴ τὴν χώραν εἶδεν ἐν ᾧ κινδύνου κατέστησεν, ἠπίστησε καθάπαξ τῇ γῇ, καὶ τὸ χρυσίον ἐνθεὶς διαρμενίοις ὀλκάσιν, ἐπὶ μετεώρου σαλεύει· τὰς δὲ ἐπι- D στολὰς αὐτοῦ παραφέρει κελήτιον ταῦτα ἃ δὴ καὶ ποιοῦμεν ἐπιτάττουσαι, εἴσω τειχῶν εἶναι, μηδένα προπηδᾶν τῶν τάφρων, μηδὲ ὁμόσε χωρεῖν ἀμάχοις ἀνθρώποις· ἢ διαμαρτύρεται καθαρὸς αἰτίας εἶναι. φυλακὰς δὲ καθιστάναι διδάσκει τῆς νυκτὸς τέτταρας, ὡς ἐν τῷ μὴ καθεύδειν οὐσῶν τῶν ἐλπίδων. ἔοικε γὰρ εἶναι τὰ τοιαῦτα σοφὸς, ἅτε ἐπιτήδειος ἀτυχεῖν ἄνθρωπος. καί τοι γε ἡμῖν οὐδὲ μετέχειν ἠβουλήθη τῶν συμφορῶν. οὐ γὰρ παρ' ἔπαλξιν,

non poterat, expressit ab illorum ciuitatibus, copias suas eò deducens commigránsque, non vbi maior opportunitas, sed vbi compendij vberioris spes esset. Cùm enim eius commemoratione ciuitates opprimerentur, aurum contribuebant. Hæc citò Macetæ sensêre; móxque à semibarbaris ad Barbaros eius rei fama propagata est.

Hinc quot vere nouo frondes, florésq; ruebant.

Heu iuuentutem malè à nobis amissam! Heu frugum à nobis frustrà speratos prouentus! Hostilibus flammis agros conseuimus. Plerisque nostrûm diuitiæ in pecore erant, in armentis Camelorum, in gregalibus Equis: periêre omnia, omnia abacta. Sentio me præ dolore non esse mei compotem; verùm ignosce quæso: mœnibus enim septus sum, & obsessus hæc scribo, de die sæpiùs faces aspiciens, eásque accendens & ipse, atque aliis in signum attollens. Tunc animum subit longinquarum illarum venationum recordatio, quibus securi anteà tuo maximè beneficio fruebamur. Pereunt omnia: gemitus identidem damus, cùm iuuentutis illius reminiscimur, illiúsque mentis ac prudentiæ: At nunc equorum vngulis pulsantur omnia, omnémque latè regionem hostes obtinent. Ego pro mœnibus inter turres collocatus, somno conflictor.

Maza mihi hastato præbetur, Bacchus in hasta
Ismaricus: dum me sustinet hasta, bibo.

Nescio an Archilochum magis hæc vsurpare conueniret. Malè malus pereat Cerealis, nisi ante imprecationem perierit, adeò dignus erat, quem proxima tempestas è medio tolleret. Qui postquàm animaduertit quænam in pericula prouinciam coniecisset, terræ penitus diffidit. Itaque auro omni in actuarias binis velis instructas imposito, in salo & anchoris commoratur: literæ verò illius paruula celoce referuntur, quæ idem quod nos facimus, præcipiunt, vt intra muros contineamur, ne quisquam extra fossas exsiliat, néve cum inuictis viris manus conseramus: alioqui Deos hominésque testatur, omni se culpa vacaturum. Ad hæc quaternas excubias collocari iubet, quasi in insomniâ spes sit omnis nostra posita. Videtur enim hisce in rebus expertus, vtpote ærumnis ac miseriis assuefactus. Quamquam ne nobiscum quidem ærumnarum esse voluit particeps. Non enim ad propugnacula,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

vti ego Synesius Philosophus, sed ad remos imperator stat. Quare si poëmata desideras quæ à me postulasti, tametsi in iis nihil præter argumentum laude dignum agnoscimus, cum Cyrenæis precare vt ab armis respirare liceat. Nam vt nunc se nostræ res habent, libros è loculis egerere otium nullum est.

Pylæmeni. 130.

Geometricas definitiones verissimas esse puta, cùm cæteræ etiam disciplinæ glorientur, quoties exiguum aliquid ad suas demonstrationes ex Geometria corrogauerint. Est autem nimirum ratio quædam inter illas, quæ ratio eadem inter se definit esse oportere, quæ eadem cum vno eodémque fuerint. Iam cùm te mihi animus morésque conciliarint, egregium verò Diogenem ipsa etiam natura, ambo autem eiusdem amici sitis, necesse est profectò inuicem vos esse deuinctos, quemadmodum mecum estis tanquam cum medio colligati. Quamobrem vos ego inuicem hac epistola coniungo, quâ cum seipsum magnificentiæ tuæ amicitiæ, præclarus Diogenes committet, ac deferet, vicissim autem vti confido, Pylæmenem meum accipiet. Quem cùm appello meum, neque illi pudorem facere, neque affici me, audacter dixerim. Sed reliquos insuper qui me ament, amicos eos etiam, quibus facultas suppetet, per te illum habiturum, iniquus sim si dubitem. Est autem ipsi, si cui vnquam alteri, amicis opus vtilibus. Is enim est, vt paucis expediam, rerum illius status. Adolescens simplex est ac generosus, animi plenus, atque mitis, cuiusmodi Plato Reipub. suæ custodes esse desiderat. Militauit porrò, & is admodum puer. Statim autem postquàm excessit ex ephebis, apud nos cum imperio copiis præfuit, sub iniquis testibus pericula suscipiens. Tales enim aduersùs prospera ac secunda omnia ciues esse solent. Verùm ille omni se inuidia superiorem præstitit; de quo plura quidem alius quispiam dixerit: nos autem eodem modo ambo affecti videmur, ego ad prædicandas laudes, ille ad audiendas. Sed vt vno verbo dicam; ille armis patriæ hostes, virtute, qui in ea perditi erant, superauit. Adulta iam ætate potentiam nactus, philosophi necessitudine nihil indignum admisit.

A ὥσπερ ἐγὼ Συνέσιος ὁ φιλόσοφος, ἀλλὰ παρὰ κώπην ὁ στρατηγὸς ἵσταται. εἰ δὴ τῶν ποιημάτων ἐρᾷς ἅπερ ᾔτησας· καί τοί γε ἡμεῖς οὐδὲν αὐτοῖς σύνισμεν ἀγαθὸν, ὅτι μὴ τὴν ὑπόθεσιν· σύνευξαι Κυρηναίοις μικρὸν ἀπὸ τῶν ὅπλων γενέσθαι. ὡς γὰρ νῦν ἔχομεν, οὐκ ἔστιν ἀπὸ κιβωτίων ἐξερᾶσαι βιβλία. κ. ἐξάραι

Πυλαιμένει.

Τοὺς γεωμετρικοὺς ὅρους ἀληθεστάτους ἡγοῦ, ὅτε γε καὶ ταῖς ἄλλαις ἐπιστήμαις ὑπάρχει σεμνύνεσθαι, κἂν κατὰ μικρὸν εἰς τὰς
B ἀποδείξεις αὐτῶν ἐκ γεωμετρίας τι συμπορίσωνται. ἔστι δήπου τις ἐν αὐτοῖς λόγος ἀξιῶν τὰ τῷ αὐτῷ τὰ αὐτὰ, καὶ ἀλλήλοις εἶναι δεῖν τὰ αὐτά. ἐμοὶ δή σε μὲν ὁ τρόπος ἐποίησε φίλον, τὸν δὲ θαυμάσιον Διογένην, καὶ ἡ φύσις· ἄμφω δὲ ἑνὸς ἐστὲ φίλοι· δεῖ δὴ καὶ ἀλλήλων ὑμᾶς ἐξηρτῆσθαι, καθάπερ ἐμοῦ τοῦ μέσου. συνάπτω τοιγαροῦν ὑμᾶς ἀλλήλοις διὰ τῆς ἐπιστολῆς, μεθ' ἧς ἑαυτὸν μὲν ἐπιδώσει τῇ φιλίᾳ τῆς σῆς σεμνοπρεπείας ὁ θαυμάσιος Διογένης· ἀντιλήψεται δὲ, εὖ οἶδα
C ὅτι, τὸν ἐμὸν Πυλαιμένην. καλῶν γὰρ ἐμὸν, οὔτε αἰσχύνειν, οὔτε αἰσχύνεσθαι φήσαιμι ἂν ἔγωγε. ὅτι δὲ διά σου καὶ τοὺς ἄλλους ἕξει τοὺς ἐμὲ ἀγαπῶντας φίλους, ὅσοις δὲ δύναμίς ἐστι, καὶ χρησίμους, οὐκ ἂν δίκαιος εἴην, εἰ ἀμφιβάλλοιμι· δεῖ δὲ αὐτῷ φίλων χρησίμων, εἴπερ τῳ πώποτε. τὰ γὰρ κατ' αὐτὸν ὡς ἐν βραχυτάτοις, οὕτως ἔχει. νέος ἐστὶν ἁπλοῦς καὶ γενναῖος, θυμοειδὴς καὶ πρᾶος, οἵους ὁ Πλάτων ἀξιοῖ τῆς ἑαυτοῦ πόλεως τοὺς φύλακας εἶναι. ἐστράτευται γέ τοι καὶ τοῦτο κομιδῆ μειράκιον ὤν. ἄρτι δὲ ἐξ
D ἐφήβων ἦρξε παρ' ἡμῖν τὴν τῶν στρατευμάτων ἀρχὴν, παραβαλλόμενος ἐπὶ βασκάνων μαρτύρων. τοιοῦτοι γὰρ οἱ πολῖται, πρὸς ἅπαν τὸ εὐτυχοῦν· ἀλλ' οὗτος ἑαυτὸν παρέσχε καὶ φθόνου κρείττω· περὶ οὗ πολλὰ μὲν ἂν ἕτερος εἴποι· ἀλλ' ἐοίκαμεν γὰρ ὁμοίως ἔχειν, ἐγώ τε πρὸς τὸ ἐπαινεῖν, καὶ οὗτος πρὸς τὸ ἐπαινεῖσθαι. συνελόντι δὲ, ἐνίκησεν ὅπλοις μὲν τοὺς τῆς πατρίδος ἐχθρούς· ἀρετῇ, δὲ τοὺς ἐν αὐτῇ πονηρούς. νέος ἐν ἐξουσίᾳ γενόμενος, οὐκ ᾔσχυνε φιλοσόφου συγγένειαν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A τοιοῦτος ὢν πράγμασιν ὁμιλεῖ δυσκόλοις, δι' αὐτὸ οὐχ ἥκιστα τὸ καλὸς καὶ ἀγαθὸς εἶναι. ἕρμαιον γάρ ἐστι τῶν κακοήθων, ἅπας ἐπιεικής· καὶ ἡ πρόσοδος τοῖς πονηροῖς ἐκ τῆς ἑτέρας μερίδος παραγίνεται. ἐνδείκτης οὖν τις ἀξιῶν μισθοδοτεῖσθαι παρ' αὐτοῦ, καὶ μὴ τυγχάνων, δίκην πρὸς αὐτὸν ἔλαχεν· ὡς δὲ οὐ προυχώρει ταύτῃ τὸ σπᾶσαί τι τῶν οὐ προσηκόντων, ἀλλ' ἦσαν οἱ νόμοι μεθ' ἡμῶν, ἑτέραν ἐτράπετο. καὶ ποιεῖται τὴν δίκην γραφήν, ἀνατεινάμενος ἔγκλημα τοῦ κατηγορουμένου πρεσβύτερον. ἥκει δὴ τὸ κληθῆναι φθάσας. οὐ γὰρ ἄξιον B ἐνδοῦναι θανατῶντί γε συκοφάντῃ, καὶ προέσθαι τὰ πατρῷά τε καὶ τὰ παππῷα μετὰ δόξης αἰσχρᾶς. πρὸς ταῦτα, δεῖται φίλων ἀδόλων, ἀκαπηλεύτων, νοῦν ἐχόντων, οἷος εἶ σύ. ἕξει δέ, σὺν Θεῷ εἰρήσθω, σὲ μὲν δι' ἐμοῦ, διὰ σοῦ δὲ τοὺς φίλους τούς ἐμούς τε καὶ σούς· ὧν ὅ, τι ἄν τις ἀγαθὸν εἰς αὐτὸν ἐργάσηται, τούτου τὴν χάριν ὀφείλειν ἐγὼ δίκαιός εἰμι.

Atque eiusmodi cùm sit, difficillimis negotiis implicatur, ob id maximè quòd probus, & honestus est. Nam vt quisque candidus ac benè moratus est, ita à malignis & perditis in lucro deputatur: atque ex altera parte ingens malis prouentus, atque compendium oritur. Igitur delator nescio quis mercedem ab ipso exprimere volens, vbi nihil promouet, litem illi intendit, sed cùm nihilomagis hac ratione quicquam posset alienæ rei pellicere, cùm à nobis iura ac leges essent, aliò se conuertit; & litem in accusationem commutat, crimen reo ipso antiquius intentans. Ergo ante vadimonium sese sistit; Neque enim desperato calumniatori vllo modo credendum est, neque paterna & auita bona turpi cum dedecore perdenda sunt. Ad hoc amicis opus habet synceris, minimè fucatis, prudentibus, cuiusmodi es tu: habebit verò (quod Deo probante dictum à me sit) te primùm operâ meâ, tuâ verò, amicos meos, tuósque: quorum quicquid vllus beneficij in illum contulerit, huius me gratiæ par est debitorem agnoscere.

Τῷ ἀδελφῷ. C

Τὸ μὲν τὰς γυναῖκας βοᾶν καὶ στερνοτυπεῖσθαι, καὶ σπαράττειν τὰς κόμας, ἐπιφανέντων τε ἢ προσαγγελθέντων πολεμίων, ἧττον ἂν δόξειε δεινόν· καίτοι καὶ τοῦτο δεινὸν ὁ Πλάτων οἴεται, τὸ μηδὲ ὥσπερ τὰς ὄρνις ἐθέλειν ἀμυνομένας ὑπὲρ τῶν νεοττῶν πρὸς ὁποιονοῦν τῶν ἀλκιμωτάτων ἀνθίστασθαι, ἀλλὰ δόξαν ″καταχεῖν τοῦ τῶν ἀνθρώπων γένους, ὅτι πάντων θηρίων ἀτολμότατον γέγονε. τὸ δὲ καί σε ταῦτα ἐκείναις πλημμελεῖν, καὶ νύκτωρ ἐκδειματοῦσθαι, καὶ διανίστασθαι, καὶ βοᾶν D παρ' αὐτὴν τοῦ φρουρίου τὴν θύραν ἑστάναι βαρβάρους· τοιαῦτα γάρ τις ἀπήγγελλε περί σου· πῶς ἔτι ταῦτα οἰστά· κἂν ἀλλοίως ἔοικεν εἶναι, ἐμὸν ἀδελφὸν ὄντα, ἔπειτα δειλὸν εἶναι; ἔγωγέ τοι παρανατειλάσης εὐθὺς ἡμέρας ἐξιππασάμενος, ὡς ἀνυστὸν πορρωτάτω, καὶ ὠσὶ καὶ ὀφθαλμοῖς τὰ κατὰ τοὺς ἀπελάτας τούτους ἅπαντα πολυπραγμονῶ. οὐδὲ γὰρ ἄξιον καλεῖν αὐτοὺς πολεμίους, ἀλλὰ λῃστάς τε λωποδύτας, ἢ εἴ τι τοιοῦτον ὄνομα μικροπρεπέστερον, οἳ μηδένα τῶν ἐρρωμένως ἐπιφερομένων ὑφίστανται, ἀλλὰ μόνους τοὺς καταπλῆγας ἀπο-

″καταχεῖν

Fratri. 131.

Mulieres quidem vociferari ac pectûs plangere, & comam vellere, visis aut nunciatis hostibus, tolerabilius videri potest. Quanquam ne tolerandum quidem existimat Plato, quòd instar gallinarum ad pullos tegendos, cuicunque etiam validissimo sese nolint opponere, sed pessimam humano generi famam aspergant; omnium id esse bestiarum ignauissimum. Te verò eadem illa committere, noctúque intemperiis ac terroribus agitari, atque exilire, & identidem vociferari, sub ipsis præsidij portis adstare Barbarum: (eiusmodi enim de te quædam ad me perlata sunt) etiamne ferri istud potest, tametsi vtrumque alioqui ferri posset, cum qui frater meus sit, esse formidolosum? Atqui ego primo statim diluculo, quàm fieri longissimè potest obequitans, auribus atque oculis de Abactoribus iis, quæ possum, inquiro. Neque enim hostes appellauerim, sed latrones ac grassatores, aut si quod aliud abiectius nomen est, qui neminem fortiùs inuadentem sustineant, sed timidos atque attonitos duntaxat

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

iugulant, tanquam pecudes, ac despoliant. Noctu verò cum iuuenum manu collem obeo, & mulieribus dormiendi securitatem præbeo, dum aliquos pro sua salute excubare intelligunt. Adsunt & mihi ex Balagritarum ordine milites aliquot. Hi antequam Cerealis prouinciæ præfuisset, equites erant sagittarij: posteaquam is imperium est adeptus, distractis sibi equis sagittarij duntaxat effecti sunt. Mihi autem vel sine equis sufficiunt; sagittatione autem opus est nobis ad puteorum, ad fluminis copiam habendam: aquæ enim intra muros nihil habemus: alioqui quid eam obsidionem tolerare tibiis ac comessationibus indulgentes prohibeat? Iam verò aut pugnando vincere necesse est, aut manu conserta cum hostibus oppetere potiùs, quàm siti conficiamur, quo quid miserius posset accidere? Ita vel necessitate coactos viros nos præbere conuenit. Ac tu etiam cura vt is sis, aliósque adhortare, & par illud voracium equorum, qui ad tributum aluntur, adduci ad te impera. Nulla iis temporibus possessio equo vtilior, atque opportunior esse potest. Nam & procurrere & speculari, & breuissimo tempore renunciare; omnia hæc facilè equus præstabit. Quòd si tibi sagittariis opus est, arcesse, & confestim aderunt; Phycuntiorum enim remigum auxiliis nihilo magis confido, quàm meis olitoribus. Paucos autem viros desidero, qui viros non mentiantur. Ac si aliquos eiusmodi nactus ero, quod cum Deo à me dictum sit, bono animo sum. Sin obeunda mors est, tum verò vtilis atque opportuna philosophia est, minimè vt acerbum videatur ex hoc caruncularum sacculo discedere. Quod autem aduersùs vxorem ac filiolum siccis oculis esse possim, nequaquam id valdè asseuerare audeam. Quod vtinam philosophia posset: sed nunquam eius rei periculum fieri à me contingat, Te, ô salutis, ô libertatis præses, obtestor.

Olympio. 132.

Heri & nudius tertius, proximis Consulibus, quorum alter Aristænetus est, collegam enim ignoro, obsignatas accepi literas; quibus religiosi tui capitis nomen erat inscriptum. Esse autem ve-

A σφάττουσιν, ὥσπερ ἱερεῖα, καὶ περιδύουσι. νύκτωρ δὲ μετὰ τῶν ἐφήβων περιπολῶ τὸν λόφον, καὶ παρέχω ταῖς γυναιξὶ τοῦ καθεύδειν ἄδειαν, ἐπισταμέναις, ὅτι περὶ αὐτῶν τινὲς ἐγρηγόρασι. πάρεισι δέ μοι καὶ στρατιῶται τοῦ τῶν Βαλαγριτῶν τάγματος. οὗτοι πρότερον μὲν ἐπὶ Κερεάλιον ἀρχὴν, ἦσαν ἱπποτοξόται· τούτου δὲ καταστάντος εἰς τὴν ἀρχὴν, ἀπημπολημένων αὐτοῖς τῶν ἵππων, ἐγένοντο μόνον τοξόται. ἐμοὶ δ' οὖν ἀποχρῶσι καὶ ἄνιπποι. δεῖ δὲ τοξείας ἡμῖν ὑπὲρ φρεάτων, ὑπὲρ τοῦ ποταμοῦ. ὕδωρ γὰρ οὐκ ἔχομεν εἴσω τοῦ περιβόλου.

B ἐπεὶ τί ἐκώλυε διαφέρειν τὴν πολιορκίαν αὐλουμένους τε καὶ κωμάζοντας; νῦν δὲ ἢ κρατεῖν δεῖ μαχομένους, ἢ ἀποθνήσκειν εἰς χεῖρας ἰόντας τοῖς πολεμίοις, ἀντὶ τοῦ διψῆν· οὗ τί ἂν ἐλεεινότερον γένοιτο; ὥστε κἂν ὑπ' ἀνάγκης, ἄνδρες εἴημεν ἀγαθοί, καὶ σὺ δὴ πρόθυμος, καὶ ἑτέρους παρακάλει, καὶ τὸ ζεῦγος τῶν ἵππων τῶν ἀδηφάγων τῶν ἐπὶ τῷ φόρῳ τρεφομένων, ἄγεσθαι κέλευε παρά σε. παντὸς μᾶλλον ἐν τοῖς τοιούτοις καιροῖς, ἵππος οὐκ ἄχρηστον τὸ κτῆμα. καὶ γὰρ προδραμεῖν τε, καὶ

C κατασκέψασθαι, καὶ ἀπαγγεῖλαι δι' ἐλαχίστου, πάντα ταῦτα ἵππος δύναται ῥᾳδίως ποιεῖν· κἂν δέῃ σοι τοξοτῶν, μεταπέμπου, καὶ ἥξουσι. τοὺς γὰρ κωπέας τοὺς Φυκουντίους, οὐδ' ἐγὼ θαρρῶ συμμάχους, ὥσπερ οὐδὲ τοὺς παρ' ἐμοὶ κηπωρούς. ζητῶ δὲ ἄνδρας ὀλίγους, οὐ ψευδομένους τὸν ἄνδρα· κἂν ἐπιτύχω τοιούτων, σὺν Θεῷ δὲ εἰρήσθω, θαρρῶ. δεῆσαν δὲ ἀποθνήσκειν, ἐνταῦθα τὸ φιλοσοφίας ὄφελος, τὸ μηδὲν ἡγεῖσθαι δεινὸν ἀναχωρῆσαι τοῦ θυλακίου τῶν κρεϋλλίων. εἰ δὲ πρὸς τὴν γυναῖκα καὶ τὸ παιδίον ἄτεγκτος ἔσομαι, τοῦτο δὲ οὐ σφόδρα διεγγυῶμαι·

D ὡς ἔγωγε βουλοίμην ἂν τοσαῦτα φιλοσοφίαν δύνασθαι· ἀλλὰ μή τοί ποτε διάπειραν λάβοιμι, μή, ὦ σῶτερ, μή, ὦ ἐλευθέριε.

Ὀλυμπίῳ.

Χθὲς καὶ πρώην ἐπὶ τῶν ἔναγχος ὑπάτων, "ὧν ἅτερός ἐστιν Ἀρισταίνετος· τὸν γὰρ συνάρχοντα ἀγνοῶ· κατασεσημασμένην" ἐκομισάμην ἐπιστολήν, τὸ σὸν τῆς ἱερᾶς κεφαλῆς ἐπιγεγραμμένην ὄνομα· τεκμαίρομαι δὲ

ἄλ. ὁ ἅπ- χ. ἐλεξά- μην.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A αὐτὴν εἶναι παμπάλαιον, τῷ τε θριπηδέστατον γεγονέναι, καὶ τῷ συγχῦσθαι τὰ πλεῖονα τῶν γραμμάτων. ἐγὼ δὲ ἠξίουν μὴ καθάπερ δασμόν τινα ἐτήσιον, τὴν ἐπιστολὴν πέμπεσθαι, μηδὲ ἕνα ποιεῖσθαι διακομιστὴν μόνον τὸν φίλτατον Σύρον. οὕτω γὰρ συμβαίνει δὲ μηδὲ νεαραῖς, ἀλλ' ἐώλοις αὐταῖς ἐντυγχάνειν. ὥσπερ οὖν ἐγὼ, καὶ αὐτὸς οὕτω ποίει. οὐδεὶς βασιλέως ἀγγελιαφόρος δημοσίαν ἵππον ἀμείβων ἔξεισι τῆς πόλεως, ᾧ μὴ τὰ πρὸς τὴν σὴν λογιότητα μέρος ἐστὶ τοῦ κατόπιν φορτίου. B εἰ μὲν οὖν ἀποδιδόασιν, εἴτε πάντες, ἢ τινὲς αὐτῶν, πολλὰ κἀγαθὰ τοῖς ἀποδιδοῦσι γένοιτο, χρηστοῖς οὖσιν· εἰ δὲ μὴ, καὶ ταύτῃ σὺ σοφώτερος, ἀπιστῶν οἷς ἄξιον. ἀλλ' ἵνα μηδὲ ἡμεῖς μάτην κόπτωμεν τὸν ὑπογραφέα, ταῖς οὐκ ἀποδοθησομέναις ἐπιστολαῖς ὑπαγορεύοντες, μαθεῖν ἀξιῶ· μεθαρμοσόμεθα γὰρ τοῦ λοιποῦ, καὶ μόνῳ πιστεύσω τῷ Πέτρῳ. ταύτην γέ τοι τὴν ἐπιστολὴν Πέτρον οἶμαι διακομιεῖν, παρὰ μέσης λαβόντα τῆς ἱερᾶς χειρός. στέλλω γὰρ αὐτὴν ἀπὸ Πενταπόλεως ἐγὼ πρὸς τὴν διδάσκαλον τὴν κοινήν. C αὕτη δὲ ὅτῳ βούλεται δώσει· βουλήσεται δὲ, εὖ οἶδ' ὅτι τῷ γνωριμωτάτῳ παρασχεῖν. καὶ γὰρ οὐδ' ἴσμεν, ὦ φίλτατε καὶ θαυμάσιε, εἰ καὶ πάλιν ἕξεσι προσειπεῖν ἡμᾶς ἀλλήλους. κακίᾳ γὰρ στρατηγῶν, ἀμαχεὶ γέγονε τῶν πολεμίων ἡ χώρα. καὶ μόνοι ζῶμεν ὅσοι τὰ ἐρυμνὰ κατειλήφαμεν, τῶν ἐν τοῖς πεδίοις κατειλημμένων,
γρ. ἀποσφαττομένων. ὥσπερ ἱερείων " ἀπεσφαγμένων. δέδιμεν δὲ τὴν προσεδρείαν αὐτῶν, μὴ χρονία γενομένη, δίψῃ παραστήσηται τὰ πολλὰ τῶν φρουρίων.
Vide Notas. ταύτῃ καὶ τοῖς ἀντεγκλήμασι τοῖς περὶ τῶν δώρων οὐκ ἀπεκρινάμην. D οὐ γάρ μοι σχολὴ, πρός τινι μηχανῇ τὸν νοῦν ἔχοντι. κατασκευάζομαι γὰρ
γρ. καταπεμ. ὡς ἂν ἀπὸ τῶν πύργων ἑκηβολώτατα " πέμποιμεν ἀξιόλογα λίθων βάρη. ἅμα δὲ καὶ ἐνδίδωμί σοι πέμπειν μοι δῶρα· δεῖ γὰρ εἴκειν Ὀλυμπίῳ Συνέσιον· μὴ μέντοι τρυφῶντα δῶρα· καὶ γὰρ καὶ τότε τὴν τρυφὴν ἐμεμψάμην τῶν καταλυμάτων τοῦ συσσιτίου· ἀλλ' ἔστω στρατιωτικὰ, τόξα καὶ βέλη, μετὰ τῶν στυρακίων μέντοι τὰ βέλη. τόξα μὲν οὖν καὶ ἑτέρωθεν ὠνησαίμην, καὶ τὰ ὄντα

tustissimas ex eo coniicio, quòd & à tineis corrosæ essent, & literarum pars maior exoleuisset. Ego verò vellem non tanquam annuum vectigal epistolam ad me mitteres, nec vni duntaxat amicissimo Syro perferendas traderes; ita enim fit, vt nunquam recentes, sed vetustate consumptæ ad me perueniant. Fac igitur, quod me facere vides. Nullus Imperatoris Veredarius equum publicum mutans vrbe proficiscitur, cui non humeralis sarcinæ pars aliqua sit, quod ad eruditionem tuam mittitur. Quare si tibi fideliter reddant, siue omnes, siue eorum aliqui; multa iis prospera eueniant, boni enim viri sunt: sin minus, hac tu in parte prudentior es, qui iis fidem non adhibeas, quibus haberi nullam oportet. Sed ne librarium & nos frustrà fatigemus, cùm minimè perferendas ad te literas dictamus, certior reddi cupio. Mutabimus enim deinceps sententiam; solique Petro committam; has porrò literas à Petro perlatum iri arbitror, quas de sacra manu acceperit. Mitto enim has è Pentapoli ad communem magistram; hæc autem cuicumque libuerit committet: libebit autem, optimè scio, ei tradere qui sit notissimus. Neque enim scimus, ô carissime, ac præclare vir, an posteà salutandi inuicem facultas sit affutura: propterea quod ignauiâ ducum sine certamine regionis hostes potiuntur, solique nos superstites sumus, qui ad munita loca confugimus, omnibus quotquot in campestribus deprehensi sunt, pecudum more iugulatis. Veremur autem ne diuturna in iis locis illorum commoratio quamplurima castella siti ad deditionem compellat. Quæ causa est, cur recriminationi illi tuæ, quæ de muneribus erat, non responderim. Neque enim otium fuit, eò quod in machinæ cuiusdam fabricatione occupabar. Hoc enim molior, quemadmodum è turribus non contemnendi ponderis lapides quam longissimè iaculemur. Vna autem &, mittendi ad me munera potestatem facio; Synesium quippe Olympio cedere necesse est: verùm ea lege, ne lautiora munera sint. Nam & tunc luxum, quo in contubernij diuersoriis vsus es, minimè probaui; sed militaria ea dona sint, arcus scilicet atque tela: hæc autem vnà cum cuspidibus. Arcus quidē vel aliunde coëmere possum, aut quos ipse iam habeo

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

reficere: Tela verò ægrè comparantur. quæ quidem vsui esse possint. Ægyptia enim ista geniculis protuberantia substrictiore internodio sunt; idcircò per seipsa frustrantur; similia enim iis sunt, qui statim à primis carceribus impediuntur, & offendunt. Vestra autem oblonga sunt, & in vnius Cylindri figuram rotundantur. Quod ad volatus rectitudinem vnicè confert. Hæc tu ad me mittes, necnon & equorum frœna ad vsum accommodata. Quando & equum illum Italicum, quem tu venusta illa tua lingua prædicasti, videre admodum desiderassem: eóque magis quòd tu egregiorum pullorum patrem illum spoponderas. Verùm in calce literarum infra subscriptionem, scriptum reperi: equum istum Seleuciæ relinqui oportuisse, quod Nauarchus, ob temporis incommoda, id oneris recusasset. Sed quoniam neque dictionem ipsam, neque manum, neque exactam scripturæ rationem tuæ germanam agnoui ac similem, æquum putaui te ea de re non celari. Absurdum enim est talem equum mihi iuxta ac tibi deperire.

A ἀνακτησαίμην. βέλη δὲ οὐ ῥᾴδιόν ἐστι πορίσασθαι, οὐχ οἷον ὥστε καὶ ἐπιτήδεια. τὰ γὰρ Αἰγύπτια ταῦτα τοῖς γόνασιν οἰδοῦντα, τοῖς παραγονατίοις συνιζάνει. ταύτῃ καὶ σφάλλεται παρ' ἑαυτῶν· ἔοικε γὰρ τοῖς ἐκ πρώτης ἀφετηρίας ἐμποδιζομένοις τε καὶ προσκόπτουσι. τὰ παρ' ὑμῖν δὲ, εὐμήκη τέ ἐστι καὶ ἀκριβῶς εἰς ἑνὸς κυλίνδρου σχῆμα στρογγύλλεται· ὅπερ τὸ πᾶν ἐστιν εἰς εὐθυπορίαν τῆς πτήσεως. ταῦτά μοι πέμπειν καὶ χαλινοὺς ἵππων ἀγαθοὺς εἰς χρῆσιν· ἐπεὶ καὶ τὸν ἵππον τὸν Ἰταλὸν, ὃν ἐπῄνεσας τῇ
B γλώττῃ τῇ καλῇ, σφόδρα ἂν εἶδον ἡδέως· ἐπεὶ καὶ πατέρα πώλων ἀγαθῶν ἡμῖν αὐτὸν (χ. πωλῶν.) ὑπέσχου. οὐ μὴν ἀλλὰ καὶ κάτω που τῆς ἐπιστολῆς, μετὰ τὴν ὑπογραφὴν εὗρον, ὅτι μένειν ἐδέησε τὸν ἵππον ἐν τῇ Σελευκείᾳ, τοῦ ναυκλήρου διὰ τὸν καιρὸν παραιτησαμένου τοιοῦτο φορτίον. ἐπεὶ δὲ μήτε τὴν λέξιν ἐπέγνων ἀδελφὴν οὖσαν τῆς σῆς, μήτε τὴν χεῖρα, μήτε τὴν ἀκρίβειαν τῆς γραφῆς, ἐδικαίωσα μὴ ἀγνοεῖσθαί σοι τοῦτο. ἄτοπον γὰρ, εἰ τοιοῦτος ὢν ὁ ἵππος μήτε ἐμοὶ, μήτε σοὶ σώζοιτο.
C

Pylæmeni. 133.

Accepi tuas literas, quibus iterum fortunam incusas, quod de te nihil humanius consuluerit. Nequaquam, ô sodalium amicissime. Neque enim arguere æquum est, sed consolationem capere. Licet autem eiusmodi cùm sis, tibi ad me venire: fraternam domum inuenies. Non locupletes sumus, ô bone vir, sed vel præsentia mihi ac Pylæmeni sufficiunt. Quòd si tu vnâ mecum aderis, fortè ditiores erimus. Ab iisdem rei familiaris subsidiis, alij supra mediocres opes adepti sunt: Ego verò malus dispensator sum. Nihilominus tamen hactenus vel contra maximam incuriam patrimonium durat, quod Philosophum alere possit: neque tu aspernandum hoc existimes, si cura ac diligentia accesserit. Hoc modo te in iis, neque aliter gere. Nisi quid fortè interim melius acciderit, ac rursum iacentem Heracleam restaurare cogites. Epistolas quibus soleo nullas scripsi, ob temporis difficultatem: sed nuper omnibus scripsi, literarum fasciculum Diogeni committens: (Patruelis meus Diogenes iste est) qui si te quærens inuenerit; (non enim du-

Πυλαιμένει.

Ἐδεξάμην τὴν ἐπιστολὴν, ἐν ᾗ πάλιν ἐμέμψω τὴν τύχην, ὡς οὐδὲν περί σου βεβουλευμένην φιλανθρωπότερον. μὴ σύ γε, ὦ φίλτατε ἑταίρων· οὐ γὰρ ἄξιον ἐγκαλεῖν, ἀλλὰ παραμυθεῖσθαι. ἔξεστι δὲ ὄντι τοιούτῳ, ἥκειν πρὸς ἡμᾶς· ἀδελφὸν εὑρήσεις οἶκον. οὐ πλουτοῦμεν, ὦ 'γαθέ, ἀλλὰ τὰ παρόντα ἀρκεῖ καὶ Πυλαιμένει κἀμοί. εἰ δὲ καὶ σὺ παρέσῃ, τυχὸν καὶ πλουτήσομεν. ἀπὸ τῶν ἴσων ἀφορμῶν ἕτεροι πλείω τῶν μετρίων ἔ-
D χουσιν· ἐγὼ δὲ κακὸς οἰκονόμος. ἀλλὰ τέως ἀντέχει καὶ πρὸς τὴν ἀκριβεστάτην ἀμέλειαν τὰ πατρῷα, ἃ δὴ δύναται βόσκειν φιλόσοφον· μὴ τὰ τυχόντα ἡγοῦ προσλαβόντα καὶ πρόνοιαν. ταῦτα περὶ τούτων, καὶ μὴ ἄλλως ποίει· εἰ μή τι μεταξὺ βέλτιον πέπραχας, καὶ πάλιν διανοῇ τὴν Ἡράκλειαν ἀνιστάναι κειμένην. ἐπιστολὰς οὐ γέγραφα πρὸς οὓς εἴωθα, διὰ τὸν καιρόν· ἀλλὰ πρῴην ἅπασι γέγραφα, φάκελλον ἐπιστολῶν Διογένει δούς· ἀνεψιός ἐστιν ὁ Διογένης ἐμός. εἰ μὲν οὖν ἐπέτυχέ σου ζητῶν· ἐζήτει γὰρ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οἶδ' ὅτι· καὶ δὴ τὸν φάκελλον ἐπιδέδωκεν· οὐ γὰρ ἐπιγέγραπτο. εἰ δὲ μή, ναύκληρον αἴτει δεῖξαί σοι τὸν νεανίσκον, καὶ κομισάμενος τὰς ἐπιστολὰς, αὐτὸς ἅπασι δίδου. εἰσὶ δὲ οὓς περὶ πλείστου ποιοῦμαι παρ' ἐμοῦ προσρηθῆναι· ὁ πατὴρ Πρόκλος, Τρύφων ὁ παρ' ἡμῖν ἄρξας, Σιμπλίκιος καὶ ἀνὴρ καὶ ἄρχων ἀγαθὸς, καὶ φίλος ἐμός· ἐπιδοὺς αὐτῷ τὴν ἐπιστολὴν, ἐν ᾧ πάρεστι χρόνῳ, χρῆσαι τἀνδρί. καλὸν γὰρ καὶ συσχολάσαι στρατιώτῃ ποιητικῷ. στρουθοὺς μεγάλας ἀπὸ τῶν ἐν εἰρήνῃ κυνηγεσίων εἴχομεν· ἀλλ' οὐκ ἦν αὐτὰς στέλλειν ἐπὶ θάλατταν, διὰ τῶν ὅπλων τῶν πολεμίων, οὐδὲ ἄλλο τι τῶν παρὰ ταῖς ἀκταῖς ὄντων ἐξῆν ἐνθεῖναι τοῖς πλοίοις. οἶνος οὖν μόνος ἐστὶ τὸ φορτίον· ἐλαίου δὲ, οὐ μὰ τὴν τιμίαν σοῦ κεφαλὴν, οὐδὲ κύαθον ἀγώγιμον ἔχουσιν, οὔκουν ὅσα γε ἐμὲ εἰδέναι. τοσάδε οὖν οἴνου ξέστια λάβε· λήψῃ δὲ, ἐπιδοὺς τὸ πρὸς Ἰούλιον πρόσταγμα· προσέσκηπται δὲ τῇ ἐπιστολῇ, τοῦ μὴ διαπεσεῖν ἕνεκα. καὶ τῷ πατρὶ Πρόκλῳ γεγράφηκα, καὶ ταῦτα πέπομφα. δεξάσθω καὶ τὴν ἐπιστολὴν παρὰ σοῦ, καὶ τὸν οἶνον παρὰ τοῦ Ἰουλίου. Τρύφωνι τῷ χρυσῷ· δεῖ γάρ τι καὶ ἐν τούτοις ψυχρὸν εἰπεῖν καὶ γοργιαῖον· Τρύφωνι τὰ δῶρα παρεσκευάσαμεν, ὀπὸν σιλφίου πολύν· Βάττου γὰρ ἀκούεις αὐτὸ δήπου, καὶ κρόκον ἄριστον· ἀγαθὸν γὰρ ἡ Κυρήνη καὶ τοῦτον ἐκτρέφει. οὐ μὴν ἐξεγένετο πέμπειν, τό γε νῦν ἔχον· ἀλλ' ἐκπέμψαιμεν δὴ εἰς ἑτέραν ναῦν, ὅταν καὶ ὑμῖν μετ' αὐτοῦ μὲν τὰς στρουθοὺς, κατὰ μόνας δὲ τοὔλαιον.

A bito, quin quæsierit,) vnà & fasciculum dedit: nam non inscriptus erat: sin minus, Nauarchum roga, vt tibi adolescentem indicet, cúmque ab eo literas acceperis, ipse omnibus reddas velim: Nonnulli sunt quos meo nomine compellari summoperè cupiam, Pater Proclus, Trypho, qui Prouinciæ nostræ præfuit, Simplicius non minus vir, quàm magistratus optimus, & amicus meus: Cui postquàm literas obtuleris, quandiu præsentis copiam habes, homine vtere. Honestum enim est cum milite versari Poëtices studioso. Struthiocamelos magnos habebamus ex venationibus, quas B tempore pacis exercebamus: verùm mittere eos ad mare per infesta hostium arma non potuimus. Neque aliud quicquam eorum, quæ in litore erant, nauigiis imponere licuit. Vino igitur duntaxat onerauimus: olei verò, per charissimum caput tuum, ne cyathum quidem importarunt, quantùm scrire potuerim. Accipe igitur vini totidem sextarios. Accipies verò, postquàm mandatum quod ad Iulium scriptum dederis: quod epistolæ adiunctum est, ne excidere posset. Necnon & Patri Proclo scripsi, eadémque misi. C Accipiat à te literas, vinúmque ab Iulio. Triphoni aureo (oportet enim in iis frigidum aliquid & Gorgiæ simile dicere) Tryphoni, inquam, dona parauimus, laserpitij magnam copiam: istud enim vtique de Batto accepisti, necnon & crocum optimum: probum enim & illud Cyrenis proueuit. In præsentia tamen mittere non potui, sed in alteram nauem posteà imponetur, cùm etiam ad vos mittemus, cum illo quidem Struthiocamelos, priuatim verò oleum.

Τῷ ἀδελφῷ.

Ποιμένιός ἐστιν ὁ τὴν ἐπιστολήν σοι διδοὺς, ἐστάλη πρὸς ἡμᾶς ὑπὸ τοῦ μικρῷ πρότερον δυναστεύσαντος Ἀρταβαζάκου, ἐπὶ ταῖς οὐσίαις ἁπάσαις, ὧν ἐν τοῖς τῇδε τόποις ἐγεγόνει κύριος. ἀλλ' ἐν ὑποθέσει τοιαύτῃ πρᾷον ἑαυτὸν παρέσχε καὶ μετριώτατον. καί τοί τις ἕτερος οὕτως ἐχρήσατο τῷ καιρῷ· Ποιμενίου δὲ οὐδεὶς Λιβύων τὴν τότε δύναμιν ἐβαρύνετο. μέγα τεκμήριον· λυπεῖ τὰς πόλεις ἀναχωρῶν· σὺ δέ μοι τὸν ἄνδρα φιλίως, καὶ ὥσπερ εἰκὸς, ἐπαίνεσον ἐπὶ καλοκἀγαθίᾳ.

Fratri. 234.

D Pœmenius hic qui tibi literas dedit, missus est ad nos ab Artabazaco, qui paulò ante principatum tenuit, bonorum omnium curator, quæ hisce in locis possideret. Sed in eo munere obeundo perhumanum se, ac facilem præbuit. Quanquam quis alius ita occasione hac vteretur. Ac Pœmenij potestas nemini Afrorum grauis atque onerosa extitit. Non leue hoc argumentum est: Magno ciuitatum omnium mœrore discedit. At tu hominem amicè, atque vti par est, probitatis nomine collaudato.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A

Eidem. 135.

Fructum ex Athenis quantumcumque velis, capiam: adeò mihi videor palmo vno, ac digito factus doctior. Licet autem subinde tibi diuinæ illius sapientiæ periculum facere. Ecce enim ex Anagyrunte ad te scribo, & Sphettum obij, atque Thrium, & Cephesum; ac Phalerum. Vt illum Dij Deæque perdant infelicem Nauclerum, qui me huc aduexit! Nihil enim iam Athenæ splendidum habent, præter celeberrima locorum nomina. Ac velut ex hostia consumpta, sola pellis superest, animalis, quod olim aliquando fuerat, indicium: sic inde deductâ philosophiâ, restat vt oberrando Academiam, ac Lycæum mireris; atque etiam variam illam porticum, à qua Chrysippi secta nomen accepit; quæ quidem minimè nunc varia est. Nam Proconsul tabulata sustulit, in quæ artem omnem suam Polygnotus Thasius contulerat. Nunc itaque nostra ætate Ægyptus alit, quæ ab Hypatia sapientiæ semina suscepit. Athenæ verò quondam ciuitas fuit, Sapientum domicilium; nunc eam mellatores celebrant: Quibus par illud sapientum Plutarcheorum adijce, qui non orationum suarum fama iuuenes in Theatris congregant, sed mellis ex Hymetto amphoris.

Τῷ αὐτῷ.

Ὀναίμην τῶν Ἀθηνῶν, ὁπόσα βούλει· ὥστε μοι δοκῶ πλεῖν ἢ παλαιστῇ καὶ δακτύλῳ γεγενῆσθαι σοφώτερος. ἔξεστι δὲ καὶ αὐτόθεν τῆς θείας σοφίας πεῖραν σοί τινα παρέχειν. ἀμέλει γὰρ Ἀναγυρουντόθεν σοι γράφω, καὶ Σφηττοῖ γέγονα, καὶ Θριάζε, καὶ Κηφισιᾶσι, καὶ Φαληροῖ. καὶ κακὸς κακῶς ὁ δεῦρό με κομίσας ἀπόλοιτο ναύκληρος! ὡς οὐδὲν ἔχουσιν αἱ νῦν Ἀθῆναι σεμνόν, ἀλλ' ἢ τὰ κλεινὰ τῶν χωρίων ὀνόματα, καὶ καθάπερ ἱερείου διαπεπραγμένου B τὸ δέρμα λείπεται, γνώρισμα τοῦ πάλαι ποτὲ ζώου· οὕτως ἐνθένδε φιλοσοφίας ἐξῳκισμένης, λείπεται περινοστοῦντα θαυμάζειν τὴν Ἀκαδημίαν τε καὶ τὸ Λύκειον, καὶ νὴ Δία τὴν ποικίλην στοάν, τὴν ἐπώνυμον τῆς Χρυσίππου φιλοσοφίας, νῦν οὐκέτ' οὖσαν ποικίλην. ὁ γὰρ ἀνθύπατος τὰς σανίδας ἀφεῖλεν, αἷς ἐγκατέθετο τὴν τέχνην ὁ ἐκ Θάσου Πολύγνωτος. νῦν μὲν οὖν ἐν τοῖς καθ' ἡμᾶς χρόνοις Αἴγυπτος τρέφει τὰς Ὑπατίας δεξαμένη γονάς· αἱ δὲ Ἀθῆναι, πάλαι μὲν ἦν ἡ πόλις ἑστία σοC φῶν, τὸ δὲ νῦν ἔχον, σεμνύνουσιν αὐτὰς οἱ μελιττουργοί. ταῦτ' ἄρα καὶ ἡ ξυνωρὶς τῶν σοφῶν Πλουταρχείων, οἵ τινες οὐ τῇ φήμῃ τῶν λόγων ἀγείρουσιν ἐν τοῖς θεάτροις τοὺς νέους, ἀλλὰ τοῖς ἐξ Ὑμηττοῦ σταμνίοις.

Margin: γ. ὑφεῖλ. — γ. σοφιστῶν

Herculiano. 136.

Si errorum Vlyssis lucrum hoc fuisse Homerus dicit; multorum hominum vrbes intueri, morésque cognoscere, præsertim cùm non ad excultos ac perpolitos homines appelleret, sed ad Læstrygonas ac Cyclopas: procul dubio mirum in modum tuam meámque peregrinationem poësis celebrasset, qua nobis periculum eorum facere concessum est, quæ famâ audita incredibilia videbantur. Ipsi enim spectatores, atque auditores germanæ philosophiæ sacrorum ducis, ac magistræ fuimus. Quòd si humana negotia, eorum communione coniunctos, affectu inter se colligant ac deuinciunt; nos vtique mente consociatos, quæ pars est nostri præcipua, nostris inuicem rebus studere diuina lex efflagitat. Equidem

Ἑρκουλιανῷ.

ΕΙ τῆς Ὀδυσσέως πλάνης κέρδος ἔφησεν Ὅμηρος, πολλῶν ἀνθρώπων ἰδεῖν τε ἄστεα, καὶ γνῶναι τὸν νόον· καὶ ταῦτα τῆς προσορμήσεως αὐτῷ γινομένης οὐ πρὸς ἄνD δρας χαρίεντας, ἀλλὰ πρὸς Λαιστρυγόνας καὶ Κύκλωπας· ἦ που θαυμαστῶς ἂν ἡ ποίησις ὕμνησε τὴν ἐμήν τε καὶ σὴν ἀποδημίαν, παραδοξότατα ἡμῖν εἰς πεῖραν ἐλθεῖν τῶν καὶ διὰ φήμης ἀπιστουμένων. αὐτόπται γάρ τοι καὶ αὐτήκοοι γεγόναμεν τῆς γνησίας καθηγεμόνος τῶν φιλοσοφίας ὀργίων. εἰ δὲ καὶ ἀνθρωπικαὶ χρεῖαι τοὺς κοινωνήσαντας διαθέσει συνδέουσιν· ἡμᾶς κατὰ τὸν νοῦν τῶν ἐν ἡμῖν τὸ ἄριστον συνελθόντας, θεῖος ἀπαιτεῖ νόμος τἀλλήλων τιμᾶν. ἐγὼ

Margin: γ. ἤπου ἡ — γ. τῆς φιλο

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μὲν οὖν καὶ τῆς σωματικῆς συνηθείας ἀπολελαυκὼς, ὁρᾶν τε ἀπόντα δοκῶ, τὸ ἐναποτεθὲν ἀπὸ τῆς διαθέσεως εἶδος προχειριζομένης τῆς μνήμης, καὶ ἐμβομβεῖ μου ταῖς ἀκοαῖς ἡ θαυμαστῶς γλυκεῖα τῶν ἱερῶν σου " λογίων ἠχώ. σὺ δὲ ἡμῖν εἴπερ οὐχ οὕτως ἔχεις, ἀδικεῖς· εἰ δὲ ἔχεις, οὐ μέγα ποιεῖς. ἀποδίδως γὰρ διαθέσεως ὄφλημα. ὅταν δὲ πρὸς τὴν ἐν φιλοσοφίᾳ κοινωνίαν ἀπίδω, καὶ φιλοσοφίαν ἐκείνην, περὶ ἧς πολλὰ συγκεκύφαμεν· ἐνταῦθα ἤδη τοῦ λογισμοῦ γινόμενος, Θεῷ βραβευτῇ τὴν συντυχίαν ἡμῶν ἀνατίθημι. οὐ γὰρ ἂν ἀπ' ἐλάττονος ἢ θείας αἰτίας Συνέσιος, ὁ τὸ πρᾶγμα ἥκιστα δημοσιεύων, καὶ πλείστοις μὲν συνὼν, ἐπ' ἀνθρωπικαῖς δὲ κοινωνίαις τὰς συνουσίας ποιούμενος, φιλοσοφίαν δὲ ἐν ἀρρήτων ἀρρητοτάτοις ἔχων, οὕτω προχείρως ἐμαυτόν τε καὶ τὰ ἐμαυτοῦ κτήματα ἀνεκάλυψα ἀνδρὶ, κατὰ βραχὺ δόντι μοι καὶ λαβόντι τὸν λόγον. ἐπεὶ δὴ οὖν γέγονέ τις οὗτος, πρὸς ὃν ἐξωρχησάμην τὰ τέως ἀνέκπυστα, καὶ τῆς σοφῆς τοῦ Πρωτέως ἐπελαθόμην τέχνης· οὐ γὰρ ἄλλη τις ἦν, ἢ συνεῖναι τοῖς ἀνθρώποις οὐ θείως, ἀλλὰ πολιτικῶς· ἐπεὶ γέγονε τοῦτο, οὐ προθεμένης μοι τῆς γνώμης, ἀλλ' ἀκατασκεύαστον ἄφνω παρελθὸν, ἐγὼ Θεὸν ἡγεμόνα τοῦ παραδόξου λογίζομαι, παρ' οὗ τέλος αἰτήσομεν τῶν δι' αὐτὸν ἠργμένων. καὶ δοίη μετ' ἀλλήλων φιλοσοφεῖν· εἰ δὲ μὴ τοῦτο, πάντως φιλοσοφεῖν. ὡς ἔγωγε ἐνόντας μοι τινὰς τῇ ψυχῇ λόγους περὶ τῆς ὑποθέσεως, ἣν ἐπραγματευόμεθα, καταχέαι μὲν ὠδίνω τῆς ἐπιστολῆς· οὐ μὴν τοῦτο ποιήσω. εἰ γὰρ ἂν κατὰ Θεὸν γένοιτο συλλέγεσθαι καὶ ἡμῖν περὶ τούτων, καὶ πολλοῖς ἄμεινον εἰδόσιν· ἐμοὶ δὲ οὐ καλῶς ἔχει γραμματείῳ πιστεύειν τὰ τοιάδε. τὸ γὰρ τῆς ἐπιστολῆς πρᾶγμα, οὐκ ἐχέμυθον, ἀλλὰ φύσιν ἔχει τῷ περιτυχόντι προσδιαλέγεσθαι. ἔρρωσο, καὶ φιλοσόφει, καὶ διατέλει τὸ ἐν ἡμῖν ἀνακεχωσμένον ὄμμα ἀνορύττων. τὸ γάρ τοι βιοῦν ὀρθῶς, ἅτε ὂν οἶμαι προοίμιον τοῦ φρονεῖν, ὑπὸ τῶν ἀρχαίων καὶ φρονίμων ἀνδρῶν σπουδάζεσθαι κατε-

λόγων.

A cùm coram etiam corporis præsentiâ tecum aliquando consueuerim, absentem intueri videor, speciem atque imaginem ex affectu expressam repræsentante memoria: ac meis auribus etiamnum mirum in modum suauis illa sacrorum tuorum sermonum vox insonat. Tu verò nisi ita es affectus, iniuriam facis; sin es affectus, non multùm facis. Amoris enim debitum rependis. Sed cùm ad illam philosophiæ communionem respicio, illámque ipsam philosophiam, in quam diu multúmq; incubuimus: vbi eò, inquam, ratiocinando perueni, rectori, moderatoríque Deo occursum hunc nostrum tribuere soleo. Haud enim leuiore aliqua, quàm diuinâ moliente ac destinante causa Synesius, qui rem eiusmodi minimè in vulgus enunciare soleam: quiq; etsi cum plerisq; familiariter viuam, eam tamen familiaritatem ob humanam aliquam communionem suscipiam, philosophiam verò in arcanis ac secretis rebus secretissimam habeam: tam facilè meipsum, meáque omnia homini detexi, quocum paulatim vltro citróque sermonem contuli. Sed quoniam aliquis demum inuentus est, apud quem inaudita efferrem, & prudentis illius Protei artificij sum oblitus, quod nihil aliud fuit, quàm cum hominibus non diuina, sed ciuili ratione versari. Quando igitur sic accidit, non quod ante constituissem animo, sed quod citrà studium è re nata occurrit, ego tam inopinati euentus ducem atque authorem Deum apud me reputo, à quo felicem exitum precabimur eorum, quæ per ipsum inchoata sunt; atque vtinam nobiscum inuicem philosophari concedat: sin minus, at omninò saltem philosophari. Nam ego nonnullos sermones de eo argumento quod tractabamus, in animo meo excurrentes, tametsi epistolæ committere gestiam, non tamen id faciam. Dabitur enim aliquando tibi, fauente Deo, mecum hisce de rebus colloqui, & cum aliis qui melius ista nouerint: mihi verò nequaquam consilij esse videtur, tantas res epistolæ concredere. Totum enim hoc epistolarum negotium nequaquam tacitum est, sed ita comparatum, vt cum quolibet sermocinetur. Vale, & philosophiæ operam dato, iugíque studio defossum in nobis oculum extrahe. Quippe rectè vitam instituere perinde arbitror, ac sapientiæ initium, vetustissimi ac sapientissimi viri summopere procurandum

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

esse declararunt. Ei enim, qui impurus sit, rem puram attingere nefas esse diuina vox testatur. Sed vulgus istud ipsum, rectè viuere, non ad sapientiam referri, sed ipsum per sese consistere, atque humanæ vitæ perfectionem continere putat, hoc est iter ipsum, non iter, sed id ad quod per illud contendere oportet esse statuens, ac perperam de rebus iudicans. Etenim rationis quædam expers temperantia, & à carnium vsu abstinētia plerisq; est admodum animantibus à natura indita, sed neq; cornicem laudamus, nec aliud quidpiam eorum, quæ natiuam hanc virtutem adepta fuerint, quòd prudētia careant. Vita autem quæ secundùm mentem est, finis est hominis. Hâc nos omni studio quæramus, ac cùm à Deo diuina sapere postulemus, tum ipsi quacumque ratione possumus, vndequaque sapientiam comparemus.

A εἴρξειν· μὴ καθαρῷ γὰρ καθαροῦ ἐφάπτεσθαι, φησὶν οὐ θεμιτὸν ἡ θεσπεσία φωνή. οἱ πολλοὶ δὲ οὐ διὰ τὸ φρονεῖν, ἀλλ' αὐτὸ δι' αὐτό, καὶ τελειότητα ἀνθρωπίνην ἥγηνται τὸ βιοῦν ὀρθῶς, τὴν ὁδὸν οὐχ ὁδόν, ἀλλ' ἐφ' ὃ δεῖ δι' αὐτῆς φθάσαι νομίζοντες, κακῶς φρονοῦντες. σωφροσύνη γὰρ ἄλογος, καὶ ἀποχὴ κρεωφαγίας πολλὴ παρὰ πολλοῖς ἀλόγοις εἴδεσιν ἐνδέδοται παρὰ τῆς φύσεως· ἀλλ' οὐκ ἐπαινοῦμεν οὔτε κορώνην, οὔτ' ἄλλο τι τῶν εὑρημένων φυσικὴν ἀρετήν, ὅτι φρονήσεως ἔρημα. ἡ δὲ κατὰ νοῦν ζωή, τέλος ἀνθρώπου. B ταύτην μετίωμεν, θεόθεν τι αἰτοῦντες θεῖα φρονεῖν, καὶ αὐτοί, τὸ δυνατὸν ἔργον, τὸ φρονεῖν ἁπανταχόθεν συλλέγοντες.

Eidem. 137.

Audiui aliquando quempiam disertum ac copiosum hominem, qui Epistolarum vsum vtilitatémque commendaret. Quod ipsum multorum & admirabilium sermonum argumentum Sophista ille instituerat. Cæterùm eius rei præconium cùm ex aliis multis capitibus, tum ex hoc vno potissimum arcessebat, quòd Epistolam diceret infelicium amorum esse solatium, vtpote quæ per absentiam corporum, imaginem quandam præsentiæ referret, eóque ipso, quòd colloqui videretur, animorum desideria satiaret. Ob hæc igitur Epistolarum inuentorem laudabat, atque hoc munus non ab vllo homine profectum, sed à Deo in homines esse deriuatum existimabat. Itaque ego diuino beneficio fruor, & ad eum ipsum, quo cùm colloqui oporteret, si minus colloqui possum, quoniam scribere possum, sæpius hoc facio, & quoad fieri à me potest, cum eo versor, meisque delitiis perfruor. Tu verò, nisi id dictum acerbum est, animum vnà cum loco disiunxisti. Quòd si te ab iis abstrahere, qui syncerissimè ac sine fuco adamarunt, non desieris, hirundines imitaris, quæ in hominum velut amicitiam cum voce ac clamore sese conferunt, silentio verò demigrant. Atque hoc quod ad hominem adhuc pertinet, hominísque querimonias. Quòd si per philosophiam quæ hîc seiuncta sunt, consociasti, & amicum id esse omne, quod ho-

Τῷ αὐτῷ.

Ἤκουσά που τῶν δεινῶν λέγειν ἀνδρὸς ἐπαινοῦντος χρείαν ἐπιστολῆς· καὶ τοῦτ' αὐτὸ τῶν πολλῶν καὶ θαυμαστῶν λόγων σοφιστὴς ὑπόθεσιν ἐπεποίητο· ἐχορηγεῖτο δὲ αὐτῆς τὸ ἐγκώμιον πολλαχῇ μὲν καὶ ἄλλῃ, μάλιστα δὲ ἀπὸ τοῦ δύ- C νασθαι τὴν ἐπιστολὴν ἐρώτων οὐκ εὐτυχούντων εἶναι παραμυθίαν, παρεχομένην ἐν ἀπουσίᾳ σωμάτων φαντασίαν τῆς παρουσίας, καὶ τῷ δοκεῖν προσδιαλέγεσθαι, ψυχῆς ἐκπιμπλᾶσαν τὸ ἐφιέμενον. ταῦτα οὖν " ὑμνεῖ τὸν εὑρετὴν τῶν γραμμάτων· καὶ ἀνθρώπου μὲν οὐδενὸς ἠξίου, θεοῦ δὲ εἰς ἀνθρώπους εἶναι τὴν δόσιν. ἐγὼ μὲν οὖν ἀπολαύω τῆς ἱερᾶς τῆσδε τοῦ θεοῦ χάριτος, καὶ πρὸς ὃν ἔδει λαλεῖν, εἰ μὴ δύναμαι λαλεῖν, ἀλλ' ἐπεὶ γράφειν δύναμαι, θαμὰ τοῦτο ποιῶ, D καὶ κατὰ τὸ ἐνδεχόμενον σύνειμι, καὶ ἀπολαύω τῶν ἐμῶν παιδικῶν. αὐτὸς δέ, εἰ μὴ πικρὸν εἰπεῖν, συνδιέστησας καὶ τῷ τόπῳ τὴν γνώμην· κἂν μὴ παύσῃ σαυτὸν ἀφέλκων τῶν ἀδολώτατα καὶ ἀσκίως ἠγαπηκότων, ἐμιμήσω τὰς χελιδόνας, αἳ ταῖς τῶν ἀνθρώπων οἰκίαις ἐνοικίζονται μὲν μετὰ τοῦ φθέγγεσθαι, σιωπῶσαι δὲ ἐξοικίζονται. ταῦτα πρὸς ἀνθρώπους ἔτι καὶ ἀνθρωπικὰ τὰ ἐγκλήματα. εἰ δὲ ἑνώσας διὰ φιλοσοφίας τὰ δεῦρο διεστῶτα, καὶ φίλον μὲν τὸ καλόν, καλὸν δὲ

γρ. αἰνῶν

χ.ισω. λόγοι δὲ τὸ αὐτό. τοῦτο δὲ ἓν ὂν τοῦ νοῦ λέγοντος ἤκουσας, οὐκέτι κρινόμεθα ὑπεροψίαν τὴν πρὸς ἡμᾶς σιωπήν, ἀλλὰ συνηδόμεθα φιλοσοφοῦντι, καὶ παραιτουμένῳ μὲν τὸ μικροπρεπεύεσθαι, συνόντι δὲ τῷ παρά σοι κρείττονι, τοῖς ἐν ἡμῖν κρείττοσιν. εἴης τοιοῦτος, ἀνδρῶν ἄριστε, καὶ ἐμοὶ τριπόθητε ὄντως ἀδελφέ.

Τῷ αὐτῷ.

Εἰ τοσοῦτόν ἐστι κέντρον πειθοῦς ἐν τοῖς γράμμασιν, εἰ τοσοῦτον αἱ τῶν ἠθῶν εἰκόνες, τῆς ζώσης χηρεύουσαι συμπαθείας καὶ χάριτος, θέλκτρον ἐνιᾶσι τοῖς ἀναγινώσκουσιν· ἦπου πρᾶγμα ἄμαχον ἂν εἴη, τὸ αὐτοπροσώπως αὐτῶν ἐπαφήσασθαι. ἐμέ γέ τοι καὶ πρότερον μὲν ᾕρεις τῇ γλυκείᾳ Σειρῆνι τῶν λόγων· οὐ μὴν αἰσχυνθείην ἀληθῆ λέγων, ὡς ἡδίων ἂν ἡ δευτέρα μοι πεῖρα γένοιτο. οὐ γὰρ ἂν γένοιτο ἀγαθοῦ παρόντος, ὥσπερ ἀπόντος, τῷ πεπειραμένῳ συναίσθησις. τοῦ μὲν γὰρ, ἡ συνέχεια τῆς ἀπολαύσεως, κλέπτει τῆς εὐφροσύνης τὴν αἴσθησιν· ὁ δὲ, κατὰ μικρὸν χωρισθεὶς τῶν ἡδέων, εὐθὺς ἔχει κεντοῦσαν ἐκ παραλλήλου τὴν μνήμην, οἵων ἄρα ὄντως στερίσκεται. ἔλθοις οὖν, φιλτάτη κεφαλὴ, καὶ ἀλλήλοις ἐπὶ φιλοσοφίᾳ συγγενοίμεθα, τοῖς ἐνηργμένοις πρέποντα ἐποικοδομοῦντες, ἵν᾽ ἐκ τελέων τέλεον ἐκφανῇ κάλλος, ἀλλὰ μὴ κολοβόν. εἰ δὲ, ὅπερ ἀπεύχεσθαι δίκαιον, ἀλλήλων διαμαρτοίμεθα, δῆλον ὡς τοὐμόν ἐστι τὸ βλαπτόμενον. σοὶ μὲν γὰρ εὐτυχούσης ἐνθάδε πολυανδρίαν παιδείας, συνέσονται πολλοὶ Συνεσίου καὶ βελτίους, καὶ ὅμοιοι. ἡ δὲ πατρὶς, ὅτι μὲν πατρὶς, ἐμοὶ τίμιον· πρὸς δὲ φιλοσοφίαν, οὐκ οἶδ᾽ ὃν τινα τρόπον ἀπεσκληκότως ἔχει. ἔστιν οὖν οὐκ ἀδεὲς ἀβοηθήτῳ μένειν, οὐκ ὄντος τοῦ συγκορυβαντιῶντος. εἰ δὲ δὴ καὶ δοίημεν εἶναί τινας, Πῶς ἂν ἔπειτ᾽ Ὀδυσῆος ἐγὼ θείοιο λαθοίμην; πρὸς ποῖον ἄλλο πυρεῖον παρατριβεὶς, μετὰ τὴν ἱερὰν σου ψυχὴν, ἀποτέκοιμι τοῦ νοῦ φωτοειδὲς ἔγγονον; τίς οὕτως οἷός σφοδρῶς σπινθῆρα κεκρυμμένον, καὶ ἀγαπῶντα λανθάνειν μηχαναῖς ἁπάσαις ἐκκαλέσασθαι, καὶ ἐξάψαι, καὶ πῦρ λαμπρὸν ἀναδεῖξαι; Θεὸς οὖν ἀμφοῖν ἀποῦσί τε καὶ συνοῦσι παρείη· Θεοῦ δὲ παρόντος, ἄπλυν ἄπορον πόριμον. ἔρρωσο, καὶ φιλοσόφει.

A honestũ est, & honestum illud esse, atque vtrumq; vnum esse à dictante istud mente accepisti, tum illud ad nos silentium non amplius superbiæ tribuo, sed philosophãti tibi gratulor, & abiectis in rebus hærere detrectãti, idq; quod in te præstãtissimum est in iis, quæ apud nos prẽstãtissima sunt, occupãti. Eiusmodi vtinam sis, hominum optime, plurimúmq; mihi expetite frater.

Eidem. 138.

Si tantus inest Suadæ in literis aculeus, si expressæ animi morúmq; imagines, viui ac spirãtis affectus, & gratiæ inanes, tantas legẽtibus illecebras immittunt: profectò difficile admodũ fuerit, coram illis ac prẽ- B sentem vti. Me quidẽ fateor anteà suauissima sermonis tui Sirene præsẽs capiebas: nihilominus verè hoc prædicare nõ verebor, alterum mihi experimentũ multo iucundius futurũ. Non enim prẽsentis boni, perinde vt absentis, is qui iam periclitatus est sensum percipit. Nam illi fruendi ipsa perpetuitas voluptatis sensum adimit, hic paulatim ab iucundis rebus abductus, statim altera ex parte recordatione ista stimulatur ac pungitur, quibus demum bonis fraudetur. Vtinam ergo ad nos venias, amicissimum caput, mutuósq; de philoso- C phia congressus ac colloquia habeamus, consentanea iis quæ iam inchoata sunt adstruentes, vt ex perfectis non manca, sed perfecta absolutáq; pulchritudo consurgat. Sed si, quod deprecari meritò conuenit, mutuo consortio priuemur; haud dubium est, quin in meipsum detrimentum omne recidat. Nam tibi, si illic disciplinæ multitudine hominũ effloruerint, multorũ Synesio & meliorũ & similium erit copia, quibus cùm cõsuescas. Mihi verò patria, quatenus quidem patria est, longè est carissima: cæterùm nescio quo pacto ad philosophiã obduruit. Quare minimè tutum est sine alicuius auxilio permanere, si D non sit qui iisdem veluti Corybantum sacris insaniat. Atq; vt esse aliquos demus,

Quî tandem esse queam diuini oblitus Vlyßis?

Cuinam alteri igniario affricatus, præter tuum sacrum animum, lucidum ac splendidum mentis fœtum eniterer? Quis tam vehementer abditam, ac latebris gaudentem scintillam machinis omnibus possit elicere? quis succendere? quis luculentum ac copiosum ignem efficere? Itaque siue absentibus, siue vnà degentibus nobis Deus semper adsit: præsente verò Deo, etiã quod inextricabile est explicari facilè potest. Vale & philosophare.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ac quod diuinũ in te est ad diuinum illud esser primigenium & antiquissimũ. Optimum est omnibus meis in literis egregiæ animi tui affectioni istud à me dici, quod ad eos qui aderant Plotinum vsurpasse ferunt, cùm à corpore animum reuocaret.

Eidem. 139.

In amorum genere qui ex humilibus, humanísq; causis excitantur, odiosi atque exolescẽtes sunt, quos sola præsentiâ, nec nisi difficulter metiuntur. Quos autem assistẽs numen moderatur, ac regit, iuxta diuinum Platonis oraculum, miro quodam artificio colliquans, vnúmq; è duobus mutuò sese amantes efficiens, istiusmodi & tẽporis, & loci naturam imbecillam comprobant. Nihil enim obstare potest animis sui inuicem desiderio flagrantibus, quò minus secretis quibusdam congressionibus vnâ cõueniant, mutuóq; coniungantur. Inde nimirum alicũde deuinctam esse necessitudinem nostram oportet, si nihil philosophiæ educatione indignum admittere velimus, affixi sensibus, cúmq; ipsi ab subiectis corporibus non pulsantur, animorum præsentiam respuentes. Ecquid igitur quiritaris, quid literas tuas lachrymis respergis? Si enim nostri commiseratione adductus id facis, quod nondum philosophamur præsertim cum id agere, & videamur, & profiteamur, verè à te deplorari istud agnosco: sin ideò conquereris, quòd familiaritate nostra parum æqua sors iniuriam fecerit (id enim literis tuis velle tibi visus es) muliebre sane ac puerile est, ea amore prosequi, in quibus consiliorum nostrorum finibus obstare casus aliquis ac disturbare possit. Ego verò sacrum illud caput, Herculianum sursum aspicere vellem, totúmque in rerum contemplatione ac mortalium omnium atq; caducorum principiis considerandis esse defixum virtutem eas iamdiu trãscendentem, quæ ad infima conuersæ res nostras gubernant. Ac tanquam is eiusmodi sit, ita per epistolam eum compello; multum sapere, non saluere, aut fœliciter agere. Siquidem actionibus nostris inferior mens præsidet, quam minimè apud te obrutam ac defossam esse cupiebam. Qua de re quamplurima apud te duabus prioribus literis disserui, quarum neutrã ij quibus dederam reddiderũt. Adeóq; quintam hanc ad te Epistolam mitto, & vtinã ne eam quidem frustrà: frustra autem missa nõ fuerit;

A καὶ τὸ ἐν σαυτῷ θεῖον ἀνάγε ἐπὶ τὸ "πρωτόγονον θεῖον. καλὸν ἅμα πασῶν ἐμῶν ἐπιστολῶν, τοῦτο παρ' ἐμοῦ τῇ τιμίᾳ σου διαθέσει λέγειν, ὅ φασι τὸν Πλωτῖνον εἰπεῖν τοῖς παραγενομένοις, ἀναλύοντα τὴν ψυχὴν ἀπὸ τοῦ σώματος. γ. πρω

Τῷ αὐτῷ.

Τῶν ἐρώτων οἱ μὲν χαμαὶ ἐρχόμενοι καὶ ἀνθρωπικὰς τὰς ἀρχὰς ἔχοντες, ἀπεχθεῖς τέ εἰσι καὶ ἐξίτηλοι τῇ παρουσίᾳ μόνῃ καὶ μόλις μετρούμενοι· οἷς δὲ ὁ ἐφεστὼς B βραβεύει Θεὸς, κατὰ τὴν θεσπεσίαν Πλάτωνος φωνὴν, συντήξας τῇ τέχνῃ, καὶ ἕνα ἄμφω ποιήσας τοὺς ἀντεραστὰς, οὗτοι καὶ χρόνου καὶ τόπου φύσιν ἐλέγχουσιν. οὐδὲν γὰρ ἐμποδὼν ψυχαῖς ἐφιεμέναις ἀλλήλων ἀπορρήτοις συνόδοις ὁμόσε χωρεῖν καὶ συμπλέκεσθαι. ἐκεῖθέν ποθεν ἠρτῆσθαι δεῖ τὸ ἡμέτερον, εἰ μὴ τὰ φιλοσοφίας τροφεῖα μέλλοιμεν ἀτιμοῦν, αἰσθήσει ἀγαπῶντες, καὶ ὅταν αὐτὴ μὴ ὑπὸ σωμάτων θυροκοπῆται, ψυχῆς παρουσίας οὐ C προϊέμενοι. τί οὖν ποτνιᾷ, καὶ ταῖς ἐπιστολαῖς τῶν δακρύων ἐγχεῖς. εἰ μὲν γὰρ ἡμᾶς ἐλεεῖς, ὅτι μήπω φιλοσοφοῦμεν, καὶ ταῦτα δοκοῦντες καὶ λέγοντες, ἐπιγινώσκω τοῦ θρήνου τὴν ἀλήθειαν· εἰ δ' ὅτι τὴν συνουσίαν ἡμῶν ἠδίκησεν ἀγνώμων τις τύχη· τοῦτο γάρ σοι τῶν ἐπιστολῶν τὸ βούλημα· θῆλυ καὶ παιδαριῶδες τὸ ταῦτα ἀγαπᾶν, ἐφ' ὧν δύναται βλάπτειν ὁ δαίμων τὰ τέλη τῶν προαιρέσεων. ἐγὼ δὲ τὴν ἱερὰν κεφαλὴν, Ερκουλιανὸν, ἠξίουν ἄνω βλέπειν, καὶ ὅλον εἶναι θεωρὸν τῶν ὄντων, καὶ D τῆς τῶν θνητῶν ἀρχῆς τὰς ἀρετὰς διαβαίνοντα, καὶ πάλαι τὰς ἀπεστραμμένας καὶ κοσμούσας τὰ δεῦρο, καὶ ὡς πρὸς τοιοῦτόν μοι τῆς ἐπιστολῆς τὸ πρόσρημα, πολλὰ φρονεῖν, οὐ χαίρειν οὐδὲ εὖ πράττειν τὸ μετριώτερον. ἐπιστατεῖ γὰρ πράξεσι νοῦς ἐλάττων, οὐχ ὃν ἠξίουν ἀνακεχῶσθαι παρά σοι, περὶ οὗ σοι καὶ πάμπολλα διὰ δύο τῶν προτέρων ἐπιστολῶν διελέχθην, ὧν οὐδεμίαν οἱ λαβόντες ἐπιδεδώκασιν. ἐπεί τοι πέμπτην ταύτην ἐκπέμπω τὴν ἐπιστολήν· ἀλλ' εἴθε μὴ καὶ ταύτην μάτην· γένοιτο δ' ἂν οὐ μάτην

Εἰ πρῶτον μὲν ἐπιδοθείη· τὸ δὲ ἐπὶ τούτῳ, A καὶ τούτου σεμνότερον, κατανουθετήσει σε καὶ παιδαγωγήσει, καὶ πείσει μεταθεῖναι τὴν τοῦ σώματος ἰσχὺν ἐπὶ τὴν τῆς ψυχῆς ἀνδρίαν, οὐ τὴν ἐκ τῆς πρώτης καὶ περιγείου τετρακτύος τῶν ἀρετῶν· ἀλλ' ἐπὶ τὴν ἀνάλογον ἐν " πείταις τε καὶ τετάρταις. ἅψαιο δ' οὖν αὐτῆς, ὅταν μηδὲν τῶν ἀνθρωπίνων θαυμάζῃς. κἂν μήπω σοὶ σαφὴς ἡ διαίρεσις ᾖ τοῦ λελεγμένου, τίνες ἀρχεγονώτεραι, καὶ τίνες αἱ πολλοσταὶ τῶν ἀρετῶν· τὸ ἐπὶ μηδενὶ κλαίειν, ἀλλὰ πάντων τῶν τῇδε ἐν δί- B κῃ καταφρονεῖν, ὅταν σοὶ παραγένηται, τοῦτο ἔστω σοι κανὼν, καὶ κριτήριον τῶν πρώτων τῆς τεύξεως, ἵνα σοὶ καὶ παρ' ἡμῶν τὸ πολλὰ φρονεῖν ἐν ταῖς ἐπιστολαῖς ἐπανέλθῃ. ἐρρωμένως διαβιώης, φιλοσοφίας εὐθυμίαν πρυτανευούσης ἀκύμονα, δέσποτα ἀξιάγαστε. εἰ φιλοσοφία πρεσβεύειν οἶδεν ἀπάθειαν αὐτὴν, αἱ μέσαι δὲ ἕξεις εἰς μετριοπάθειαν ἵστανται, τὴν ἀπειροπάθειαν καὶ τὸ εὐταπείνωτον ποῦ χώρας τάξομεν; ἆρ' οὐχὶ πόρρω φιλοσοφίας, ἧς μύστην γενέσθαι σε κατευξάμεθα; μὴ δῆτα ὦ πάντων ἐμοὶ προσ- C φιλέστατε· ἀλλ' ἀρρενωπότερον ἡμῖν τὸν φίλον " ἀποδείκνυε. ἅπασα μὲν ἡ οἰκία κατεδεήθη προσειπεῖν σε ὑπὲρ αὐτῆς. προσείρησο οὖν παρὰ πάντων, ἑκάστου μονονουχὶ ἐκχέαντος τὴν ψυχὴν τῇ προσρήσει· καὶ αὐτὸς ὑπὲρ ἡμῶν τὸν ἱπποτοξότην πρόσειπε παρακαλῶ.

[margin: τρίταις.] [margin: ἀποδ.]

Primùm si reddita erit: Deinde, quod multò grauius atq; antiquius est, si te monitis institutum atque edoctum dimiserit, persuaseritq; corporis robur ad animi fortitudinem transferre. Non illam dico, quę in primo atq; infimo virtutum quaternione numeratur: sed eam potiùs, quæ proportione quadam in ternis, quaternísque respondet. Quam tum demum attigeris, cùm nihil humanarum rerum admiraberis. Quòd si nondum illam eius, quod modò dixi, diuisionem intelligis, qui videlicet antiquiores ac primariæ virtutes sint, quæue in inferiori ordine sitæ: cùm id adeptus fueris, nullā vt ob rem lugeas, sed infima omnia & humana meritò contemnas; hæc tibi regula sit, ac veluti Lydius lapis, quo te ad prima peruenisse cognoscas: vt tibi à me istud, Sapere plurimum, in literis redeat. Incolumis, sanúsq; vitam traducas, philosophia nullis fluctibus agitatam animi hilaritatem procurante, Domine mihi imprimis amande. Si philosophia motuum omnium vacuitate potiùs nihil, aut antiquius habet; medij verò habitus in motuum mediocritate consistant: quanam in sede affectum animi collocabimus, infinitis perturbationibus agitatum, quique deijci facilè ac contrahi possit? Non procul à philosophia eum amandabimus, cuius te mystam esse omnibus votis concupimus? Absit hoc à te, quæso, omnium mihi carissime. Quin mihi potiùs constantiorem, ac fortiorem amicum exhibe. Mea omnis familia vti suo nomine salutem tibi dicerem, flagitauit. Omnium igitur nomine salutem tibi dico, in qua precādа singuli tantùm non animam effundebant. Tu verò vicissim Equitem sagittarium nostro nomine salutes.

Τῷ αὐτῷ.

Μὴ θαυμάσῃς εἰ διακομιστῇ δυοῖν ἐπιστολῶν ἑνὶ χρῶμαι· ἀλλὰ πρῶτον μὲν αἰ- D θάνου δίκας ὑπέχων ἐγκλήματος ἀκαίρου, καὶ ἐμφορούμενος τῆς ἀδολεσχίας ἡμῶν· εἶτα καὶ χρείαν ἑτέραν ἐθέλω μοι πληρῶσαι τὰ δεύτερα γράμματα. αἰτῶ γὰρ τὸ ἐν ἰάμβοις ἐκεῖνο συνταγμάτιον, δι' οὗ πρὸς τὴν ψυχὴν ὁ γεγραφὼς διαλέγεται· ἐπεὶ τότε μὲν ᾤμην ἀπὸ τῆς μνήμης αὐτὸ συναθροίσειν· νῦν δὲ κινδυνεύειν τὸ ἀντ' ἐκείνου μηδὲν εἶναι πρὸς ἐκεῖνο· ἀλλ' ἂν ἐπιτρέψω τὸ γράφειν, γνώμῃ μᾶλλον ἢ μνήμῃ χρήσομαι;

Eidem. 140.

Noli mirari si duas Epistolas vni homini perferendas dederim: sed primùm quidem scito pœnas te intempestiuæ criminationis dependere; atque etiam nostra loquacitate satiare: deinde verò aliud mihi negotium conficere posteriores literas volo. Opusculum enim illud peto Iambicis versibus scriptum, in quo author animum suum alloquitur. Quoniam cùm illud tunc è memoria colligere me posse confiderem, nunc vereor, ne quod pro illo substituatur, nihil comparatione alterius sit: sed si scriptioni rem commisero, iudicio magis quàm memoria vtar,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A & fortasse quidem deterius, fortasse melius: non est tamen quod bis eundem fœtum pariam; cùm præsertim eius quod iam editum est copia esse possit. Mitte igitur ad me quaternarij exemplar, per animum ipsum rogo, quem ornare libellus iste conatur; idque quamcelerrimè, & tutissimè. Hoc autem erit, si per eos mittas, qui omninò sint reddituri. Si enim in alterutro pecces, prorsus id non perficies; siue tardiùs miseris, me enim præsente non peruenient; siue ei des, qui vtique non reddat.

Eidem. 141.

B Vlyssem quidem ex epistola cognoui, multis me rebus ad Herois memoriam reuocantibus. Verùm Proteum ignoraui. Te enim, qui eiusmodi sis, etiam ad Semideos accedere nequaquam dissentaneum est. Ego verò aliarum quidem fortasse rerum non imperitus, cæterùm iuxta Delphicam sententiam, meipsum noscens, naturam inopiæ ac paupertatis damno, omnémque cum Heroibus affinitatem despero, nisi quòd illorum taciturnitatem imitari concupiuissem, quam ipsam tamen Spartani illius Menelai instar mihi turbasti: adeóque videris non ad Vlyssem vnum, sed ad Heroum par illud pertinere. Sed de his hactenus. C Cùm autem minimè te ad scribendum idoneum esse dicas immeritò à me literarum copiam, quæ tibi molestiam allaturæ sunt, efflagitas. Iccircò epistolæ longitudinem contraxi, ne plura legendo plus laboris capias. Incolumis, hilarísque persistas. Philosophiam adhibens, quæ te ad diuina perducat, amice imprimis complectende. Egregium Comitem saluta, quem ex persona propria salutare, nobis ipsis permittere noluimus. Hoc enim ex poësi ductum,

Incipe: natu etenim tu iunior.

D Ad bellum quidem, ac seditionem, præire iunioris esse dicit, ad humanitatis verò officia, senioris. Etsi apud me sanè in honore ille est, cúmque permagni facio, qui doctrinam atque militiam ingentibus septis à se inuicem diselusas primus in vnum adduxit, antiquam in vtrisq; studiis quandam necessitudinem inueniens: cúmque magnificentia tanta præditus sit, quanta nemo vnquam militiæ addictus, in magnificentiæ confinio positam arrogantiam deuitat. Talem igitur virum, etsi nihil scribam, diligo; etsi obsequium nullum impendam, honore prosequor.

A καὶ ἴσως μὲν χεῖρον, ἴσως δὲ καὶ βέλτιον. οὐ μὴν δεῖ τίκτειν δὶς τὸν αὐτὸν τόκον, ἐξὸν ἔχειν τὸ πεπηγμένον. ἀντίγραφον οὖν τῆς τετράδος ἀπόστειλον, πρὸς αὐτῆς τῆς ψυχῆς, ἣν κοσμεῖν βούλεται τὸ βιβλίον· ἀλλ' ὅπως τάχιστά τε καὶ ἀσφαλῶς. τοῦτο δέ ἐστιν, εἰ διὰ τῶν " πάντως ἀποδωσόντων ποιήσεις. τοῖς γὰρ παρὰ θάτερον διαμαρτεῖν, πάντως οὐ ποιήσεις· κἂν " σχολαιότερον ἀποστείλῃς, ὑστερήσει γάρ μου τῆς παρουσίας, κἂν δῷς τοῖς μὴ πάντως δώσουσι. χ. ταχέως καὶ π. χ. σχολαίτερον.

Τῷ αὐτῷ.

B Τὸν μὲν Ὀδυσσέα διὰ τῆς ἐπιστολῆς ἐπέγνων, πολλῶν ἐπαναγόντων ἐπὶ τὴν μνήμην τοῦ Ἥρωος· τὸν δὲ Πρωτέα ἠγνόησα. σὲ μὲν γὰρ ὄντα τοιόνδε, καὶ ἡμιθέων ψαύειν οὐκ ἀπεικός. ἐγὼ δὲ ἄλλο μὲν ἴσως σοφός· κατὰ δὲ τὸ Δελφικὸν γράμμα, ἐμαυτὸν ἐγνωκώς, καταδικάζω πενίαν τῆς φύσεως, καὶ ἀπογινώσκω τὴν εἰς Ἥρωας οἰκειότητα, πλὴν ὅσον μιμητὴς εἶναι τῆς ἐχεμυθίας ηὐξάμην, ἣν καὶ αὐτὴν σύ μοι συνέχεας κατὰ τὸν ἐκ Σπάρτης Μενέλεων· ὥστε κινδυνεύεις συνωρίδι προσήκειν Ἡρώων, οὐκ Ὀδυσσεῖ μόνῳ. C ταῦτα μὲν ταύτῃ· τὴν δὲ ἀνεπιτηδειότητα τοῦ γράφειν μεμψάμενος, οὐκ εἰ δίκαιος ἀπαιτεῖν πλῆθος ἀνιασόντων γραμμάτων· διὸ συνέστειλα τῆς ἐπιστολῆς τὸ μῆκος, ἵνα μὴ πόνος ᾖ πλείων, ἀναγινώσκοντι πλείονα. ἐρρωμένος, εὔθυμος διαβιῴης, φιλοσοφίᾳ χρώμενος εἰς τὸ θεῖον ποδηγετούσῃ, ἀξιάγαστε. τὸν θαυμάσιον Κόμητα πρόσειπε, πρὸς ὃν αὐτοπροσώπως ποιεῖσθαι προσρήσεις ἑαυτοῖς οὐκ ἐπετρέψαμεν. τὸ γὰρ ἐκ τῆς ποιήσεως,

Ἄρχε· σὺ γενεῆφι νεώτερος.

D πολέμου μὲν γὰρ καὶ στάσεως ἄρχεσθαι, δίκαιοι τὸν νέον· φιλοφροσύνης δὲ τὸν πρεσβύτερον. καί τοι παρ' ἐμοὶ τίμιος ὁ ἀνήρ, καὶ παντὸς ἄξιος, ὃς παιδείαν καὶ στρατείαν διατετειχισμένας θριγκοῖς μεγάλοις τῶν ἐφ' ἡμῖν μόνος εἰς ταυτὸν " ἤγαγε, παλαιάν τινα ἐξευρὼν ἐν τοῖς ἐπιτηδεύμασι τούτοις συγγένειαν. μεγαλόφρων δὲ ὤν, ὡς οὐδείς πω στρατιώτης, ἐκ γειτόνων τῆς μεγαλοφροσύνης παροικοῦσαν τὴν ἀλαζονείαν ἐκφεύγει. τὸν οὖν τοιοῦτον, κἂν μὴ γράφω, φιλῶ· κἂν μὴ θεραπεύω, τιμῶ. χ. σωή

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A

Τῷ αὐτῷ.

φιλότης,
π.
ἐφικνου-
ων.

ΟΥΚ ἐμπεδοῖς τὰ ὡμολογημένα πρὸς ἡμᾶς, ὦ Φιλότης, μηδ' ἔκπυστα ποιεῖν τὰ ἄξια κρύπτεσθαι, ὡς ἐγὼ τινων ἤκουσα τῶν ἀφικομένων παρὰ σοῦ, οἳ καὶ λέξεων ἐνίων μεμνημένοι, τὴν διάνοιαν ᾔτουν αὐτοῖς παρ' ἡμῶν ἀνακαλύπτεσθαι· ἀλλ' ὑμεῖς τὸν ὑμέτερον τρόπον, καὶ πρὸς αὐτοὺς οὔτε μεταποιήθημεν τῶν συγγραμμάτων, οὔτ' ἐπιγινώσκειν αὐτὰ ἔφαμεν. δεῖ δή σοι νουθεσίας οὐκέτ' ἡμετέρας, ὦ φίλη κεφαλή· μικρὰ γὰρ ἢ ὥστε σε πείθειν· τὴν δὲ Λύσιδος τοῦ Πυθαγορείου πρὸς Ἵππαρχον ἐπιστολὴν ἐπιζήτησον, κἄν που περιτύχῃς, ἐμοὶ χάρισαι τὸ πολλάκις ἐπελθεῖν. τάχ' ἂν, ἰσχυρά σοι γένοιτο μετάνοια τῆς οὐ δεούσης ἐκφάνσεως. τὸ γὰρ δημοσίᾳ φιλοσοφεῖν· οὕτω γάρ πως ὁ Λύσις ἀποδωρίσας λέγει· μεγάλης εἰς ἀνθρώπους ἦρξε τῶν θείων καταφρονήσεως. ἐπεί τοι συγγεγονὼς ἐγὼ ἴσασιν οἶδα, καὶ πάλαι μὲν, ἀπάρτοι καὶ ἔναγχος ἀνθρώποις, οἳ διὰ τὸ παραλόγως ἀκηκοέναι ῥηματίων σεμνοτέρων, ἠπίσταντο ἑαυτοῖς, ὅπερ ἦσαν ἰδιώταις εἶναι, καὶ φύσης ἐμπλησθέντες, ἐμόλυναν θεσπέσια δόγματα, μεταποιήσει διδασκαλίας, ὧν οὐκ ἐτύχησαν μάθησιν· καὶ μέντοι καὶ τοὺς θαυμασομένους τρεῖς τινας, ἢ τέτταρας, οὐδὲν ἀποδέοντας βαναύσους εἶναι, τό γε κατὰ ψυχὰς, ἀνηρτήσαντο, μηδὲ διὰ τῶν προπαιδευμάτων ἐνίοις ἠγμένους. δεινὸν γὰρ ἡ δοξοσοφία καὶ ἀπατηλὸν, ἐν οὐκ εἰδόσιν οὐδὲν ἀναδυομένη, καὶ πάντα ἀπερισκέπτως τολμῶσα. τί γὰρ ἂν ἀμαθίας γένοιτο θαρραλεώτερον. τοιούτοις ἀνθρώποις ἀλαζόσι περιτυχὼν κηφῆσιν, οὔτε ἐπαΐουσι λόγων, οὔτε ἐφιεμένοις, μισήσας τὸ φῦλον, οὐχ ἑτέραν αἰτίαν εὑρίσκω τῆς τροφῆς αὐτῶν, ἢ τὸ ἀναγώγως καὶ πρὸ ὥρας ἠξιῶσθαι τὴν ἀρχὴν, ἴσως ὑφ' ἑτέρων ὁμοίων, ὡς εἰσί τε πολυτελῶν ἀκροάσεων. ταῦτά σοι καὶ προμηθέστερος φύλαξ αὐτός τέ εἰμι, καὶ σε παρακαλῶ τῶν φιλοσοφίας ὀργίων εἶναι. ὅτι μὲν γὰρ Ερκουλιανῷ πρέποντα ταῦτα, ἐγὼ γινώσκω. δεῖ δέ σε εἴπερ αὐτῇ φιλοσοφίᾳ γνησίως προσελήλυθας, ἀφίστασθαι κοινωνίας τῆς πρὸς τοὺς ἀποστρόφους αὐτῆς, καὶ

Eidem. 151.

Haudquaquam, cariſſime, promiſſam mihi fidem exhibes, te quæ occultanda eſſent nemini vnquam communicaturum. Quoniam ego nonnullos abs te profectos audiui, qui aliquot verba commemorantes, ſenſum eorum ſibi à me patefieri poſtulabant: nos autem more noſtro, neque monimenta nobis iſta vendicamus, neque ea cognoſcere nos diximus. Opus itaque tibi iam non noſtra commonitione eſt, ſed Lyſidis Pythagorei ad Hipparchum epiſtolam quære. Quam ſicubi inueneris, hoc mihi gratificare vt ſæpius relegas. Fortaſſe non leuiter te perperam iſta euulgaſſe pœniteat. Etenim in vulgus philoſophari (ita ille Doricè loquens ait) magnum in hominum genus contemptum diuinarum rerum inuexit. Quippe ego cum pleriſque verſari me memini non modò olim, ſed & nuper hominibus, qui quòd temerè auguſtiores aliquot voculas audiuerant, ſibi ipſis non credente ſe, vti reipſa erant, plebeios atque imperitos eſſe, factúque·diſtenti diuina dogmata corrumperent, eius rei magiſterium vſurpando cuius nunquam erant rudimenta conſequuti. Atque iidem tamen tres quatuórve auditores ſibi conciliauerant, qui quod ad animum attinet, nulla in re ab operariis differrent, nec eorum aliqui liberalibus erant vnquam diſciplinis exculti. Mira enim, ac ſubdola quædam res eſt vana de ſua ſapientia perſuaſio, quæ inter imperitos nihil recuſat, nihil non inconſideratè ſuſcipit. Quid enim inſcitia eſſe poſſit audacius? In id ego arrogantium hominum genus, tanquam fucos quoſdam incidens, qui neque doctrinas calleant, neque concupiſcant, nationem iſtam peroſus non aliam educationis illorum cauſam inuenio, quàm quod ineptè atque ante tempus initio fortaſſe ſunt ab ſui ſimilibus ad exquiſitiſſimarum rerum auditionem admiſſi. Ob hæc Philoſophiæ ſacrorum cuſtos & ipſe diligentior ſum, & vti eſſe velis etiam atque etiam rogo. Quod enim Herculiano iſta congrua ſint probè ſcio. Te autem oportet, ſi ad Philoſophiam ipſam ſyncerè acceſſeris eorum conſortia deuitare, qui ab ea alieni ſunt,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

quiq; falsa vsurpatione summam illius dignitatem peruertunt, atque adulterant. A Per amicitiæ præsidem Deum obtestor, ne in vllos hanc epistolam efferas. Si enim istud feceris, expressæ istæ malitiæ descriptiones mœrore illos afficiẽt, qui apud se, aut amicos suos commemorata à me indicia deprehenderint. Dolore autem afficere eùm interdum virilis animi sit, philosophiæque moribus consentaneum, quando illud præsentibus fit; tum eiusmodi de rebus scribere, angustum ac sordidum videtur. Sed quæ Synesius secum ipse disputauerit, ea apud te longè carissimum sibi caput disputat, vnicum, inquam, aut cum duobus maximè amicum, quandoquidem extra ternionem vestrûm nihil humanarum rerum magni admodum facio; B quibus adiunctus ego sacræ amicitiæ quaternionem fortassis expleo. Verùm quaternionis illius naturæ, qui eadem appellatione inest rerũ omnium principiis, linguâ fauendum est. Cæterum in quaternario illo Iambicorum, in fine, duodecim versus simul perscriptos reperi, perinde ac si vnum esset epigramma. Quoniam ergo verisimile est penes te illos esse, scito neque vnum quid, neque vnius esse: sed octo quidem primi cum Poëtica scientia scripti, admixta Astronomica facultate, amici tui sunt: C postremi verò quatuor, Poëtices solius lasciuiẽtis sunt. Estq; idipsum antiquum. Magis autem impium esse arbitror mortuorum lucubrationes, quàm vestes furari, quod sepulchra perfodere dicitur. Vale perpetuò, & religiosè atque circumspectè philosophiam tracta. Viginti totos Augusti dies me tibi præstolaturum paciscor: quibus exactis, fauente Deo iter aggrediar. Optimo sodali plurimam meo nomine salutem dicito: diligo enim ipsum, propterea quod etiam atque etiam te diligit.

νοθεύοντας τῇ μεταποιήσει τὸ πρόσχημα αὐτῆς. τὸν ἔφορόν σοι φιλίας θεὸν, μὴ ἐξενέγκῃς πρός τινας τὴν ἐπιστολήν. εἰ γὰρ ποιήσαις, οἱ τῆς κακίας χαρακτῆρες ἕξουσι λυπουμένους τοὺς ἐπιγινώσκοντας περὶ ἑαυτοῖς, ἢ τοῖς αὐτῶν φίλοις τὰ εἰρημένα σύμβολα. τὸ δὲ λυπεῖν ἐστὶ μὲν ὅτε ἄῤῥεν, καὶ πρὸς τρόπου φιλοσοφίας, ὅταν πρὸς παρόντας· τὸ δὲ καὶ γράφειν περὶ τούτων, μικροπρεπὲς δοκεῖ. ἀλλ' ἅπερ ἂν Συνέσιος πρὸς αὐτὸν διαλεχθείη, ταῦτα καὶ πρὸς τὴν ἱεράν σου κεφαλὴν διαλέγεται, τοῦ μόνου φίλου, ἢ μετὰ δυοῖν μάλιστα φίλου, ὡς ἔμοιγε ἐκτὸς τῆς τριάδος ὑμῶν, οὐδέν ἐστιν ἀνθρώπινον τίμιον· προσκείμενος δὲ καὶ αὐτὸς, τάχα συμπληρῶ τετρακτὺν ἱερᾶς φιλίας. ἀλλ' εὐφημείσθω τῆς ἐν ἀρχαῖς ὁμωνύμου τετρακτύος ἡ φύσις. ἐν τῷ τετραδίῳ τῶν ἰαμβείων εὗρον ἐπὶ τέλει τοὺς δώδεκα στίχους γραφέντας ἅμα, ὡς ἓν ὂν ἐπίγραμμα. ἐπεὶ οὖν σε εἰκὸς ἔχειν αὐτοὺς, ἴσθι ὡς οὔτε ἕν εἰσιν, οὔτε ἑνός· ἀλλ' οἱ μὲν ὀκτὼ πρῶτοι μετ' ἐπιστήμης γραφέντες ποιητικῆς, μιγείσης ἕξεως ἀστρονομικῆς, εἰσὶ τοῦ σοῦ φίλου· οἱ δὲ τελευταῖοι τέσσαρες, ποιητικῆς εἰσὶ τρυφώσης μόνον. καὶ ἔστιν ἀρχαῖον. ἡγοῦμαι δὲ ἀσεβέστερον ἀποθανόντων λόγους κλέπτειν, ἢ θοἰμάτια, ὃ καλεῖται τυμβωρυχεῖν. ἐῤῥωμένως διαβιώης, εὐαγῶς καὶ εὐλαβῶς φιλοσοφίας ἀντιποιούμενος. εἴκοσι τοῦ Μεσορὴ ἡμέρας σύντιθεμαί σοι περιμενεῖν σε, μεθ' ἃς σὺν θεῷ τῆς ὁδοῦ ἕξομαι. τὸν ἀγαθώτατον ἑταῖρον πλεῖστά μοι πρόσειπε· φιλῶ γὰρ αὐτὸν, διότι σε πάνυ φιλεῖ.

D

Eidem. 143.

Phœbamon, qui tibi hasce literas offert, & vir bonus est, & amicus, & iniuriam patitur. Quibus omnibus de causis æquum est illum abs te subleuari, siue nostri causa, siue ob mores ipsos, siue propter calamitatem. Hoc igitur ita à te fieri volo. Nam in nostra amicitia fiduciæ plurimum collocasse videtur; qui cùm de te impetrare aliquid vellet, ad me confugit, certò confidens per me tuam se esse gratiam assequuturum; atque ego Hercu-

Τῷ αὐτῷ.

Φοιβάμμων ὁ τὴν ἐπιστολὴν ἐπιδιδοὺς, καὶ ἀνήρ ἐστιν ἀγαθὸς, καὶ φίλος, καὶ ἀδικεῖται. κ. Φοιβάμμων. διὰ πάντα οὖν αὐτῷ συλλαβέσθαι δίκαιος εἶ, καὶ δι' ἡμᾶς, καὶ διὰ τὸν τρόπον, καὶ διὰ τὴν περίστασιν. τοῦτο μὲν οὕτω γενέσθω. καὶ γὰρ ἔοικε σφόδρα πιστεῦσαι τῇ πρὸς ἀλλήλους ἡμῶν εὐνοίᾳ· σοῦ γὰρ δεόμενος, ἐπ' ἐμὲ κατέφυγε, τεθαῤῥηκὼς, ὅτι δι' ἐμοῦ σοῦ τεύξεται. καὶ κατεχόμην αὐτῷ τὸν Ἑρ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κουλιανὸν, διὰ Συνεσίου· τὸ δὲ νικᾶν τοὺς λυποῦντας, δι' Ἑρκουλιανοῦ τῆς ἱερᾶς καὶ τιμίας κεφαλῆς. περὶ τοῦ Κόμητος ἐγεγράφεις δι' Οὐρσικίνου, λέγω δὲ τοῦ τυχόντος ἀρχῆς τῶν ἐν τῇ πατρίδι στρατιωτῶν. καὶ ᾔτεις συνθήματα παρ' ἡμῶν, τοῦ γενέσθαι, παρὰ τῶν δυναμένων τοῦτο ποιεῖν σῶν φίλων, γράμματα πρός τε αὐτὸν, καὶ πρὸς τὸν ὀρδινάριον ἄρχοντα. τὴν μὲν οὖν προαίρεσιν ἀπεδεχόμην καὶ τότε· τὸ δὲ ἔργον, ὡς περιέλκον, ἠρνούμην, γυμνὸν ἐμαυτὸν εἰς φιλοσοφίαν ἱστάς. νῦν δὲ ἀδικούμενοι φίλοι, καὶ ἰδιῶται, καὶ στρατιῶται, βιάζονταί με βούλεσθαι μεταποιεῖσθαι τῆς πολιτικῆς δυνάμεως, πρὸς ἣν ἀποπεφυκὼς οἶδα· καὶ αὐτοί μοι τοῦτο συνίσασιν, ἀλλὰ βιάζονται σφῶν ἕνεκα, ποιεῖν τι καὶ ἀκούσιον. νῦν οὖν εἰ δοκοίη σοι τοῦτο ποιεῖν, ἐπιτρέπω. πρόσειπέ μοι τὸν ἱερὸν ἑταῖρον τὸν διάκονον, καὶ γυμναζέσθω πρὸς ἀνταγωνιστὴν ἱππέα. προσαγορεύει σε πᾶς μου ὁ οἶκος, προσγενομένου αὐτῷ νῦν καὶ Ἰσίωνος, ὃν ἐπόθεις ἀπὸ διηγημάτων, ὃς αἴτιός μοι γέγονε τῆς ἀγεννοῦς καὶ ἀφιλοσόφου τῶν γραμμάτων αἰτήσεως πρὸς τοὺς ἄρχοντας, καταδεηθεὶς τὰ μὲν αὐτοπροσώπως ὑπὲρ πολλῶν, τὰ δὲ δι' ὧν ἐκόμισεν ἐπιστολῶν. καὶ οὗτος οὖν σε μέχρι τῆς διηγορευμένης εἰκάδος περιμένει.

A lianum illi per Synesium promisi: de iis porrò, qui sibi molesti sunt victoriam, per Herculianum, carum illud, ac religiosum caput. De Comite per Vrsicinum scripseras; eum autem intelligo, qui militum in patria Præfecturam est sortitus, signáq; à nobis ac velut tesseram petebas, mittendarum ab amicis tuis, qui quidem id facere possent, literarum ad illum & ad Ordinarium Præfectum. Atque ego quidem tum consilium probaui, rem autem ipsam, tanquam superuacaneam, repudiaui, cùm me nudum ad Philosophiam contulerim. B Iam verò iniuria affecti amici, & priuati, & milites cogunt me, vt ciuilem mihi potentiam assumam, ad quam minimè à natura comparatum me esse scio. Ac istud probè & ipsi vnà mecum intelligunt, sed suapte causa vel inuitum quidpiam agere cogunt. Quamobrem si ita tibi faciendum videtur, facio potestatem. Salutem meo nomine dicito Religioso sodali, Diacono, qui quidem contra aduersarium Equitem strenuè sese exerceat. Salutat te vniuersa nostra familia, ad quam Isionis accessio facta est, quem tu ab Actis desiderabas: qui mihi ignauæ & indignæ philosopho literarum ad magistratus po- C stulationis causa extitit: cùm me partim coram pro multis interpellaret, partim per literas quas ipse deferebat. Iste quoque vsque ad vicesimam diem expectat.

Τῷ αὐτῷ.

Οἰκέτης ἐμὸς ἐδραπέτευσεν, οὐ τῶν πατρῴων τῶν ἐμῶν, οὐδὲ τῶν ἄλλως συντραφέντων ἐμοί· ἀγωγῆς γὰρ ἐλευθερίου μεταχόντες, καὶ μικροῦ δέω λέγειν ἐν ὁμοτίμοις ἀγόμενοι, φιλοῦσιν ὡς αἱρετὸν ἄρχοντα μᾶλλον, ἢ δεδίασιν ὡς νόμῳ δεσπότην· ἀλλ' ὁ Φιλόρωμος· τοῦτο γὰρ ὄνομα τῷ δραπέτῃ· τῆς ἀδελφιδῆς μου τῆς Ἀμελίου θυγατρὸς οἰκέτης ὢν, ἐμὸς γέγονε δι' ἐκείνης· τραφεὶς δὲ ἐκμελὴς καὶ ἀνάγωγος, φιλόσοφον καὶ Λακωνικὴν ἐπιστασίαν οὐκ ἠνέσχε· καὶ νῦν ἀντ' ἐμοῦ δεσπότην εὑράμενος Ἀλεξανδρέα, περινοστεῖ μετ' ἐκείνου τὴν Αἴγυπτον. Ἁρποκρατίων τίς ἐστι τῶν Ἡρακλειανοῦ δορυφόρων, τάξιν ἔχων τοῦ βοηθοῦ βοηθεῖν· ἡ γὰρ σουβαδιούβα λέξις, τοῦτο ἑρμηνεύειν πιστεύεται. τούτῳ σύνεστιν ὁ Φιλόρωμος. κἀγὼ τό γ' ἐμὸν, εἴασα ἂν χαίρειν αὐτόν. ποῦ γὰρ εὔλογον τὸν μὲν χείρω τῶν βελτιόνων μὴ δεῖσθαι,

Eidem. 144.

Seruus quidam meus aufugit, non ex paternis meis, aut qui alia ratione vnà mecum nutriti sunt: (Ii enim liberalem edicationem nacti, ac prope æquali mecum honore habiti, tanquam ex electione imperantem amant potiùs, quàm velut ex lege dominum reformidant:) sed Philoromus, hoc enim fugitiuo nomen est, consobrinæ meæ, Amelij fi- D liæ seruus, qui meus quidem propter illam factus est; sed cùm dissolutè, ac citra disciplinam esset educatus, philosopho dignum atque Laconicum regimen non tulit. Et nunc Alexandrinum pro me dominum nactus, cum eo Ægyptum peragrat. Harpocratio quidam est Heracliani satellitum, ex eorum ordine qui Adiutores adiuuant: vox enim Subadiuua id significare creditur. Apud hunc Philoromus est. Ego verò, quòd ad me attinet, valere illum iuberem. Quî enim conuenit, deteriorem nihil opus habere melioribus,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

meliores verò sibi deterioribus opus esse confiteri? sed infelicis illius hera nondum omninò adduci potest vt philosophetur, ita vt eos aspernetur qui de se nihil sint solliciti: summóque à me opere contendit, vt aliquos mitterem, qui illum à fuga retraherent. Quam quidem prouinciam in se recepit contubernalis meus Aïthales, quem ego, & duce Deo fretus dimisi, & humanum ei à te subsidium pollicitus. Tantùm igitur hæ tibi in manus literæ dentur: cætera, postquam argumentum omne percepisti, Deo ac tibi ipsi, & Aïthalis curæ permitto.

A τοὺς δὲ βελτίονας ὁμολογοῦντας εἶναι, δεῖσθαι τοῦ χείρονος· ἀλλ' ἡ δέσποινα τοῦ κακοδαίμονος, οὔπω πείθεται πάνυ φιλοσοφεῖν, ὥστε καταφρονεῖν τῶν οὐκ ἀντεχομένων, καὶ κατεδεήθη πολλὰ σταλῶσαι τοὺς ἐπανάξοντας αὐτόν. ὑπέστη δὲ τὴν ὑπηρεσίαν αὐθαίρετος ὁ σύσκηνος ἡμῶν Αἰθαλής, ὃν ἐγὼ Θεῷ τε ἡγεμόνι θαρρῶν ἔστειλα, καὶ ἀνθρωπίνην ἐπικουρίαν ὑποσχόμενος τὴν παρὰ σοῦ. εἴη σοὶ τὴν ἐπιστολὴν ἐπιδοθῆναι· τὰ δὲ ἐντεῦθεν, ἐπειδὰν παρειλήφας τὴν ὑπόθεσιν, Θεῷ καὶ αὐτῷ σοι, καὶ
B Αἰθαλεῖ μελήσει.

Eidem. 145.

Τῷ αὐτῷ.

Cùm ego multo anteà sanctum animum tuum confirmare ac corroborare cuperem, vehemens illud tuum consuetudinis nostræ desiderium per literas redarguens, nunc illecebrarum, quæ in tuis literis insunt inundante copia fractus ipse ac emollitus sum; & modò talem me inuenio, qualis anteà cùm esses tete incusaueram. Num nam igitur ingentium mihi bonorum causa egregius Herculianus extitit, qui animum meum adeò sibi deuinxerit, atque à philosophiæ dignitate deiecerit? Equidem non aliam ob causam arbitror Sirenas Poëtarum probris ac maledictis exagitari, quam quod mellita vocis suauitate interitum moliebantur, eum qui fidem habuisset illicientes. Memini verò me nescio quem olim sapientem audire, qui sic fabulam istam allegoricè enarraret. Etenim Sirenas aiebat, voluptates illas significare, quibus fruimur, quæ succumbentes; atque earum blandimentis illectos paulatim perderent. Quidnam igitur abest, quominus Sirenes sint quædam literarum tuarum illecebræ, quibus ego grauitate constantiáque illa posita totus Herculiani factus sum. Testis est Deus me non scribendi more alterius cuiuspiam loco de ea re verba facere, quo literarum argumentum aliquod haberem. Verùm ex iis literis quas de Vrsicino tres accepi, quæ amplitudine media erat, viuum mihi quendam animi affectum instillauit, adeóque sum literarum adulatione superatus, vt meipsum puderet. Oportebat te ad fratrem Cyrum de eo quod significasti literas dedisse, propter Pentapolitanum Comitem. ac voluntati quidem commendantis

Ἐπιθυμήσας ἀρρενῶσαι τὴν ἱερὰν σου ψυχὴν τῷ δι' ἐπιστολῶν ἐπιπλῆξαι τῷ σφοδρῷ τῆς εἰς τὴν συντυχίαν ἡμῶν συστάσεως, πολλῷ πρότερον ὑπὸ τοῦ κατακλυσμοῦ τῶν ἐν ταῖς ἐπιστολαῖς ἰύγγων αὐτὸς ἐθηλύνθην, καὶ εἰμὶ νῦν τοιοῦτος, ὁποίῳ σοὶ τυγχάνοντι πρότερον ἐνεκάλουν. ἆρ' οὖν ἀγαθῶν μοι μεγά-
C λων αἴτιος ὁ θαυμάσιος Ερκουλιανὸς, οὕτω τὴν ἐμὴν ψυχὴν ἀναρτήσας ἑαυτοῦ, καὶ καταβιβάσας τοῦ φιλοσοφίας ἀξιώματος; ἐγὼ μὲν οὐ δι' ἄλλο τι τὰς Σειρῆνας ὑπὸ τῶν ποιητῶν ἡγοῦμαι βλασφημεῖσθαι, ἢ ὅτι τῷ μελιχρῷ τῆς φωνῆς ἀπόλλυον, προσαγόμεναι τὸν πιστεύσαντα. ἤκουσα δέ του τῶν σοφῶν καὶ ἀλληγοροῦντος τὸν μῦθον. Σειρῆνας γὰρ αὐτὰς αἰνίττεσθαι τὰς ἀπολαυστικὰς ἡδονάς, αἳ τοὺς εἴξαντας καὶ καταγοητευθέντας αὐτῶν τῷ προσηνεῖ, μετὰ μικρὸν ἀπολλύουσι. τί οὖν ἀποδέουσιν εἶναι Σειρῆνες, αἱ τῶν σῶν ἐπιστολῶν ἡδοναί, ὑφ' ὧν
D ἐγὼ τὸ ἐμβριθὲς ἀφεὶς, ὅλος Ερκουλιανοῦ γέγονα. μάρτυς Θεὸς, οὐ νόμῳ τοῦ γράφειν, ἀντ' ἄλλου τοὺς περὶ τούτου πεποίημαι λόγους, ἵν' ὑπόθεσιν ἔχω γραμμάτων, ἀλλὰ τῶν περὶ ΟΥρσικίνου δοθεισῶν ἐπιστολῶν· ἦσαν δὲ τρεῖς· ἡ μέση κατὰ τὸ μέγεθος ἔμβιόν τι ψυχῆς πάθος ἐνέσταξέ μοι κομίσασα, καὶ γέγονα τῆς ἐν τοῖς γράμμασι κολακείας ἥττων τοσοῦτον, ὅσον αἰσχύνεσθαι. τὸν ἀδελφὸν Κῦρον ἔδει κομίσασθαι παρά σου γράμματα περὶ ὧν ἐδήλωσας, διὰ τὸν ἐκ Πενταπόλεως κόμητα. καὶ χάριν μὲν ἔχειν τῇ προαιρέσει τοῦ

συνήσθημένος· ἐπελάθου δὲ ὅτι φιλοσοφεῖν πειρῶμαι, καὶ μικρὸν ἡγοῦμαι τιμὴν ἅπασαν, εἰ μὴ ἐπὶ φιλοσοφίᾳ γένοιτο. δέομαι οὖν διὰ τὸν Θεὸν οὐδέν· οὔτε γὰρ ἀδικοῦμεν, οὔτε ἀδικούμεθα. τὸ δὴ τοιοῦτον, ἐκείνῳ μὲν ὑπὲρ ἡμῶν ἔπρεπε ποιεῖν, ἡμῖν δὲ αἰτεῖν, οὐ πρέπον. εἰ γὰρ ἔδει ζητεῖν ἐπιστολάς, αἰτεῖν ἔδει πρὸς ἐμὲ γενέσθαι· οὕτω γὰρ ἂν ἐτιμήθη· οὐχ ὑπὲρ ἡμῶν πρὸς ἕτερον. ἐρρωμένος εὐθυμῶν διαβιῴης, φιλοσοφίαν ἀδολωτάτην μετιών. πᾶσα ὁμοῦ σε ἡ οἰκία, μάρτυς Θεός, καὶ παῖδες, καὶ γέροντες, καὶ γυναῖκες, προσαγορεύουσιν· ἴσως δ' ἂν αὐτὸς καὶ φιλοφρονουμένας τὰς γυναῖκας μισοίης. ἰδοὺ τί πεποίηκας· ἐν ὁδῷ με ὄντα ἀπρὶξ λαβόμενος κατέχεις. ἦσαν ἄρα Αἰγύπτιοι φαρμακεῖς, καὶ οὐ πάντα Ὅμηρος ψεύδεται, ὅτε καὶ αὐτὸς ἰύγγων πλήρεις ἐπιστολὰς ἐκπέμπεις ἀπ' Αἰγύπτου. Ἑλένη μὲν οὖν τὸ λαθικηδὲς φάρμακον,

Πολύδαμνα πόρε Θῶνος παράκοιτις·

σοὶ δὲ τίς τὸ ἀνιαρὸν δέδωκεν, ᾧ χρίσας ἔπεμψας τὴν ἐπιστολήν;

A gratias egi: videris mihi tamen istud oblitus, quemadmodum philosophari instituerim, atq; omnem honorem parui pendam, qui non à philosophia proficiscatur. Itaq; nihil propter Deum ea commendatione opus habeo. Neq; enim aut facio cuiquã iniuriam, aut accipio. Quare istud ipsum in illum nostri causa conferre oportebat, nobis autem postulare nequaquam congruit: nam vt maximè literæ petendæ essent, ad me potiùs vt scriberentur, peti deberet, ita enim honore afficeret, non pro nobis ad alterũ. Hilaris perpetuò atq; incolumis degas, philosophiam syncerissimè B ambiens. Vniuersa te simul familia, testis est Deus, tam pueri, quàm senes, & mulieres salutant. Quamquam fortassis etiam blandientes, atq; humanitate prosequentes mulieres oderis. Vide quid feceris: me, cùm invia essem, mordicus apprehensum detines. Profectò Ægyptij incantatores sunt, nec omnia falsò ab Homero sũt prodita, cùm tu ipse incantationum plenas literas ab Ægypto mittas. Atque Helenæ quidem obliuiosum mœroris poculum,

Dedit Thonis coniux Polydamna:

Tibi verò quis mœroris efficiens illud dedit, quo delibutam ad me epistolam C misisti?

Ἰωάννῃ.

Οἶμαί σε καὶ περὶ εὐχῆς εὖ πεπράττειν, ὅς γε ἀφεὶς τοὺς ἀνθρώπους ἡμᾶς,

Ἄτης ἐν λειμῶνι κατὰ σκότον ἠλάσκοντας,

καὶ ταῖς χθονίαις ἐγκαλινδουμένους φροντίσιν, αὐτὸς ὑπὲρ ταύτας στήσας σαυτόν, ἀνεχώρησας ἔτι δεῦρο ὤν, καὶ μακαρίας ἥψω ζωῆς, εἰ μὴ φίλος ὢν Γάνος, ἐν τῷ λέγειν καὶ διαγγέλλειν τὰ σὰ πρὸς ἡμᾶς, οἴεται δεῖν τι καὶ ψεύδεσθαι. δεινὸν γὰρ ἡ εὔνοια κλέψαι τὴν ἀλήθειαν· ἔστ' οὖν ὁ Γάνος ἐπεφήμισέ σοι τὸν μονήρη βίον, καὶ πρόφασιν τῆς εἰς τὴν πόλιν εἰσόδου βιβλία· καὶ τὸν νοῦν αὐτόν, ὅσος εἰς θεολογίαν συντείνει, καὶ φαιὸν τριβώνιον ἀμπέχεσθαί σε φησίν. οὐδὲν μὲν ἦν μεῖον, εἰ καὶ λευκὸν ἦν. τῇ γὰρ φανοτάτῃ φύσει μᾶλλον ἀνακείμενον εἴη τὸ ἐν τοῖς αἰσθητοῖς καθαρόν, καὶ φωτοειδέστερον. εἰ δὲ καὶ τὸ μέλαν ἐπῄνεσας, ἐπὶ ζήλῳ τινῶν προλαβόντων ἐποίησας, ἐπαινῶ πᾶν τὸ ἐπὶ τῷ Θείῳ γινόμενον. τὸ γὰρ

Ioanni. 146.

Ego te præ votis omnibus felicem esse arbitror, qui nos homines derelinquens,

Ates in pratis, tenebrosa in nocte vagantes,

& in terrenis curis volutatos, te supra illas erigens, cùm hîc adhuc esses, recessisti, ac felix vitæ genus aggressus es, nisi amicus tuus Ganus, in rebus tuis ad nos perferendis ac narrandis, mentiendum nonnihil arbitretur. Solet enim veritatem imprimis occultare beneuolen- D tia. Ganus igitur iste monachicum tibi vitæ institutum tribuit, tuique in vrbem ingressus libros occasionem extitisse confirmat. Addidit insuper quantus in te mentis ardor ad Theologiam inesset, necnon & pullam te lacernam induere narrat. Atqui nihilo deterius erat, si candida foret: splendidissimæ quippe naturæ dicatum ac consecratum id potiùs fuerit, quod in his quæ sensu percipiuntur, purius atq; lucidius est. Sed si pullum ideò colorem probasti, quòd id aliorum, qui ante te vsurparunt, imitatione feceris: laudo quicquid Dei causa susci-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

piatur. Nam illud ipsum cuius gratia fit, facienti tribuit, vt præclarè sit hoc ab eo factum, inestque in voluntate ipsa virtus. Quamobrem nos tibi gratulamur, qui ad eum finem subitò ac tumultuariè perueneris, cuius nos pridem cum labore ægrè velut ianuam pulsemus. Tu verò nobiscum precare, vt & ipsi olim assequamur, lucríque nonnihil ex philosophiæ curis ac vigiliis obtineamus, ne frustrà in libris ætatem attriuerimus. Incolumem felicémque vitam traducas, vir egregie.

A οὗ χάριν γὰρ, δίδωσι κατόρθωμα τῷ ποιοῦντι, καὶ ἡ προαίρεσις ἔχει τὴν ἀρετήν. ἡμεῖς μὲν οὖν σοι συνηδόμεθα, σχεδιασαμένῳ τὸ τέλος, ὅπερ ἡμεῖς πάλαι σὺν πόνῳ μόλις θυροκοπούμενοι. σὺ δὲ ἡμῖν σύνευξαι, φθάσαι ποτὲ καὶ αὖθις, καὶ εὑρέσθαι τι κέρδος ἀπὸ τῆς ἐν φιλοσοφίᾳ μερίμνης, ἵνα μὴ τηνάλλως ὦμεν κατατετριφότες πρὸς τοῖς βιβλίοις τὸν βίον. ἐρρωμένως εὐδαιμονοῦν διαβιώης, θαυμάσιε.

Olympio. 147.

Tributi pendendi partes meas, ac munus prætermisi. Quid enim facerem, cùm nullus è Græcis, qui Libyam incolunt, onerarias ad mare nostrum mittere velit? Ac te etiam omni pensitatione soluo, neque enim Syris curæ est ad naualia Cyrenensium appellere. Quòd si quando contingeret, me tamen insciente fieret: quippe neque mari proximus, nec in portu frequens, sed ad Austrum in extremis Cyrenensium finibus situs sum; atque è vicino nobis habitant, quales Vlysses in Ithaca clauum tenens quæritabat, iram Neptuni ex præscripto oraculi procurans,

--qui nec freta norunt.
Mortales, sale nec condita cibaria rodunt.

Sed ne temerè istud à me dictum arbitreris, ne ad salem quidem vsque nostros maris vti commercio: neque tamen insulsis ob id carnibus, aut libis vesci puta. Est enim, per sacram Vestam iuro, est apud nos terrestre sal, quod minore interuallo ab Austro distat, quàm ab Aquilone mare: hoc Ammonis sal à nobis appellatur. Lapide hoc friabili alitur, atque tegitur, quem crustæ in modum insidentem cùm detraxeris, facili negotio manibus ac sarculis altius proscindi subiecta tellus potest. Id porrò quod effoditur, sal est, cùm visu ipso, tum alia gustandi voluptate iucundissimum. Verùm ne tu sophisticæ hoc insolentiæ esse existimes, de vernaculo sale narrationem instituere; minimè enim rusticanis nobis hæret ambitiosa gloriæ contentio. Sed enim sigillatim quæ sunt apud nos scire à nobis postulas. Quare loquacem epistolam sustine, vt importunæ curio-

Ὀλυμπίῳ.

B

Ἀπέλιπον τὴν τάξιν τῶν φόρων. τί γὰρ ἦν ποιεῖν, οὐδενὸς Ἑλλήνων τῶν τὴν Λιβύην ἐπῳκηκότων θέλοντος εἰς τὴν παρ' ἡμᾶς θάλατταν ἐκπέμπειν ὁλκάδας; καί σε δὲ ἀφίημι τῆς συντάξεως. οὐδὲ γὰρ Σύροις ἐπιμελὲς καταίρειν εἰς τὰ Κυρηναίων ἐπίνεια. λάθοι δ' ἄν με τοῦτό ποτε καὶ γινόμενον. οὐ γάρ εἰμι γείτων θαλάττης, οὐδ' ἐλλιμενίζω συχνά· ἀλλ' ἀνῴκισμαι πρὸς νότον ἄνεμον, Κυρηναίων ἔσχατος, καὶ γείτονες ἡμῖν εἰσιν, οἵους C Ὀδυσσεὺς κατὰ τὴν Ἰθάκην τὸ πηδάλιον ἔχων ἐζήτει, μῆνιν Ποσειδῶνος ἐκ τοῦ χρησμοῦ παραιτούμενος, —οἳ οὐκ ἴσασι θάλασσαν

Ἀνέρες, οὐδέ θ' ἅλεσσι μεμιγμένον εἶδαρ ἔδουσιν.

ἀλλὰ μὴ λόγον ἄλλως οἰηθῇς, τὸ μηδὲ μέχρις ἁλῶν τοὺς δεῦρο κεχρῆσθαι θαλάττῃ, μήτε μὴν ἄναλτα διὰ τοῦτο κατεσθίειν ἡγοῦ τά κρέα τε καὶ τὰ πέμματα. εἰσὶ νὴ τὴν ἱερὰν Ἑστίαν, εἰσὶν ἠπειρῶται παρ' ἡμῖν ἅλες, ἀπέχοντες πρὸς νότον ἔλαττον, ἢ πρὸς ἄρκτον ἡ θάλαττα. τούτους Ἄμμωνος καλοῦμεν τοὺς ἅλας. πέτρα δὲ αὐτοὺς ψαφαρὰ καὶ τρέ- D φει καὶ κρύπτει, ἣν ὅταν ἀφέλῃς ἐπιβεβλημένην ὥσπερ ἐφελκίδα, ῥᾳστώνη πολλὴ καὶ χερσὶ καὶ σκαλίσιν ἀρυσσῶ τὸ βάθος· τὸ δὲ ἀναχωννύμενον, ἅλες εἰσίν, ἰδεῖν τε ἡδεῖς, καὶ γεύσασθαι τὴν ἄλλην ἡδονικοί. ἀλλ' ὅπως μὴ σοφιστικὴν ἀπειροκαλίαν οἰηθῇς, τὸ ἐπεξελθεῖν τῶν ἐπιχωρίων ἁλῶν τῷ διηγήματι· ἥκιστα γὰρ τοῖς ἀγροδιαίτοις ἡμῖν προσιζάνει τὸ φιλότιμον πάθος· ἀλλὰ σὺ γὰρ ἀπαιτεῖς ἕκαστα παρ' ἡμῶν, τὰ περὶ ἡμῶν εἰδέναι. ἀνέχου τοίνυν ἀδολεσχούσης ἐπιστολῆς, ἵνα καὶ τῆς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀκριβοῦ πολυπραγμοσύνης δοὺς δίκιω. ἅμα δὲ καὶ χαλεπὸν εἰς πίστιν τοῖς ἑκάστοις ἀπότροφον. οὐ φαῦλον οὖν ἔργον Σύρον ἀναπεῖσαι περὶ χερσαίων ἁλῶν, ἐπεὶ καὶ δεῦρο πράγματα ἔχω, περὶ νεῶν καὶ ἱστίων καὶ θαλάττης ἀνακρινόμενος. οἶσθα γὰρ ὡς ἐγὼ καὶ φιλοσοφῶν ποτὲ ἅμα ὑμῖν, ἐθεασάμην τὸ χρῆμα τοῦτο τὴν θάλασσαν, καὶ πρὸς Φάρῳ, καὶ πρὸς Κανώβῳ, τὴν μεγάλην λίμνην τὴν ἁλμυράν. ἣ εἵλκετο ναῦς, καὶ ἀνήγετο πρὸς οὖρον αὕτη, κώπαις ἐκείνη. ἐγελᾶτε γοῦν εἰκάσαντος αὐτὴν ἐμοῦ ζώῳ πολύποδι. οἱ δὲ, διάκεινται τὰς γνώμας, ὥσπερ ἡμεῖς, ὅταν ὑπὲρ τῶν ἐπέκεινα Θούλης ἀκούωμεν, ἥ τις ποτέ ἐστιν ἡ Θούλη, διδοῦσα τοῖς διαβᾶσιν αὐτὴν ἀνεύθυνα καὶ ἀνέλεγκτα ψεύδεσθαι. ἀλλ' οὗτοί γε κἂν πρεσιῶνταί ποτε τὰ περὶ τῶν νεῶν, ἢ δόξωσιν ἐκεῖνο γελᾶν, διακρατῶς ἀπιστοῦσιν, ὅτι δύναται τρέφειν ἀνθρώποις καὶ θάλαττα. τοῦτο γὰρ μόνην ἔχειν ἀξιοῦσι τὴν μητέρα γῆν τὸ πρεσβεῖον. ἐγὼ δέ ποτε αὖθις ἀναινόντων πρὸς τὰ περὶ τῶν ἰχθύων, ἀναλαβὼν καὶ προσαρράξας πέτρᾳ τινὰ κέραμον, ἔδειξα τῶν ἀπ' Αἰγύπτου ταρίχων συχνά. οἱ δὲ, ὄφεων πονηρῶν ἔφασαν εἶναι σώματα· καὶ ἀναθορόντες ἔφευγον, τὰς ἀκάνθας ὑποπτεύοντες, ὡς οὐδὲν ἠπιωτέρας τῆς διὰ τῶν ὀδόντων φαρμάκου· καὶ ἔφη τις ὁ γεραίτατος, καὶ ἐν τῇ δόξῃ φρενῶν ἐπηβολώτατος, μόλις γοῦν περὶ ὕδατος ἁλυκοῦ πιστεῦσαι, καλόν τι αὐτόθι τρέφεσθαι καὶ ἐδώδιμον, τῶν πηγαίων, τῶν ἀγαθῶν καὶ ποτίμων ναμάτων, βατράχοις καὶ βδέλλας γεννώντων, ὧν οὐδ' ἂν ὁ μαινόμενος γεύσαιτο· καὶ εἰκότα γε ἀγνοοῦσιν.

πέτρᾳ

ἐνταῦθα.

Οὐ γὰρ σφᾶς ἐκ νυκτὸς ἐγείρει κῦμ' ἐπιθρῶσκον

Πελάγους· ἀλλ' ἵππων χρεμετισμοὶ, καὶ μηκάζον αἰπόλιον, καὶ προβατίων βληχὴ, καὶ ταύρου μύκημα. πρὸς τῆς δὲ ἀκτῖνος ἐπιβαλούσης, τῶν μελιττῶν ὁ βόμβος, εἰς ἡδονῆς λόγον οὐδεμιᾶς παραχωρῶν μουσικῇ. μή τοί σοι δοκοῦμεν ἐκδιηγεῖσθαι τὰς Ἀγχεμάχου, τοιοῦτον οἰκοῦντες ἀγρὸν, πόῤῥω πόλεως, καὶ ὁδῶν, καὶ ἐμπορείας, καὶ τρόπων ποικίλων; ἡμῖν γὰρ ἐπὶ

Ἀγχεμάχ.

A sitatis pœnas persoluas. Quin & hoc persuasu difficile est, quod ab vniuscuiusque educatione, vsúque alienum est. Quamobrem non parum negotij est Syro posse de terreno sale persuadere: Cùm ego molestiam hîc habeam de nauibus, ac velis, atque mari sæpius interrogatus. Meministi enim me cum aliquando vobiscum philosopharer, rem illam mare scilicet aspexisse, & ad Pharum, ac Canobum vastum illum lacum, atque salsum vidisse. Ac cum fortè nauis trahebatur, aliáque velis in altum, altera remis deducebatur: B Ridebatis igitur me, quòd eam animali multipedi similem esse dicerem. At illi eodem modo afficiuntur animo, quomodo nos cum de iis quæ vtrà Thulem sunt audimus, quæcumque demum Thule est, quæ iis qui eo penetrauerint, impunè ac citra reprehensionem mentiendi potestatem facit. Verùm ij vtcúmque tandem quæ de nauibus dicuntur, admittant, aut ridere idipsum videantur, pertinacissimè tamen credere istud nolunt, posse ex mari hominibus alimenta suppeditari. C Hoc enim velut honorarium parenti terræ præcipuum ac peculiare esse censent oportere. Ego verò cum ipsi aliquando quæ de piscibus narrantur, abnuerunt fictile quoddam apprehendens, & ad saxum allidens, allatam ex Ægypto salsamentorum copiam iis ostendi; quæ illi malorum serpentum corpora esse dicebant, statimque in fugam exsiliebant, spinas reformidantes, tanquam nihilo dentium veneno mitiores. Inter quos vnus ætate omnium prouectissimus, atque in opinando sagacissimus ægrè sibi de aqua salsa persuasum esse dixit, vt in ea boni aliquid vescique nu- D triretur, cùm in fontanis aquis optimis, & ad potum idoneis, nihil præter ranas & hirudines gignatur, quas nemo adeò insanus est, vt gustare velit. Nec immeritò istud ignorant,

Non etenim de nocte tumens hos excitat vnda

Pelagi, sed equorum hinnitus, & caprarum clamantes greges, & ouium balatus, & Taurorum mugitus. Inde ad primos Solis radios apum sonitus, nihil quod ad voluptatem attinet Musico concentui cedens. An non tibi eas quæ Anchemachi fuerunt, narrare videmur, qui talem agrum incolamus ab vrbe dissitum, & viis, & mercatu, & versutis moribus? Nobis

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

enim philosophandi otium est, malefa-
ciendi nullum. Iam conuentus omnes
omnibus sociales sunt, sibi inuicem ad
agriculturam opitulantibus, ad greges, ad
pastores, ad venatum eorum, quæ ter-
ra fert, multiplicem. Nefas enim siue
ipsis sin nobis, siue equis nostris est, siue
sudore cibum capere. Polenta autem ves-
cimur cùm in cibo tum in potu suauissi-
ma, cuiusmodi Nestori (apud Home-
rum) miscet Hecamede. Secundum ve-
hementem fatigationem ista sorbitio æ-
stiui caloris remedium est. Sunt & no-
bis insuper liba triticea, & edules arbo-
rum fructus, partim domestici, partim
agrestes, vernaculi omnes, telluris op-
timæ succi, nec apum faui desunt, aut
caprinum lac, non enim mulgere bo-
ues apud nos receptum est. Nec mi-
norem mensis nostris copiam frequens
canibus atque equis venatus suppedi-
tat, quem nescio cur Homerus viris glo-
riosum non appellet, nec illustres in ea
homines fieri dixerit; cùm eo præconio
forum affecerit, ex quo perfrictæ fron-
tis homunciones ac nequissimi prodeunt
nec sani quicquam, sed contumeliosi,
& dolorum machinatores callidi, quos
irridere passim solemus, quoties nobis-
cum iisdem in ædibus versantur. Hor-
rent enim, cum ex camino promptas fe-
rinas carnes vident. Quid ferinas dico?
Venenum sanè citius, quàm eas apud
nos degustauerint. Vinum porrò quæ-
runt tenuissimum, mel crassissimum, &
oleum leuissimum, frumentum verò
ponderosissimum. Quin patrias illorum
celebrant, Cyprum, & Hymettum ne-
scio quem, ac Phœnicem, & oram Bar-
bariæ. Ager verò noster, etsi singulis re-
bus ab vnoquoque eorum vincatur, qui
summum earum frugum fastigium ob-
tinent, cæteris tamen vnumquemque
superat. Atque hic ex secundis princi-
patus est, quem Peleus, & Themisto-
cles nacti in omnibus optimi omnium
inter Græcos celebrati sunt. Quamuis
autem istud demus, mel nostrum Hy-
mettio deterius esse: at eiusmodi est, vt
eo præsente nihil sit, quòd peregrinum
liquorem desideremus. Inter olei verò
genera haud dubiè nostrum antecellit,
si non iis arbitrium permittatur, quo-
rum viuendi deprauata est ratio. Nam
hi appendere illud solent, pondere bo-
nitatem metientes, & præcipuam eius
notam in leuitate collocant. Nam etsi

A σχολὴ μὲν φιλοσοφεῖν, ἀσχολία δὲ κακουρ-
γεῖν. σύνοδοι δὲ πᾶσαι πᾶσιν ἑταιρικαί, χρω-
μένων ἀλλήλοις ἐπὶ γεωργίας, ἐπὶ ποί-
μνας, ἐπὶ ποιμένας, ἐπὶ θήραν, ὧν ἡ γῆ
φέρει παντοδαπήν. οὐδὲ γὰρ νόμος ἡμῖν,
οὔτ᾽ αὐτοῖς, οὔτ᾽ ἵπποις, ἀνιδρωτὶ σῖτον αἱρεῖ-
σθαι· ἀριστῶμεν δὲ ἐπ᾽ ἀλφίτοις, ἥδιστα
μὲν ἐμφαγεῖν, ἥδιστα δὲ ἐμπιεῖν, ἃ καὶ τῷ
Νέστορι κίρνησιν Ἑκαμήδη. μετὰ τὸν κόπον ἰ-
σχυρὸν ὁ κυκεὼν, τῆς θερινῆς ὥρας ἀλέξι-
μα. καὶ μὴν ἔστιν ἡμῖν καὶ πύρινα πέμμα-
B τα, καὶ τρωκτὰ ἀκροδρύων, τὰ μὲν, ἥμε-
ρα· τὰ δ᾽, ἄγρια, πάντα ἐγχώρια, γῆς
ἀρίστης χυμοί, καὶ κηρία μελιττῶν, καὶ γά-
λα τὸ ἐξ αἰγῶν. οὐ γὰρ νομίζομεν βοῦς ἀμέλ-
γειν. ποιεῖ δὲ οὐκ ἐλάττω τὴν ἀφθονίαν ἐν
ταῖς τραπέζαις, καὶ ἡ διὰ τῶν κυνῶν καὶ
τῶν ἵππων θήρα, ἣν οὐκ οἶδα πῶς οὐ
προσεῖπεν Ὅμηρος κυδιάνειραν, οὐδὲ
ἀριπρεπέας ἔφη τοὺς ἄνδρας ἐν αὐτῇ γίγνε-
σθαι· τὴν δὲ ἀγορὰν ἐγκωμίῳ τοιούτῳ τε-
τίμηκεν, ἀνθρώπια παρεχομένην ἀναιδῆ καὶ
παμπόνηρα, καὶ οὐδὲν ὑγιές· ἀλλὰ λοίδο-
C ρα, καὶ κακορραφεῖν εἰδότα· ἐφ᾽ οἷς καὶ γε-
λῶμεν ἡμεῖς, ὅταν ποτὲ ἡμῖν ὁμόρροφα
γένωνται. φρίττουσι γάρ τοι πρὸς τὰ ἐκ τῶν
καμίνων κρέα τὰ θήρεια. καὶ τί λέγω τὰ θή-
ρεια; φαρμάκου γὰρ ἂν θᾶττον, ἢ τούτων
παρ᾽ ἡμῖν γεύσαιντο. ζητοῦσι δὲ οἶνον μὲν
τὸν λεπτότατον, μέλι δὲ τὸ παχύτατον· καὶ
ἔλαιον μὲν τὸ κουφότατον, πυρὸν δὲ τὸν βα-
ρύτατον· καὶ πατρίδας αὐτῶν ὑμνοῦσι, Κύ-
προν καὶ Ὑμηττόν τινα, καὶ Φοινίκην, καὶ βαρ-
βάρων. ἡμῖν δὲ ἡ χώρα, καὶ εἰ καθ᾽ ἓν ἑκάστης
ἡττᾶται, τῆς τὸ ἄκρον φερούσης, τοῖς λοιποῖς
D ἑκάστην νικᾷ. καὶ τοῦτ᾽ ἔστι τὸ ἐκ δευτέρων
πρωτεῖον, ὃ καὶ Πηλεὺς καὶ Θεμιστοκλῆς εὑ-
ράμενοι, πάντα πάντων ἄριστοι τοῖς Ἕλλησιν
ἐκηρύχθησαν. εἰ δὲ δὴ καὶ δοίημεν τὸ ἡμέτερον
μέλι χεῖρον εἶναι πρὸς τὸ Ὑμήττιον· ἀλλὰ
τοιοῦτόν ἐστιν, οἷον παρόντος, οὐδὲν δεῖν τοῦ ξένου
χυμοῦ· ἔλαιον μέν τοι σαφῶς τὸ ἡμεδαπὸν
ἄριστον, ἢν μὴ κρίνωσιν οἱ διεφθορότες τὴν
δίαιταν. ἐκεῖνοι μὲν γὰρ αὐτὸ ζυγοστατοῦσι, ῥοπῇ
τὴν ἀρετὴν ἐξετάζοντες, καὶ τὸ μεταγωγοῦ
ἐν πλεονεκτήματος μοίρᾳ λογίζονται. ἡμῖν δὲ
οὐ χαλ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἡμῖν δὲ οὐ χαλκεύονται μὲν ἐπὶ τοὔλαιον τάλαντα· φαμὲν δὲ, εἴπερ αὐτὸ δέοι ποιεῖν, φύσιν εἶναι τὸ πλέον ἕλκον τιμᾶν. ἀμέλει τὸ θαυμαστὸν αὐτοῖς καὶ ὤνιον ἔλαιον, ἐν ταῖς θρυαλλίσιν, ὑπ᾽ ἐνδείας ἀσθενεῖ θρέψαι φλόγα. τὸ δὲ αὐτόχθον, ὑπὸ γενναιότητος πυρκαϊὰν ὅλην ἀνίστησι, κἂν ἐπειδὰν λύχνου δέοι, χειροποίητον ἡμέραν ποιεῖ. ἀγαθὸν δὲ λιπᾶναι μᾶζαν· ἀγαθὸν δὲ σωμασκοῦσι τρέψαι νεῦρα. ἡμῖν δὲ καὶ τὸ μουσικῆς χρῆμα ἐπιχώριον ὡς οὐδὲν ἄλλο, καὶ ἔστιν Ἀγχεμαχήταις λύριόν τι ποιμενικὸν λιτὸν καὶ αὐτόσκευον, εὔφημόν τε καὶ ἄρρεν ἐπιεικῶς, οὐκ ἀνάξιον τοῖς ἐν τῇ Πλάτωνος πόλει παῖδας ἐκτρέφειν. ὡς οὐ λογίζεται τοῦτο, οὐδὲ ἀρετὴν ἔχει παμφώνως ἡρμόσθαι· τῷ δὲ ἁπλῷ τῶν χορδῶν, συμβαίνουσιν οἱ προσᾴδοντες. οὐ γὰρ ἐπιτίθενται τρυφώσαις ὑποθέσεσιν· ἀλλ᾽ ἔστιν ἡμῖν καλόν τι χρῆμα ᾠδῆς, ἔπαινος ἐνόρχου κριοῦ, καὶ ὁ μείουρος κύων ἐγκωμίου τυγχάνει, ὅτι οἶμαι δίκαιός ἐστι τὰς ὑαίνας οὐκ ὀρρωδῶν, καὶ λαρυγγίζων τοὺς λύκους· καὶ ὁ κυνηγέτης οὐχ ἥκιστα ᾠδὴ γίνεται, ταῖς κατανομαῖς εἰρήνην ποιῶν, καὶ εὐωχῶν ἡμᾶς πανδεσίᾳ κρεῶν. ἥ, τε διδυμοτόκος οἶς, οὐκ ἀπαξιοῦται τῆς λύρας, ὅτι πλείω τῶν ἐτῶν ἐκτρέφει τὰ ἔγγονα· τὴν δὲ κράδην θαμὰ καὶ τὴν ἄμπελον ἐντείναντες ψάλλομεν. οὐδὲν δὲ ὅσον εὐχαί τινες, ἔτι τε ᾆσμα, καὶ αἰτήσεις ἀγαθῶν ἀνθρώποις, καὶ φυτοῖς, καὶ βιοτοῖς. ταῦτά σοι καὶ τὰ τοιαῦτα παρ᾽ ἡμῖν ὥρια καὶ ἀρχαῖα καὶ πενήτων ἀγαθά. βασιλεὺς δὲ καὶ βασιλέως φίλοι, καὶ δαίμονος ὄρχησις, οἷα δὴ συνιόντες ἀκούομεν, ὀνόματά τινα καθάπερ αἱ φλόγες ἐπὶ μέγα τῆς δόξης ἐξαπτόμενα καὶ σβεννύμενα. ταῦτα δεῦρο ἐπιεικῶς σιγᾶται, καὶ σχολὴ ταῖς ἀκοαῖς τοιούτων ἀκροαμάτων· ἐπεὶ καὶ βασιλεὺς, ὅτι μὲν ζῇ τις ἀεὶ, τοῦτ᾽ ἴσως ἐπίστανται σαφῶς· ὑπομιμνησκόμεθα γὰρ ἄπαν κατ᾽ ἔτος ὑπὸ τῶν ἐκλεγόντων τοὺς φόρους. ὅστις δὲ οὗτος ἐστιν, οὐ μάλα ἔτι τοῦτο σαφῶς. ἀλλ᾽ εἰσί τινες ἐν ἡμῖν, οἳ μέχρι καὶ νῦν Ἀγαμέμνονα κρατεῖν ἡγοῦνται τὸν Ἀτρείδην,

Αγχιμα-

A nullæ ad oleum trutinæ cuduntur; si hoc tamẽ omninò faciendum est, naturæ consentaneum esse dicimus, vt in eo genere quod ponderosius est, preferatur. Et certè egregium illud oleum, ac venale in ellychniis præ infirmitate alere flammam nequit: quod apud nos nascitur, quâ est generositate, rogum excitauerit, ac dum lucerna opus est, manufactam quodammodo diem infert. Ad hæc pinguefaciendæ mazæ aptum est, aptum item iis qui corpus exercent, ad neruos fouendos. Sed & musica ipsa apud nos, vt si quid aliud, tralatitia est: éstque Anchemachetis pa- B storalis quædam exigua lyra, rudis, & incondita, sed felicis concentus, & cumprimis virilis, quæ non immeritò instituendis in Platonis Republica liberis accommodetur: propterea quòd modulationis inflectionem non recipit, nec ad omne genus est vocis temperata. Cui quidem fidium simplicitati ij qui accinunt accommodant sese. Non enim fracta ac mollia argumenta tractant: sed præclara nobis cantionis species est masculi arietis præconium, aut cauda mutilatus canis laude sua afficitur, quod opinor meritò id ei tribuatur, qui nec hyęnas formidet, & lupos C strangulet; ac præsertim venator eo carmine celebratur, pascuis securitatem pacémque concilians, nobisq; carnium generis omnis opiparum conuiuium prębẽs. Nec gemellipara ouis à lyra reijcitur, quòd numerosiorẽ annis fœtum enutriat. Sæpe etiam ficum, aut vitem in numeros versúsque coniectam canimus: sed nihil tam frequẽs, quàm vota quædam, necnon & canticum, & bonorum postulationes, quæ cùm hominum sint, tum stirpium pecudúmque propria. Hæc & talia sunt apud nos tempestiua simul & antiqua, & pauperum bona. Cæterùm Imperator, & Imperatoris amici, atq; omnis illa for- D tis, casúsque veluti saltatio, (cuiusmodi in quotidiana consuetudine nomina quædã audimus, flammarum instar ad summum glorię excitata fastigium, vicissimq; restincta) de his, inquam, omnibus altum apud nos silentium, & ab eo genere acroamatum aures nostræ feriantur. quandoquidem Imperatorem semper aliquem viuere, probè hoc fortassis norunt: reuocatur enim nobis in memoriã annis singulis ab tributorum exactoribus: quisnam autem ille sit, non æquè istud accuratè sciũt. Nec desunt inter nos, qui hodiéq; Agamemnonem imperare putent, Atrei filium,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

eum qui ad Troiam profectus est, egregium illum, atque optimum Principem, hoc enim tanquam regium nomen à pueris nobis traditum est. Huius amicum Vlyssem quendam nominant optimi bubulci, caluum hominem, sed rerum agendarum, ac difficillimorum quorúmque expediendorum peritum. Certè enim rident, cùm de ipso narrant, anno superiore excœcatum Cyclopem putantes, & quemadmodum sub ariete senex trahebatur, ad ianuam scelestus obseruabat, qui Ducem gregis arbitrabatur, non onere prægrauatum, sed ipsius calamitati condolentem, agmen claudere. Paululum animo nobiscum epistolæ beneficio fuisti, agrum contemplatus es; viuendi agendíque simplicitatem vidisti. Tale vitæ genus esse dixeris, quale sub Noë extitit, antequam iustitia in seruitute esset.

τὸν ἐπὶ Τροίαν, τὸν μάλα καλόν τε καὶ ἀγαθόν. τοῦτο γὰρ παιδόθεν ἡμῖν ὡς βασιλικὸν παραδέδοται γνώρισμα. καὶ Ὀδυσσέα τινὰ φίλον αὐτοῦ ὀνομάζουσιν οἱ χρηστοὶ βουκόλοι, φαλακρὸν μὲν ἄνθρωπον, ἀλλὰ δεινὸν ὁμιλῆσαι πράγμασι, καὶ πόρον ἐν ἀμηχάνοις εὑρεῖν. ἀμέλει γελῶσιν, ὅταν περὶ αὐτοῦ λέγωσιν, ἡγούμενοι πέρυσιν ἐκτετυφλῶσθαι τὸν Κύκλωπα. καὶ ὡς εἵλκετο μὲν ὑπὸ τοῦ κριοῦ ὁ γερόντιον· ὁ δὲ κάθαρμα τὴν θύραν ἐτήρει, καὶ οὐραγεῖν ᾤετο τὸν ἡγεμόνα τῆς ποίμνης, οὐκ ἀχθόμενον τῷ φορτίῳ, τῇ δὲ αὐτοῦ συμφορᾷ συναχθόμενον. ἐγένου βραχύ τι διὰ τῆς ἐπιστολῆς μεθ' ἡμῶν τῇ γνώμῃ· τεθέασαι τὸν ἀγρόν· εἶδες ἁπλόην πολιτευμάτων· τὸν ἐπὶ Νῶε βίον ἐρεῖς, πρὶν γενέσθαι τὴν δίκην ἐν δουλείᾳ.

Eidem. 148.

Nobis etiam absens semper in memoria versaris. Neque enim vt maximè velimus, suauissimum animum tuum moresq; syncerissimos obliuisci possumus, frater in omnibus admirande. Quandoquidem nihil nobis esse potest tui recordatione sanctius, nisi fortè iterum venerabile tuum caput amplecti: quod vtinam aliquando tandem Deus concedat, vt & te videamus, & suauissimam sermonis tui vocem audiamus. Cæterùm iis quæ misisti, magnam nobis voluptatem attulisti, accepimus enim omnia: sed plus tamen mœroris ea cogitatione dedisti, cuiusmodi nos amico viuo ac spirante priuaremur. vtinam tandem illud tempus adueniat, quo mutua consutudine fruamur: vtinam tanta mihi diuino beneficio felicitas contingat.

Τῷ αὐτῷ.

Ἡμῖν ἀεὶ καὶ ἀπὼν ἐπιδημεῖς τῇ μνήμῃ. καὶ γὰρ οὐδ' ἂν εἰ πάνυ βουληθείημεν, ἐπιλαθέσθαι δυναίμεθα τῆς γλυκυτάτης σου ψυχῆς, καὶ τῶν ἀδολωτάτων ἠθῶν, ἀδελφὲ διὰ πάντα θαυμάσιε· ὡς οὐδὲν ἂν ἐν ἡμῖν γένοιτο τῆς περὶ σε μνήμης ἱερώτερον, εἰ μὴ τὸ πάλιν περιπτύξασθαι τὴν σεβασμίαν σου κεφαλήν· ὃ δοίη ποτὲ Θεός, καὶ ἴδοιμεν σε, καὶ ἀκουσαίμεθά σου τῆς ἡδίστης τῶν λόγων ἠχοῦς· ἧσας δὲ ἡμᾶς καὶ οἷς ἀπέστειλας, ἅπαντα γὰρ ἐκομισάμεθα· πλέον δ' ἠνίασας ἡμᾶς τῷ λογισμῷ, τῷ, ποίου τινὸς ἑταίρου ζῶντος ζῶντες στερούμεθα. ἔλθοι δή ποτε καὶ συντυχίας καιρός, καὶ εὐτυχήσαιμι τοῦτο παρὰ Θεοῦ.

Pylæmeni. 149.

Neque tuam Heracleam puto de Alexandro celatam esse, qui apud nos philosophatus est, viro vtique qui vbique magna est cum gloria atque existimatione versatus:

Mutus homo est, qui non Alcidæ admouerit ora. *vel surdus.*

Huius filius, consobrinus meus, has tibi literas dabit, qui ad Patris imitationem non habitu ipso, sed animo sese contulit. Igitur ad nequissimos homines vadit, vt Herculis more patriam ab iis repurget.

Πυλαιμένει.

Οὐδὲ τὴν σὴν Ἡράκλειαν ἀνήκοον οἶμαι γεγονέναι τοῦ παρ' ἡμῖν φιλοσοφήσαντος Ἀλεξάνδρου, ἀνδρὸς ἁπανταχοῦ διαβαίνοντος μετὰ δόξης·

Κωφὸς ἀνήρ, ὃς Ἡρακλεῖ στόμα μὴ ʺ περιβάλῃ. γρ. παραβάλλῃ

Τούτου παῖς, ἐμὸς ἀνεψιός, ἐπιδώσει σοὶ τὴν ἐπιστολήν, τὸν πατρῷον ζῆλον ὑπεισελθών, οὐ διὰ τῆς στολῆς, ἀλλὰ διὰ τῆς γνώμης. στέλλεται οὖν ἐπὶ πονηροὺς ἄνδρας, τὸν Ἡράκλειον τρόπον ἐκκαθαίρων αὐτοῖς τὴν πατρίδα.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Θεοῦ δὲ ἔδει δήπου καὶ Ἡρακλέους· οὐ μὴν A ἀλλὰ καὶ Ἰόλεω συμμάχου καὶ παραστάτου. ἐκεῖνον τὸν μὲν Θεὸν ἑαυτοῦ ποιεῖται τὸν ἐνόντα τρόπον, καὶ προσηκούσῃ βίου τε ἀρετῇ καὶ γνώμης εὐσεβείᾳ· τὴν δὲ σὴν φιλίαν, ἀντὶ τῆς Ἰόλεω μνηστευόμεθα ἡμεῖς αὐτῷ διὰ τῆς ἐπιστολῆς, συνέσῃ δὲ τοσαῦτα αὐτῷ, ὅσα ἡμῖν. κἂν χρήσῃ τῇ φιλίᾳ τοῦ νεανίσκου, πάντως ἐρεῖς οὐ φαῦλον ἐπαινέτην ἐμέ.

Deo autem vtique & Hercule opus fuit, sed & Iolao socio, atque adiutore. Itaque Deum quidem ille sibi omni ope cùm vitæ integritate, tum animi pietate propitiabit ac flectet. Tuam verò illi pro Iolai amicitia per literas conciliamus. Tantùm porrò illius consuetudini, quantùm nostræ tribues. Quòd si adolescentis familiaritate vsus fueris, omninò me non malum laudatorem fuisse dices.

Τῷ αὐτῷ.

Eidem. 150.

μένεις. Ἀρά μοι μενεῖς φιλόσοφος; ἆρα ἐκεῖνος ὃν ἀπολέλοιπα, Πυλαιμένης, ἡ νεοτελὴς ψυχή, τὸ σπέρμα τὸ θεῖον; φοβοῦμαι τὸν χρόνον τὸν ἀπὸ γενέσεως· πλεῖον φοβοῦμαι τὴν
ἰκαλιν. ὁμιλίαν τῆς ἀγορᾶς, τὸ ἐγκαλινδεῖσθαι συχναῖς ἤδη τύχαις καὶ πράξεσι, μὴ μολύνῃ τὸν ἁγιώτατον νεών, τὸν νοῦν σου τὸν ἱερόν, ὃν
ήγημαι. ἐγὼ μετ' ὀλίγων ἀξιώτατον ἡγοῦμαι δοχέα Θεοῦ. καὶ οἶδα μέν τι συνοργιάσαι σοὶ τὰ φιλοσοφίας εὐχήν ποτε ποιησάμενος. ἐπεὶ δ' οὖν κρείττων ὁ τῆς πατρίδος ἔρως ἐγένετο, C ηὐξάμην ὅπου ποτὲ γῆς εἴη, φιλοσοφίαν ἐργάζεσθαί σε κατὰ δύναμιν. τοιγαροῦν ἀσπάζομαι τὴν φίλην κεφαλήν, καὶ πάνυ πολλάκις ἀσπάζομαι τὴν φίλην κεφαλήν, καὶ σιγῶν, καὶ λέγων, καὶ γράφων, καὶ μὴ γράφων.

B Num tu mihi Philosophus perseuerabis? Num ille quem reliqui Pylæmenes, recens absolutus animus, diuinúmque semen? Tempus illud vereor, quod ab ortu intercessit: multóque magis consuetudinem fori vereor, ne multiplicum casuum, atque negotiorum tractatio sanctissimum templum inquinet, sacram mentem tuam intelligo, quam ego in paucis dignissimum Dei conceptaculum esse arbitror. Memini me quidem olim in votis habuisse, vnâ tecum philosophiæ sacra celebrare: sed quoniam plus apud te patriæ caritas potuit, hoc precatus sum, vt quacumque terræ in parte degeres, pro virili in philosophiam incumberes. Quamobrem sacrum tuum caput saluto, iterúmque ac sæpius amicum caput saluto, siue tacens, siue loquens, siue scribens, siue nihil scribens.

Τῷ αὐτῷ.

Eidem. 151.

Οἴου με περιπτύσσεσθαι Πυλαιμένην, αὐτὴν τὴν ψυχήν, αὐτῇ τῇ ψυχῇ. ἀπορῶ λόγων οἷς ἐκχέοιτο ὅσον ἐστὶ τῆς γνώμης μου τὸ D βουλόμενον· μᾶλλον δὲ οὐδὲ αὐτό μου τὸ πάθος, ὅ, τι ποτέ ἐστι τὸ περί σέ μου τῆς ψυχῆς ἐξευρίσκω. ἐγένετο δέ τις ἀνὴρ δεινὸς τὰ ἐρωτικά, Πλάτων ὁ Ἀρίστωνος Ἀθηναῖος, εὔπορος εὑρεῖν, εὔκολος εἰπεῖν ἐραστοῦ φύσιν, καὶ δὴ καὶ ὅ, τι αὐτῷ γενέσθαι περὶ τὰ παιδικὰ βούλεται· καὶ ὑπὲρ ἐμοῦ τοίνυν ἐξευρηκώς τε ἔστω, καὶ εἰρηκώς. βούλοιτ' ἂν οὖν, φησί, Ἡφαίστου τέχνῃ συντακῆναί τε καὶ συμφυῆναι, καὶ ἓν ἄμφω γενέσθαι.

Pylæmenem me puta, ipsum animum animo ipso complecti. Desunt mihi verba, quibus quanta est voluntatis animi mei vis effundatur: vel potiùs ne ipse quidem affectus cuiusmodi erga te in animo meo insit, inuenio. Sed homo quidam extitit amatoriarum rerum peritus, Plato Aristonis filius Atheniensis in amatoris natura, eóque quod circa delitias suas sibi accidere vellet inueniendo solers, in explicando disertus ac facilis. Quare is pro me istud & inueniat & dicat. Vellet igitur, ait ille, Vulcani quadam arte colliquari, & coalescere, vnúmque ex ambobus effici.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A

Eidem. 152

Tuæ ad nos literæ quotannis afferuntur, quasi is sit etiam tempestatum prouentus. Ac est ille quidem mihi fructus fortasse iucundior, quàm qui mensium vicissitudine, & agricolarum labore profertur. Tu verò iniquè facis, qui earum nobis voluptatem subtrahas. Verùm fac sententiam mutes, nobisque hoc saltem anno literarum vbertatem præbeas.

Τῷ αὐτῷ.

Δι' ἔτους ἡμῖν ἀφικεῖται τὰ παρὰ σοῦ γράμματα, ὥσπερ τῶν ὡρῶν καὶ τοῦτο φερουσῶν. ἐμοὶ μὲν οὖν ἴσως καρπὸς ἡδίων ἐστὶ, ὧν ὃν ἐκτρέφουσι μηνῶν κύκλοι, καὶ γεωργοί. σὺ δὲ οὐκ ἂν εἰκότα ποιῇς, τῆς ἐπὶ τούτοις ἡμᾶς εὐφροσύνης ἀποστερῶν. ἀλλὰ μετάθου τὴν γνώμην, καὶ ποίησον ἡμῖν τὸ γοῦν τῆτες εὐετηρίαν ἐπιστολῶν.

B

Philosophiæ Magistræ. 153.

Duos hoc anno libros edidi: alterum à Deo, alterum conuitiis hominum, impulsus. Etenim nonnulli candidum, pullum alij amictum præferentium, peccare me in Philosophiam iactabant, quòd in verbis venustatem, numerúmq; consectarer, quòd de Homero, propriisq; oratorij artificij figuris mentionem vllam facerem: quasi philosophum literarum osorem esse oporteat, soláque diuinarum rerum inuestigatione distentum. Et illi quidem eius quod intelligentia comprehenditur speculatores sunt: mihi autem nefas est, propterea quòd otij aliquam è vita partem eximo ad linguam procudendam, mentémque aliqua hilaritate recreandam. Ideò autem adducti sunt, vt me ad ludicra dumtaxat idoneum esse dicerent, quòd cùm Cynegetica mea nescio quomodo meis ex ædibus erupissent, magnum imprimis in quibusdam adolescentibus excitarunt studium sui, qui Græcam facundiam & leporem adamarent; nonnulláque à poëtica cum studio profecta, & antiquæ manus aliquid præ se ferentia probarent, quod de statuis dicere solemus. Sed inter illos alij inscitia audaciæ præeunte, omnium sunt ad sermones de Deo instituendos promptissimi; in quos si incidas, quædam statim de perperam collectis ratiocinationibus audies: ac vel aliud agentibus istiusmodi sermones infundunt, quod priuatim suâ, vt opinor, interest. Ex iis enim concionatores in ciuitatibus fiunt: quod idem est, ac si Amaltheæ cornu dixeris, quo quidem vtendum esse illi putant. Agnoscis, opinor, facilem ac procliuem hominum nationem, quæ generosum animi propositum criminatur.

Τῇ φιλοσόφῳ.

Τῆτες ἐξήνεγκα δύο βιβλία, τὸ μὲν, ὑπὸ τοῦ Θεοῦ κινηθείς· τὸ δὲ, ὑπὸ λοιδορείας ἀνθρώπων. καὶ γὰρ τῶν ἐν λευκοῖς ἔνιοι τρίβωσι, καὶ τῶν ἐν φαιοῖς, ἔφασάν με παρανομεῖν εἰς φιλοσοφίαν, ἐπαΐοντα κάλλους ἐν λέξεσι, καὶ ῥυθμοῦ, καὶ περὶ Ὁμήρου τι λέγειν ἀξιοῦντα, καὶ τῶν ἐν ταῖς ῥητορείαις σχημάτων· ὡς δὴ τὸν φιλόσοφον μισολόγον εἶναι προσήκειν, καὶ μόνα περιεργάζεσθαι τὰ δαιμόνια πράγματα. χ.σ. καὶ αὐτοὶ

C μὲν θεωροὶ τοῦ νοητοῦ γεγονότες· ἐμὲ δὲ οὐ θέμις, διότι νέμω τινὰ σχολὴν ἐκ τοῦ βίου, τοῦ καὶ τὴν γλῶτταν καθήρασθαι, καὶ τὴν γνώμην ἡδίω γλυέσθαι. ἐνῆγε δὲ αὐτοὺς εἰς τὸ καταδικάσαι μου πρὸς μόνην παιδιὰν ἐπιτήδειον εἶναι, τὸ τὰς Κυνηγετικὰς ἐκ τῆς οἰκίας οὐκ οἶδ' ὅπως διαῤῥυείσας, σπουδασθῆναι διαφερόντως ὑπὸ νεανίσκων ἐνίων, οἷς ἑλληνισμοῦ τε καὶ χάριτος ἔμελλε· καὶ τινα τῶν ἐκ ποιητικῆς ἐπιμελῶς ἔχοντα, καὶ παραδεδηκυιῶτά τι τῆς ἀρχαίας χειρὸς, ὅπερ ἐπὶ τῶν ἀνδριάντων λέγειν εἰώθαμεν. ἀλλ'

D ἐκείνων οἱ μὲν, ἀμαθίας ἡγουμένης τοῦ θράσους, προχειρότατοι πάντων εἰσὶ περὶ τοῦ Θεοῦ διαλέγεσθαι· οἷς ἂν ἐντύχῃς, εὐθὺς ἀκούσῃ τινὰ περὶ τῶν ἀσυλλογίστων συλλογισμῶν· καὶ μὴ δεομένων ἐπαντλοῦσι τῶν λόγων, ἴδια τι δοκῶ μοι διαφέρειν αὐτοῖς. ἀπὸ γὰρ τούτων ἐν ταῖς πόλεσιν οἱ δημοδιδάσκαλοι γίνονται, " ὃ ταυτόν ἐστι καὶ τὸ κέρας τῆς Ἀμαλθείας, ᾧ οὗτοί γε δεῖν οἴονται χρῆσθαι. κ.φ. ἐπιγινώσκεις, οἶμαι, τὸ φῦλον τοῦτο τὸ ῥᾴδιον, ὃ διαβάλλει γενναίαν ὑπόθεσιν.

E

A οὗτοί με μαθητὴν ἑαυτοῖς ἀξιοῦσι, καὶ φασὶν ἀποφαίνειν ἐντὸς ὀλίγου τὰ περὶ Θεοῦ πάντολμότατον, ἡμέρας ἑξῆς καὶ νύκτας ἀγορεύειν δυνάμενον. ἅτεροι δὲ οἱ κάλλιον ἠσθημένοι, παραπολὺ τούτων εἰσὶ κακοδαιμονέστεροι σοφισταί. καὶ βούλοιντο μὲν ἂν ἐπὶ τοῖς αὐτοῖς εὐδοκιμεῖν· ἀλλ' εὐτυχοῦσι τὸ μηδὲ τοῦτο δύνασθαι. καὶ οἶσθα τινὰς ἐν λογιστηρίοις ἀποδυθέντας, ἢ πάντως ἀπὸ μιᾶς γέ του συμφορᾶς ἀναπειθέντας ἐν μεσημβρίᾳ τοῦ βίου φιλοσοφεῖν, ἀπὸ μόνου τοῦ τοὺς Θεοὺς ἀπομόσαι καὶ κατομόσαι
B πλατωνικῶς· οἷς φθάσειεν ἂν ἡ σκιὰ φθεγξαμένη τι τῶν δεόντων. δεινὴ δὲ ὅμως ἡ προσποίησις. ἥ τε γὰρ ὀφρῦς, βαβαὶ τῆς ἀνατάσεως! εἰς ὅσον ἦρται· καὶ ἡ χεὶρ ὑπερείδει τὸ γένειον· τά τε ἄλλα σεμνοπροσωποῦσιν ὑπὲρ τὰς Ξενοκράτους εἰκόνας, οἵ γε καὶ νομοθετεῖν ἡμῖν ἀξιοῦσιν ἅττα σφίσι λυσιτελέσαντα, μηδένα μηδὲν ἀγαθὸν εἰδότα φανερὸν εἶναι· ἡγούμενοι σφῶν αὐτῶν ἔλεγχον, εἴ τις φιλόσοφος εἶναι δοκῶν, ἐπιστήσεται φθέγγεσθαι· αὐτοὶ γὰρ
C ἂν ὑπὸ τῇ προσποιήσει λανθάνειν, καὶ δόξαι τἄνδον εἶναι σοφίας ἀνάπλεω. ἄμφω με τούτω τὼ γένη διαβεβλήκατον, ὡς ἐπὶ τοῖς οὐδενὸς ἀξίοις ἐσπουδακότα· τὸ μὲν, ὅτι μὴ ταυτὰ φλυαρῶ· τὸ δὲ, ὅτι μὴ τὸ στόμα συγκλείσας ἔχω, καὶ τὸν βοῦν τὸν ἐκείνων ἐπὶ τῆς γλώττης τίθεμαι. ἐπὶ τούτοις συνετέθη τὸ σύγγραμμα, καὶ ἀπήντησε τῶν μὲν τῇ φωνῇ, τῶν δὲ τῇ σιγῇ. προῆκται μὲν γὰρ ὡς ἐπὶ τούτοις αὐτοῖς τοῖς ἀφώνοις τε καὶ βασκάνοις· πῶς οἴει μετ' εὐπρεπείας τοῦ σχήματος; οὐ μὴν ἀλλ'
D ἐξεῦρεν, ὡς ἂν κἀκείνους συνεφελκύσαιτο· καὶ βούλεται μὲν πολυμαθείας οὐχ ἧττον ἐπίδειξις, ἢ ἐγκώμιον εἶναι. οὐ γὰρ ἐξωμοσάμην τὰς αἰτίας· ἀλλ' ἵν' ἔτι μᾶλλον δάκνοιντο, συχνὰ καὶ πεφιλοτίμημαι. περιϊὸν δὲ βίων αἱρέσεις ἐξετάζειν, ἐπαινεῖ τὴν φιλοσοφίαν, ὡς φιλοσοφωτάτην αἱρέσεων, ἣν ποίαν τινὰ νομίζειν εἶναι χρὴ, τοῦ βιβλίου πυθάνου. τελευτῶν δὲ, καὶ ὑπὲρ τῶν κιβωτίων ἀπολελόγηται, χρόνων τινὰ καὶ τούτων αἰτίαν, ἀδιόρθωτα κρύπτειν βιβλία. οὐ γὰρ οὐδὲ

Hi me in suam venire disciplinam postulant, breuíque repromittunt me in diuinis rebus audacissimum suâ operâ futurum, vt noctes deinceps cum diebus disputando possim coniungere. Alij qui meliùs sentiunt, longè sunt his infeliciores sophistæ. Nam vellent ij quidem eadem facultate florere, sed in eo felices sunt, quòd ne id quidem assequantur. Nosti aliquos, qui in Aulis rationariis spoliati, aut ex alia omninò calamitate compulsi sunt, vt in vitæ quasi meridie philosopharentur, hoc ipso tantùm quòd Platonico more iurando Deos, negarent aliquid aut assererent, vt vmbra prius vtile atque opportunum aliquid dictura videatur. Mira nihilominus simulatio est. Nam supercilium, papæ! quantoperè sublatum. Manus ipsa barbam suffulcit: in cæteris Xenocratis imagines grauitate vultus superant. Qui quidem etiam ea nobis iura præscribere contendunt, quæ ipsis vtilissima sint, ne quis, qui boni aliquid sciat, palàm illud habeat; vt sui ipsorum reprehensionem esse rati, si quisquam qui philosophus esse videatur, eloquendi sit non ignarus. Ita enim sub ea simulatione delitescere posse se putant, vt intus pleni esse sapientiæ credantur. Ambo me hominum genera calumniantur, quasi inutilium rerum studiis occupatum: Illud quidem, quòd non eadem effutiam: hoc autem, quòd ore clauso non sim, neque bouem istum linguæ imposuerim. Aduersùs istos opus illud elucubratum est, & illorum quidem voci, horum verò silentio sese opposuit. Nam etsi præcipuè contra mutos illos & inuidos progrediatur, (atque hoc ipsum quàm apta putas ac venusta figuratione?) nihilominus & illud inuenit quemadmodum alios vnà quoque traheret. Nec eruditionis minus specimen, quâm præconium esse contendit. Neque enim obiectum crimen eiuraui; sed quò amplius morderentur, pleraque ambitiosiùs magnóque cum studio tractaui. Progressu tandem ipso in vitæ status inquirens, philosophiam commendat, tanquam statuum omnium conditionúmque vitæ sapientissimam, quam cuiusmodi esse oportere putandum sit, ex opere ipso disce. Demum scriniorum nostrorum purgationem continet, quibus & ipsis non nihil erat criminationis aspersum, quòd inemendatos libros haberent. Nam ne

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ab iis quidem furiosi ac liuidi homines abstinuerunt. Iam si singula congruo ordine digesta, & omnia cum specie ac decore quodam explicata, atque opportuni ad eas, quæ vbique promuntur, disputationes transitus: si cum pluribus capitibus distinguatur, ad diuini operis imitationem, Phædri scilicet, quem de omnibus simul generibus pulchri edidit Plato; ad vnum tamen omnia propositum scopúmque collimant: sicubi supina ac iacens narratio idonea probatione suffulta est; & ex probatione, quatenus in eiusmodi esse potest, orta demonstratio est, & id quod causâ alterius assumitur: hæc omnia munus artis, & naturæ fuerint. Sed quisquis ad diuinam aliquam faciem, quæ sub viliori forma lateat, dignoscendam minimè rudis est, & inexercitatus, (quemadmodum Athenis artifices factitabant, qui Venerem, aut Gratias, cæteràsque id genus Numinum pulchritudines, Silenorum, ac Satyrorum simulachris vestiebant:) facilè is deprehendet illo in opere innumera dogmata ex sacris arcanísque declarari, quæ quòd superuacuorum atq; inutilium speciem habeant, quódque temerè, atque vt videtur, simpliciter orationi inspersa sint, cæteros facillimè lateant. Quemadmodum enim quæ à luna oriuntur refrigerationes, ab iis duntaxat, qui Comitiali morbo laborant sentiuntur: sic notionum mentis illustrationes soli illi capiunt, quibus sanum mentis oculum ac defæcatum habentibus cognatum Deus lumen accendit, quæ & intelligentia præditis, intelligendi; & iis quæ intelliguntur, causa est vt intelligantur. velut nostrum illud aspectabile lumen oculum cum colore coniungit, quo præsente, si lumen sustuleris, otiosa illius videndi facultas & fine actione manet. De iis omnibus tuum arbitrium expectabimus. Ac si quidem proferendum opus istud esse decreueris, oratoribus iuxta atque philosophis proponetur. His enim voluptatem, vtilitatem illis afferet; omninò, nisi à te, quæ iudicare potes, reiectum, atque inductum fuerit. Sin tibi Græcorum auribus indignum videatur, & cum Aristotele, amico veritatem antiquiorem habeas, alta densáque caligine obuoluetur, nec vlla inter homines de eo fiet mentio. Sed de eo hactenus. Alterum opus Dei mandato scriptũ, & ab eodem examinatũ,

A τῶν τοιούτων οἱ Τελχῖνες ἀπέσχοιντο. εἰ δὲ ἕκαστον ἐν τάξει τῇ προσηκούσῃ, καὶ πάντα σὺν ὥρᾳ, καὶ ἀφορμαὶ δίκαιαι τῶν ἑκασταχοῦ παρεγκεκλεισμένων· καὶ εἰ μερίζεται μὲν πλείοσι κεφαλαίοις κατὰ τὸ θεσπέσιον γράμμα, τὸν Φαῖδρον, ὃν περὶ πάντων ὁμοῦ τῶν εἰδῶν τοῦ καλοῦ Πλάτων ἐξήνεγκε, μεμηχάνηται δὲ ἅπαντα συννεύειν εἰς ἓν τὸ προκείμενον· καὶ εἴπου γέγονε πίστις ὑφέρπουσα τὸ ὑπτιάζον διήγημα, καὶ εἰ παρῆλθεν, ὡς
B ἐν τοιούτοις, ἀπόδειξις ἐκ τῆς πίστεως· καὶ εἰ τὸ δι᾽ ἄλλο γινόμενον· ταῦτα μὲν τέχνης ἂν εἴη δῶρα καὶ φύσεως. ὅστις δὲ οὐκ ἀγύμναστος ἐπιφωράσαι τι καὶ πρόσωπον θεῖον ὑπὸ φαυλοτέρῳ κρυπτόμενον σχήματι· ὥσπερ ἐποίουν Ἀθήνησιν οἱ δημιουργοὶ, Ἀφροδίτην καὶ Χάριτας καὶ τοιαῦτα κάλλη θεῶν ἀγάλμασι Σειληνῶν καὶ Σατύρων ἀμπίσχοντες· τοῦτον οὐ λήσεται τὸ γράμμα, συχνὰ καὶ τῶν ἀβεβήλων ἀποκαλύψαν δογμάτων, ὑπὸ τῇ
C προσποιήσει τοῦ παρέλκειν ἑτέροις λανθάνοντα, καὶ τῷ λίαν εἰκῇ, καὶ ὡς ἂν δόξειεν ἀφελῶς ἐγκατεσπάρθαι τῷ λόγῳ. τῶν μὲν γὰρ ἐκ τῆς σεληνιακῆς αἰτίας ἀποψύξεων, οἱ νοσοῦντες ἐπιληψίαν, αἰσθάνονται μόνοι· τῶν δὲ κατὰ νοῦν ἐπιβολῶν μόνοι δέχονται τὰς ἐκλάμψεις, οἷς ὑγιαίνουσι τὸ νοερὸν ὄμμα, φῶς ἀνάπτει συγγενὲς ὁ Θεὸς, ὃ τοῖς τε νοεροῖς τοῦ νοεῖν, καὶ τοῖς νοητοῖς αἴτιον τοῦ νοεῖσθαι· καθάπερ τὸ τῇδε φῶς ὄψιν συνάπτει τῷ χρώματι, κἂν ἀφέλῃς, παρόντος, ἡ πρὸς αὐτὸ
D δύναμις ἀνενέργητος. ὑπὲρ δὴ τούτων ἁπάντων σε κρίνουσαν περιμενοῦμεν. κἂν μὲν ψηφίσῃ προσοιστέον εἶναι, ῥήτορσιν ἅμα καὶ φιλοσόφοις ἐκκείσεται· τοὺς μὲν γὰρ ἥσει, τοὺς δὲ ὀνήσει· πάντως γε, εἰ μὴ παρά σου τῆς δυναμένης κρίνειν διαγεγράψεται. εἰ δὲ μὴ φανεῖταί σοι τῆς τῶν Ἑλλήνων ἀκοῆς ἄξιον, καὶ σὺ δὲ δήπου μετ᾽ Ἀριστοτέλους περὶ τοῦ φίλου τὴν ἀλήθειαν θήσῃ, πυκνὸν καὶ βαθὺ σκότος ἐπηλυγάσεται, καὶ λήσεται τοὺς ἀνθρώπους λεγόμενον. ταῦτα μὲν περὶ τούτου. θάτερον δὲ ὁ Θεὸς, καὶ ἐπέτα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀνέκρ.

ξις ὃ ἀνέκρινεν, ὃ τῇ φανταστικῇ φύσει χαριστήριον ἀνατέθειται. ἐσκέπται δὲ ἐν αὐτῷ περὶ τῆς εἰδωλικῆς ἁπάσης ψυχῆς, καὶ ἕτερα ἄττα προκεχείρισται δόγματα τῶν οὔπω φιλοσοφηθέντων Ἕλλησι. καὶ τί ἄν τις ἀπομηκύνοι περὶ αὐτοῦ; ἀλλ' ἐξείργασται μὲν ἐπὶ μιᾶς ἁπάσης νυκτός, μᾶλλον δὲ λειψάνου νυκτός, ἣ καὶ τὴν ὄψιν ἤνεγκε τὴν περὶ τοῦ δεῖν αὐτὸ συγγεγράφθαι. ἔστι δὲ οὗ τῶν λόγων, δίς που καὶ τρίς, ὥσπερ τις ἕτερος ὤν, ἐμαυτοῦ γέγονα μετὰ τῶν παρόντων ἀκροατής· καὶ νῦν ὁσάκις ἂν ἐπίω τὸ σύγγραμμα, θαυμαστή τις περὶ ἐμὲ διάθεσις γίνεται, καί τις ὀμφή με θεία περιχεῖται κατὰ τὴν ποίησιν. εἰ δὲ μὴ μόνον τὸ πάθος ἐμοῦ, καὶ περὶ ἕτερον δ' ἂν ταῦτα γένοιτο, σὺ καὶ τοῦτο μηνύσεις· σὺ γὰρ δὴ μετ' ἐμὲ πρώτη τῶν Ἑλλήνων ἐντεύξῃ. ταῦτα τῶν τέως ἀνεκδότων ἀπέσταλκα· καὶ ἵνα τέλειος ἀριθμὸς ᾖ, προσέθηκα τὸν περὶ τοῦ Δώρου, πάλαι γενόμενον ἐν τῷ καιρῷ τῆς πρεσβείας πρὸς ἄνδρα παρὰ βασιλεῖ παραδυναστεύοντα· καί τι τοῦ λόγου τε καὶ τοῦ δώρου Πεντάπολις ὤνατο.

ac perpensum est, quod imaginandi vi tanquam grati animi munus est consecratum. Instituta verò in eo disputatio est de anima simulachris affixa, aliáque nonnulla dogmata promuntur, de quibus à nullo hactenus Græcorum est disputatum. De quo quid attinet plura dicere? Vniuersum verò illud opus vnâ nocte elaboratum est, seu noctis potiùs reliqua parte, per quam & de eo conscribendo oblata mihi visio est. Quinetiam in quibusdam orationis partibus bis fermè vel ter, tanquam alius forem, mei ipsius cum iis qui aderant factus sum auditor. Et nunc quoties opus percurro, miro quodam modo afficior, & vox me quædam, iuxtâ Poëtas, diuina circumsonat. Vtrum verò non ita ego solus afficiar, sed idem etiam aliis contingat, mihi & illud significabis: Tu enim post me prima omnium ex Græcis leges. Hæc nondum edita hactenus ad te misi, atque vt perfectus sit numerus adieci librum illum de Dono, quem olim legationis tempore ad virum scripseram, qui tum plurimum apud Imperatorem poterat. Estque Pentapolis nonnihil ex eo libro donóque vtilitatis consecuta.

Δομετιανῷ σχολαστικῷ.

Πάνυ σαφῶς δι' αὐτῶν καταμεμαθηκὼς τῶν ἔργων, τὴν σὴν θαυμασίαν κεφαλὴν χαίρουσάν τε φιλανθρωπίᾳ, καὶ τοῖς δεομένοις χεῖρα βουλομένην ὀρέγειν· ἐπ' αὐτὸ δὴ τοῦτο παρακαλῶ, ἵππον εἰς πεδίον, τοῦτο δὴ τὸ τοῦ λόγου, προτρέπειν ἡγούμενος. καί σοι πλέον ἢ πρότερον, ὦ φίλη κεφαλή, νῦν τὴν φιλανθρωπίαν ἐπιδεικτέον, ὅσῳ καὶ τὸ πρόσωπον ἐλεεινότερόν ἐστι νῦν τὸ εὖ πεισόμενον. γυνή τε γάρ ἐστιν αὕτη, καὶ γυνὴ δυστυχήσασα χηρείαν· εἶτα σὺν ὀρφανῷ παιδίῳ παθοῦσα, ἃ πέπονθεν. ὅστις δέ ἐστιν ὁ ταύτην ἀδικήσας, καὶ ὅ, τι, καὶ ὅπως, αὐτὴ διδάξει τὴν σὴν καλοκαγαθίαν. ὅρα τοίνυν, ὦ θαυμάσιε, ὅπως ἐπαμυνεῖς τῇ γυναικί, καὶ διὰ τὸ καλῶς ἔχον, καὶ διὰ τὸ σοὶ πρέπον, καὶ δι' ἐμέ· μεθέξω γὰρ ἔτι σοι κἀγὼ τῶν εἰς αὐτὴν γινομένων, συγγενίδα τε οὖσαν ἐμήν, καὶ τεθραμμένην ὑπὸ μητρὶ κοσμίᾳ σωφρόνως παρ' ἡμῖν.

Domitiano Scholastico. 154.

Cùm illud perspicuè ex rebus ipsis, factísque didicerim, te egregium ac præclarum caput ad omne humanitatis officium esse propensum, libentérq; supplicibus manum velle porrigere: ad id ipsum te prouoco, Equum, vt aiunt, ad campum hortari me existimans. Tibi verò magis quàm anteà, vir amicissime, præbendum humanitatis tuæ specimen est, quantò & miserabilior persona est, in quam beneficium contuleris. Mulier quippe est, & ad viduitatem redacta mulier: Deinde passa cum pupillo filio, quæcunque passa est. A quónam verò iniuriâ sit affecta, & qua in re, & quomodo, ipsa tuæ probitati declarabit. Quamobrem, vir eximie, vide vt mulierem defendas, cùm pro eo quod honestum est, tum quod tuis moribus consentaneum, tum mei denique gratia. Ero enim omnium, quæ in illam contuleris, beneficiorum particeps, propterea quòd, & cognatione coniuncta mecum est, & apud nos sub honesta matre castè ac pudicè est educata.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A

Eidem. 155.

Quæ iusta sunt, socios & adiutores desiderant. Atque hi demum qui iis auxilium præbuerint, felices habendi sunt, cùm pro æquitate laborent. Quamobrem te horum patronum ac defensorem elegi, qui & animo & arte subsidium afferas. Ac quod ad me attinet, de quibuscumque possum benè mereri sum paratissimus: Tu verò occasionem aliquam præbe. Amicitiam enim senties, quam neque ipse contemnas, nemo verò fortassis irrideat.

Τῷ αὐτῷ.

Τὰ δίκαια χρῄζει συμμάχων· καὶ γένοιντ' ἂν οἱ βοηθοῦντες αὐτοῖς εὐδαίμονες, τοῖς ὀρθῶς ἔχουσι συμπονοῦντες. εἱλόμην δή σε τούτων πρόβολον, γνώμῃ τε ἀμύνοντα καὶ τέχνῃ. τὸ μὲν οὖν ἐμὸν, ἅπασιν εὖ ποιεῖν, οἷς ἂν δυνώμαι· δίδου δὲ αὐτὸς ἀφορμάς. αἰσθήσῃ γὰρ φιλίας, ἣν οὔτε αὐτὸς μέμψῃ, γελάσει τε ἴσως οὐδείς.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

IN SYNESIANA OPVSCVLA AD LECTOREM PRÆFATIO.

QVÆ ſequuntur Syneſiana opuſcula, ea ſparſim ab eruditiſſimo viro Federico Morello excuſa, ac publicata fuerant. Quamquam prima illa Κατάστασις, *cuius initium eſt,* Οὐ θήσομαι, *&c. in Turnebi editione poſt libros de Prouidentia collocata legitur; itidemque à nobis latinè olim reddita. E cæteris quæ tertia numero eſt, à Petro quodam Morello Turonenſi tranſlata quidem erat, ſed quòd nonnullis in locis penitus hallucinatus eſſet, malui interpretari ipſe, quàm alterius operæ interpolator videri. Quæ verò ab erudito Federico Morello Romana lingua donata ſunt, ea ſunt huiuſmodi, nullius vt alterius laborem ac diligentiam requirant. Poſtremò illud lectorem admonitum velim, inter Syneſiana ſcripta eam orationem referre me noluiſſe, quæ* Φιλάδελφοι, ἢ περὶ φιλανθρωπίας *inſcribitur, quòd perperam ſub Syneſij nomine circumferatur. Eſt enim Themiſtij illa ſanè, eademque Valentiniano, ac Valenti fratribus nuncupata: id quod ego rationibus conuincam neceſſariis tum, cùm illam vnà cum cæteris Themiſtij orationibus emittam, quas propediem non ſine luculenta aliqua* προσθήκη *recenſitas, ac latinè pridem à me conuerſas ſpero me tecum communicaturum. Vale.*

ΣΥΝΕΣΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΚΥΡΗΝΗΣ ΟΜΙΛΙΑ.

A ΝΥΞ ἱερά, φῶς ἐνεγκοῦσα τοῖς κατηραμένοις, ὅσον οὐδεὶς ἡμέραν ἔλαμψεν ἥλιος· οὐδὲ γὰρ οὐδ᾽ ὅσιον ἐξετασθῆναι τῷ δημιουργῷ, κἂν τὸ κάλλιστον ἐπὶ γῆς. ἀλλ᾽ οὐδὲ δημιούργημα ἐκεῖνο τὸ φῶς, ὃ φωτίζει ψυχὰς, καὶ τὸν αἰσθητὸν ἐφώτισεν ἥλιον.

SYNESII CYRENAEI Conciuncula, in peruigilio Natalis Domini, FEDERICO MORELLIO *Profeſſ. Reg. interprete.*

NOX ſacra, quæ lucem tantam attulit iis qui exſecrati erant, quantum nullus vnquam Sol diem illuſtrauit. Nec enim fas eſt profectò quicquam, licet omium quæ in terra ſunt pulcherrimum ſit, cum præpotenti rerum opifice comparandum cenſere. Verùm ne opificium quidem eſt illa lux quæ illuminat animos, & aſpectabilem hunc Solem illuſtrauit.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A Agnoscite beatitatẽ quæ adest, queq; presens est. Si hoc in statu firmi permãseritis, optabiliorem vobis ac feliciorem solennem hunc diem, quandiu vitam producere dabitur, obseruabitis. Nunc quidem certè vnusquisque vestrûm Angelus Deive nuncius in vrbe versatur: atq; etiam nunc existimate planè vobis congruere quod dictum est, in terris degentes & in cœlis conuersationem habentes. Cæterùm timete ne excidatis ab hac dignitate. Atenim inquinatio, quæ post februationem & expiationem accidit, piaculum est quod vix eluitur.

B Decreuerunt aliquid Leontopolitani mitiùs quàm ipsorum natura ferat, cùm à se inuicem abstinentes, vicinos violatarum legum accusarunt. quandoquidem heri & nudius tertius fratres aduersus fratres, & filius contra patrem, & pater contra suos aduocabat carnificem. Neq; porrò id quod nunc aggressi sunt, hominum est mutuam illam cædem patriam amolientium: verùm priuatim quidem singuli in singulos impetum faciunt: communiter verò ciuitas Astygitones insectatur, eos qui non feliciter nec bono suo sunt vrbis vicini. Nam non præclarè secum actum iri crederent, nisi etiam C publicè conformatio ciuitatis accusatoria foret, & calumniatoris vicem subiisset. Iam verò nobis ea quæ accusatoriè obijciuntur, claras probationes exhibent vt nemini inferamus iniuriam: quibus iudex patientem accommodat aurem. Atqui nos arua colere, non causas actitare didicimus. Cur tandem igitur, cùm iamdudum hæc ita se habuerint, conuenientia sibi munera & tempora transcendere æquum censent, & aduersus nos prodeunt, qui plus quàm ipsi accendimur? & maiore siti correptis, atque iniuria affectis ratione situs; vænum D semper exponunt auidè id quod superest. Quoniam autem hoc anno argenti nihil reliqui fuit, volunt nostras ærumnas in lucro deputare. eò nimirum tendunt recentes illæ delationes: nec alius ipsis finis est scitorum. Fatentur etiam aliquid secundò, quod dignum est vt à nobis primis & solis enuntietur: cùm eiusmodi sit vt maximè ob oculos ponat iniustissimum ipsorum institutum. Nam cùm iam olim calumniæ fundamenta altè iecerint pro securitate, quòd non ad se attinentibus aquis vtantur, ad hoc venerabile prætorium aditum sibi fecerunt.

A ὁμολογεῖτε τῆς παρούσης μακαριότητος. ἂν οὕτω διαμείνητε, ἀοιζηλοτέραν * ὑμῖν τὴν πρόοδον ἐπὶ τοῦ παρόντος, κἂν μὴ διὰ βίου, τηρήσετε. νῦν μὲν ἕκαστος ὑμῶν ἄγγελος ἐν τῇ πόλει περινοστεῖ. νῦν ἡγεῖσθε περὶ ὑμῶν εἶναι τὸ λεγόμενον, ἐπὶ γῆς ὄντες, καὶ ἐν οὐρανῷ τὸ πολίτευμα ἔχοντες. φοβήθητε τῆς ἀξίας ἀποπεσεῖν. δυσέκνιπτον τὸ μετὰ κάθαρσιν μόλυσμα.

Ἐβουλεύσαντο οἱ Λεοντοπολῖται τῆς ἑαυ-B τῶν φύσεως ἡμερώτερον· ἀλλήλων ἀφέμενοι, τοὺς γείτονας παρανόμων ἐγράψαντο. ἐπεὶ μέχρι χθὲς καὶ πρῴην ἀδελφοί τε ἐπ' ἀδελφοῖς, καὶ παῖς ἐπὶ πατρί, καὶ πατὴρ ἐπὶ τῷ φύντι παρεκάλει τὸν δήμιον. τάχα δὲ οὐδὲ τὸν νῦν ἐγχειρούμενον, καταλυόντων ἐστὶ τὴν ἀλληλοφονίαν τὴν πάτριον· ἀλλ' ἰδίᾳ μὲν ἕκαστος ἐπὶ τὸν ἴδιον φέρεται· κοινῇ δὲ ἡ πόλις ἐπὶ τοὺς οὐκ εὐτυχῶς ἀστυγείτονας. οὐ γὰρ ἀνεκτὸν αὐτοῖς, εἰ μὴ καὶ δημοσίᾳ τὸ σχῆμα τῆς πόλεως κατηγορικὸν εἴη, καὶ συκο-C φάντου χώραν ὑποστελεύσεται· ἀλλ' ἡμῖν γε εἰς τὸ μηδὲν ἀδικεῖν, αὐτὰ τὰ κατηγορημένα σαφεῖς ἀποδείξεις παρέχεται, εὐτυχηκόσιν ἀκούειν δικαστοῦ. γεωργεῖν δὲ ἡμεῖς, οὐκ ἀγορεύειν δίκας ἐμάθομεν. τί ποτ' οὖν ἀποδεδειγμένων αὐτοῖς πάλαι καὶ πρόπαλαι τῶν προσηκόντων μερῶν ὑπερβαίνειν ἀξιοῦσι, καὶ ἐφ' ἡμᾶς ἔρχονται τοὺς ὑπὲρ αὐτοὺς καιομένους. διψηροτέροις τε οὖσι, καὶ ἠδικημένοις παρὰ τῆς θέσεως, ἀπεμπολοῦσι ἀεὶ τὸ περιγινόμενον· ἐπειδὴ τῆτες οὐ περιγέγονεν ἀργύριον, ἀξιοῦσιν αὐτοὶ ὠνέσθαι τὰς ἡμετέρας συμ-D φοράς. εἰς τοῦτο τείνουσι αἱ πρῴην γραφαί, καὶ σκοπὸς αὐτοῖς τῶν ψηφισμάτων οὐχ ἕτερος. ὁμολογοῦσι δὲ δή τι καὶ δεύτερον, ὃ παρὰ πρώτων ἡμῶν καὶ μόνων ἄξιον εἰρῆσθαι, παραστατικὸν ὂν τῆς ἀδικωτάτης αὐτῶν ἐγχειρήσεως. πόρρωθεν γὰρ αὐτοὶ κρηπῖδα τῇ συκοφαντίᾳ βαλλόμενοι ὑπὲρ ἀδείας τοῦ τοῖς μὴ προσήκουσιν ὕδασι χρήσασθαι, τῷ σεμνῷ τούτῳ δικαστηρίῳ πρόσοδον ἐποιήσαντο.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

TIMOLEONTI GRANGIERO CONSILIARIO IN SENATV PARIsiensi, Papirius Massonus in Regia Aduocatus, Salutem.

TE quidem dignum hoc opere, quia Græci sermonis peritissimus es, et vicissim id te dignum etsi exiguum est, esse existimaui, cùm Synesium in deliciis habeas. De quo Scriptore Euagrius libro primo historiæ, cap. 15. quid memoret, in promptu tibi quoque est. Ego non aliud de eo dicam, quàm quòd Arcadij temporibus vixit: ad eum enim scripsit præclaram orationem de Regno. Quàm verò miseram et afflictam vrbem egregius ille Episcopus incoluerit, si fortè aliunde nesciebas, ab ipso fonte hauries, et Catastasin hanc nunc primùm à me, per Morellum nostrum, in lucem mitti publicè vtilem gratulabere. Vale, et C. V. Balthazarem et Maximilianum fratres meis verbis saluta, charissimúmque parentem vestrum Legatione nobili ad Rhetos iam pridem functum.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A

SYNESII CYRENÆI Catastasis, in qua Pentapolitana calamitas describitur.

Interprete Dionysio Petauio.

EQVIDEM nescio quid de iisce calamitatibus dici oporteat, quæ in oculis omnium versantur. Nam neque sermonem instituere vacat iis, quibus flere necesse est; neque rerum acerbitati par inueniri potest oratio. Quanquam nonnullos etiam ingruentium malorum magnitudine perculsos lachrymæ ipsæ defecerunt. Sed cùm flentes Deus respiciat, & ista scire conueniat eos, qui Romanorum imperium administrant: ad quoscumq; potes eorum scribere, qui de hac re ad Imperatorium concessum referre possint. Fac vt illis propediem aliquis renunciet, quemadmodum Pentapolis nudiustertiùs optima adhuc Imperatori possessio fuerit: quæ vt copiis, atque potentiâ aliis cederet, beneuolentiâ tamen potentiores etiam vincebat. Hoc illi probè inter eos sciunt, qui in republica tractanda cum cura studióque versati sunt: Inter quos magnum illum Anthemium præcipuum locum tenere cùm audio, tum mihi facilè persuadeo. Hic igitur haud ignorat, quot quibúsve temporibus, illis maximè per quæ Tyrãni grassati sunt, citrà vllam tergiuersationem parati ad nutum Imperatoris fuerimus. Sed hactenus Pentapolitanæ res heri ac nudiustertiùs in Romanorum potestate mãserunt, qui deinceps amissâ ea gente, in recensendis Præfecturis suis illam præterierunt. Prorsus nunc de Pẽtapoli actum est, funditus, inquam, illa concidit: quæ variis quidem ærumnis annum iam antè septimum conflictari cœperat: sed quemadmodum animal quoddam ægrè moriens, sic illa spiritus sui reliquias cogebat, atq; contrahebat. Felix sit Anysij memoria,

ΣΥΝΕΣΙΟΥ ΚΥΡΗΝΑΙΟΥ ΚΑΤΑΣΤΑΣΙΣ;

ῥηθεῖσα ἐπὶ τῇ μεγίστῃ τῶν βαρβάρων ἐφόδῳ, ἡγεμονεύοντος Γενναδίου, καὶ Δουκὸς ὄντος Ἰννοκεντίου.

B

ΕΓΩ μὲν οὐκ οἶδ' ὅ τι καὶ χρὴ λέγειν ὑπὲρ τῶν ἐν ὀφθαλμοῖς συμφορῶν. οὔτε γὰρ σχολὴ λέγειν, οἷς κλαίειν ἀνάγκη, οὔτε λόγος ἂν γένοιτο τοῖς πράγμασι σύμμετρος. καί τοι καὶ τὸ δακρύειν ἐνίους, τῷ μεγέθει τῶν συντυχόντων κακῶν ἐκπλαγέντας, ἐπέλιπεν. ἀλλ' ἐπὶ κλαιόντων μὲν Θεὸς αἰσθάνεται· δεῖ δὲ εἰδέναι καὶ τοὺς τὰ Ῥωμαίων σκῆπτρα διέποντας· γράφε σὺ πρὸς οὓς οἷόν τε τῶν δυναμένων λόγον εἰσενεγκεῖν εἰς τὸ βασιλέως συνέδριον. Ἀγγειλάτω τις αὐτοῖς ἐν βραχεῖ, ὅτι Πεντάπολις βασιλεῖ τὸ μέχρι τρίτης ἦν ἔτι κτῆμα ἀγαθόν· εἰ καὶ δυνάμει λειπόμενον ἑτέρων· ἀλλὰ τῶν μειζόνων δυναμένων εὐνουστέρα. ἴσασιν αὐτὴν ὅσοι δεδημοσιεύκασι μετὰ τοῦ προσέχειν τοῖς πράγμασιν· ὧν τὸν μέγαν Ἀνθέμιον ἐγὼ τὰ πρῶτα καὶ ἀκούω, καὶ πείθομαι. οὐκοῦν εἶδεν ἐν ὅσοις καιροῖς, καὶ μάλιστα τούτων ὁπόσοι τυραννικοί, γεγόναμεν ἀπροφάσιστοι βασιλεῖ. ἀλλὰ μέχρι τούτων τὰ Πενταπόλεως χθὲς καὶ τρίτην ἡμέραν ἐγένετο Ῥωμαίοις, ἔθνους ζημία τῆς ἡγεμονίας αὐτῶν παρὰ Πεντάπολιν ἀριθμήσασιν. οἴχεται Πεντάπολις νῦν ἀκριβῶς· εἰς τοὔσχατον οἴχεται· ἕβδομον μὲν ἔτος ἤδη προπράξασα πονηρῶς· ἀλλ' ὥσπερ ζῷον δυσθανατοῦν, ἀνέφερε καὶ συνήθροιζε τοῦ πνεύματος τὸ λειπόμενον. εὔφημος Ἀνυσίου μνήμη ἐνιαυ-

C

D

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῷ τὸν χρόνον αὐτῆς πλείω πεποίηκε, ταῖς μὲν ἀπάντων ἀσπίσι, ταῖς δὲ Οὐννιγαρδῶν χερσὶν εἰς δέον χρησάμενος. τοιγαροῦν, ἀναβολή τις ἐγένετο τοῦ κακοῦ. Οὐ γὰρ ἐξεχύθησαν ὅλῳ πλήθει κατὰ τῆς χώρας· εἰς λῃστείαν μετετάξαντο· ἀφήλλοντο καὶ προσήλλοντο. ἐπεὶ δὲ τρεῖς παραταξαμένοις αὐτοῖς μετεμέλησε, νῦν μὲν ἱπποκρατεῖται τὰ πεδία, νῦν οἱ στρατιῶται τειχήρεις, ἄλλος ἀλλαχόσε διειλημμένοι, τὸ ἐπὶ Κερεαλίου κακόν, οὐδὲν ἀλλήλοις ὄφελος ὄντες, ὅτι μὴ συνεπάχθησαν. τοιγαροῦν τὰ τῶν πολεμίων λαμπρά. οἱ πέρυσιν εὔζωνοι, καὶ πρὸς τὸ φυγεῖν εὐπρεπεῖς, νῦν πολιορκηταί, νῦν τὰ κωμητικὰ τείχη καθελόντες, πλατεῖ στρατεύματι τὰς πόλεις περιτειχίζονται. τί γὰρ οὐ προὐχώρησεν αὐτοῖς; Αὐσουριανοὶ τοὺς τῶν Θρᾳκῶν τῶν ἱππέων ἐνεδύσαντο θώρακας οὐ κατὰ χρείαν, ἀλλ' ἐπεγγελῶντες τῷ σχήματι· ταῖς Μαρκομαννῶν ἀσπίσιν, ἐπὶ τούτοις ἐχρήσαντο· εἰς γυμνητικὸν ἐτέλεσε τὸ Ῥωμαίων ὁπλιτικόν, ἐχθρῶν ἐλέῳ τὴν σωτηρίαν εὑράμενοι. Δακρύω τοὺς ἄνδρας, οὐκ ὀνειδίζω τὴν συμφοράν. τί γὰρ ἂν ἐποίησαν εἰς πολυπλάσιον πλῆθος, οἱ κατὰ μέρος αὐτοῖς ἀθρόοις ἐντυγχάνοντες Οὐννιγάρδαι; τὸ μὲν ἐπὶ τῷ Θεῷ, καὶ τῇ ῥώμῃ, καὶ τῇ τῶν ὅπλων ἐμπειρίᾳ σώζονται· τὸ δὲ ἐπὶ τῇ στρατηγίᾳ, τί δ' ἂν καὶ μέγα κακὸν τοὺς πολεμίους εἰργάσαντο; καθ' ὧν οὐ τῶν ἐχόντων ἀφίενται τῶν ἀγόντων αὐτούς. ἀλλ' εἴποτε σκυλάκων δίκην ἀποβιάσαιντο, οἱ δὲ πάλιν ἦγξαν αὐτοὺς· καὶ ἀνεκαλέσαντο, πρὶν κορεσθῆναι δρόμου, καὶ φόνου θηρείου. καί τοι καὶ Οὐννιγάρδαις εὐταξίας ἔδει, καὶ συντεταγμένου στρατεύματος. Ἔδει γάρ, οἶμαι, φάλαγγος, ὥσπερ ἐνεργοῦ μαχαίρας, τὸ μὲν ἀκμαιότερον προβεβλῆσθαι, τὸ δὲ στιβαρώτερον ἐπελαύνεσθαι· οὕτως ἡ πληγὴ βαθυτέρα γίνεται. ὅλως δὲ τὸ πλῆθος αὐτῶν ὀλίγον ἐστὶ πρὸς τὸ διαπολεμῆσαι τὸν πόλεμον. ὃς οὐδ' ἂν ἐν τοῖς καθ' ἡμᾶς τόποις διαπολεμηθείη καλῶς. ἀλλ' εἰ μή τις εἰς τὴν ἐκείνων Οὐννιγάρδας

Margin: νῦν δέ. κωμικά. μέρος. ἦξαν.

A Is enim annum ad illius tempus adiecit, cum clypeis quidem omnium, Vnnigardarum verò manibus opportunè vteretur. Itaque nonnihil dilata calamitas est. Neque enim confertis copiis regionem peruagati sunt. Ad latrocinia sese conuerterunt, fugientes identidem, atque irrumpentes. Posteaquam verò ter instructa acie præliati, consilium mutarunt, nunc campos longè latèque omnes eques obtinet, nunc intra mœnia conclusi milites tenentur, alij aliò dissipati, quod Cerealis tempore malum accidit, nec vtiles sibi esse inuicem possunt, B quòd non collecti in vnum, ac coacti sint. Quamobrem hostium res luculentæ ac prosperæ sunt. Qui enim superiore anno velites erant, & ad fugam expediti, nunc oppugnatores vrbium sunt. Nunc posteaquam Pagorum muros euerterunt, oppida ipsa iusto exercitu circumdant. Quid enim non illis successit? Ausuriani Thracum equitum loricas induerunt, non quod iis opus haberent, sed vt ornatum atque habitum irriderent. Posthæc Marcomanorum clypeis vsi sunt. Ad velites, atque expeditos Romanorum legio redacta est, quiqui-C dem miseratione hostium salutem consecuti sunt. Eiusmodi homines deploro, calamitatem non exprobro. Quid enim aduersus multo maiores copias facerent Vnnigardæ, dum confertis ipsi in lacinias dispersi occurrerent? Itaque quantum in Deo & virtute atque armorum peritia fuit, salui atque incolumes sunt. Quantum verò ad duces attinet quo tandem ingenti malo afficere hostes possent, in quos qui ipsos ducunt, non libenter eos immittunt, sed si quando catulorum instar eruperint, illi rursum ipsos antè reducunt, ac reuocant, quam sese cursu, D ac ferina cæde satiare potuerunt. Quanquam extremo etiam agmine esset opus Vnnigardis, ordinatóq; exercitu. Oporteret enim, vti opinor, phalangis, velut ferini ac validi cuiusdam ensis, vegetiorem quidem partem in fronte, grauiorem in subsidiis locari. Ita enim altius plaga penetrat. Ac vt vno verbo dicam, multitudo omnis illorum paucior est quàm vt bellum istud sustinere possit. Quod me in nostra quidem regione commode administrari potest. Sed nisi fortè quispiam in illorum agmen Vnnigardas

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

immittat, quatuor aduersus eos Centuriis opus est; vel erat potius tanto numero opus, ac Duce, antequam funditus periissemus, antequam vsqueadeò hostium res auctæ, ac confirmatæ fuissent. In hoc vltimo bello ipsæ etiam mulieres ad expeditionem profectæ sunt. Vidi, vidi, inquam, sæpenumero gladio accinctam mulierem, atque vnâ infantem suum lactantem. Quis securum adeò bellum non fortunatum putet? Pudet me & mihi ipsi, & tempori, & Reipublicæ timuisse. O veteres illos Romanorum spiritus! qui vbique omnia debellare solebant, qui dissitas continentes trophæis suis coniunxerunt: nunc ab infelici, dispersáque gente eô redacti sunt, vt periculum sit ne præter Græcas vrbes etiam Africanas, ipsámque adeò quæ in Ægypto est, Alexandriam amittant. Est illud quidem quod ad pecuniarum rationem attinet, maioris momenti: hoc verò ad splendorem ac gloriam non minus, si quis erubescere modò nouit, ac decoris rationem vllam, atque honestatis habet. Prô audaciam illam, qua freti velut retibus vniuersam prouinciam amplexi sunt! Nullus iis accessu mons arduus, nullum satis munitum castellum fuit: Regionem omnem peruagati, omnem perscrutati sunt, ætatémque omnem in seruitutem redegerunt. Olim ex Historicorum numero ita scribentem nescio quem audio, FÆMINAS ET PVERVLOS EXCIDIORVM AC SVBVERSIONVM ARGVMENTO RELINQVEBANT. Sed longè aliud Pentapoli contigit. Quæ enim Ausuriano possessio commodior mulierculâ & infantulo? vt & illæ ipsis pariant, & ij simulatque adoleuerint vnâ ad militiam ducantur. Sunt enim erga nutritios potius quàm parentes animo propensi. O miseram illam quam propagamus coloniam! Captiua Iuuentus agitur, quæ hostium exercitus augeat. Veniet hostilis aliquando contra patriam populus. Eum agrum populabit atque exscindet adolescens, quem cùm Iuuenis esset vnâ cum patre coluerat. Nunc in via est: nunc abducitur: nunc in vinculis adhuc Pentapolitana Iuuentus est. Nec est vllus qui iis opem ferat, aut ferre possit. Neque enim istud sinunt Alexandrini illi, qui pessimo Pentapoleos fato in ea ipsa mi-

A διαβιβάσειεν, ἐπὶ τούτοις δεῖ πλήθους ἑκατοντάρχων τεττάρων· μᾶλλον δὲ πρότερον ἔδει τοσούτου πλήθους, καὶ στρατηγοῦ, πρὶν ἡμᾶς οἴχεσθαι κομιδῇ, πρὶν εἰς τοσοῦτον αὐξηθῆναι τοῖς πολεμίοις τὰ πράγματα. εἰς τὰ τελευταῖα ταῦτα, καὶ γυναῖκες συνεστρατεύσαντο. εἶδον, εἶδον συχνὰ γυναῖκα μαχαιροφόρον ὁμοῦ, καὶ βρέφη θηλάζουσαν. τίς οὐ ζηλοῖ τὸν ἀκίνδυνον πόλεμον; ὑπέρ ἐμαυτοῦ πεφόβημαι, ὑπὲρ τῶν καιρῶν, ὑπὲρ τῆς πολιτείας αἰσχύνομαι. Ω τοῦ πάλαι Ῥωμαίων φρονήματος! B οἱ πάντα πανταχοῦ νικῶντες, οἱ τὰς ἠπείρους τροπαίοις συνάψαντες. νῦν ὑπὸ δυστήνου, καὶ νομαδικοῦ γένους κινδυνεύουσι τὰς Ἑλληνίσι Λιβύας προσαποβαλεῖν, καὶ τὴν παρ' Αἴγυπτον Ἀλεξάνδρειαν. ἐκεῖνο μεῖζον εἰς λόγον χρημάτων, τοῦτο δὲ εἰς ἀδοξίαν οὐκ ἔλαττον, εἴ τις οἶδεν αἰσχύνεσθαι, καὶ ποιεῖταί τινα λόγον τοῦ πρέποντος. Ω τοῦ φρονήματος, μεθ' ὅσου τὴν χώραν σεσαγηνεύκασι! τούτοις οὐδὲν οὔτε ὄρος ἄβατον γέγονεν, οὔτε φρούριον ἐρυμνόν. πᾶσαν ἐπεξῆλθον· πᾶσαν διηρευνήσαντο· πᾶσαν ἡλικίαν ἠνδραποδίσαντο. C πάλαι ποτὲ τῶν παρ' Ἕλλησι λογογράφων ἀκούω. ΓΥΝΑΙΚΑΣ ΚΑΙ ΠΑΙΔΑΡΙΑ, ΓΝΩΡΙΣΜΑΤΑ ΤΩΝ ΠΟΡΘΗΣΕΩΝ, ΥΠΕΛΕΙΠΕΤΟ. Ἀλλὰ παρὰ ταῦτα μάλιστα γέγονε Πενταπόλει. Τί γὰρ Αὐσουριανῷ κάλλιον κτῆμα γυναίου καὶ βρέφους; ἵν' αἱ μὲν αὐτοῖς τίκτοιεν, οἱ δέ, ἵνα αὐξηθέντες στρατεύοιντο. εὔνοι γὰρ αὐτὰ τῶν τεκόντων τοῖς θρέψασι γίνονται. D Ω πονηρᾶς ἀποικίας ἣν ἀποικίζομεν! Ἄγεται νεότης αἰχμάλωτος, τὰ τάγματα τῶν πολεμίων αὐξήσουσα. ἥξει δῆμος ἐπὶ τὴν ἐνεγκοῦσαν πολέμιος· κερεῖ νεανίας τὴν γῆν, ἣν μειράκιον ἔτι μετὰ τοῦ πατρὸς ἐξειργάσατο. νῦν ἐν ὁδῷ· νῦν ἀπάγεται· νῦν ἔτι δεσμώτης ἡ Πενταπόλεως ἐφήβεια. Ἀμυνεῖ δὲ οὐδείς, οὐδὲ δύναται. καί τοί φασι προθυμεῖσθαι τὸν στρατηγόν. ἀλλ' οὐ γὰρ ἐῶσιν Ἀλεξανδρέων οἱ κακῇ μοίρᾳ Πενταπόλεως ἐν αὐτῇ στρα-

χ. συχνοί.
χ. Καισάρων.
χ. Ἐσπαρμέναις. τὰ ἠπειρωτικὰ ἔπαρμα. ὡ παρὰ Μ Τυείῳ, κά.
ἴσ. κώμ οἰκίαν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A πευσάμενοι. τί γὰρ ἂν τις αἰτιάσαιτο τὸν ἀναίτιον; ᾧ καὶ γῆρας βαθὺ, καὶ νόσου καταβολὴ πολυχρόνιος τὴν συγγνώμην ἐμνηστεύσατο; καί τοι ῥᾷστον ἦν, εἰ στρατηγῶν ἠτυχήσαμεν, ὑπερήφανον στράτευμα, καὶ προσκεκοφὸς τῷ Θεῷ, δίκην ἀσεβείας εἰσπράξασθαι. ποίων ἱερῶν οὗτοι, ποίων ὁσίων ἐφείσαντο; Οὐ πολλαχοῦ μὲν τῶν Βαρκαίων πεδίου τὰ νεοσκαφῆ τῶν μνημάτων ἀνέχωσαν; Οὐ παρὰ τούτων αἱ πανταχοῦ τῆς ὑφ᾽ ἡμᾶς Ἀμπελίτιδος ἐκκλησίαι πυρίκαυστοι, καὶ ἐρείπια; Οὐ τὰς μὲν B τραπέζας τὰς ἱερὰς, ὡς βεβήλους, ἐπὶ κρεανομίᾳ προὔθεντο; τὰ δὲ μυστικὰ σκεύη, τὰ λελειτουργηκότα τῇ δημιουργικῇ σπονδείᾳ, τελετῇ δαίμοσιν, εἰς τὴν πολεμίαν κομίζεται; τί τούτων ἀνεκτὸν εἰς ἀκοὴν ἐλθεῖν εὐσεβῆ; ὅστις γὰρ ἀξιοῖ μνήμης ἃ κατέσκαψαν φρούρια, τὴν σκευαγωγίαν, τὰ ἔπιπλα, τοὺς βοῦς, τὰς οἶς, ὅσαι τῶν βαρβαρικῶν ληστηρίων ἦσαν ἐγκαταλείμματα ταῖς φάραγξιν ἐγκατακρυπτόμεναι, ἐν τηλικούτοις κακοῖς μικρολογίας αἰτίαν οὐ διαπέφευγε. C καίτοι πεντακισχιλίαις ταῖς καμήλοις ἐσκευαγώγησαν. Ἀριθμῷ δὲ ἀναλύουσι τριπλασίονι τῇ τῶν αἰχμαλώτων προσθήκῃ, τοσούτῳ πλείους γινόμενοι. Τέθνηκεν· ἀπέσβη ἡ Πενταπόλεως· τέλος ἔχει· διακεχείρισται· ἀπόλωλεν· οὐκ ἔτ᾽ ἔστι παντελῶς, οὔθ᾽ ἡμῖν, οὔτε βασιλεῖ. Οὔτε γὰρ βασιλεῖ κτῆμα γένοιτ᾽ ἄν, ὅθεν οὐδὲν ἀποίσεται. Τίς δ᾽ ἂν οἴσεται παρὰ τῆς ἐρήμου καρπούς; οὔτ᾽ ἐμοὶ πατρὶς, ἣν ἀπολείψω· παρὰ γὰρ ναῦν ἐστί μοι, τὸ μὴ οὐκ ἤδη πελάγιον εἶναι, καὶ νῆσον περισκοπεῖν. D Αἰγύπτῳ γὰρ ἀπιστῶ· κἀκεῖ δύναται διαβῆναι κάμηλος Αὐσουριανὸν ὁπλίτην βαστάσασα. Νησιώτης οἰκήσω, πένης ἀπὸ κτηματικοῦ· μέτοικος· ἀτιμότερος ἀστοῦ Κυθηρείου. πολυπραγμονῶν γὰρ ἤδη μανθάνω Κύθηρα τὸ πέραν εἶναι τῆς Πενταπόλεως. ἐκεῖ με τυχὸν οἴσουσιν ἄνεμοι Νότοι· παρ᾽ ἐκείνοις βιώσομαι, ξένος, ἀλήτης. καὶ ἂν ἐπιχειρήσω τι περὶ εὐγενείας εἰπεῖν, ἀπιστήσουσιν. ὤμοι Κυρήνης! ἧς αἱ δημόσιαι κύρβεις μέχρις

A litarunt. Quid enim est cur quisquam innocentem criminetur, cui & affecta ætas & diuturna morbi accessio veniam obtinuit? Atqui facillimum erat, modò bonorum Imperatorum copia esset, ab insolenti exercitu, quique Deum offensum haberet, impietatis pœnas repetere. Quibusnam illi sacris, quibus religiosis locis pepercerunt? Nonne in multis agri Barcæi locis sepulchra recentia effoderunt? Nonne ab iisdem ipsis per vniuersam Ampelitidem, quæ quidem sub nostra potestate est, Ecclesiæ omnes succensæ sunt, atque in rudera & ruinas re- B dactæ? Nonne sacras mensas perinde ac prophanas ad diuidendas carnes apposuerunt? Mystica porrò vasa, quibus ad publicas sacrásque libationes vtebantur, nonne ad obeundas dæmonum cæremonias in hostilem regionem translata sunt? Quidnam horum religiosis auribus tolerabile est? Nam qui commemorare velit quot castella demoliti sint, quantum vtensilium, ac supellectilis auexerint, boues item ouésque omnes, quæquidem è Barbarorum præda seruatæ reliquiæ in præruptis montium, & cauernis abditæ fue- C rant: is in tantis malis non sine vitio aliquo minutis persequendis nimium anxius videatur. Quanquam quinque Camelorum millibus prædam auexisse dicuntur. Numero autem triplo maiore redeunt, accessione captiuorum tanto plures effecti. Periêre, extinctæ sunt Pentapolitanæ res, ad exitum venerunt, confectæ sunt, occiderunt: neque nobis omninò amplius, neque Imperatori supersunt. Neque enim Imperatoris ea possessio dici potest, è qua nihil vtilitatis reportet. Ecquis verò fructus ex deserto colligere vllus possit? Neque mihi patria superest, quam deseram: sola e- D nim nauis inopia facit, vt nondum in alto nauigem, & ad insulam aliquam appellam. Nam Ægypto diffido, propterea quòd eô quoque Camelus peruenire potest Ausurianum militem gestans. In insulis itaque degam; inops ex diuite, inquilinus, Cytherio ciue ignobilior. Nunc enim demum curiosiùs inquirens, audio Cythera vltra Pentapolim esse sita. Illuc me fortassis Austri deferent, apud illos degam, hospes, profugus. Quòd si quid de generis mei nobilitate iactare audeam, fidem nullam adhibebunt. Heu Cyrenem, cuius publicæ tabulæ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ad me vſque ſtirpis Herculeæ ſucceſſionem deducunt! Non enim ineptus videar, cùm inter ſcientes propagatam inde nobilitatem deploro. Prô ſepulchra illa Dorica, quorum particeps non ero! heu infelicem Ptolemaidem, cuius ego poſtremus omnium ſacerdos fui! Verùm ea calamitas animo meo adhæreſcit. Nihil dicere amplius poſſum: lachrymæ linguam meam impediunt. totus ſum in ea cogitatione defixus, quòd mihi ſacra derelinquenda ſint. Nauigatione quidem hinc me ſubducere oporteret: Sed cùm ad nauem conſcendendam quiſpiam vocabit, pauliſper vt expectet ab illo petam. Primùm enim ad Dei templum accedam, tum altare circumibo, pretioſiſſimum pauimentum lachrymis perfundam. non prius abſcedam, quàm Ianuam illam, Thronúmque illum oſculatus fuero. O quoties Dei fidem appellabo, ac vultum conuertam! O quoties cancellis manus inijciam! Sed vehemens quædam res eſt ac violenta, neceſſitas. Cupio ſomnum oculis meis nullo tubarum ſtrepitu interruptum concedere. Quò tandem vſque ad murorum propugnaculum ſtabo? Quouſque turrium interualla cuſtodiam? Defeſſus ſum nocturnas excubias diſponens, ac viciſſim & cuſtodiens ipſe alios, & ab aliis cuſtoditus. Et qui ſæpenumero in contemplando ſiderum exortu peruigilem noctem duxi, eundem me modò tædet obſeruandis hoſtium incurſionibus inuigilare. Ad aquam demenſam dormimus: atque ea ſomni pars quæ mihi ſorte contigit, excubitorio tintinnabulo ſæpius eripitur. Quòd ſi parumper oculos clauſero: prô triſtia ac moleſta ſomnia, quæ mihi diurnæ curæ atque ægritudines iniiciunt! Laborum ceſſatio aliorum mihi laborum initium eſt. fugimus, comprehendimur, vulneramur, vincîmur, vendimur. Quàm ſæpe libenter è ſomno excitatus ſum, quòd dominum reliquiſſem! Quoties anhelans ac palpitans expergefactus ſum, ſudore totus diffluens, vnà à ſomno & curſu deſinens, quem intendens, armatum hoſtem fugiebam! Nobiſmet Heſiodus ſolis nihil dixiſſe viſus eſt, cùm ſpem intra dolium reſeruat. vita illa minus vitalis, quæ in prouerbium abiit non alia eſt, Auditores, quam ea ipſa

A ἐμοῦ καταγόμενοι ταῖς ἀφ' Ἡρακλέους διαδοχαῖς! οὐ γὰρ ἂν εἴην ἀρχαῖος, ἐν εἰδόσιν ὀλοφυρόμενος τὴν καταβεβλημένην εὐγένειαν. ὤμοι τῶν τάφων, ὧν οὐ μεθέξω, τῶν Δωρικῶν! ὤμοι Πτολεμαΐδος! ἧς αἰεδιήχθην ὕστατος ἱερεύς! ἀλλὰ πρόσεισί μοι τὸ δεινόν· οὐκέτι δύναμαι λέγειν· ἐπιλαμβάνεταί μου τῆς γλώττης τὰ δάκρυα. Γέγονα πρὸς τὴν φαντασίαν τῆς τῶν ἱερῶν ἀπολείψεως. ἔδει μὲν οἴχεσθαι πλέοντας· ἀλλ' ὅταν ἐπὶ ναῦν τις καλῇ, μικρὸν ἀναμεῖναι
B δεήσομαι. Βαδιοῦμαι γὰρ πρῶτον ἐπὶ τὸν νεὼν τοῦ Θεοῦ· κυκλώσομαι τὸ θυσιαστήριον· δάκρυσι βρέξω τὸ τιμαλφέστατον ἔδαφος. οὐκ ἀποδραμοῦμαι πρὶν θύραν ἐκείνην, καὶ θρόνον ἐκεῖνον ἀσπάσασθαι. ὦ ποσάκις θεοκλυτήσω τε, καὶ μεταστραφήσομαι; ὦ ποσάκις ταῖς κιγκλίσι τὼ χεῖρε προσομάξομαι! ἀλλ' ἰσχυρὸν ἀνάγκη πρᾶγμα, καὶ βίαιον. Ἐπιθυμῶ δοῦναι ὀφθαλμοῖς ὕπνον ἀπερισάλπιγκτος. Μέχρι πότε περὶ ἔπαλξιν στήσομαι; μέχρι
C πότε τηρήσω τὸ μεσοπύργιον; Ἀπαγορεύω φυλακὰς ἐπιτάττων νυκτερινάς, καὶ φυλάττων ἐν τῷ μέρει, καὶ φυλαττόμενος. ὁ πολλὰ πρότερον ἀγρυπνήσας ἐπὶ ταῖς ἄστρων ἐπιτολαῖς, ἀποκναίομαι νῦν ἐγρηγορὼν ἐπὶ ταῖς τῶν πολεμίων ἐπιβολαῖς. πρὸς διαμεμετρημένον ὕδωρ καθεύδομεν· καὶ τὸ λαχόν μοι μέρος εἰς ὕπνον ἀφαιρεῖται πολλάκις ὁ κώδων ὁ φυλακτήριος. ἂν δὲ καταμύσω μικρόν· ὦ τῶν ἐνυπνίων τῶν σκυθρωπῶν! εἰς οἷα περιπέμπουσιν ἡμᾶς αἱ μεθ' ἡμέραν φροντίδες! τὸ λῆ-
D ξαι πόνων, ἄρξασθαι πόνων ἐστί. φεύγομεν, ἁλισκόμεθα, τιτρωσκόμεθα, δεδέμεθα, πιπρασκόμεθα. Ποσάκις ἐξανέστην ἄσμενος, ὅτι δεσπότην ἀπέλιπον; ποσάκις ἐξανέστην ὑπέρασθμος, ἱδρῶτι ῥαινόμενος, ὁμοῦ τὸν ὕπνον καὶ τὸν δρόμον ἀπολιπών, ὃν κατατείνας ἔφευγον ὁπλίτην πολέμιον; Μόνοις ἡμῖν Ἡσίοδος οὐδὲν λέγει, τὴν ἐλπίδα τηρήσας εἴσω τοῦ πίθου, πάντες ἀθαρσεῖς καὶ δυσέλπιδες. ὁ πεπαροιμιασμένος βίος ἀβίωτος. οὐχ ἕτερός ἐστιν, ἄνδρες, ἀλλ' ὃν ζῶμεν ἡμεῖς. τίς ἡ δια-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A τριβή; τί μέλλομεν; Ἀπήχθηται Πεντάπολις τῷ Θεῷ. ποιναῖς ἐκδεδόμεθα. οὐ γὰρ ἀκρίς, οὐκ ἔστι κακὸν ἀκριβέστερον· τὸ δὲ πῦρ ὃ παρὰ τῶν πολεμίων τριῶν πόλεων ἐπενείματο λήια. Τί πέρας κακῶν; εἰ τούτων ἄγουσιν ἐλευθερίαν αἱ νῆσοι, ἐγὼ μὲν ὅταν ἀφυβρίσῃ τὸ πέλαγος, πλευσοῦμαι. ἀλλὰ φοβοῦμαι, μὴ προλάβῃ με τὸ δεινόν. B πελάζει γὰρ ἡ κυρία τῆς προσβολῆς, ἣν τῇ πόλει, φασίν, ὁ πτεροφόρος ἠπείλησεν, ὁ τοῦ πολεμίου ἐξηγούμενος στρατεύματος· μάλιστα δὴ καιρὸν ἐκεῖνος ἱερεῦσι τὸν ἐπὶ τὰς αὐλὰς τοῦ Θεοῦ δρόμον ἀναγκαῖον ἀποφαίνει, ἂν ἐν χερσὶ τῆς πόλεως ὁ κίνδυνος γένηται. ἐγὼ κατὰ χώραν ἐπ' ἐκκλησίας μενῶ. τὰς πολυαγεῖς προστήσομαι χέρνιβας. προσφύσομαι τῶν κιόνων τῶν ἱερῶν, αἳ τὴν ἄσυλον ἀπὸ γῆς ἀνέχουσι τράπεζαν. ἐκεῖ καὶ ζῶν καθεδοῦμαι, C καὶ ἀποθανὼν κείσομαι. Λειτουργός εἰμι τοῦ Θεοῦ, καὶ τὴν ψυχὴν ἴσως ἀπολειτουργῆσαί με δεῖ. οὐ μὴν ὅγε Θεὸς περιόψεται τὸν βωμὸν τὸν ἀναίμακτον, ἱερέως αἵματι μιαινόμενον.

quam degimus. Quid tempus terimus? quid moramur? Inuisa Deo Pentapolis est, pœnis ac suppliciis dediti sumus. Nam locusta nequaquam acrius est & grauius malum, sed ignis ille, qui ante hostes trium vrbium sata depastus est. Quis malorum exitus? Si ab iis immunes ac liberæ sunt insulæ, equidem simul atque mare desæuierit, soluam, sed vereor ne me malum anteuertat. Nam impressioni & incursioni constituta dies appropinquat quàm vrbi, vt aiunt, pennatus nuncius comminatus est, is qui hostilem exercitum ducit. Sane illud præ cæteris tempus sacerdotibus necessarium ad Atria Dei cursum efficiet, cùm ad ipsam vrbem præsens periculum accesserit. Ego in loco meo in Ecclesia permanebo. Lustralis ante me aquæ sanctissima vasa collocabo. Sacratas columnas amplectar, quæ puram & incontaminatam à terra mensam sustinent, illic ego & sedebo viuus, & mortuus iacebo. Dei minister ego sum, ac sacrificus, ac fortasse animam ipsam sacrificare illi me conuenit: Neque verò aram illam incruentam Deus sacerdotis cruore pollutam negliget.

Εἴης κράτιστος ἐν λόγοις καὶ πράγμασιν,
Ὦ πᾶσα, Θαλέλαιε, παιδεία πρέπει.

Sermone præstes rebus & gestis precor
Quem cuncta Thalelae doctrina addecet.

A

SYNESII CONSTITVTIO, SIVE ELOGIVM Anysij.

CVM studium sapientiæ non alienum à ciuili conuersatione elegerim, & cultus omnium humanissimus inuitet atque inducat ad mores societatis amantes: B obaudiui vocatus à vobis, & gaudeo quòd didicerim qua de causa vrbes concurrerint inter se. Nam operæprecium ipsas facturas opinor, si & nunc & in posterum erga eos qui vltro beneficia in ipsas contulerunt, gratæ & sint & videantur. Quamobrem communes populi voces suscepimus, & cuiusque qui priuatim sermones habuit, omnes vtique laudibus extuli. Enimuerò par est me esse ex eorum numero, qui benè dictis certant. C quinetiam hæc ad me magis quàm ad alios attinent, quæ communia sunt: & gratiam pro singulis, pro ciue & ciuitate, ipse meo nomine debere iis qui benignè fecerint, existimo. Quidni enim is, quem pro communibus bonis preces fundere oportet, illi gratiam debeat, qui ipsa tum exercitu, tum alia cura ac solicitudine auxerit? Quî verò non quouis honore afficerem eum, qui vt voti compos forem, sudoribus perfecit? Equidem à Deo petij vt malè perirent mali, execrandi barbari. Hoc autem Anysij manus Dei virtute perfecerunt. Ex iis certè equitibus, qui supra mille nuper impressionem D fecerant, ne quintam quidem relictam esse partem aiunt tam illi ipsi qui inferiores fuerunt, quàm qui prostratos enumerauerunt, & adhuc superstites sunt. idque peregit non magnis copiis præfectus atque instructus: quippe quadraginta tantùm viri cum ipso stabant in acie. Atqui de iis profectò mali nihil dicam tam equitibus quàm peditibus, quibus tesseram frumentariam damus. Verùm hic putat Vnnigardarum operâ ad omnia esse vtendum: istos verò quorum maior est numerus, ne alienorum

ΣΥΝΕΣΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΚΥΡΗΝΗΣ κατάστασις.

ΟΥΤΕ φιλοσοφίαν ἀπολίτευτον προῃρημένος, καὶ τῆς φιλανθρωποτάτης θρησκείας ἐναγούσης εἰς ἦθος φιλόκοινον· ὑπήκουσά τε καλούμενος ὑφ' ὑμῶν, καὶ χαίρω μαθὼν ἐφ' οἷς αἱ πόλεις συνδεδραμήκατον. προὔργου γὰρ αὐταῖς οἴομαι καὶ νῦν καὶ ἐσύστερον, ἐς τοὺς ὑπάρξαντας ἔργων ἀγαθῶν εὐχαρίστοις τε εἶναι καὶ φαίνεσθαι. Ταῖς τε οὖν κοιναῖς ὑπεδεξάμην τοῦ δήμου φωναῖς, καὶ ὅστις ἰδίᾳ λόγον διέθετο, πάντας ὁμοῦ τοῖς ἐπαίνοις ἐπῄνεσα. ἀλλὰ κἀμὲ δεῖ γενέσθαι τῶν εὐλογούντων, κἀμοὶ προσήκει μᾶλλον ἑτέρων, καὶ τὰ κοινὰ, καὶ τὴν ὑπὲρ ἑκάστου χάριν, καὶ ἰδιώτου, καὶ πόλεως, αὐτὸς ὀφείλειν τοῖς εὖ τι ποιήσασιν οἴομαι· ὃν γὰρ ὑπὲρ τῶν κοινῶν ἀγαθῶν εὔξασθαι δεῖ, πῶς οὐκ ὀφλήσει χάριν τῷ διὰ στρατείας αὐτὰ καὶ τῆς ἄλλης ἐπιμελείας αὐξήσαντι; πῶς δὲ οὐ διὰ πάσης οἴσω τιμῆς τὸν, ἵνα τύχω τῆς εὐχῆς, ἱδρῶτι διαπραξάμενον; κακοὺς κακῶς ἀπολωλεκέναι τοὺς καταράτους βαρβάρους, ἐγὼ μὲν ᾔτησα τὸν Θεόν· αἱ δὲ Ανεσίου χεῖρες κατὰ Θεὸν ἐξειργάσαντο. τῶν γέ τοι πρῴην εἰσβεβληκότων ἱππέων, ὑπὲρ χιλίους ὄντων τὸν ἀριθμὸν, οὐδὲ πεμπτημόρια λείπεσθαι φασὶν οἱ πεπονθότες, αὐτοὶ οὗτοι ζῶσι τοὺς πεπτωκότας διαριθμησάμενοι. καὶ ταῦτα οὐ πολλοῦ στρατεύματος ἐξηγουμένου εἴργασται· ἀλλ' ἄνδρες αὐτῷ συμπαρετάττοντο τεσσαράκοντα. κἀγὼ μὲν οὐδὲν ἐρῶ φαῦλον οἷς σιτοδοτοῦμεν ἱππέων τε καὶ πεζῶν. οὑτοσὶ δὲ Οὐννιγάρδαις δεῖν οἴεται πρὸς ἅπαντα χρῆσθαι· τοὺς δὲ πολλοὺς τούτους, οὐδὲ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῶν ἀλλοτρίων ἔργων ἐπηγάγετο θεατάς. οὗτοι χωροῦσιν αὐτοῦ μόνου τὰ στρατηγήματα. τούτων ἐστὶ λοχίτης καὶ λοχαγός· τούτων ἐστὶ συστρατιώτης καὶ στρατηγός· μετὰ τούτων τρέχει διὰ τῆς χώρας δρόμον ἔνοπλον. ταχὺ μὲν ἁπανταχοῦ γίνεται· νικᾷ δὲ ὅπου καὶ γένοιτο. οὗτοι πλείους εἰ γένοιντο πρὸς οἷς ἔχομεν διακόσιοι, μετὰ τοῦ Θεοῦ θαῤῥῶν ἀποφαίνομαι, τουτονὶ τὸν νεανίαν εἰς τὴν ἐκείνων διαβιβάσειν τὸν πόλεμον. Ἀνυσίῳ στρατηγῷ διακοσίους Οὐννιγάρδας αἰτήσομεν, εἰ μελλόμεν ἐπανάξειν ἀπὸ τῆς βαρβάρου τοὺς συγγενεῖς. εἴθε γενοίμην λαφύρων ἰδεῖν νομὴν, ἀνδραπόδων βαρβαρικῶν τὸν τέως δεσπότην ἀντιδουλεύοντα! ταῦτα πρώην μὲν εὔξασθαι ῥᾷον ἦν· νῦν δὲ ἔστιν αὐτὰ καὶ ἐλπίσαι. τὰ γὰρ ἐν ὀφθαλμοῖς πιστὰ, τῶν προσδοκωμένων ἐνέχυρα γέγονε. πρὸς δὲ ταῦτα Ἀνυσίου δεῖ τῶν διακοσίων ἡγουμένου. οὗτος Οὐννιγάρδαις κεχρῆσθαι καὶ φύσιν ἔχει καὶ τέχνην. δύναται τοὺς ἄνδρας ἐξοπλίζεσθαι καὶ μεταχειρίζεσθαι. Οὐννιγάρδαι μετὰ Ἀνυσίου Ῥωμαϊκαὶ χεῖρές εἰσιν· ἄνευ δὲ τούτου καὶ τοὺς τεσσαράκοντα τοὺς παρόντας ἐπαινεῖν μὲν ἔχω τῆς ῥώμης, ἐγγυήσασθαι δὲ τῆς γνώμης οὐ βούλομαι. ἀναφορὰ στελλέσθω περὶ τούτου πρεσβεύουσα, στρατιώτας καὶ χρόνον αἰτοῦσα τῷ γενναίῳ. καὶ τἆλλ' ὁποῖος ἀνήρ; τὸν ἐπὶ εἰρήνης δὲ πόλεμον, τὸν μικροῦ τοῦ βαρβαρικοῦ χαλεπώτερον, τὸν ἐκ τῆς στρατιωτικῆς ἀταξίας καὶ τῆς τῶν ταξιάρχων πλεονεξίας, οὐχ οὗτος ὁ παύσας ἐστίν; ἐφ' οὗ μόνου γε τῶν πολλῶν στρατηγῶν ἰδιώτης ἠδικημένος, μεῖζον στρατιώτου φθέγγεται. τίνα δὲ ἔξεστι καλεῖν ἀδωρότατον; οὐ τὸν ὑπερορῶντα καὶ τῶν ἀπὸ τοῦ νόμου κερδῶν; ὁ θεοσεβὴς δὲ τίς ἂν γένοιτο μᾶλλον, ἢ ὅστις ἁπάντων ἔργου καὶ λόγου θεόθεν ἄρχεται; ἀνθ' ὧν ἁπάντων ἔξεστι δὴ πᾶσι κἀνθάδε προσεύξασθαι γῆρας αὐτῷ βαθὺ καὶ λιπαρὸν παραμένειν, τοῖς ἐνιαυτοῖς συμπροϊούσης τῆς ἀρετῆς.

A quidem operum spectatores induxit: Vnnigardæ ipsius solius bellica acta & consilia percipiunt. Eorum est manipularius & cohortis ductor: eorumdem commilito & imperator: cum his excurrit per campum, cursu in armis confecto. Celeriter vbique locorum est: vincit autem vbicumque adfuerit. Quòd si hi plures essent, putà præter eos quos habemus, ducenti, Dei fretus ope audeo asseuerare, hunc animosum Iuuenem in Barbarorum terram bellum traiecturum. Quare Anysio Duci ducentos Vnnigardas poscemus, si cogitemus & velimus B consanguineos à Barbarorum regione reuocare. Vtinam possem videre spoliorum aceruum, & prædam mancipiorum Barbaricorum, atque eum qui nuper Dominus erat, vicissim aliis seruientem! Hæc nudius quidem tertius optare facilè erat: nunc verò etiam sperare eadem integrum est. Nam quæ oculis subiecta fidem faciunt, eorum quæ expectantur pignora facta sunt. verumtamen ad hæc obtinenda Anysio ducentorum præfecto opus est. Hic Vnnigardis vtendi & indolem habet & artem: & idem potest viros exarmare, excastrare, & vt lubet, regere. Vnnigardæ cum Anysio, Romanæ sunt manus, C Romana militia. Iam sine isto, quadragenos etiam præsentes laudare quidem possum ob robur: sed pro ipsorum animo spondere nolim. Relatio adornetur quæ de Anysio oret, & milites & tempus poscat strenuo huic viro. At in cæteris qualem se præbuit? Bellum pacis tempore exortum, & hoc barbarico paulò molestius ex militum immodestis ac turbulentis deliciis, atque auaritia insolentiáque Ducum excitatum: nonne hic est qui compescuit & oppressit? Sub quo solo è multis Ducibus, priuatus iniuria affectus liberiùs & altiùs clamat, quàm miles. D Quem porrò licet alienum à muneribus accipiendis, & abhorrentem dona, vocare? Nonne eum qui despicit etiam lucra, quæ lege obueniunt? Religiosior verò quisnam potius foret quàm is, qui omnia facta & dicta à Deo orditur? Pro his certè omnibus fas est cunctos etiamnum Deum precari, vt senectus ipsum prouecta & viridis maneat, eius virtute simul cum annis progressum faciente.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A

SYNESII SERMO DE DONO ASTROLABIJ AD PÆONIUM.

Ex interpretatione FED. MORELLI *Professoris Regij.*

CVM non ita pridem te philosophię vicem grauiter ferre, & conqueri audirem, quòd finem nullũ aut modum facerent homines impiè se erga eã gerendi: tum quòd tã tristi & difficili fortuna vteretur, tãmque iniqua atq; ingrata: cùm qui hanc simulatam affectant, ob crebras præstigias, celebrentur magniq; fiant, tam apud proceres ac potentes, quàm in populo: sed iis qui verè eam profiteantur, fides non adhibeatur, nec pluris quam Cares æstimētur: admiratus sum iure iustum animi tui impetum; is enim motus à generosa planè natura fuit. Veruntamen succensere quẽquam oportere nõ existimo, si quid vt ratio fert, eueniat. Iam verò rationi consentaneum est, vnumquemque ea consequi, quæ vt obtineret elaborauit, & iu quibus occupatus fuit: & contrà non assequi ea quæ neque appetiuit vnquam, neque vt sibi adessent curę habuit. Quoniam ergo alius hoc studuit egitq; vt sapiens esset, alius autem vt is videretur tantum; vterque certè id habet quod ei cõpetit, cùm hic quidem re vera est, ille videtur esse. Quidni verò illi grauius affligerētur, & iustius indignarentur, qui ex ea quæ reapse non est Philosophia, sed eius solùm speciem præ se fert, gloriam aucupantur, si iis quidem vtrumque suppetat, qui de altero tantum solliciti fuerunt: ipsis autem neutrum succurrat? tamen etsi ei quod facillimum est non minore cura studuerint, atque incubuerint, nempe vt decipiant eos qui ea non norunt in quibus decipiuntur. Hi igitur splendidi & illustres sanè sunto, & in theatris coronentur, si lubet: à veritate enim cùm deflexerint, de nomine controuersiam mouerunt. Nobis verò qui despicimur (quandoquidem tu me vis iis qui è rariore genere sunt annumerare,

ΣΥΝΕΣΙΟΥ ΤΟΥ ΚΥΡΗΝΑΙΟΥ ΠΡΟΣ Παιόνιον ὑπὲρ τοῦ δώρου λόγος.

ΑΚΟΥΩΝ σου πρώην ὑπὲρ φιλοσοφίας ἀγανακτοῦντος, εἰ μηδὲν ἔσται πέρας
B ἀνθρώποις τῆς εἰς αὐτὴν ἀσεβείας, καὶ ἅμα ὅτι χαλεπῇ χρῷτο τύχῃ, καὶ λίαν ἀγνώμονι, ἵν᾽ οἱ μὲν παραποιούμενοι, διὰ συχνῆς τερατείας εὐδοκιμοῦσι παρά τε δυνάσταις καὶ ἐν τοῖς πλήθεσιν. οἱ δὲ ἀληθεύοντες ἀπιστοῦνται, καὶ ἐν Καρὸς μοίρᾳ τιμῶνται, τῆς μὲν ὁρμῆς ἠγάμην· ἀπὸ γὰρ
C πάνυ γενναίας προῆκτο φύσεως. οὐ μὴν ἀγανακτεῖν γε οἴομαι δεῖν, ὅταν τι κατὰ λόγον συμβαίνῃ· εὔλογον δὲ δήπου τυγχάνειν ἕκαστον, ὧν τυχεῖν ἐσπούδακεν, καὶ περὶ ἃ πεπραγμάτευται· καὶ ἀποτυγχάνειν αὖ πάλιν ἐκείνων, ὧν οὔτε ὠρέχθη ποτὲ, οὔτε ἐπεμελήθη ὅπως ἂν αὐτῶν περιγένοιτο. εἰ τοίνυν ὁ μὲν ἐφρόντισεν τοῦ γενέσθαι σοφὸς, ὁ δὲ μόνον τοῦ δόξαι, ἑκάτερος τὸ προσῆκον ἔχουσιν, ὁ μὲν ὤν, ὁ δὲ εἶναι δοκῶν. τί δῆτα γ᾽ ἂν πάθοιεν καὶ δικαιότερον ἀγανακτοῖεν, οἱ διὰ
D τῆς οὐκ οὔσης, ἀλλὰ φαινομένης φιλοσοφίας, δόξαν θηρώμενοι, εἰ τοῖς μὲν ἑκάτερον ὑπάρξει θατέρου φροντίσασιν, σφίσι δὲ μηδέτερον. καίτοι τὸ ῥᾷστον οὐ δι᾽ ἐλάττονος ἐπιμελείας ἐπιτετηδεύκασιν, ἀπατῆσαι τοὺς οὐκ εἰδότας περὶ ὧν ἀπατῶνται. οὗτοι μὲν οὖν ἔστων λαμπροὶ, καὶ τοῖς θεάτροις στεφανούσθων, εἰ βούλονται. τῆς γὰρ ἀληθείας παραχωρήσαντες, ὀνόματος ἠμφισβήτησαν. ἡμῖν δὲ ὀλιγωρουμένοις, ἐπειδή σύ με βούλει τοῖς ἐκ τοῦ σπανίου γένους συναριθμεῖν,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ οὐχ ἥκιστα δι' ἐμὲ τὴν φιλοσοφίας τύχην ἐδυσχέρανας· ἡμῖν οὖν ἀμελουμένοις ὑπὸ τῶν ἀνθρώπων ἀγαπητέον τὴν τάξιν, εἰς ἣν ὑφ' ἑαυτῶν ἐτάχθημεν· καὶ οὐ ζηλωτέον, οὐδὲ μακαριστέον τοῖς ἡμιπαιδεύτοις τούτοις, ὅταν ὑπὸ τῶν παντελῶς ἀπαιδεύτων μετέωροι φέρωνται. οὔτε γὰρ ὁρᾶν ψυχῆς ἐκκεκαθαρμένης κάλλος οἱ μὴ καθαροὶ δύνανται· καὶ τὸ κηρύττειν ἑαυτὸν, καὶ πάντα ποιεῖν ὑπὲρ ἐπιδείξεως, οὐ σοφίας, ἀλλὰ σοφιστείας ἐστίν. διὸ τῆς παρὰ πολλῶν ἀμοιροῦντας αἰδοῦς καλῶς ἔχει λέγειν,

Οὔτι με ταύτης χρεὼ τιμῆς·
Φρονέω δὲ τετιμῆσθαι Διὸς αἴσῃ· (Ἰλ. ι.)

ἀγαπᾶν τε καὶ διασμενίζειν, ἐντυχεῖν ἀνδρὶ φρόνησιν ἅμα καὶ δύναμιν κεκτημένῳ. οὕτω γὰρ οὔτ' ἀναξίοις ἂν συγγινοίμεθα, οὔτ' ἂν ἄτιμοι παντάπασιν νομιζοίμεθα. πῶς οὖν οὐ μέλλω τὴν μέσην ἐν τῇ ψυχῇ χώραν τῷ θαυμαστῷ Παιονίῳ νέμειν, ὃς ἐκ πολλοῦ διατετειχισμένας θριγκοῖς μεγάλοις, φιλοσοφίαν καὶ στρατείαν, ἐξεῦρεν ἐπαναγαγεῖν καὶ συνάψαι, παλαιάν τινα ἐνιδὼν τοῖς ἐπιτηδεύμασι τούτοις συγγένειαν; Ἰταλία μὲν γὰρ πάλαι τοὺς αὐτοὺς ἔχουσα Πυθαγόρου τε ἀκουστὰς, καὶ τῶν πόλεων ἁρμοστὰς, Ἑλλὰς ἡ μεγάλη προσηγορεύετο· καὶ μάλα ἐν δίκῃ· παρ' οἷς Χαρώνδας μὲν ἐνομοθέτει, καὶ Ζάλευκος, ἐστρατήγουν δὲ Ἀρχύται καὶ Φιλόλαοι, ὁ δὲ ἀστρονομικώτατος Τίμαιος ″ ἐπολιάρχει τε καὶ ἐπρέσβευε, καὶ τἄλλα ἐπολιτεύετο· παρ' οὗ καὶ Πλάτων ἡμῖν περὶ κόσμου φύσεως διαλέγεται. ταῦτ' ἄρα μέχρις ἐνάτης ἀπὸ Πυθαγόρου γενεᾶς τὰ κοινὰ πιστευθέντες, εὐδαίμονα τὴν Ἰταλίαν διετήρησαν. καὶ μὴν τὸ Ἐλεατικὸν Ἀθήνησι διδασκαλεῖον, λόγων τε ἅμα καὶ ὅπλων ὁμοτίμως ἐπεμελήθησεν. Ζήνων τε γὰρ οὐδ' ἂν ἀριθμήσαις ῥᾳδίως ὅσας ἐξέκοψε τυραννίδας, στήσας ἐπ' αὐτὰς ″ τὸ ὑγιαῖνον τῶν πόλεων. καὶ Ξενοφῶν ἀπειρηκότας ὑπὸ τῶν συμφορῶν καὶ θανατῶντας ἤδη τοὺς μυρίους παραλαβὼν, ἀπ' ἄκρας τῆς Περσῶν ἐπικρατείας κατήγαγε νικῶντας ἅπαν τὸ ὑφιστάμενον.

(marg.: ἐπολι-χ. — αὐταῖς.)

& propter me potissimum de sorte philosophiæ succensens conquestus es) nobis igitur, qui ab hominibus contemnimur, amplexandus locus est, in quem ipsimet nos constituimus: neq; æmulari, nec beatos putare illos semidoctos debemus, quòd à planè indoctis in altum euehãtur. Nam perpurgati animi decus & pulchritudinem intueri nequeunt, qui puri non sunt: & præconem sui esse, atque ad ostentationem & pompam omnia facere, non sapientiæ est, sed sophisticæ versutiæ. Quocirca eos qui à vulgo honorem, reuerentiámque non obtinent, præclarum rectúmque fuerit dicere,

Nil moror hunc ego honorem:
Iuppiter, vt spero, ingenti me ornabit honore.

Præclarè etiam secum agi existiment, & in sinu gaudeant si eum nacti fuerint virum, qui prudentiam simul & potentiam possederit. Sic enim neque cum indignis versabimur, neque ignobiles atque inglorij omninò censebimur. Cur ergo cunctarer tribuere intimum in animo locum admirabili Pæonio nostro, qui longo iam tempore sepimentorum tectorúmque interuallis inter se distinctas Philosophiam & rem militarem, vnum in locum adducere, & inter se copulare orsus est, cùm antiquam horum studiorum cognationem esse acutè obseruasset? At enim cùm Italia quondam eosdem haberet & Pythagoræ auditores, & ciuitatum rectores, Magna Græcia cognominabatur: nec id iniuria, quippe cùm apud eas gentes Charondas quidem & Zaleucus leges conderent: bellorum autem duces essent Archytæ & Philolai: princeps autem ille Astronomorum Timæus vrbi præficeretur, & legationes obiret, aliisque ciuilis administrationis muneribus fungeretur: quo etiam autore Plato nobis de mundi natura disputationem instituit. Cùm igitur horum fidei Respublica credita fuisset, ad nonam vsque à Pythagora ætatem, beatam ac florentem Italiam conseruarunt. Et certè Elæatica Athenis Schola literas simul & arma, pari honore, curæ habuit. Nam haud facilè numeraueris quàm multas tyrannides Zeno exciderit, & pro his integrum statum ciuitatibus constabiliuerit. Xenophon autem decem millium exercitũ qui sub calamitatib. desperassent, & oppressi iam occubuissẽt, ab extrema regni Persici ora acceptos reduxit, vincentes omne quod ipsis aduersaretur.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

At quid iam de Dione aliquis dicat, quòd adiit Dionysij principatum: qui Græcas quidem in Sicilia vrbes seruituti addixerat, neque potentia & autoritate minimas è Barbaris; tum Carthaginensium fastum depresserat; iam verò vsque ad oram maritimam Italiæ grassabatur? Contra hanc Monarchiam collectis externorum copiis, Platonis ille amator, & à Platone amatus, cùm in vnam nauem, & illam quidem rotundam, totum sociorum exercitum collocasset, in Siciliam adnauigauit. Ab hoc igitur tanto apparatu & Dionysius expulsus fuit; & tum Rempublicam Dion in præstantiorem formam redegit, cùm legum imperio ciuitates restitueret. Ita sociatæ olim Philosophia & ciuilis administratio fuére: & vbi sic conuenêre, tantas res præstiterunt. Porrò, sicut aliæ res honestæ & graues, aduersùs quas vniuersas tempus vim petulantem exercuit: ita hoc etiam duplex genus succedentem hominum ætatem destituit, & à posteris fuit seiunctum. Vndenam ergo ne dici quidem honestè queat, quo modo res humanæ se habeant? Nunquid verò ex eo, quòd hæc & alia nos deseruerunt bona? Nulla siquidem vrbibus contingere potest grauior calamitas, quàm si robur habeant mentis inops, & prudentiam sine viribus. At enim ipse hoc aggressurus videris, vt copulam hanc ad nos reuoces. Nam & publica negocia tibi committuntur; & Philosophiæ operam dandam esse existimas. Hâc perge, macte animo, vt pulchrum certamen pro nobis & pro Musis decertes: ne quis has vt vanas, inefficaces, & mancas, foro militiáque exagitet, ac si nihil conducerent ad serias actiones, quæ sub aperto cœlo geruntur, scitæ autem sint ad delicias & ludicra puerilia, atque nugas effutiendas. Nos etiam tibi manum opitulatricem porrigere par est singulos, quantùm quisque conniti poterit. Sic enim absolutus sapiens fueris, non inchoatus, neque imperfectus & mutilus, vt qui eo solo euehitur, quod à natura suggeritur. Et cum Republica quoque præclarè agatur, cùm tales huius cura gerent: nobis hoc in bonum vertet, honorem ab hominibus Philosophiæ despondisse, iis moribus perseuerando qui decori sunt. Nam ita verisimile existet contrarium ei verisimili, quod paulò antè expositum fuit, cùm multitudinis inscitiæ & ruditati gentem So-

A τί δ᾽ ἂν τις εἴποι, τὸ, Δίωνα ἐπὶ τὴν Διο-
νυσίου μοναρχίαν ἐλθεῖν, δουλωσαμένην
μὲν τὰς ἑλληνίδας ἐν Σικελίᾳ πόλεις;
οὐκ ἐλαχίστας δὲ ἐν ἀρχῇ, καὶ βαρβά- κ. αὐτῇ.
ροις· τὸ δὲ Καρχηδονίων φρόνημα καθε-
λοῦσαν, ἐπινεμομένην δὲ ἤδη τῆς Ἰταλίας
τὴν παραλίαν; ἀλλ᾽ ἐπὶ ταύτην ξενολο-
γήσας ὁ Πλάτωνος ἐραστὴς, καὶ ἐρώμενος, ἑ-
νὶ πλοίῳ, καὶ τούτῳ στρογγύλῳ, τὸ συμμα-
χικὸν ἅπαν ἐμβιβάσας, τῇ Σικελίᾳ προσ-
έπλευσεν· καὶ ἀπὸ τῆς τοσαύτης παρα-
B σκευῆς Διονύσιος μὲν ἐξηλαύνετο, τὴν πο-
λιτείαν δὲ Δίων μετεσχημάτιζεν, ἀποδιδοὺς
τῇ τῶν νόμων ἡγεμονίᾳ τὰς πόλεις. οὕτω
πάλαι μὲν συνεγίνοντο φιλοσοφία καὶ πο-
λιτεία, καὶ ἐπειδὰν συνέλθοιεν, τοιαῦτα
εἰργάζοντο. ὥσπερ δὲ τὰ ἄλλα τὰ καλὰ
καὶ σεμνὰ, καθ᾽ ὧν ἁπάντων ὁ χρόνος ἐνε-
ανιεύσατο· καὶ τοῦτο κατιόντα τὸν βίον ἀ-
πέλιπε τὸ διττὸν εἶδος, καὶ κατεχωρίσθη πα-
ρὰ τὴν ὑστέραν. τοιγαροῦν οὐδὲ ἄξιον εἰ-
πεῖν, ὅπως ἔχει τοῖς ἀνθρώποις τὰ πρά-
C γματα; μὴ γὰρ διότι τοῦτο καὶ τἄλλα ἡ-
μᾶς ἀπολέλοιπεν ἀγαθά· ὡς οὐδὲν ἂν γέ-
νοιτο πόλεσι δυστύχημα μεῖζον, τοῦ τὸ μὲν
ἰσχυρὸν ἀνόητον ἔχειν, τὸ δ᾽ ἔμφρον ἀδύ-
νατον. ἀλλ᾽ ἔοικας γὰρ αὐτὸς ἄρξειν " ἐπα- ἴσ. ἄρξαι
νάγειν ἡμῖν τὸν συνδυασμὸν τοῦτον. τάτε γὰρ
κοινὰ πράττειν " πιστεύῃ, καὶ φιλοσοφίαν οἴει κ. πιστεύ
δεῖν ἐπιτηδεύειν. βάλλ᾽ οὕτως, ὡς ἀγῶνα
καλὸν ὑπέρ τε ἡμῶν, ὑπέρ τε μουσῶν ἀ-
γωνίζῃ, τοῦ μή τινα αὐτὰς ὡς ἀπράκτους
καὶ ἀχρείας ἀγορᾶς τε καὶ στρατείας ἀπε-
λαύνειν, ἅ τε μηδὲν μὲν ὄφελος οὔσας ἐς τὰς
D ἐν ὑπαίθρῳ πράξεις, κομψὰς δὲ παι-
δαρείοις προσαθύρειν τε καὶ στωμύλλεσθαι. καὶ
ἡμᾶς σοι προσήκει χεῖρα ὀρέγειν ἑκάστους, ὅση
δύναμις. οὕτω γὰρ ἂν σύ τε ἀπειργασμένος
εἴης, οὐχ ἡμιτελὴς σοφὸς οὐδὲ κολοβὸς, ἐπὶ
μόνοις ὀχούμενος τῆς φυσικῆς ὑποθέσεως· τῇ
τε πολιτείᾳ καλῶς ἂν ἔχοι παρὰ τοιούτων
ἐπιτροπεύεσθαι, καὶ ἡμεῖς ὀνησόμεθα, ἡμῶν
ἐξ ἀνθρώπων φιλοσοφίᾳ μνηστεύσαντες με-
τὰ τοῦ μένειν ἐν ἤθεσι πρέπουσιν. γένοιτο γὰρ
ἂν οὕτως εἰκὸς τοὐναντίον τῷ μικρῷ πρόσθεν
εἰκότι, ὅτε τῇ μὲν τοῦ πλήθους ἀμαθίᾳ τὸ σο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φιστικὸν φῦλον ἐλέγομεν ἐπιτίθεσθαι· ἐκ δὲ τούτου, συμβαίνειν τοὺς ἀληθεῖς φιλοσοφίας συντρόφους, ἔλαττον ἔχειν εἰς δόξαν τῶν ὑποβολιμαίων καὶ παρεγγράπτων. ἀλλ᾽ ὅταν οἱ τὰς ἀρχὰς ἄρχοντες, καὶ διὰ χειρὸς ἔχοντες τὰ τῶν πόλεων πράγματα, μὴ τοῦ πλήθους ὦσιν, ἀλλ᾽ ἔχωσι νοῦν, ταχὺ διαγνώσονται τὸν νόθον τε καὶ τὸν γνήσιον· καὶ οὐκ ἔτ᾽ ἂν χαλεπῶς ὁ δῆμος τὴν ἀπάτην μεταδιδάσκοιτο. οὐ γὰρ εἰπεῖν τι δεῖ πρὸς αὐτούς, ἀλλ᾽ ἀφανείᾳ διαχαράξαι τοὺς κιβδήλους. καὶ φύσις ἐστὶ διὰ τῆς τῶν ἀρχομένων συγκαταθέσεως θαυμάζεσθαι τὸ ἡγούμενον. ἐπεὶ καὶ νῦν οὐχ ἥκιστα τῇ τῶν πραγμάτων ἀτοπίᾳ τὸ πλῆθος ἑπόμενον τοὺς ἀκερσικόμας, καὶ πάντας τοὺς τολμητὰς, πρωτεῖς δή τινας ἥγηνται· τά τε ἄλλα ποικιλώτερα γένη τῶν σοφιστῶν μονονουχὶ σέβονταί τε καὶ ἅζονται, καὶ μάλιστα αὐτῶν ὅσοι βαίνουσι κορύνῃ, καὶ πρὸ τοῦ φθέγξασθαι χρέμπτονται. οὐκοῦν καὶ βοηθήσεις τῇ τύχῃ φιλοσοφίας, ἀλλ᾽ οὐ κατηγορήσεις αὐτῆς οὐδὲν ἀδικούσης. τὸ γὰρ εἰκὸς ἐφάνη γινόμενον, ὃ σὺ μεταθήσεις ἐπὶ τὸ προσῆκον καὶ βέλτιον, ὅταν ἐρρωμενέστερόν σου τὰ φιλοσοφίας ἀνθάψηται. ἐπεὶ μηδὲ νῦν ἀγεννῶς ἐνῆρξας τῆς συμμαχίας, τοὺς κύνας ἀνθυλακτήσας, καὶ τὴν Δεκέλειαν ἡμῶν ἀποτειχίζειν ἐπιβαλόμενος. πυθόμενός τε οὖν περί σου παρὰ τῶν προλαβόντων ἐπὶ τὴν σὴν συνήθειαν, καὶ αὐτὸς δι᾽ ὀλίγου κατανοήσας ἐρῶ τοὺς ἀστρονομικοὺς σπινθῆρας ἐνόντας σου τῇ ψυχῇ τούτους ἐξάψαι, καὶ ἐπὶ μέγα ἆραι διὰ τῶν ἐνόντων ἐπιβαλλόμενος. ἀστρονομία γὰρ αὐτή τε ὑπέρσεμνός ἐστιν ἐπιστήμη, καὶ τάχ᾽ ἀναβιβασμὸς ἐπί τι πρεσβύτερον γένοιτ᾽ ἄν. ἣν ἐγὼ προσεχὲς ἡγοῦμαι πορθμεῖον τῆς ἀπορρήτου θεολογίας. ὕλην τε γὰρ ὑποβέβληται τὸ μακάριον οὐρανοῦ σῶμα· οὗ καὶ τὴν κίνησιν, νοῦ μίμησιν εἶναι, τοῖς κορυφαιοτάτοις ἐν φιλοσοφίᾳ δοκεῖ· καὶ ἐπὶ τὰς ἀποδείξεις οὐκ ἀμφισβητησίμως πορεύεται· ἀλλ᾽ ὑπηρέτισι χρῆται γεωμετρίᾳ καὶ ἀριθμητικῇ, ἃς ἀστραβῆ τῆς ἀληθείας κανόνα τις εἰπὼν, οὐκ ἂν ἁμάρτοι τοῦ πρέποντος. προσάγω δή σοι δῶρον, ἐμοί τε δοῦναι,

A phistarum insidiari diximus: vnde vsu eueniat, vt veri Philosophiæ alumni minùs honorentur quàm subditítij, & adscriptitij. Cùm autem ij qui magistratus gerunt, & ciuitatum negotia tractant, non quidam è vulgo fuerint, sed intelligentes homines, confestim illi discernent spurium à vero & legitimo: neque iam difficile populo esset errorem suum dediscere. non enim dicere his quicquam oportet, verùm ignobilitatis notâ inducere improbos & adulterinos. Et naturâ comparatum est, vt is qui præficitur, ex plena subditorum assensione, in admirationem veniat. B Quandoquidem etiamnum maximè rerum absurditate vulgus adhærens, cirratos, intonsos & omnes audaciores, primos & eximios quosdam viros esse censet. Reliqua autem, magis varia & callidiora Sophistarum genera tantùm non omni cultu & veneratione prosequuntur, eos præsertim qui cum clauâ aut scipione incedunt, & sputa antequàm verba fundunt. Quare & iniquæ sorti, qua Philosophia vtitur, succurres, neque illam criminaberis, quæ iniuriam non facit. Nam quod æquum & consentaneum est, id apparuit fieri. Hoc tu transferes ad id quod magis decorum & præstantius C est, quando valentiùs & flagrantiùs te Philosophica corripuerint: cùm ne nunc quidem segniter propugnationem adortus sis: quippe qui canibus latrantibus allatrasti, & Deceliam nobis muro cingere cœpisti. Hæc igitur cùm acceperim de te ab iis, qui ante me in familiaritatem tuam venerunt, & ipse paruæ consuetudinis vsu animaduerterim, aueo astronomicas illas in animo tuo insidentes scintillas incendere, & in altum per ea quæ adsunt conor exaggerare. Astronomia enim summè honesta & veneranda scientia est, ac fortasse ad antiquius aliquid D traductio & sublatio esse possit: quam ego continentem quendam traiectum esse opinor cum recondita Theologia. Nam subiectam materiam habet beatum illud Cœli corpus, cuius etiam motum mentis imitationem habere nobilibus & claris in philosophia viris videtur, & ad demonstrationes non controuerso modo se confert: sed administris vtitur Geometria & Arithmetica, quas si quis inerrantem & non fallentem veritatis regulam appellarit, haud quaquam à decoro aberrarit. Offero igitur tibi munus, quod & me date,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A & te accipere maximè deceat: opus quidem excogitationis nostrę, quantum mihi in hoc genere cõtulit & suppeditauit colendissima magistra: manus autem ex iis quæ apud nos sunt ad argenteũ opificium elaborandum præstantissimæ. De quo si præfatus aliquid fuero, operæprecium quod sit ad notitiam scopi, præstitero. Scopus autem est, naturæ in te ad Philosophiam incitationes impetúsq; prouocare. Quòd si cupiditas te incesserit intentos oculos admouendi iis quæ apparent, tunc maius tibi munus porrigam de iis quæ ad ipsam scientiam referuntur. Sed vt nunc B etiam aduertas mentem iis quæ dicuntur, de eo quod demonstratur, globosæ superficiei complanationem in figuræ diuersitate proportionem rationum conseruare eandem, de hoc quidem subobscurè notauit aliquid Hipparchus ille perantiquus, & primus huic contemplationi incubuit: Nos verò (nisi fortè grandius hoc sit quàm vt id nobis tribuamus) vsque ad extremam fimbriæ oram pertexuimus & absoluimus, cùm plurimo illo interiecto tempore problema neglectum fuisset: quòd summus ille Ptolemæus, & diuinum istud collegium suc- C cessorum eius, illo tantùm vsu contenti fuerint, quem ad nocturnarum horarum spectationem præstandam sedecim illæ stellæ suppeditant, quas solas Hipparchus trãsferens posuit in organo. Venia tamen concedẽda viris, cùm eæ res, quæ maioris momenti emolumentique erant, tum essent inabsolutæ; & veluti adhuc ab vbere pendens & tenella Geometria, si in hypothesibus laborarint. Nos autem pro elaborato pulcherrimo corpore scientiæ huius, cùm id sine vllo labore nostro traditum acceperimus, gratiam habemus illis qui præmonuerunt beatis viris: non tamen à Philosophia alienum studium du- D cimus, & expolitiones speciosas modò introducere, atque arte moliri quippiam, & amplius atque elegantius aliquid perficere. Quemadmodum enim vrbes cùm conduntur, ad necessaria tantùm quæ sunt respiciunt, quomodo conseruari & durare possint: augescentes autem non amplius necessariis illis contentę sunt, sed maxima pars impẽdiorum iam in porticus speciosas & gymnasiorum amplitudinem trãsfertur, & fori splendorem. Ita scientiæ aditus consistit in rebus necessariis, incremẽtum autẽ in excellẽtioribus. Hãc ergo de explanatione globi cõsideratione, cùm

A σοί τε λαβεῖν πρεπωδέστατον· διανοίας μὲν ἔργον ἐμῆς, ὅσα μοι συνεπόρισεν ἡ σεβασμιωτάτη διδάσκαλος· χειρὸς δὲ τῆς καθ' ὑμᾶς εἰς δημιουργίαν ἀργύρου τῆς ἀρίστης, περὶ οὗ προδιαλεχθεὶς περιέργου ἂν τοῦ σκοποῦ ποιησαίμην. ὁ δὲ σκοπὸς, τὰς ἐν σοὶ φυσικὰς περὶ φιλοσοφίαν ὁρμὰς ἐκκαλέσασθαι. εἰ γὰρ ἔφεσίς σοι παραγένοιτο τοῦ συντείνοντα τὰς ὄψεις ἐπιβαλεῖν τοῖς φαινομένοις, τότε σοι μεῖζον ὀρέξω δῶρον, τὰ περὶ τῆς ἐπιστήμης αὐτῆς. ἀλλ' ὅπως καὶ νῦν B προσέξεις τοῖς λεγομένοις περὶ τοῦ δεικνυμένου· σφαιρικῆς ἐπιφανείας ἐξάπλωσιν, ταυτότητα λόγων ἐν ἑτερότητι τῶν σχημάτων τηροῦσαν. ᾐνίξατο μὲν Ἵππαρχος ὁ παμπάλαιος, καὶ ἐπέθετό γε πρῶτος τῷ σκέμματι. ἡμεῖς δὲ εἰ μὴ μεῖζον ἢ καθ' ἡμᾶς εἰπεῖν, ἐξυφήναμέν τε ἄχρι τῶν κρασπέδων αὐτὸ, καὶ ἐπετελειώσαμεν, ἐν πλείστῳ δή τινι τῷ μεταξὺ χρόνῳ τοῦ προβλήματος ἀμεληθέντος, Πτολεμαίου τοῦ πάνυ καὶ τοῦ θεσπεσίου θιάσου τῶν διαδεξαμένων, αὐ- C τὴν μόνην ἔχειν ἀγαπησάντων τὴν χρείαν· ἣν ἀρκοῦσαν εἰς τὸ νυκτερινὸν ὡροσκοπεῖον οἱ ἑκκαίδεκα ἀστέρες παρείχοντο, οὓς μόνους Ἵππαρχος μεταθεὶς ἐγκατέταξε τῷ ὀργάνῳ. καὶ συγγνώμη δὲ τοῖς ἀνδράσιν τῶν περιεργοτέρων ἀτελῶν ὄντων, γεωμετρίας ἔτι τιθηνουμένης, περὶ τὰς ὑποθέσεις ἀσχοληθῆναι. ἡμεῖς δὲ ὑπὲρ τὸ σῶμα πάγκαλον ἐξεργάσασθαι τῆς ἐπιστήμης, ἀπόνως αὐτοὶ παραδεξάμενοι, χάριν ἴσμεν τοῖς προηγορηκόσι τῶν μακαρίων ἀνδρῶν. οὐ μὴν ἀφιλόσοφον φιλοτιμίαν ἡ- D γούμεθα τὸ καὶ ὡραϊσμούς ἐπεισαγαγεῖν ἤδη τινὰς, καὶ τεχνιτεῦσαί τι, καὶ προσεξεργάσασθαι περιττόν. ὥσπερ γὰρ αἱ πόλεις οἰκιζόμεναι πρὸς τὰ ἀναγκαῖα μόνα ὁρῶσιν, ὅπως ἂν σώζοιντο, καὶ ὅπως ἂν διαγίνοιντο· ἐπιδιδοῦσαι δὲ οὐκ ἔτ' ἀγαπῶσι τὸ ἀναγκαῖον, ἀλλ' ἡ δαπάνη πλείων αὐταῖς εἰς κάλλη στοῶν καὶ γυμνασίων "μετετέθη καὶ λαμπρότητα ἀγορᾶς· (γ. μεγ.) οὕτως ἐπιστήμης ἡ μὲν πρόοδος ἐν τοῖς ἀναγκαίοις, ἡ δὲ αὔξησις ἐν τοῖς περιττοῖς. τὸ "δὴ σκέμμα τὸ περὶ τῆς ἐξαπλώσεως, αὐτὸ (γ. δὴ) δι' αὑτὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δι᾽ αὐτὸ φροντίδος ἀξιώσαντες, ἐξεπονήσαμέν τε, καὶ σύγγραμμα εἰργασάμεθα, πλήθει τε ἀναγκαίῳ καὶ ποικιλίᾳ θεωρημάτων αὐτὸ καταπυκνώσαντες· καὶ εἰς ὕλην μεταθεῖναι τοὺς λόγους σπουδὴν ἐθέμεθα, ἄγαλμα πάγκαλον τοῦ κοσμικοῦ πλάτους δημιουργήσαντες. τῆς δὲ αὐτῆς ἐφόδου καὶ ἐπίπεδον ἐπιφάνειαν, καὶ τὴν ὁμαλὴν κοίλην εἰς τοὺς αὐτοὺς λόγους τέμνειν διδούσης, συγγενεστέραν ἡγούμενοι τὴν ὁπωσοῦν κοίλην τῇ τέλεον σφαιρικῇ· ὑπεμβολαίᾳ τὸ πλάτος ἐκοιλάναμεν, τά τε ἄλλα ἐπεμελήθημεν, ὅπως ἂν ἡ φαντασία τοῦ ὀργάνου τῆς ἀληθείας ὑπομιμνήσκῃ τὸν ἔννουν θεατήν. καὶ γὰρ τοῖς ἓξ μεγέθεσιν τοὺς διαφέροντας ἀστέρας ἐνετάξαμεν, καὶ τοὺς πρὸς ἀλλήλους αὐτῶν σχηματισμοὺς ἐτηρήσαμεν. τῶν δὲ κύκλων τοὺς μὲν περιηγάγομεν, τοὺς δὲ διηγάγομεν· ἅπαντας δὲ ἐτέμομεν μοιρικῶς, τὰς πέντε μοιραίας γραμμὰς μείζους τῶν μοιραίων ποιήσαντες· ἔτι καὶ τὰς ἐπιγραφὰς τῶν ἀριθμῶν κατ᾽ αὐτὰς παρηνυξήσαμεν, καὶ ἐν ἀργύρῳ τοῦ μέλανος ἔμφασιν βιβλίου ποιοῦντος, τὸ ὑποκείμενον. τέτμηνται δὲ οὐχ ὁμοστοίχως ἅπαντες, οὔθ᾽ ἑαυτοῖς οὔτ᾽ ἀλλήλοις· ἀλλ᾽ οἱ μὲν εἰς ἴσας τομάς, οἱ δὲ ἀνωμάλως μὲν καὶ ἀνίσως κατὰ τὴν αἴσθησιν, τῷ λόγῳ δὲ ὁμαλῶς τε καὶ ἴσα. τοῦτο γὰρ ἔδει συμβαίνειν, ἵν᾽
γρ. ἴσως. ὁμολογήσῃ τὰ διαφέροντα σχήματα. δι᾽ ἣν αἰτίαν καὶ οἱ διὰ τῶν πόλων τε καὶ τῶν τροπικῶν σημείων γραφόμενοι μέγιστοι κύκλοι, τῷ λόγῳ μένοντες κύκλοι, γεγόνασιν εὐθεῖαι τῇ μεταθέσει τοῦ θεωρήματος· ὅ, τε ἀνταρκτικὸς, μείζων ἐντέτακται τῶν μεγίστων, καὶ τὰ πρὸς ἀλλήλους διαστήματα τῶν ἀστέρων ἐμεγεθύνθη κατ᾽ ἐκεῖνο τῆς ἐξαπλώσεως. τῶν δὲ ἐπιγραμμάτων ἃ διὰ χρυσοῦ στερεοῦ ταῖς σχολαζούσαις ἀστέρων χώραις, κατὰ τὸν ἀνταρκτικὸν κύκλον ἐγκολάψαντες ἐνεθήκαμεν, τὸ μὲν ὕστερον τὸ τετράστιχον ἀρχαῖόν ἐστιν, ἁπλουστέρως ἔχον εἰς ἀστρονομίαν ἐγκώμιον·

Πτολεμαίου. Οἶδ᾽ ὅτι θνατὸς ἐγὼ, καὶ ἐφάμερος· ἀλλ᾽ ὅταν ἄστρων
Ιχνεύω πυκινὰς ἀμφιδρόμους ἕλικας,
Οὐκ ἔτ᾽ ἐπιψαύω γαίης ποσὶν, ἀλλὰ παρ᾽ αὐτῷ
Ζηνὶ διοτρεφέος πίμπλαμαι ἀμβροσίης.

A ipsam per se dignam studio & cura statuissemus, elaborauimus, & scriptum edidimus, quod cùm copia necessaria, tùm varietate theorematum stipauimus, & ad materiam traducere disputationes studuimus, pulcherrimum tabulæ mundi simulacrum moliti. Cùm verò eadem tractatio & planam superficiem, & æquabiliter cauam in rationes certas secare concedat, quia maiorem cognationem habere ducebamus qualecumque cauum cum corpore perfectè globoso: idcirco planâ tabulâ cauum deprimendo perfecimus: tùm alia exquisiuimus, quò organi species sagacem spe- B ctatorem de veritate admoneat. Nam & stellas illas, quarum sena magnitudinum discrimina sunt, ordine inseruimus, & harum inter se conformationes seruauimus. De circulis autem quosdam circum alios, quosdam per alios duximus: vniuersos autem in partes secuimus; & quintarum certè partium lineas grandiores quàm singularum partium fecimus: propterea quòd numerorum etiam inscriptiones iuxta has exculpsimus, atque in argento, in quo atrum libri speciem præ se fert, id quod litteras excipit. Dissecti autem sunt non C pari serie vniuersi, tam ipsi per se, quàm respectu inter se: sed alij quidem in sectiones æquales, alij verò inæquabiliter & inæqualiter sensu, ratione autem & æquabiliter & æqualiter. Id enim accidere oportet, vt consentaneæ sint diuersæ figuræ. Qua de caussa & illi maximi circuli, qui per polos & puncta tropica describuntur, cùm circulorum rationem retineant, theoremate mutato, rectæ lineæ facti sunt: Antarcticusque ita infertus est, vt maior sit quàm illi maximi: tùm interualla, quibus stellæ inter se distant, maiora facta sunt in illa explanationis ratione. De D epigrammatis autem, quæ ex solido auro in vacuis à stellis locis, sub circulo Antarctico exarata apposuimus: de his inquam, alterum posterius & quatuor versuum, id vetus est, quod Astronomiæ laudem continet, simplicioris cuiusdam modi:

Sum mortalis homo, vitæ quoque perbreuis: at cùm
Astra globósq. poli scandere fert animus;
Tùm pedibus non calco solum: sed celsior alto
Adsto Ioui, atque alma perfruor ambrosia.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Alterum verò ordine prius, quod octo versus habet, compositum est ab eo à quo & opus, à me scilicet. Sparsam autem continet & generalem considerationem eorum quæ cernuntur, proferturque duriùs, cùm ita factum sit, vt doctrinæ plus quàm elegantiæ habeat. Enarrat quippe tantùm Astronomo, quid fructus ab organo percipere possit. Nam & loca promittit siderum, non tamen Signiferi respectu, sed Æquinoctialis: hoc enim de expositione scripta iam patuit, fieri non posse, vt illo modo deprehendantur. Tum obliquationes ait effictas esse, partium scilicet Zodiaci ad partes Æquinoctialis, & in singulis quæ cum illis vnà se proferunt: id est, cum quot partibus Zodiaci, quot Æquinoctialis per illum ipsum Æquinoctialem transeunt. Est autem Epigramma quod posterorum caussa hoc loco ascriptum est, qui sint lecturi. nam tibi quidem satis est, in tabula esse incisum.

Inuenit Sophia ad cælos aditum. ô via mira!
Vt mens cælitibus vènit ab ætherijs!
Ecce globi expandit sinuata volumina, & orbes
Aequos cæsuris imparibus secuit.
Omnia sidera contemplator in orbita, Apollo
Tempora nocturnis quâ æqua diurna facit.
Obliquásque vias signorum habe: at inclyta puncta
Te haud fugient, medius queis patet axe dies.

A Τὸ δὲ ἡγούμενον αὐτοῦ τὸ ὀκτάστιχον, ἐποιήθη μὲν ὑφ' οὗ τὸ ἔργον, ἐμοῦ· σπερματικὴν δὲ ἔχει καὶ καθολικὴν περίνοιαν τῶν ὁρωμένων, μετ' ἰσχύος ἀπηγγελμένον, καὶ ἐπιστημονικῶς μᾶλλον ἢ ἀκριβῶς συγκείμενον· ὃ διαλέγεται πρὸς κ. ἀστρ. μόνον τὸν ἀστρονόμον, τί ἂν ὄναιτο τοῦ ὀργάνου. τὰς γὰρ ἐποχείας ὑπισχνεῖται τῶν ἀστέρων· ἀλλ' οὔτι φησὶ πρὸς τὸν ζωδιακὸν, ἀλλὰ πρὸς τὸν ἰσημερινόν. ἐφαίη γὰρ διὰ τῶν γραμμάτων τὸ ἐκείνως ἑλεῖν ἀδύνατον. καὶ τὰς λοξώ- B σεις φησὶν δίδοσθαι, τῶν μερῶν τοῦ ζωδιακοῦ δηλονότι πρὸς τὰ μέρη τοῦ ἰσημερινοῦ· ἐπὶ πᾶσι τὰς συναναφορὰς, τουτ' ἔστι ταῖς πόσαις τοῦ ζωδιακοῦ μοίραις αἱ πόσαι τοῦ ἰσημερινοῦ, τὸν αὐτὸν ἰσημερινὸν διεξέρχονται. ἔστι δὲ τόδε· γεγράφθω δὲ τῶν ὕστερον ἀναγνωσομένων εἵνεκα· ἐπεὶ σοί γε κἂν τῷ πίνακι κείμενον ἐξαρκεῖ.

Ἡ σοφίη στίβον εὗρεν ἐς οὐρανόν. ὢ μέγα θαῦμα!
Καὶ νόος ἐξ αὐτῶν ἦλθεν ἐπουρανίων·
C Ἠνίδε καὶ γυρεὰ σφαίρας ἐπετάσατο νῶτα.
Ἶσα δὲ κύκλα τομαῖς οὐχ ὁμαλαῖσι τέμε.
Σκέπτεο τείρεα πάντα πρὸς ἄντυγα, τῆς ἔπι Τιτὰν
Νύκτα ταλαντεύει καὶ φάος ἐχόμενος·
Δέξο ζωδιακοῦ λοξώσιας, οὐδέ σε λήσει
Κλιμὰ μεσημβρινῆς κέντρα στοιχηλύσιος.

ΣΥΝΕΣΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΥΜΝΟΣ πρῶτος.

A

ΑΓΕ μοι λίγεια φόρμιγξ,
Μετὰ Τηΐαν ἀοιδὰν,
Μετὰ Λεσβίαν τε μολπὰν, (μνοις
Γεραρωτέροις ἐφ' ὕ-
Κελάδει Δώριον ᾠδὰν,
Ἁπαλαῖς οὐκ ἐπὶ νύμφαις
Ἀφροδίσιον γελώσαις,
Θαλεραῖς οὐδ' ἐπὶ κούρων
Πολυηράτοισιν ἥβαις.
Θεοκύμονος γὰρ ἁγνὰ
Σοφίας ἄχραντος ὠδὶς
Μέλος ἐς θεῖον ἐπείγει
Κιθάρας μίτους ἐρέσσειν.
Μελιχρὰν δ' ἀνώγει ἄταν
Χθονίων φυγεῖν ἐρώτων.
Τί γὰρ ἀλκὰ, τί δὲ κάλλος,
Τί δὲ χρυσὸς, τί δὲ φάμα,
Βασιλήϊοί τε τιμαὶ
Παρὰ τὰς Θεοῦ μερίμνας;
Ὁ μὲν ἵππον εὖ διώκοι,
Ὁ δὲ τόξον εὖ τιταίνοι,
Ὁ δὲ θημῶνα φυλάσσοι
Κτεάνων, χρύσεον ὄλβον·
Ἑτέρῳ δ' ἄγαλμα χαίτη
Κατακυμαίνη τενόντων·
Πολυΰμνος δέ κεν εἴη
Παρὰ κούροις, παρὰ κούραις,
Ἀμαρύγμασι προσώπων.
Ἐμὲ δ' ἀψόφητον εἴη
Βιοτὰν ἄσημον ἕλκειν,
Τὰ μὲν ἐς ἄλλοις ἄσημον,

SYNESII EPISCOPI, HYMNUS PRIMUS.

EIA mihi sonora cithara,
Post Teium cãtum,
Post Lesbiámq; modulationem;
Augustioribus hymnis
Cane Dorium carmen,
Teneras non in virgines
Venustûm ridentes,
B Florentium nec in iuuenum
Multum amabilem pubertatem.
Diuinæ enim sancta
Sapientiæ pura parturitio,
Carmina ad diuina vrget
Citharæ fides vt pulsem.
Dulces autem iubet curas
Terrenarum fugere cupiditatum.
Quid enim vires, quid verò forma,
Quid verò aurum, quid verò fama,
Regiique honores,
Si conferantur cum curis de Deo?
C Alius equos scitè agitet,
Alius arcum bene tendat,
Alius aceruos custodiat
Opum, aureas diuitias:
Alij verò (sit) decus coma,
Demissa ceruicibus:
Celebris admodum alius sit
Apud iuuenes, apud puellas,
Nitenti decore vultus.
At mihi tranquillam liceat
Vitam ignotam ducere,
Cæteris quidem ignotam,

Deo autem notam.
Sapientia verò mihi adsit
Commoda ad iuuentutem,
Commoda ad senectutem ducendam,
Commoda domina diuitiarum:
Pauperiem autem sine negotio feret
Sapientia ridens, amaris
Inaccessam vitæ curis.
Solummodo mihi tantùm adsit,
Quantùm (sit) satis, vt à tugurijs
Vicinorum (me) arceat:
Ne neceßitas me adigat
Ad curas tetras.
Audi & cicadæ cantum,
Quæ rorem matutinum ebibit.
En mihi sonant nerui
Iniussa, & quidam afflatus
Vndique me circunuolat.
Quid igitur tandem pariet mihi
Carminis diuinus partus?
Ille quidem, ex se ortum principium,
Gubernator paterque rerum omnium,
Ingenitus, excelsa
Super cœli cacumina
Immortali gloria lætus
Deus constanter sedet:
Vnitatum vnitas sancta,
Monadúmque monas prima,
Simplicitates summitatum
Quæ iunxit, & peperit
Supersubstantiali partu:
Vnde ipsa prosiliens
Per primigenam formam,
Vnitas ineffabilem in modum diffusa,
Trinam adepta est vim.
Supersubstantialis verò fons
Coronatur pulchritudine prolis,
Quæ ex centro profluxit,
Et circa centrum voluitur.
Sile mihi audax ô cithara:
Sile, neque efferto in vulgus
Sacra arcana maximè.
I, & terrena cane:
Superna silentium operiat.
Mens verò solos iam
Curat intellectuales mundos.

A Τὰ δὲ περὶ θεὸν εἰδότα.
Σοφία δέ μοι παρείη
Αγαθὰ μὲν νεότατι,
Αγαθὰ δὲ γῆρας ἕλκειν,
Αγαθὰ δὴ δέσποινα πλούτου·
Πενίαν δὴ ἀμόχθως οἴσει
Σοφία γελῶσα, πικραῖς
Αβατον βίου μερίμναις.
Μόνον εἰ τόσον παρείη,
Οσον ἀρκίον καλιῆς
Απὸ γειτόνων ἐρύκειν·
Ινα μὴ χρεώ με κάμπτοι
B Επὶ φροντίδας μελαίνας.
Καὶ πατρὸς μέλπων ἀλκάν,
Τοῖς σοῖς ὕμνοις ἀμπαύω
Κλεινὰν ὠδῖνα ψυχᾶς.
Χαίροις ὦ παιδὸς παγά,
Χαίροις ὦ πατρὸς μορφά·
Χαίροις ὦ παιδὸς κρηπίς,
Χαίροις ὦ πατρὸς σφραγίς·
D Χαίροις ὦ παιδὸς κάρτος,
Χαίροις ὦ πατρὸς κάλλος.
Χαίροις δ' ἄχραντος πνοιά,
Κέντρον κούρου καὶ πατρός.
Ταὶ μοι πέμποις σὺν πατρὶ
Ἀρδοισαν ψυχᾶς ταρσούς,
Κραίντειραν θείων δώρων.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A

ΣΥΝΕΣΙΟΥ ΥΜΝΟΣ ΕΚΤΟΣ.

ΜΕΤΑ παγὰς ἁγίας αὐτολοχεύτου
Ἀρρήτων ἑνοτήτων ἐπέκεινα,
Θεὸν ἀμβρότου θεοῦ κύδιμον υἷα,
Μόνον ἐκ μόνου πατρὸς παῖδα θορόντα
Στεφανώσω σοφοῖς ἄνθεσιν ὕμνων,
Ὃν βουλαὶ πατρικαὶ ἄφραστος ὠδὶς
Ἀγνώστων ἀνέδειξε παῖδα κόλπων,
Ἃ πατρὸς λοχίους ἔφηνε καρπούς,
Καὶ φήνασα φλύη μεσοπαγεῖς νοῦς.
. . . .
Ἐν παγᾷ δὲ μένουσι καὶ χυθέντες,

Σοφία νόου πατρὸς, κάλλεος αὐγά,
Σοὶ τεχθέντι πατὴρ ἔνευσε τίκτειν,
Σὺ δὲ κρυπτὸν εἶ πατρὸς σπέρμα.
Σὲ γὰρ ἀρχὴν γενέταις ἔδωκε κόσμοις,
Κατάγειν ἐκ νοερῶν σώματι μορφάς.

Σὺ μὲν οὐρανοῦ σοφὰν ἄντυγα νωμᾷς,
Ταὶ δ᾽ ἄστρων ἀγέλαι ἀεὶ νομεύεις.
Σὺ δὲ τὰς ἀγγελικὰς, ἄναξ, χορείας,
Καὶ τὰς δαιμονίας φάλαγγος ἄρχεις,
Σὺ δὲ καὶ φύσιν φθιτὴν ἀμφιχορεύεις,
Ἀμέριστον περὶ γῆν πνεῦμα μερίζεις,
Καὶ παγᾷ τὸ δοθὲν πάλιν συνάπτεις,

Θνατοὺς ἐκ θανάτου λύων ἀνάγκας.
Ἵληκοις ἐπὶ σῶν στέμμασιν ὕμνων,
Βιοτᾶς ὑμνοπόλῳ νέμων γαλάναν,
Εὐρίπων περιχοαὶ στῆσον δίνην,
Τερσαίνων ὀλοοὺς κλύδωνας ὕλας·
Ψυχᾶς καὶ μελέων εἶργε νούσους.
Παθέων οὐλομέναν κοίμισον ὁρμάν·
Πλούτου καὶ πενίας ἄλαλκε κῆρας.

Ἔργοις κυδαλίμαν ὄμφαν ὀπάσαις.
Ἐν λαοῖς ἀγαθὰν ἄνοιγε φάμαν·

SYNESII HYMNVS SEXTVS.

VNA cum fonte sancto per se fœcundo
Ineffabiles vnitates supra,
B *Deum immortalis Dei clarißimũ Filium,*
Solum ex patre Filium prognatum
Coronabo odoratis floribus carminum.
Quem consilij paterni ineffabilis partus
Ex abdito ostendit Filium sinu,
Qui (partus) Patris abditos in lucem edidit fructus,
*Et illustrare visus est defixas in terrã animas, * **
In fonte verò permanent quamquam profusi,
Sapientia mentis Patris, pulchritudinis splendor:
Tibi parto Pater annuit vt parias,
Tu abditum es Patris semen:
C *Te enim originem Pater dedit mundis,*
Vt deduceres corporibus formas ex intellectualibus.
Tu cœli sapientem orbem circumagis,
Et siderum greges semper pascis.
Tu angelici, ô rex, ordinis.
Tu dæmonum phalangis imperiũ obtines:
Tu & naturam mortalem regis,
Indiuiduum circa terram spiritum diuidis,
Et cum fonte, quod datum est, rursus coniungis,
D *Mortales mortis liberans neceßitate.*
Adsis propitius ad tuarum coronas laudũ,
Vitæ vati tribuens tranquillitatem,
Euripi æstum sistito vagum
Sedans sæuas tempestates hylæ:
Animæ & artuum arceto morbos:
Cupiditatum perditum sopito impetum.
Opum, & paupertatis propulsa incommoda,
Factis clarißimam famam dato,
Inter gentes bonam pande famam:

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A
Suadelæ blandiloquæ redimito (me) honore
Vt mens decerpat otium quieta,
Neque terrenis ingemam curis,
Sed ex tuis riuis excelsis
Partubus sapientiæ mentem rigem.

Πειθοῦς πραϋλόγου στέφ᾽ ἀώτῳ,
Ινα μοι νόος δρέποι σχολὰν ἀκύμων,
Μηδ᾽ ἐν ταῖς χθονίαις στένω μερίμναις·
Αλλ᾽ ἐκ σῶν ὀχετῶν ὑψιφορήτων
Ὠδῖσιν σοφίας νόον κατάρδω,

SYNESII HYMNVS SEPTIMVS.

B

P Rimus modus inueni
Tui causa, beate, immortalis,
Nate clarißime Virginis,
Iesu Solymitane,
Nuper aptatis numeris
Quos resonent citharæ fides.
Tu verò propitius esto, ô rex,
Et accipe musicam
Ex sanctis carminibus.
C
Canamus immortalem
Deum Filium Dei ingentem,
Seculorum conditoris Patris
Mundi opificem Filium:
Ex Deo & homine iunctam naturam,
Sapientiam immensam;
Cœlitibus Deum,
Inferis mortuum.
Effusus fuisti quum in terram
Mortali ex vtero,
Magorum sapiens ars
Ex stellæ ortu
D
Obstupuit, dubia
Quis (esset) qui nasceretur infans,
Quis, qui includeretur Deus,
Deus, an mortuus, an rex.
Eia munera ferte,
Myrrhæ libamina,
Aurique donaria,
Thurisque vapores suaues.
Deus es, thus accipe:
Aurum regi fero:
Myrrha monumento congruet.

ΣΥΝΕΣΙΟΥ ΥΜΝΟΣ ΕΒΔΟΜΟΣ.

Π ΡΩΤΟΣ νόμον εὑρόμαν
Επὶ σοι, μάκαρ, ἄμβροτε,
Γόνε κύδιμε παρθένου,
Ιησοῦ Σολυμήιε,
Νεοπηγέσιν ἁρμογαῖς
Κρέξαι κιθάρας μίτους.
Αλλ᾽ εὐμενέοις, ἄναξ,
Καὶ δέχευ σὺ μουσικὰν
Εξ ἐναγέων μελῶν.
Υμνήσομεν ἄφθιτον
Θεὸν υἷα θεοῦ μέγαν,
Αἰωνοτόκου πατρὸς
Τὸν κοσμογόνον κόρον·
Ταὶν πολυμιγῆ φύσιν,
Σοφίαν ἀπειρέσιον,
Τὸν ἐπουρανίοις θεόν,
Τὸν ὑποχθονίοις νέκυν.
Εχύθης ὅτ᾽ ἐπὶ χθονὶ
Βροτέας ἀπὸ νηδύος,
Μάγος ἀπολύφρων τέχνα
Εξ ἀστέρος ἀντολᾶς
Θάμβησεν ἀμήχανος
Τί τὸ τικτόμενον βρέφος,
Τίς ὁ κρυπτόμενος θεός,
Θεός, ἢ νέκυς, ἢ βασιλεύς.
Αγε δῶρα κομίζετε,
Σμύρνης ἐναγίσματα,
Χρυσοῦ τ᾽ ἀναθήματα,
Λιβάνου τε θύη καλά.
Θεός εἶ, λίβανον δέχου·
Χρυσὸν βασιλεῖ φέρω·
Σμύρνη τάφος ἁρμόσει.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Καὶ γαῖαν ἐκάθηρας,
Καὶ πόντια κύματα,
Καὶ δαιμονίας ὁδοὺς,
Ῥαδιναὶ χύσιν ἀέρος,
Καὶ νερτερίοις μυχοῖς
Φθιμένοισι βοηθόος
Θεὸς εἰς ἅδην σταλείς.
Ἀλλ' εὐμενέοις, ἄναξ,
Καὶ δέχνυσο μουσικὰν
Ἐξ εὐαγέων μελῶν.

A *Et terram lustrasti,*
Et maritimos fluctus,
Et dæmonum vias,
Liquidos campos aëris,
Et infernas latebras,
Mortuis subsidium
Deus ad inferos missus.
Sed propitius esto, ô rex,
Et accipe musicam
Ex sanctis carminibus.

B

ΣΥΝΕΣΙΟΥ ΥΜΝΟΣ ΟΓΔΟΟΣ.

ΥΠΟ Δώριον ἁρμογὰν
Ἐλεφαντοδέτων μίτων λύρας
Στάσω λιγυρὰν ὄπα
Ἐπὶ σοὶ μάκαρ ἄμβροτε
Γόνε κύδιμε παρθένου.
Σὺ δέ μου βιοτὰν σάου
Παναπήμονα, κοίρανε,
Λύπαις ἄβατον διδοὺς,
Καὶ νύκτα καὶ ἁμέραν.
Λάμποις πραπίσιν σέλας
Νοερᾶς ἀπὸ παγᾶς·
Σθένος ἀρτεμέων μελῶν,
Καὶ κῦδος ἐπ' ἔργμασι
Νεότατι νέμοις ἐμᾷ·
Λιπαρὸν δὲ φέροις ἔτος
Ες γήραος ἀδυναί, *
Ερίτιμον ἀέξων
Πινυτὰν σὺν ὑγεία.
Γνωτὸν δὲ φυλάσσοις
Τόν μοι νέον, ἄφθιτε,
Ηδη χθονίαν πύλαν
Παραμειβόμενον ποδὶ,
Αψορρον ἀνήγαγες,
Εμὰ κήδεα καὶ γόους,
Εμὰ δάκρυα καὶ φρενῶν
Σβέσας αἰθομένας φλόγα.

SYNESII HYMNVS OCTAVVS.

AD *Dorios numeros lyræ*
Ebori alligatarum fidium
Tollam argutam vocem
C *Tui causa, beate immortalis*
Nate clarissime Virginis.
Tu autem mihi vitam serua
Malorum omnium expertem, ô rex,
Molestijs inaccessam (eam) reddens
Noctésque diésque.
Illustra mentem iubare,
Intellectuali ex fonte:
Robur integris artubus,
Et gloriam factis
Iuuentuti da meæ,
Lætumque affer æuum
D *Ad senectam extremam,*
Valde honoratam augens
Prudentiam cum bona valetudine.
Fratrem conserua,
Quem mihi nuper, ô immortalis,
Iam infernas portas
Prætergredientem pede,
Ad superos reuocasti,
Curásque & luctus,
Meas lacrymas, & animi
Restinxisti ardentem flammam.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A *Vitæque restituisti mortuum,*
Propter (me) tuum ô Pater, supplicem.
Sororémque & par
Liberorum serua,
Totámque tranquillam domum
Tua manu protegas.
Et mihi eiusdem, ô rex,
Consortem thori iugalis
A morbis noxijsque liberam,
Charißimam, vnanimem,
Furtiui ignaram
Congressus vxorem serua:
B *Sanctumque colat ius connubij,*
Impollutum, purum,
Non legitimis inaccessum amoribus.
Animam verò solutam
Terrenæ vitæ vinculis
Eximito malis
Et tristi noxa,
Et cum piorum ordinibus
Carmina offerre da
In laudem tui Patris,
Tuæque potentiæ, ô beate.
Iterum canam hymnos,
C *Iterum tibi carmina canam,*
Fortasse & citharam
Iterum integram temperabo.

A Ἐβίωσας καὶ νέκυν,
Διά σὸν, πάτερ, ἱκέτην.
Γνωτήν τε, συνωρίδα
Τεκέων τε φυλάσσοις,
Ὅλον ἡσυχίαν δόμον
Ὑπὸ σᾷ χειρὶ κρύπτοις.
Καί μοι ζυγίων, ἄναξ,
Ξυνήονα δεμνίων,
Ἀπόνουσον, ἀπήμονα,
Ἐρίηρον, ὁμόφρονα,
Κρυφίων ἀδαήμονα
Ὀαρῶν ἄλοχον σάου·
B Ὅσιον δ᾽ ἐφέποι λέχος
Παναχήρατον, εὐαγὲς,
Ἀδίκοις ἄβατον πόθοις.
Ψυχὴν δὲ λυθεῖσαν
Χθονίου βιότου πέδας
Ἐξαίνυσο πημάτων
Καὶ λευγαλέας ἄτας·
Σὺν δ᾽ εὐαγέων χοροῖς
Ὕμνοις ἀνάγειν δίδου
Ἐπὶ κύδει σοῦ πατρὸς
Καὶ κάρτει σῷ, μάκαρ.
Πάλιν ὑμνοπολεύσω,
C Πάλιν σοι μέλος ᾄσω,
Τάχα καὶ κιθάραν πάλιν
Πάλιν ἀκήρατον ἁρμόσω.

SYNESII HYMNVS NONVS.

ΣΥΝΕΣΙΟΥ ΥΜΝΟΣ ΕΝΝΑΤΟΣ.

D

Maiorem in modum expetende clarißime
Te ô beate nate Virginis
Cano Solymitanæ,
Qui dolosum laqueum,
Terrenum ingentibus anguem
Patris expulisti hortis:
Descendisti vsque ad terram,
Aduena inter mortales,
Et descendisti sub tartara.

Πολυήρατε κύδιμε,
Σέ μάκαρ γόνε παρθένου
Ὑμνῶ Σολυμηΐδος,
Ὃς τὰν δολίαν πάγαν
Χθόνιον μεγάλων ὄφιν
Πατρὸς ἤλασας ὀρχάτων·
Καταβὰς μέχρι καὶ χθονὸς
Ἐπίδημος ἐφαμέροις,
Κατέβας δ᾽ ὑπὸ τάρταρα,

Ψυχῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ψυχῶν ὅθι μυρία
Θανάτοις νέμεν ἔθνεα.
Φρίξεν σε γέρων τότε
Ἀΐδας ὁ παλαιγενής,
Καὶ λαοβόρος κύων
Ἀνεχάσσατο βηλοῦ.
Λύσας δ' ἀπὸ πημάτων
Ψυχῶν ὁσίοις χορούς
Θιάσοισιν ἀκηράτοις
Ὕμνοις ἀνάγες πατρί.
Ἀνιόντα σε κοίρανε
Τὰ κατ' ἠέρος ἄσπετα
Τρέσεν ἔθνεα δαιμόνων·
Θάμβησε δ' ἀκηράτων
Χορὸς ἄμβροτος ἀστέρων·
Αἰθὴρ δὲ γελάσας,
Σοφὸς ἁρμονίας πατήρ,
Ἐξ ἑπτατόνου λύρας
Ἐκεράσατο μουσικὰν
Ἐπινίκιον ἐς μέλος.
Μείδησεν ἑωσφόρος
Ὁ διάκτορος ἀμέρας,
Καὶ χρύσεος ἕσπερος,
Κυθερήιος ἀστήρ.
Ἁ μὲν κεράεν σέλας
Πλήσασα ῥόου πυρὸς
Ἄγητο σελάνα,
Ποιμὴν νυχίων θεῶν.
Ταν δ' εὐρυφαῆ κόμαν
Τιτὰν ἐπετάσατο
Ἀῤῥήτον ὑπ' ἴχνιον·
Ἔγνω δὲ γόνον Θεοῦ
Τὸν ἀριστοτέχναν νόον
Ἰδίου πυρὸς ἀρχάν.
Σὺ δὲ ταρσὸν ἐλάσας,
Κυανάμπυκος οὐρανοῦ
Ὑπερήλαο νώτων,
Σφαίρησι δ' ἐπεστάθης
Νοεραῖσιν ἀκηράτοις
Ἀγαθῶν ὅθι παγά,
Σιγώμενος οὐρανός.
Ἔνθ' οὔτε βαθύῤῥοος
Ἀκαμαντοπόδας χρόνος
Χθονὸς ἔκγονα σύρων,
Οὐ κῆρες ἀναιδέες
Βαθυκύμονος ὕλας.

A *Animarum vbi plurima*
Mors tenebat agmina.
Horruit te senex tunc
Orcus antiquus,
Et voracissimus canis
Recessit à limine.
Tu verò quum soluisses catenis
Animarum sanctos cœtus,
Comitatu integerrimo
Laudes referebas Patri.
Redeuntem te, ô rex,
Aëria immensa
B *Horruit turba dæmonum:*
Expauit autem purissimarum
Cœtus immortalis stellarum.
Aeter autem ridens,
Sapiens harmoniæ pater,
Ex septem fidium lyra
Temperauit musicam
Triumphale in carmen.
Risit lucifer.
Nuntius diei,
Et aureus hesperus,
Cythereium sidus.
C *Ipsa quidem cornutum lumen*
Replens ex fluxu ignis,
Præibat Luna,
Pastor nocturnorum deorum:
Late verò lucentem comam
Titan expandit
Ineffabile sub vestigium.
Agnouit autem natum Dei,
Mentem quæ est optima opifex,
Proprij ignis originem.
Tu verò alas agitans
D *Cærulei cœli*
Scandisti super dorsum,
(In) sphærisque constitisti
Intellectualibus purißimis:
Bonorum vbi fons,
Silentio suppressum cœlum,
Vbi neque immensum,
Indefessúmque tempus
Terra orta trahens,
Neque morbi impudentes
Fœcundæ hylæ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Sed ipsum senij expers
Æuum antiquum,
Quod iuuenis est simul & senex,
Perpetuæ mansionis
Dispensator est diis.

SYNESII HYMNVS DECIMVS.

Memento, Christe,
Fili Dei
Altè regnantis,
Serui tui,
Qui misera sorte est peccator;
Qui scripsit hæc.
Et mihi præbe
Expiationem scelerum
Cordi insitorum,
Quæ mihi sunt innata
Animo sordido.
Da verò vt aspiciam,
Seruator Iesu
Diuinum splendorem
Tuum, ad quem quum apparuerô,
Canam carmina
Animarum medico,
Medico corporum,
Patri simul excelso,
Spirituique sancto.

A Ἀλλ' αὐτὸς ἀγήραος
Αἰὼν ὁ παλαιγενὴς,
Νέος ὢν ἅμα καὶ γέρων
Τᾶς ἀενάω μονᾶς
Ταμίας πέλεται θεοῖς.

ΣΥΝΕΣΙΟΥ ΥΜΝΟΣ ΔΕΚΑΤΟΣ.

B Μνώεο Χριστὲ,
Υἱὲ θεοῖο
Ὑψιμέδοντος,
Οἰκέτεω σέο,
Κῆρ' ἀλιτροῖο,
Γράψαντος τάδε.
Καί μοι ὄπασον
Λύσιν παθέων
Κηριτρεφέων,
Τά μοι ἐμφυῆ
Ψυχᾷ ῥυπαρᾷ.
C Δὸς δὲ ἰδέσθαι
Σῶτερ Ἰησοῦ
Ζαθέαν αἴγλαν
Σάν· ἔνθα φανεὶς
Μέλψω ἀοιδὰν
Ψυχῶν παιῶνι,
Παιῶνι γυίων,
Πατρὶ σὺν μεγάλῳ,
Πνεύματί θ' ἁγίῳ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ

ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΓΡΗΓΟΡΑ ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΟΝ ΣΥΝΕΣΙΟΥ περὶ Ενυπνίων λόγον.

NICEPHORI GREGORÆ PATRIARCHÆ CONSTANTINOPOLITANI EXPLICATIO in Librum Synesij de Insomniis,

Ex versione Antonij Pichonij, apud Turones Regis Professore à FED. MORELLO Interpr. Reg. recognita.

ΟΥΔΕΝ καινόν, εἰ πολλὰ τῶν πάλαι κακῶς εὑρημένων καινοτομοῦσιν ἐπὶ τὸ βέλτιον, ὥσπερ ἐκ χρονικῶν περιόδων ἐπ' ἄλλαις ἄλλαι μεγάλαι φύσεις βλαστάνουσαι, εἴτε τοῦ χρόνου φύσιν ἔχοντος ἄλλα ἐπ' ἄλλοις ἀεὶ ἐπιφέρειν καινότερα, εἴτε τῆς τῶν ἀνθρώπων φύσεως ἀμηχανούσης εὐθὺς ἐξ ἀρχῆς ἐπὶ τὸ ἐντελές. Ἰσοκράτους γὰρ εἰρηκότος, Ἐὰν ἦς φιλομαθὴς, ἔσῃ πολυμαθὴς, σὺ τὸ ἀντίστροφον περάτηκας. τὸ μὲν γὰρ ἐγένου, τὸ δ' ἀεὶ γίγνῃ. φιλεῖς γὰρ ἀεὶ μανθάνειν, ὥσπερ οὐκ ἀρκουμένης σοι τῆς φύσεως ἐπί γε τοῖς φθάσασιν, εἰ μὴ καὶ μᾶλλον ὑπόθεσιν φλεγμαινούσης δίψης τινὸς ἐπιτεταμένης αὐτά, καθάπερ εἴ τις φλὸξ ἐπιλαβομένη καλάμης, ὅσῳ περ θᾶσσον ἐσθίουσα τὴν ὕλην, τοσούτῳ πολλαπλασιάζει τὸ σκίρτημα, καὶ σφοδρότερον κατὰ τῆς ὑποκειμένης τραπέζης ἐγείρεται· εἰ δὲ καὶ Πλάτων ὁ μέγας ἀποδείκνυσι παρελθὼν ὡς

NIHIL nouum neque absurdum est, si permulta quæ quondam summa cum difficultate adinuenta fuerunt, in melius immutentur: quemadmodum è conuersione & circuitu temporum super alijs aliæ magnæ vehementésque naturæ germinant & oriuntur, seu ipso tempore ita comparato, vt semper alia super alijs recentiora adferat, seu ipsa humana natura statim à principio ad id quod in suo munere absolutum est, peruenire nequeat. Isocrates siquidem dicit, Si sis discendi cupidus, eris multiiuga doctrina præditus: Tu contrarium, & rem pari affinitate coniunctam facis: Illud quidem fuisti, hoc verò semper fueris. Perpetuo enim discendi desiderio teneris, quasi verò tua indoles nullam tibi opem ferat ad ea quæ illam præoccuparunt, nisi etiam magis materiem quædam sitis exardescens & inflammata suggerat: perinde ac si flamma calamos apprehenderit, quantò auidius deuorat alimentum, tantò multiplicat saltum, ac vehementiùs in subiectam mensam surgit & excitatur. Quod si etiam magnus ille Plato in medium prodiens demonstrat, discendi auidum quodammodo

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Philosophum esse, nimirum quòd cogitatione sublimia complectatur, & quæcunque è terra eriguntur mysteria, quod validius præstantiusque tibi utique reliquum est, id natura consectatur. Tales enim philosophiæ ardores & amores, quantò interius ad rationes eorum quæ sunt ingrediuntur & se insinuant, atque in ipsorum septa iam prodeunt, tantò turgidum etiam ad superiora enutriunt & augent appetitum. illud siquidem interdum me non in minimam erexit admirationem, quo pacto nescio quo modo apud nos Græci ætate ac viribus florent, vides quidem omnes, cæterum aspernaris: Deinceps tu quidem mihi soli tuarum ad rationis calculum reductarum ac sapientia refertarum quæstionum onera exponere haud valdè vereris, neque hac de re tibi religio est, propterea quòd nullam in ipsis deseris contentiosæ meditationis excusationem: Metuis quantùm ad iracundiam temerè accedunt querulosæ opiniones, quando quis radices præcidens ac stirpes, eas abrumpit & mœrore afficit quæ hymnorum virgulta erigunt. Haud quippe Alexandro Philippi filio citra inuidiam & æmulationem mansit, cernenti Philippum crebris victoriis se ipsum iactantem: sedenim animum despondendo, bacchicum quendam sermonem fertur apud coætaneos edidisse, & ut ita dicam furore numinis plenum: metu ne cùm omnia præoccupasset pater, nullam sibi triumphorum ansam & occasionem reliquisset. plurima silentio prætermitto. Sed propter occasionem, quam nunc rursus exprompsisti, volebam ipse, hac ambitiosa contentione prætermissa, ex animi mei arbitrio temporis opportuni necnon fortunæ meæ proditor esse. Graue enim est & molestum, esse quidem certaminum non ignobilium opus, quemadmodum tu nosti, & quibusdam elegantiam viris tale in medium proposuisti. Postea apud quos fastus & cogitationum petulantia intempestiuè in intelligentiam tyrannidem obtinet: ij totam utique sapientiam in supercilio collocatam habent, & omnia facilia atque expedita linguæ volubilitate & pollicitationibus faciunt, quidpiam maximè ignobile diuulgando. Nihilominus quandoquidem magnifica tua lingua & omni ex parte id quod in confesso est decerpens vincendi gratia, & è mente sapientiæ studiosæ, & ex artificiosæ eloquentiæ lepôre impetum sumens, & alia nobis adducit ad faciendam fidem: Et quia non operæprecium est, ut sapientiæ cupidus auditus oris impij rationem habeat, eia tuam veluti comprehensu facilem concludamus postulationem, & aliorum te interueniente, quibus te amplissima condonaturum hoc unico modo polliceris.

A φιλόσοφος ὁ φιλομαθής, ἅτε φροντιστὴς τὰ μετέωρα, καὶ ὅσα ἐκ γῆς ἀνάγει μυστήρια, τὸ κρεῖττον ἄρα σοὶ λοιπὸν ἡ φύσις εἵλετο. τοιοῦτοι γὰρ οἱ τῆς φιλοσοφίας πόθοι καὶ ἔρωτες, ὅσοι ἐνδοτάτω πρὸς τοὺς τῶν ὄντων εἰσίασι λόγους, καὶ πρὸς τὰς τούτων ἤδη σκηνοβατοῦσιν αὐλάς, τοσοῦτο φλεγμαίνουσαν καὶ τὴν εἰς τοὔμπροσθεν τρέφουσιν ἔφεσιν. ἐκεῖνο γέμμην οὐκ ἔστιν ὅτε με οὐκ ἐπῆρε θαυμάζειν, ὅπως ὁπόσοι νῦν ἐφ' ἡμῶν ἀκμάζουσιν Ἕλληνες, ὁρᾷς μὲν ἅπαντας, περιορᾷς δ' οὖν, ἔπειτα σύ γε μόνῳ ἐμοὶ τὰ τῶν σῶν λογικῶν καὶ σοφίας γεμόντων ἐπιχειρημάτων ἀ-
B ναπιθέναι φορτία οὐ μάλα ὀκνεῖς, οὐδ' ὅτι μηδεμίαν αὖθις καταλείπεις φιλοτίμου γυμνασίας πρόφασιν, δέδιας ὁπόσα πρὸς ὀργὴν χαρακτηρίζουσι γνῶμαι φιλότιμοι, ἐπειδὰν τις ἀποκραίη τὰς ῥίζας ἐκτέμνων, αἳ τοὺς τῶν ὕμνων βλαστοὺς ἐξανίσχουσιν. οὐδὲ γὰρ οὐδ' Ἀλεξάνδρῳ τῷ Φιλίππου παιδὶ ἀνεπίφθονον ἔμεινε καὶ βασκανίας ἐκτός, ὁρῶντι τὸν Φίλιππον συχναῖς ταῖς νίκαις ἐμπομπεύοντα, ἀλλὰ μικροψυχήσαντα βακχικόν τινα λέγεται λόγον ἀφεῖναι πρὸς τοὺς ἡλικιώτας, καὶ μεστὸν ὡς εἰπεῖν ἐνθουσιασμοῦ. φάναι γὰρ ἀγωνιᾶν μὴ πάντα προειληφὼς ὁ πα-
C τήρ, μηδεμίαν αὐτῷ καταλείψῃ τροπαίων πρόφασιν. καὶ σιωπῶ τὰ πλεῖστα· ἣν δὲ νῦν αὖθις πρόφασιν προὔβαλες, ἐβουλόμην ἄλλοις τοῦ φιλοτίμου παραχωρήσας, αὐτὸς ἑκὼν γενέσθαι τοῦ καιροῦ τε καὶ τῆς τύχης τῆς ἐμῆς προδότης. δεινὸν γὰρ καὶ σχέτλιον, εἶναι μὲν τῶν οὐ φαύλων ἀγώνων τὸ ἔργον, ὡς σύ τε οἶσθα, καὶ οἷς σύ γε τὸ τοιοῦτον ἐς κοινὸν προὔθηκας ἐλλογίμοις ἀνδράσιν· ἔπειτα οἷς τῦφος καὶ λογισμῶν ἀκοσμία οὐκ ἐς καιρὸν τυραννεῖ τὴν διάνοιαν, ὅλην γε μὲν τὴν σοφίαν ἐπὶ τῆς ὀφρύος ἔχουσι καθη-
D μένην, καὶ πάντα ῥᾴδιά τε καὶ κοῦφα ταῖς ἀπὸ γλώττης ἐπαγγελίαις ποιοῦνται, ἕν τι τῶν φαυλοτάτων διαθρυλλεῖσθαι. ὅμως ἐπειδήπερ ἡ μεγάλη σου γλῶττα καὶ πανταχόθεν συγκεχωρηκὸς καρπουμένη πρὸς τὸ νικᾶν, ἔκ τε φιλοσόφου διανοίας, ἔκ τε πειθοῦς ῥητορικῆς ὁρμωμένη τά τε ἄλλα προσφέρει ἡμῖν εἰς πειθώ, καὶ ὅτι στομάτων ἀδίκων φροντίζειν οὐ χρὴ φιλόσοφον ἀκοήν, φέρε τὴν σὴν ὡς ἐφικτὸν ἐκπεραιωσώμεθα αἴτησιν, καὶ διὰ σοῦ τὴν τῶν ἄλλων; οἷς δὴ τὰ μέγιστα χαρίζεσθαι ὑπισχνῇ δι' ἑνός γε τοῦ τρόπου τουτουί.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A ἅπασι μέν τοί γε ὡμολογημένον ἐστὶν, οἷς καὶ ὁπωσοῦν νοῦ καὶ κριτικῆς ἐπιστήμης μέτεστι, μὴ ἕν τι σοφίας εἶδος τὸν μέγαν ἐξησκηκέναι Συνέσιον, ἀλλ' εἶναι μηδὲν ὅπερ οὔ, τούτῳ δ' εἶναι τῶν πάντων οὐδένα νομίζω τὸν ἀντερῶντα. μηδὲ γὰρ μόνον ὁπόση κατὰ τὸν Ἑλλήνων λόγον ἐστὶ ποικιλία, πάσης ἐς ἄκρον σπουδαστὴν καταστῆναι, ἀλλὰ καὶ τῶν Χαλδαϊκῶν θιασώτην ἁπάντων ὀργίων· καὶ ὅσα δ' αὖ ἱερογραμματέων τῶν πάλαι παρ' Αἰγυπτίοις θαυμασθέντων βίβλοι καὶ μυστικαὶ τελεταὶ τοῖς ἔπειτα χρόνοις παρέδοσαν, καὶ ὅσα Δελφῶν ἐδογμάτισαν θεολόγοι, οὐδὲ τούτων ἀτέλεστος ἔμεινεν ὁ ἀνήρ· ἀλλὰ ταῦτά τε, καὶ ξύν B γε τούτοις. ὅσα Πλάτωνες ἐξ Ἀθηνῶν, κἀκ Σάμου Πυθαγόραι παρ' Αἰγυπτίους φοιτήσαντες ὤναντο. καὶ οὗτος ἀνὴρ ἐρρωμένως περὶ τὴν τοιαύτην ἐβάκχευσε τράπεζαν· ἐμέλησε δ' αὐτῷ καὶ ὅσα γοήτων καὶ μάγων ἐπιτηδεύουσιν ἴυγγες, ἐπιτηδεῦσαι μὲν οὔπω ταῦτα· τὸ δὲ τοὺς τούτων ἐν ἀπορρήτοις κειμένους λόγους ἄκροις ὠσὶν ἐπελθεῖν, τοῦτο δὴ καὶ μάλιστα. οὐδὲ γὰρ θέμις ἀνδρί γε σοφῷ καὶ φιλομαθεῖ εἰς τὸ παγκόσμιον τουτὶ θέατρον τοῦ παντὸς ἀνακύψαντι, μὴ οὐ πάντων πραγμάτων καὶ λόγων καὶ ἐπιτηδευμάτων τοὺς λό- C γους ὡς ἐφικτὸν ἐξετάζειν τε καὶ ἰχνηλατεῖν, καὶ τῶν μὲν ἔχεσθαι, τῶν δ' ἀπέχεσθαι. καὶ μέχρι μὲν Ἕλλην τῇ δόξῃ τυγχάνων ἦν, μικροῦ πάντων εἴχετο· ἀφ' οὗ δὲ τὴν ἁλμυρὰν ἐκείνην ἀκοὴν, ὁπωσποτε ἀπεκλύσατο, τηνικαῦτα δὴ καὶ τῶν πλείστων ἀπέσχετο, ὁπόσα ζιζανίων δίκην ἠνώχλει τὸ καθαρόν τε καὶ εὔσταχυ λήϊον. γνοίη μὲν οὖν ἄν τις κἀξ ὧν ἄλλων αὐτὸς γέγραφε βίβλων καὶ λόγων· γνοίη δ' ἂν μᾶλλον ἐκ τοῦδε τοῦ λόγου, τά τε ἄλλα, καὶ ἔτι τὴν πολυμάθειαν καὶ περίνοιαν τοῦ ἀνδρός, καὶ ὅπως φιλόσοφον μὲν ἡ πρόθεσις αὐτῷ πανταχοῦ, καὶ ἦθος ἀξιωματικὸν καὶ D σεμνὸν τοῖς τούτου χείλεσιν ἐπανθεῖ· πάντων δ' ἐνταῦθα μάλιστα, ἅτε καὶ ταῖς ἀδύτοις τῶν παγκοσμίων καὶ ὑπὲρ φύσιν ἐξετάσεσι συνοργιάζοντός τε καὶ συμβακχεύοντος, καὶ οἷον ἐνθουσιῶντος, καθάπερ οἱ θεομάντεις τε καὶ φοιβόληπτοι. καὶ γὰρ ἵνα ταῖς αὐτοῦ γε ὁμολογίαις ὡς ἔχουσι διανοίας καὶ αὐτὸς ἐνταυθοῖ χρήσωμαι, δείκνυσι πρὸς τὴν φιλόσοφον καὶ διδάσκαλον Ὑπατίαν, ὡς τοῦ Θεοῦ κινήσαντός τε καὶ ἀναγκάσαντος, τὸν παρόντα λόγον ἐξέθετο, καὶ αὐτὸς μὲν τὴν γραφίδα ἔχρησεν,

Omnibus quidem certè sine dubio concessum est, quibus etiam quocunquè modo adest communicatio mentis & scientiæ iudicio pollentis, non vnicam quandam sapientiæ speciem magnum Synesium exercuisse; at nullam esse, quam non assecutus sit, huicque rei mortalium neminem contradicturum opinor. Neque enim solum quanta est eius in Græco sermone coloris varietas, ad cuiusuis excellentissimum fautorem constituendum & exhibendum, verumetiam omnium Chaldaicorum mysteriorum sodalem: Et quæcunque rursus à sacris scriptoribus priscis apud Aegyptios de rebus admirabilibus libri ac mysticæ ceremoniæ subsequentibus temporibus tradiderunt, & quæcunque dogmata Delphorum theologi præscripserunt, neque remansit vir quin his initiatus esset. Verùm & hæc ipsa, & cum ipsis, quæcunque Plato ab vrbe Atheniensi, & è Samo Pythagoras ad Aegyptios discendi gratia ventitantes assecuti sunt; etiam ille vir fortiter circa talem debacchatus est mensam. Ipsi porrò curæ fuit nosse omnia quæ præstigiatorum & magorum voces instituerunt: nunquam tamen ista exercuit: sed earum rerum in arcanis delitescentes rationes extremis auribus percurrisse, istud maximè curauit. Haud quippe fas est viro sapienti ac discendi cupido in hoc omni ex parte ornatum mundi Theatrum oculos flectenti, quin omnium rerum sermonem, & institutorum rationes, quantum datur assequi, exploret & inuestiget, vt his insistat, ab aliis verò se abstineat. Et quoad Græcus erat animo fermè omnia complectebatur. Sed simul atque amarum illum auditum vtcunque abluit, tum demum sanè etiam à pluribus se abstinuit: quæcunque instar loliorum molestiam exhibebant synceris atque firmis segetibus. Cæterum nouerit quispiam & ex aliis quos ipse scripsit libris & orationibus: nouerit autem commodius ex hac oratione & alia & præterea multiplicem eruditionem ac solertiam viri, & vt intentio quidem philosophica in ipso vbique, & indoles veneranda ac splendida in eius labiis effloreſcit. Sed hîc in primis, vtpote etiam in secretioribus rerum ornatissimarum & supra naturam positarum explorationibus, ceremonias cum peragat, atque diuino furore afflatus, ac veluti numine concitatus sit, quemadmodum vates diuini & Phœbi vaticinio correpti. Etenim vt ipsius interim professione contractáque societate, prout in ea se habet mens, etiam ego in præsentia vtar: indicat ad sapientiæ studiosam & magistram Hypatiam, vt tanquam Deo eius animum incitante atque cogente, præsentem sermonem ediderit, & ipse quidem stylum accommodarit,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

quasi extra se ipsum exortus. Deus porrò hanc rerum vniuersitatem quàm ocyssimè construxit ac molitus est, verborum efficacium & in promptu positorum extemporaneorúmque fontes affluentes & vberrimos suggerens, & ore promens: & parum abfuit quin ipse Synesius hoc vniuersum contemplaretur, quatenus etiam postea consequens & futurum tempus, vt ipse ait, se nonnullis vt plurimum occultissimis ac inuentu difficillimis partibus vsum esse, discrepando séque abstinendo ab ijs quæ absurda, & ab instituto aliena sunt, nihil in suum librum retulisse.* *Hinc etiam istud manifestum est. Etenim cùm præsentis tractatus sententia sublimi ac æthereo diuini afflatus præsidio septa munitáque sit, & vsque adeo theologica speculatione edisserat, opportunum subinde fuerit à dictione tranquillitatem elicere, ac minimè eiusdem insolentiæ nouitatíque inhærescentem sensum confundere, atque mulctare eloquentiæ & sermocinationis studiosarum aurium auiditatem. Huic porrò neque dictio à vaticinandi artificio & oraculo aliena remansit, neque ita intumescente sententia propter fastum, otium admonendi subridente lingua accepit. sed familiaritate hîc quoque vsus est, natura videlicet eius linguæ tanquam sua sponte fluentis fontis facilitatem & vrbanitatem suppeditante. Ille autem peregrinis vtcunque & externis moribus ac vocibus vtens percellit auditum, ac veluti pungit, & pruritu afficit, vt vindemiantium palmam qui circa rosam est aculeus aut spina. Solet enim homines, qui distinctos locos incolunt, peculiaris mutatio cuiusdam consuetudinis simul & linguæ, haud secus atque quidam insitus animi affectus comitari, & illinc oriri. Ac si quædam istinc ad auditum attico sermone delinitum peruenit commentatio, cuiusdam talis generis dicendi mare sibi attrahit & ascisit. Nam Ptolemaïdi & Alexandriæ & in superiori parte Libyæ versans, è longinqua regione consuetudinem habuit cum illis, quicunque Stoicæ familiæ & Academicæ sectatores ac discipuli fuerunt. haud tamen suis legibus viuens horum contubernalis fuit: & ob id illinc nonnullas quasi opiniones admisit, alias autem repudiauit. Hunc in modum has quidem loquendi rationes inde profectas æmulatus est, alias verò minimè. Ideóque augusta & imperatoria quadam naturæ licentia vtens, à patrijs laribus emigrauit, exiguam rationem habens de his, quorum communi colloquio fruebatur. Ergo si quispiam hanc vtique causam esse constituerit, atque eius præsentem orationem coniectu difficilem esse maiori ex parte, & velut ænigmaticam*

A ὥσπερ ἔξω γενόμενος ἑαυτοῦ. Θεὸς δὲ τὸ πᾶν τὴν ταχίστην ἐξείργασται, λόγων αὐτοσχεδίων ἀφθόνους πηγὰς ὑποβάλλων, παρὰ τοσοῦτον αὐτοῦ γε μὴ σκεψαμένου τὸ σύνολον, παρ' ὅσον καὶ ὕστερον ἐπιόντα αὐτόν, ὡς αὐτός γε φησίν, ἔστιν οἷς τῶν μερῶν ἐς πλεῖστον ἀπορρήτοις χρήσασθαι, τῶν ἀλλοτρίως ἐχόντων ἀπῳκισμένα μηδὲν εἰς τὸ ἴδιον σύγγραμμα. καὶ δῆλον κἀντεῦθεν τουτί. καὶ γὰρ τῆς τοῦ παρόντος λόγου διανοίας ὑψηλοῖς τε καὶ αἰθερίοις φρουρουμένης τοῖς ἐνθουσιασμοῖς, καὶ οὕτω θεολογούσης, δέον τὴν γοῦν ἀπὸ τῆς λέξεως ἀγαγεῖν B γαλήνην, καὶ μὴ παρὰ ταύτης ἀηθεῖ συγκυκᾶν τὸν ἐγκείμενον νοῦν, καὶ ζημιοῦν τὴν φιλολόγων ἀκοῶν τὴν λιχνείαν· παρὰ δὲ οὐδὲ ἡ λέξις ἀχρησμῴδητος ἔμεινεν, οὐδὲ φλεγμαινούσης οὕτω διανοίας ὄγκον εἴληφε χλιδῶν μειδιώσῃ γλώσσῃ παραμυθήσασθαι, ἀλλὰ τῇ συνηθείᾳ κἀνταῦθα ἐχρήσατο. τῆς γάρ τοι φύσεως πολλὴν αὐτοῦ τῇ γλώττῃ χορηγησάσης ὡς ἐξ αὐτομάτου πηγῆς τὴν εὐκολίαν καὶ ἀστειότητα· ὁ δὲ ξενίζουσιν ἔσθ' ὅπη καὶ ὑπερορίοις ἤθεσί τε καὶ λέξεσι χρώμενος, C πλήττει τὴν ἀκοήν, καὶ οἷον ἀμύσσει καὶ κνίζει, καθάπερ τὴν τῶν τρυγώντων παλάμην ἡ περὶ τὸ ῥόδον ἄκανθα. φιλεῖ γὰρ τοῖς, ὅσοι διαφόρους τοὺς τόπους οἰκοῦσιν ἀνθρώποις, ἰδιοτροπία τινὸς ἤθους ἅμα καὶ γλώττης, καθάπερ τι σύμφυτον πάθος ἀκολουθεῖν, κἀντεῦθεν συμβαίνειν· καὶ εἴ τις ἐκεῖθεν πρὸς ἀττικίζουσαν ἀκοὴν ἀφίκηται γραφή, τοιούτου τινὸς χαρακτῆρος ἐπάγεσθαι θάλασσαν. Πτολεμαΐδι γὰρ καὶ Ἀλεξανδρείᾳ, καὶ τῇ κρείττονι τῆς Λιβύης ἐνδιαιτώμενος, D πόρρωθεν μὲν ὡμίλησεν ὅσοι στοᾶς καὶ ἀκαδημίας ἦσαν ὁμιληταί· αὐτός γε μὴν οὐ μήν πω αὐτήκοος τούτων ὁμιλητὴς ἐγεγόνει, καὶ διὰ τοῦτο ὥσπερ τὰς μὲν ἐδέξατο τῶν ἐκεῖθεν δοξῶν, τὰς δὲ ἀπηνήνατο· οὕτω καὶ τὰς μὲν ἐζήλωσε τῶν ἐκεῖθεν γλωσσῶν, τὰς δὲ οὔ. ὅθεν αὐτοκρατορικῆς τε καὶ ἡγεμονικῆς τινὸς ἐξουσίᾳ φύσεως χρώμενος, τὴν οἰκείαν ἐβάδισε, μικρὰ τῶν ἐντυγχανόντων φροντίζων. εἰ γοῦν τις τουτὶ δήπουθεν αἴτιον εἶναι θείη, καὶ τοῦ τὸν παρόντα λόγον δυσείκαστον γίνεσθαι τῷ γε πλείονι μέρει, καὶ οἷον αἰ-

πηγματώδη, οὐ πόῤῥω που τρέχοι αὖ τοῦ πρέ- A
ποντος. νοῦς γὰρ οὕτω τοι ἐμβριθὴς, καὶ πά-
σης μαθήσεως καὶ σοφίας συμφόρημα, τοιαύ-
τῃ γλώττῃ συνυφανθεὶς, πολλὴν ἂν ἐπενέγκοι
νύκτα τε καὶ κατήφειαν, εἴ τις φιλοκρινεῖν τὸν
ἔνδον θαλαμευόμενον ἐθελήσειε νοῦν· ὡς ἀνάγ-
κην εἶναι ὅτῳ τουτονὶ πρὸς βουλήσεως ἂν ἦ
τὸν λόγον ἐξηγεῖσθαι, μὴ μόνον προμετεσχηκότα
καὶ αὐτὸν τυγχάνειν ὧν πάντων ἃ διέξεισιν ἐκεῖ-
νος ἠρανίσατο, ἀλλὰ καὶ μετασχηματίζεσθαι δύ-
νασθαι πρὸς παντοίας δόξας, καὶ τὰ πλεῖστα τῆς
ἡμετέρας ἑτεροφύλους, καὶ οἱονεὶ μεταχρωματί- B
ζεσθαι πρὸς ἐξαλλάττοντα χρώματα, κατὰ τὸν
Φάριον ἐκεῖνον Πρωτέα. οὐ γὰρ ἀπὸ τῆς αὐτῆς
ἅπαντες γνώμης προσφέρονται τοῖς αὐτοῖς,
ἀλλ᾽ ὡς ἕκαστοι τύχοιεν γνώμης ἢ συνέσεως ἔ-
χοντες· οἱ μὲν ἀκαπήλευτον ἔρχονται φέροντες
κρίσιν, οἱ δὲ πάνυ τοι μοχθηρὰν καὶ νοσοῦσαν
τὰ καίρια, οἱ δ᾽ ἡμιμόχθηρον καὶ πρὸς ἑκά-
τερα ῥέπουσαν. καὶ δέος μὴ παραφθέγξηταί
τις τῶν εἴθ᾽ οὕτως, εἴτ᾽ ἐκείνως ἐχόντων, καὶ
περιτρίψηται δόξης οὐκ ἀγαθῆς ἡμῖν ἔγκλη-
μα· κἄπειτα γλῶσσαι μετειληφυῖαι, φαυλό- C
τεραί τε καὶ πρὸς κακίαν ὀξύῤῥοποι διακω-
δωνίσωσι, καὶ μηδὲν ἡμεῖς ἀδικήσαντες κομι-
σώμεθα βραβεῖον πονηρὸν καὶ πολέμιον τοῦ κα-
λοῦ τοῦδε σπουδάσματος. ὅμως ἡμεῖς κατ᾽
ἐκείνους, οἱ τῶν Ἰνδῶν καὶ Περσῶν μεταφέροντες
γνώμην, καὶ γλῶσσαν εἰς τήνδε τὴν ἡμετέ-
ραν ἀκοὴν καὶ φωνὴν, ἀνέγκλητοι μένουσι· τὸν
αὐτόν γε τρόπον καὶ ἡμεῖς ἀλλόφυλον δόξαν δια-
λευκαίνοντες, καὶ πρὸς σαφεστέραν διαπορθ-
μεύοντες ἀκοὴν, λήσομεν πάντως ἀνέγκλητοι
μένοντες, παρ᾽ ὅσοι τε τῶν ἐλλογίμων εἰσὶ, καὶ
ὧν ἥκιστα φθόνος ἐφεδρεύων τινάττει καὶ κυκᾷ τὴν D
γνώμην. κἄπειτα καὶ πλείους οἶμαι ἀεὶ τῶν
φθονησόντων ἔσονται, οἷς χρειῶδες τὸ πρᾶγ-
μα φανεῖται· ὧν δὴ τὰ βέλτιστα προθύμως
συνευχομένων ἡμῖν, ἡμῖν μὲν εἴη τοῦ ἔργου
μισθόν τινα διδοὺς ὁ Θεός· τοῖς δὲ βασκάνοις,
αὐταῖς βασκανίαις κακοῖς κακῶς συναπόλλυ-
σθαι. ἔσται δ᾽ ἡμῖν τὸ τῆς ἐξηγήσεως, οὐ πρὸς
ἐντελεστέρους μόνον γινόμενον, ἀλλ᾽ ἤδη καὶ
πρὸς ἀτελεστέρους τὴν γνῶσιν. οἱ μὲν γὰρ
τῷδε τῷ μέρει συνέσονται, οἱ δὲ τῷδε, οἱ δ᾽
ἑκατέροις, ὡς δύναμις ἑκάστῳ καὶ βούλησις.

& obscuram, non procul ab eo quod decens & consentaneum est currit & aberrat. Mens enim tam onusta, & cuiusuis disciplinæ ac sapientiæ coaceruatio, tam vberanti facundiæ contexta multam intulit noctem & tristitiam, si quis curiosè expendere internum & contubernalem sensum velit. Quasi necessarium esse liceat cuicunque hunc ad voluntatis & sui consilij rationem explicare: non eum solùm qui prius particeps fuerit, compotem eorum omnium fieri quæ edisserit, ac si ille emendicauerit; verumetiam transformare posse ad varias opiniones, & sæpenumero iudicio nostræ gentis priuatas, ac veluti transfigurare in degenerantes varióssque colores, haud secus atque Pharius ille Proteus. Non enim iuxta eandem sententiam omnes eis vtuntur, sed vt singuli opinionem sortiti sunt aut perspicientiam: hi quidem accedunt integrum ac syncerum adferentes iudicium, alij verò admodum flagitiosum, quippe quod circa consentanea & opportuna insano studio errat; nonnulli porrò semiuitiosum & in vtramque partem vergens. Nec quis eorum, qui hoc vel illo modo affecti sunt, timorem perperam & inconcinnè respondeat, & nos aspergat crimine atrocique iniuria improbæ opinionis. Et postea linguæ sibi multa arrogantes, ignobiles, petulcæ, & ad maleficium propensæ nos tumore sinistro apud vulgus onerent: & nos nullo scelere polluti præmium infaustum & hostile reportemus huius honesti & egregij studij. Nihilominus cum illis qui Indorum & Persarum in hunc nostrum auditum & sermonem transferunt sententiam, hi inculpati manent: hunc in modum & nos propter alienigenam gloriam candescentes, & ad dilucidiorem auditum traijcientes, latebimus omnino inculpati manentes, apud eos qui sunt è numero cordatorum elegantiúmque hominum, & quorum nullatenus inuidia præsidens concutit & agitat mentem. Postea etiam plures, vt opinor, semper æmulatores erunt, quibus perutilis hæc res videbitur: Quibus certè optima prompto alacríque animo nobis optantibus, nobis quidem Deus huius operis quandam dederit mercedem: Sed obtrectatoribus, vt cum ipsis malis obtrectationibus malè pereant. Erit autem à nobis hæc explanatio non tantùm in perfectiorum gratiam facta, sed iam propter intelligentiam eorum qui sunt minus idonei. Hi quidem hac in parte versabuntur, alij in alia, nonnulli autem in vtraque, prout facultas & voluntas vnicuique fuerit.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Quæcumque porro de animo commemorat, cum quibusdam priscis sapientibus consentanea enumerat, cum quibusdam dissona discrepantiáque. Et quidnam propriè fantasiam esse ille dicat, quid verò eorum vnusquisque: & in qua corporis parte, eius quæ in somno est vaticinationis, statuat tripodem seu cortinam edendis oraculis idoneam: demonstrat quidem ipsemet ad sapientiæ studiosam & magistram Hypatiam, quòd multa eorum quæ inter philosophandum excogitata nondum à Græcis fuerant exposita traditáque essent. Conspicuum igitur etiam nos faciemus in ipsa explanatione. Ad hæc efficiemus vt singula innotescant, & illustrentur, in singulorum statione degentes. Tu autem pro his quæ apposité, & ex tui animi sententia constituta sunt, gratias animo & lingua reddere coram Deo ne torpescas: Sed pro iis quæ aliter se habent, luculentam nobis expostulationem facito: Illorum enim ipse dux, princeps & choragus est: in his autem nos culpandi sumus.

A Περὶ μὲν τῆς ψυχῆς ὅ, τι διέξεισι, ὧν τισὶ μὲν συνῳδὰ φθέγγεται τῶν πάλαι σοφῶν, τισὶ δὲ ἀπᾴδοντα. καὶ τί μὲν ἐστὶ τὴν φαντασίαν εἶναί φησι, τί δ' ἐκείνων ἕκαστος, καὶ ὅπῃ τοῦ σώματος τῆς καθ' ὕπνον μαντικῆς ἱστᾷ τὸν τρίποδα, δείκνυσι μὲν καὶ αὐτὸς πρὸς τὴν φιλόσοφον καὶ διδάσκαλον Ὑπατίαν, ὅτι πολλὰ τῶν μήπω φιλοσοφηθέντων Ἕλλησι παρεγκεχείρισται. δῆλον δ' οὕτω καὶ ἡμεῖς κατ' αὐτήν γε ποιησόμεθα τὴν ἐξήγησιν· ἐπισημανούμεθα γὰρ ἕκαστα κατὰ χώραν ἑκάστων γενόμενοι· σὺ δ', ὑπὲρ μὲν τῶν εὖ καὶ κατὰ γνώμην ἐχόντων, χάριτας ἀπὸ γνώμης καὶ γλώττης ἀποδιδοὺς μὴ κατόκνει Θεῷ· ὑπὲρ δὲ τῶν ἄλλως ἐχόντων, λαμπρὰν ἡμῖν τὴν μέμψιν. τῶν μὲν γὰρ αὐτὸς χορηγός, τῶν δ' ἡμεῖς αἴτιοι.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΤΟΥ ΑΥΤΟΥ ΝΙΚΗΦΟΡΟΥ ΕΡΜΗΝΕΙΑ.

Εἰ δὲ εἰσὶν ὕπνοι.) Ὥσπερ τὰ τῶν βασιλέων κειμήλια, καὶ ὁπόσα ἀνθρώποις ἱερά τε καὶ τίμια, ὑπὸ παραπετάσμασιν ἄλλα ἄλλοις καλύπτονται), ἵνα μήτε δήμοις ἀνοσίοις προκείμενα κιβδηλεύηται, μήτε διαφθείρηται· διὰ γὰρ τῆς χορηγίας ἄπονόν τε καὶ πρόχειρον· οὕτω καὶ ὅσα καθεύδουσι τοῖς ἀνθρώποις ὁρῶνται, ἐπεὶ θειοτέρα, φησί, καὶ προγνωστική τις ἐστὶν ὄψις, τοῦ φανταστικοῦ πνεύματος τῆς ψυχῆς τηνικαῦτα καθαρωτέρου καθισταμένου, διὰ τὸ ἀπηλλάχθαί πως τῶν σωματικῶν τε καὶ ὑλικῶν θορύβων, αἰνιγματωδῶς πως καὶ ταῦτα, καὶ ὥσπερ ὑπὸ παραπετάσματι δίδονται τοῖς ἀνθρώποις. διὸ σοφὸν αὐτῶν φησὶ καὶ τὸ μὴ σαφές· βεβαιοῖ δὲ τοῦτο καὶ διὰ τῶν τοῦ Ἡσιόδου ἐπῶν, ἔκρυψαν γάρ, φησιν, οἱ θεοὶ τοῖς ἀνθρώποις τὸν ἄπονον βίον, καὶ πάντων καλῶν ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν. τὸ γὰρ ἀπόνως τυγχάνειν τῶν ἀγαθῶν, δῶρον εἶναι φησὶ θεῖον· δίδοσθαι δὲ τοῦτο μὴ πάνυ πολλοῖς τισίν, ὅτι μὴ σφόδρα ὀλίγοις· οἷς σοφία μὲν πόνων χωρὶς ἐβραβεύθη τῷ Σολομῶντι· Σαμψὼν δὲ ἡ τοῦ σώματος ἀνυπέρβλητος ἰσχύς τε καὶ ῥώμη· καὶ αὖ ὡς Ἕλληνες πείθουσι λόγοι, σοφία τις οὐ πάνυ τοι ἀγεννὴς ἧκε παρὰ τῆς ἄνω προνοίας, καὶ Αἰσώπῳ τῷ Φρυγί, καὶ πρό γε τούτου Ἡσιόδῳ τε καὶ Ὁμήρῳ. τὸ δὲ προφήτας εἶναι τοὺς ὕπνους καὶ τὰ ὄναρ θεάματα σκιώδεις τινὰς εἰκασίας τῶν ἐσομένων, οὕτω τοι βέβαιόν τε καὶ ἀναντίρρητον ἥγηται ὁ σοφὸς οὗτος Συνέσιος, ὥστε καὶ εὐθὺς ἐκ προοιμίων ἀποδεικτικοῖς τισὶ χρῆσθαι συλλογισμοῖς, βούλεται μέν, διὰ δὲ μὴ καὶ τοὺς πλείστους ἔχειν αἱρεσιώτας πρὸς τοῦτο, τῷ συναπτικῷ τε καὶ οἱονεὶ διαστατικῷ συνδέσμῳ κολάζει τὸ αὔθαδες τοῦ τολμήματος, μονονουχὶ λέγων, ὡς εἰ ταῦτα δογματίζεις ἐμοί, ὅστις ποτε

EIVSDEM NICEPHORI IN SYNESIVM DE Insomniis explanatio.

QVOD si somni sunt fatidici.) *Quemadmodum Regum preciosa munera, quæ propter valorem, maioresque delicias reponuntur & asseruantur, & quæcunque apud homines sacra, augusta & magnifacienda sunt, sub tapetis & auleis alia aliis teguntur, ne profanæ ignaræque multitudini proposita corrumpantur & adulterentur, neque floccifiant. Nam propter sumptus, id facile & in promptu positum est. Ita quæcunque ab hominibus somno sepultis cernuntur, quandoquidem diuinior, ac præsciens quidam aspectus denuntiat, tunc fantastico animæ spiritu puriore pacato, propterea quòd solutus est quodammodo corporeis atque materialibus crassisque tumultibus, ænigmaticè & obscurè quadam ratione etiam ista tanquam sub velis hominibus conceduntur. Eam ob rem sapiens & industrium est in ipsis (vt aiunt) etiam id quod non apertum est. Istud porrò versibus Hesiodi confirmatur.* Occultarunt si quidem (*ait ipse*) Dij hominibus lenem & facilem vitam, & in conspectu omnium rerum sudorem Dei collocarunt. *Illud autem, nempe citra laborem bonorum compotem esse, munus diuinum asserit esse: verùm id non admodum multis concedi, quia valdè paucis: Veluti sapientia sine labore Solomoni pro præmio distributa est: Sampsoni verò corporis insuperabilis fortitudo roburque: Ac rursum vt liberales Græcorum disciplinæ tradunt & suadent, sapientia quædam non admodum ignobilis accessit à suprema cælestique prouidentia Aesopo Phrygio, & ante hunc Hesiodo necnon Homero. At somnos Prophetas esse, & spectra per quietem visa, futurorum vmbratiles quasdam similitudines, vsque adeò firmum & sancitum, cuiq; nihil ex aduerso opponi queat, arbitratur sapiens & industrius ille Synesius, vt statim à primordio demonstratiuis quibusdam vti syllogismis velit: Sed quia in hoc non multos habet sectatores, coniunctiuo ac veluti separatiuo vinculo subigit ac temperat morositatem & contumaciam temeritatis, propemodum dicens: Quòd si mihi in istis dogmatis assentiris,*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A *quisquis commercium habes cum hoc commentario atque etiã admittis somnos Prophetas & vaticiniorum interpretes esse, & quæ inter dormiendum cernuntur, futurorum præscientiam exhibere: Te quoque nosse operæprecium est ex necessitate id quod consequens, nimirum sapientes & industrios esse somnos, non vtique dilucidos & apertos: Et hinc concludit, id quod minimè conspicuum & obuium est, ingeniosum ac sapiens esse: Euripidi contradicens. Ille siquidem in Orestis fabula introducit Menelaum dicentem,* Id quod solers & argutum est, planum ac perspicuum esse, non autem quod obscurum. *Ergo formauit ac texuit proœmium iuxta id quod diximus argumentum in formulam syllogismi hypothetici.*

εἰ ὁ τῷ συγγράμματι τῷδε ἐντυγχάνων, καὶ δέχῃ ὡς οἵ τε ὕπνοι προφῆταί εἰσι, καὶ τὰ ὄναρ θεάματα μελλόντων περιέχουσι πρόγνωσιν, εἰδέναι σε χρὴ καὶ τὸ ἐξ ἀνάγκης ἑπόμενον, ὅτι σοφοὶ μέν εἰσιν οἱ ὕπνοι· σαφεῖς δὲ οὐκ ἀδήπου· καὶ ἐντεῦθεν συμπεραίνει καὶ τὸ μὴ σαφὲς εἶναι σοφόν, ἐναντία λέγων τῷ Εὐριπίδῃ· ἐκεῖνος γὰρ ἐν τῷ τοῦ Ὀρέστου δράματι παράγει Μενέλαον λέγοντα, σοφὸν τὸ σαφές, οὐ τὸ μὴ σαφές. ἐσχημάτισεν οὖν τὸ προοίμιον, δι' ἣν ἔφαμεν αἰτίαν εἰς τύπον συλλογισμοῦ ὑποθετικοῦ.

B





Vitam.) *hîc laboris expertem dicit.*
Maxima.) *bona.*
C Cognoscendi virtute.) *hoc est rationali potentia animæ.*
Ad cognoscendum.) *non enim extrinsecus hanc desiderat, sed ipsamet cognitio est.*
Homini.) *adiumentum ad perspiciendum.*
Homo quippe vulgaris.) *sordida turba.*
Quod adest.) *instans, & quod ante pedes est, videt.*
Nondum euenit.) *futurum.*
Coniectura.) *cum ambiguitate.*
Græcorum omnium.) *vniuersorum, quicunque in expeditionem Troianam exiuerunt.*
D Quæ fuerant.) *quæ transierunt & elapsa sunt.*
Et apud Homerum.) *inquit enim ille Ionem quoad generationem priorem & antiquiorem fuisse.*
Pertinere.) *conuenire.*
Quandoquidem.) *in hoc enim prius dixit Deum ab homine distingui, & hominem à bellua.*

Versibus.) *ipsis Homericis.*
Insolenter.) *hoc est, priuato iudicio, crassè & imperitè.*

Pag. 133. Βίον.) τὸν ἄπονόν φησιν ἐνταῦθα.
Τῶν μεγίστων.) ἀγαθῶν.
Τῷ γνωστικῷ.) τῇ λογικῇ δυνάμει τῆς ψυχῆς.
Τὸ γινώσκειν.) οὐ γὰρ θύραθεν δεῖται ταύτης, ἀλλ' αὐτή ἐστι γνῶσις.
Ἀνθρώπῳ.) βοήθημα εἰς τὸ προορᾶν.
Ὁ γὰρ πολύς.) ὁ ἀγοραῖος ὄχλος.
Τὸ πρόσθεν.) τὸ ἐνεστός.
Τοῦ μήπω.) τοῦ μέλλοντος.
Γενομένου.) μετὰ ἀμφιβολίας.
Τῶν πανελλήνων.) τῶν ὅλων Ἑλλήνων, ὅσοι κατὰ τῆς Τροίας ἐστράτευσαν.
Πρόσθ' ἐόντα.) τὰ παρελθόντα.

Καὶ Ὁμήρῳ.) λέγει γὰρ ἐκεῖνος, ὅτι καὶ γενεῇ πρότερος ὁ Ζεύς.
Συντείνειν.) συντρέχειν.
Ἐπεὶ τό.) ἐν τούτῳ γὰρ ἔφησεν ἀνωτέρω διαφέρειν θεόν τε ἀνθρώπου, καὶ ἄνθρωπον θηρίου.
Ἐπῶν.) Ὁμηρικῶν καὶ αὐτῶν.
Φορτικῶς.) τουτέστιν ἰδιωτικῶς, καὶ παχέως, καὶ ἀμαθῶς.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A Κατ' αὐτήν.) τὴν ποίησιν.

Φιλοσοφίας.) καλῶς τοῦτο εἰρήκει. καὶ γὰρ οἱ ποιηταὶ φιλόσοφοι ὄντες, ἔλαθον, ποιηταὶ παρὰ πάντων καλούμενοι. τοῖς γὰρ ἰατροῖς παραπλήσια δρῶντες καὶ αὐτοὶ, ἑαυτῶν φιλοσοφίαν εἰς μύθους καὶ μέτρα καὶ μέλος ψυχαγωγοῦντα καταθέμενοι, τῆς ἐκεῖθεν ὠφελείας οὑτωσὶ τὸ πικρὸν συνεκάλυψαν· καθάπερ καὶ ἰατρῶν παῖδες τὴν τῶν λυσιτελούντων φαρμάκων ἀηδίαν μέλιτι κεραννύντες, πολλάκις συγκρύπτουσιν· ὡς εἶναι λοιπὸν συνετὰ μὲν τοῖς σοφοῖς· τοῖς δὲ βεβήλοις, δημοτερπῆ μὲν, ἀσύνετα δέ. B εἰς οὐδὲν γὰρ ἕτερον ἐκλαμβάνουσι τὸν Δία, ἢ εἰς νοῦν πρεσβύτατον καὶ ἀρχαιότατον, κἀντεῦθεν καὶ σοφώτατον· ὥσπερ καὶ τὴν Ἀθηνᾶν εἰς τὴν φρόνησιν, ἣν καὶ τὸ ἐκ τοῦ Διὸς κεφαλῆς γεννᾶσθαί φασιν. ἀκολούθως οὖν καὶ ὁ σοφὸς οὗτος Συνέσιος ἐνταῦθα εἰς νοῦν μὲν ἐκλαμβάνει τὸν Δία· εἰς ἰσχὺν δὲ αὐτοῦ τὴν σοφίαν· τὸ δὲ γενεῇ πρότερος εἰς τὴν ἀρχαιότητα, ἀφ' ἧς καὶ ἡ σοφία τοῖς ἔχουσιν ὡς τὰ πολλὰ περιγίνεται. φησὶ δὲ καὶ Ἀναξαγόρας, ὅτι νοῦς ἐστὶν ὁ διακοσμῶν τὰ πάντα καὶ πάντων αἴτιος· ὡς ἐντεῦθεν δείκνυσθαι ὅτι καὶ οὗτος πρεσβύτερον καὶ τοῦδε τοῦ παντὸς δοξάζει τὸν νοῦν.

Η νοῦς.) νόας, νοερὰς οὐσίας.

Ταύτῃ.) οὕτως, κατὰ τοιόνδε τὸν τρόπον.

Προσπερονᾷ.) οὗτός τοι αἱρεσιώτης τοῦ Πλάτωνός ἐστιν ὁ περιὼν οὗτος Συνέσιος, καὶ οὕτω τῆς ἐκείνου γλώττης ἐξήρτηται, ὥστε οὐ μόνον τῶν ἐκείνου δοξῶν τὰς πλείους ἐς ἄκρον ἐξεμελέτησεν, ὡς προϊόντες δείξομεν, ἀλλὰ καὶ αὐταῖς πολλαχοῦ κέχρηται ταῖς ἐκείνου λέξεσι. καὶ τὸ προσπερονᾷ δὲ ἐκ τοῦ Πλάτωνος παρείληφε. D φησὶ γὰρ ἐκεῖνος ἐν τῷ Φαίδωνι, ὅτι ἑκάστη ἡδονὴ καὶ λύπη, ὥσπερ ἧλον ἔχουσα προσηλοῖ τὴν ψυχὴν πρὸς τὸ σῶμα, καὶ προσπερονᾷ, καὶ ποιεῖ σωματοειδῆ, δοξάζουσαν ταῦτα εἶναι ἀληθῆ, ἅπερ ἂν καὶ τὸ σῶμα φῇ.

Προσπερονᾷ.) προσηλοῖ καὶ συγκολλᾷ.

Τῷ κατ' ἀλκήν.) τοῦτ' ἔστι τῷ κατὰ ἰσχὺν ὑπερφέρειν τῶν ἄλλων.

Ανακάμπτει.) συνάγεται, ἀνέρχεται, ὡς ἐπὶ κύκλου συμπεραίνεται.

Οτι.) διότι.

In ea.) *Poësi*

Philosophiæ.) *Apposite istud dixit. Siquidem poëtæ philosophi cùm essent, id latuit alios, quòd poëtæ ab omnibus appellarentur, Ipsi namque consimilia medicis facientes eorum philosophiam in fabulas, versus & modulationem ad animorum solatium literis prodentes, eámque philosophandi rationem memoriæ mandantes, illius quæ inde procedit vtilitatis ita amarulentam difficultatem obtexerunt, quemadmodum medicorum filij fructuosorum pharmacorum acerbitatem & molestiam melle temperantes crebrò abscondunt: vt sapientibus reliquum sit solertes quidem & industrios esse, profanis verò ea supersint quæ plebi hilaritatem & oblectationem adferunt, cæterum intelligentiæ & reconditæ perspicacitatis expertia sunt. Nam in nullum alium sensum interpretantur Iouem, quàm ad mentem natu maximam & antiquissimam, ac proinde sapientissimam: veluti Mineruam ad prudentiam, quam etiam è Iouis cerebro natam perhibent. Consentanea igitur ratione sapiens ille Synesius hîc ad mentem & intelligentiam refert Iouem: Et ad fortitudinem ipsius sapientiam. Quod autem ætate prior sit, ad antiquitatem, per quam sapientia ijs qui illam assecuti sunt, suppetit, vt permulta alia. Dixit porrò Anaxagoras mentem esse quæ omnia gubernat, & omnium bonorum causa est: vt inde demonstret, quod & ille antiquiorem esse, & huius vniuersi mentem opinatur.*

Quàm animos.) *mentes, substantias & naturas intellectuales.*

Hac ratione.) *hunc in modum.*

Annectit, *vel* affigit.) *Sic vtique obfirmatus Platonis sectator est hic noster Synesius, & ita ab eius lingua pendet, vt non modò complures eius opiniones vsque ad apicem & sublimitatem meditando consecutus sit, quemadmodum in ipso progressu enarrabimus, verumetiam ipsásmet illius dictiones passim adhibuerit, & illud*

Insuper nectit.) *è Platone assumpsit. Ait enim in Phædone, quamcunque voluptatem & ægritudinem veluti clauum habere, quo animum corpori affigat & annectat, corpulentúmque efficiat, quippe qui ea vera esse arbitratur, quæ corpus dixerit.*

Affigit.) *seu in suum ius recipit, & conglutinat.*

Virium præstantiæ.) *id est, propterea quod viribus alijs præstantior sit.*

Reflectitur.) *simul adducitur, rediit, & tanquam in circulo concluditur.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Hæc quidem argumenta sunt.) *ea argumenta, inquit, demonstrationes esse, quòd scilicet cognitio & sapientia possit euentura prospicere, & vaticinandi artificium philosophando circa eas res, occupetur.*

Quòd si omnia quidem omni ex parte quidpiam portendunt. *Græcus cùm sit opinione, ea quæ ipsi sentiunt commemorat, mundum sua natura esse animatum, & reliquum est quemadmodum, ait, vnumquodque animantium in mundo compositum esse ex partibus & membris, quæ certè societatem & cognationem mutuam inter se habent: Sic & mundus è cœlo ac terra rebúsque interiectis constans, animal cùm sit vitæ particeps, similia cuilibet animanti patitur & facit: & partes ipsius affinitatem & fraternam concordiam inter se habentes exprimunt atque portendunt omnia mutuæ concordiæ euentura, quædam magis, quædam minus. Deinceps progrediens, libro quidem mundum comparat, literis omnes ipsius partes, animantia dico & plantas, aërem & aquam, saxa & reliqua omnia. Quemadmodum igitur in libris literæ sunt diuersarum linguarum, & has quidam agnoscunt ac pronunciant Aegyptiorum, illas verò Græcorum sapientes: hi quidem minus & adhuc imperfectè, haud secus atque infantes legunt, aut per syllabas, aut confertim, vel dictionem simul, alij autem recitant orationem. Est autem oratio integra propositio ex nomine & verbo summatim constans, veluti, Socrates ambulat. Constat enim animi conceptionem & sensum aut veracem aut mendacem esse. Sed dictio pars est orationis. vt, Socrates: Quod quidem nomen nec verum nec falsum declarat. Est autem syllaba pars dictionis, sicuti ex hac voce, Socrates, duntaxat So, quod quidem nihil significat. Sic igitur inquit: Etiam sapientes, prophetæ & augures animo perlustrantes ea quæ in mundo continentur, tanquam ex aliqua specula id quod futurum & euenturum est prospiciunt, hi quidem ex astris, aut ex his sideribus ac stellis quæ fixa manent in sphæra globóque cœlesti, aut ex flammis in aëre micantibus, quæ propriè non sunt astra, nihilominus astra videntur, & ipsa communi nomine modo nuncupantur. De Sole autem & Luna ac cæteris errantibus, & præterea de cometis non locutus est, quia ex ipsis vident futurum sapientes, vel quod exploratum sit omnibus qui illud indicant, aut quòd in iis acquieuit is qui propinqua dixit, vel putauit ex illis manifestum esse, quòd etiam ea subintelliguntur. Quocirca ij (vt aiunt) è stellis præsagiunt futurum: illi autem è visceribus vi-*

A Αὗται μὲν.) Ταῦτα εἶπεν ἀποδείξεις εἶναι, ἤγουν τὸ τὴν γνῶσιν καὶ τὴν σοφίαν δύνασθαι προορᾶν τὰ ἐσόμενα, καὶ τὸ τὴν μαντείαν πραγματεύεσθαι περὶ ταῦτα.

Εἰ δὲ σημαίνει.) Ἕλλην καὶ αὐτὸς τῇ δόξῃ ὤν, τὰ αὐτὰ ἐκείνοις λέγει, καὶ φησὶν εἶναι τὸν κόσμον ἔμψυχον, καὶ λοιπόν, ὥσπερ, φησίν, ἕκαστον τῶν ἐν τῷ κόσμῳ ζῴων, σύγκειται ἐκ μερῶν καὶ μελῶν, ἃ δὴ κοινωνίαν καὶ συγγένειαν ἔχουσι πρὸς ἄλληλα· οὕτω καὶ ὁ κόσμος ὁ ἐξ οὐρανοῦ καὶ γῆς, καὶ τῶν μεταξὺ συνιστάμενος, ζῷον ἔμψυχον ὤν, τὰ ὅμοια πάσχει καὶ ποιεῖ ἑκάστῳ B ζῴῳ, καὶ τὰ μέρη αὐτοῦ συγγένειαν καὶ ἀδελφότητα ἔχοντα πρὸς ἄλληλα, σημαίνουσι περὶ γενομένων δι' ἀλλήλων ἅπαντα, τὰ μὲν μᾶλλον, τὰ δ' ἧττον· εἶτα προϊών, βιβλίῳ μὲν εἰκάζει τὸν κόσμον· γράμμασι δὲ τὰ ἐν αὐτῷ πάντα μέρη, ζῷα λέγω καὶ φυτά, καὶ ἀέρα καὶ ὕδωρ, καὶ λίθους, καὶ τἄλλα πάντα. ὥσπερ οὖν τὰ ἐν τοῖς βιβλίοις γράμματα, διαφόρων γλωσσῶν ὄντα, τὰ μὲν ἀναγινώσκουσιν οἱ τῶν Αἰγυπτίων σοφοί· τὰ δὲ οἱ τῶν Ἑλλήνων· καὶ οἱ μὲν ἧττον καὶ ἀτελῶς ἔτι, ὥσπερ τὰ βρέφη ἀναγινώσκουσιν ἢ κατὰ συλλαβάς, ἢ ἀθρόον, ἤτοι ὁμοῦ C τὴν λέξιν· οἱ δὲ ὁμοῦ ἀναγινώσκουσι τὸν λόγον· ἔστι δὲ λόγος μὲν ὅλη πρότασις, ἐξ ὀνόματος καὶ ῥήματος τὸ ἔσχατον συγκείμενος, οἷον Σωκράτης περιπατεῖ. δηλοῖ γὰρ ἔννοιαν ἢ ἀληθεύουσαν ἢ ψευδομένην. λέξις δέ ἐστι μέρος λόγου, οἷον Σωκράτης· ὅπερ οὐ δηλοῖ οὔτε ἀλήθειαν οὔτε ψεῦδος· συλλαβὴ δέ ἐστι μέρος λέξεως, οἷον ἐκ τοῦ Σωκράτης μόνον τὸ σω, ὅπερ οὐδὲν σημαίνει. οὕτως οὖν, φησί, καὶ οἱ σοφοί, προφῆται καὶ μάντεις ἀναγινώσκοντες τὰ ἐν τῷ κόσμῳ πράγματα, προορῶσι τὸ μέλλον· οἱ μὲν ἐκ τῶν D ἀστέρων, ἢ τῶν μενόντων ἐν τῇ ἀπλανεῖ σφαίρᾳ, ἢ τῶν πυρσῶν τῶν ἐν τῷ ἀέρι διαττόντων, ἃ οὐ κυρίως εἰσὶν ἄστρα, ἀλλὰ δοκοῦσιν ὅμως ἄστρα, καὶ αὐτὰ ὁμωνύμως καλοῦνται· περὶ δὲ ἡλίου, καὶ σελήνης, καὶ τῶν πλανωμένων, καὶ ἔτι περὶ κομητῶν, οὐκ εἰρήκει, ὅτι καὶ ἐξ αὐτῶν ὁρῶσι τὸ μέλλον οἱ σοφοί, ἢ ὡς ὁμολογουμένου τοῖς ἅπασιν ὅτι δηλοῦσιν, ἢ ὅτι ἠρκέσθη τὰ γειτνιοῦντα εἰπών, καὶ νομίσας δῆλον εἶναι ἐκ τούτων, ὅτι κἀκεῖνα συνυπακούονται. οἱ μὲν οὖν, φησιν, ἐκ τῶν ἀστέρων προορῶσι τὸ μέλλον· οἱ δὲ ἐκ τῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A τῶν σπλάγχων τῶν ἀνατεμνομένων σφαγίων, ὃ δὴ θυτικὴ καὶ ἔντομος λέγεται πρόγνωσις· οὐ πᾶσι δὲ τοῖς σπλάγχνοις οἱ μάντεις ἐχρῶντο πρὸς δήλωσιν τῶν ἐσομένων, ἀλλὰ τῷ ἥπατι μόνῳ· σπλάγχνα δέ εἰσιν ἑπτὰ, καρδία, ἧπαρ, σπλὴν, στόμαχος, πνεύμων, καὶ νεφροὶ δύο.

Εἰ δὲ σημαίνει.) δήλωσιν δίδωσι.

Pag. 134. Γράμματα.) οὐράνια, ἀέρια, ἐπίγεια, θαλάσσια.

Φύσει.) ὁ ἐν τῇ φύσει τῶν ὄντων διὰ πείρας ἀναγνούς. Αλλος.) σοφός.

B Τὰ πυρσά.) ταῦτα ἐν τῷ στοιχειακῷ πυρὶ φαίνονται, ἔνθα ὥσπερ μεταίχμιόν ἐστιν ἀέρος καὶ αἰθέρος.

A πρὸς τὸν Προυσίαν· μετ' οὐ πολὺ δὲ ἐκ τῆς Ῥώμης αὐτόθι ἐπιδημήσας Τίτος ὁ στρατηγὸς διὰ χρείας ἑτέρας, καὶ θεασάμενος τὸν Ἀννίβαν, καὶ τὴν δεινότητα καὶ ἐμπειρίαν τοῦ ἀνδρὸς ὑποπτεύσας, μήποτ' αὖθις ἀνακάμψῃ πρὸς Καρχηδόνα καὶ Λιβύην, ἐμελέτησε λάθρα αὐτὸν πικρῶς ἀποκτεῖναι, ὃ δὴ δι' ἐνυπνίων τινῶν γνοὺς ὁ Ἀννίβας φαρμακοποσίᾳ ἑαυτὸν ἐξ ἀνθρώπων πεποίηκε, τελευταῖον δὴ τοῦτο εἰπών· ἀναπαύσωμεν ἤδη ποτὲ τὴν πολλὴν φροντίδα Ῥωμαίων, οἳ δεινὸν ἡγήσαντο καὶ μακρὸν μισουμένου γέροντος ἀναμεῖναι θάνατον,
B ἀλλ' ὥσπερ ὄρνιν ἄπτιλα καὶ κόλουρον ὑπὸ γήρως γενόμενον ἀποκτεῖναι ζητοῦσι πικρῶς.

Ἐξαίτη.) ἔξω βλάβης.

Νόσον.) εἶναι μὲν καὶ ἄλλους πλείστους οὐκ ἄπιστον ἂν εἴη, πρὸ πάντων δὲ ἂν εἴη Ἀριστείδης ὁ ῥήτωρ· δηλοῦσι δὲ τοῦτο καὶ οἱ οὕτω πως ἱεροὶ ἐπιγραφόμενοι λόγοι αὐτοῦ.

Ἀγωγήν.] τὴν ἄνοδον.

Pag. 137. Ἀκουσάτω.] ζήτει ἐκεῖνα· σιωπᾷ γὰρ ταῦτα, καὶ οὐ λέγει ταῦτα ὁλόκληρα.

Τὸ ἔνδοθεν.] τὴν ἐνυπάρχουσαν δύναμιν
C γνωστικήν.

Ἐῆς.] ἐκ τῆς ἰδίας ἐνέσπειρε.

Ἀλκῆς.] δυνάμεως.

Εὐμοιρίας.] ἐπεὶ γὰρ παρ' ἡμῶν.

Ὄναρ.] ἐκ τῶν ὀνείρων.

Ἧς ἐνεκάρπισεν.] οὗτος μὲν ἐκ Θεοῦ λέγει τοὺς ὀνείρους ἥκειν· ὁ δὲ Ἀριστοτέλης, οὐκ εἶναί φησι τὰ ἐνύπνια θεόπεμπτα. εἰ γὰρ ἦσαν, φησί, θεόπεμπτα, ἐπέμποντο ἂν μόνοις τοῖς ἀρετῇ συζῶσι, καὶ περὶ τὰ θεῖα ἀσχολουμένοις· ἀλλὰ νῦν βλέπομεν ὅτι καὶ φαῦλοί τινες ἄνθρωποι καὶ ἀ-
D μαθεῖς, μήτε λόγους εἰδότες, μήτε ἀρετὴν ὁρῶσι. συμβαίνει γὰρ καὶ τοιούτους τινὰς εὐθυονείρους εἶναι μᾶλλον τῶν χρηστῶν, διὰ τὴν τοῦ σώματος εὐκρασίαν. ἀσύγχυτα γὰρ οὗτοι πολλάκις φυλάττουσι τὰ τῶν θεαθέντων εἴδωλα καὶ τυπώματα τοῦ φανταστικοῦ, ὥστ' ἔνια ἀληθεύειν συμβαίνει. ἀπαγορεύει μὲν οὖν καὶ Ἀριστοτέλης, καὶ πολλοὶ τῶν ἔξω φιλοσόφων ἕτεροι, θεοπέμπτους εἶναι τοὺς ὀνείρους· εἶναι δέ τινα φύσιν δαιμόνων, τῶν τε καθ' ὕπνους φαινομένων κυριότητα ἔχουσαν, τοῦτο δὲ συνωμολόγηται ῥαδίως.

Τὸ γὰρ ἐγκαρπίσαι.] θέλων παραστῆσαι ὅτι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὐκ ἔλαττόν ἐστι τὸ τυγχάνειν τοῦ μανθάνειν, ἐκ περιουσίας λέγει, ὅτι καὶ πλέον ἐστὶν, ἵνα κἂν τοῦ ἴσου τύχῃ.

Φαντασία.) ἐν ἄλλοις μὲν τῶν βιβλίων γράφεται, ζωήν· ἐν ἄλλοις δὲ, ζωῆς. ἔδει γὰρ ἀμφότερα κεῖσθαι, διὰ τὸ φορτικὸν δὲ ἐσιωπήθη τὸ ἕν. τίθεται δὲ τὸ ἓν ἐξ ἀμφοτέρων, ὅπερ ἄν τις βούλοιτο· λαμβάνεται δὲ ἔξωθεν καὶ τὸ ἕτερον ἐλλειπτικῶς.

Πρὸς τούς.) οὐδὲ τῶν ἐλαττόνων καλῶν αὐτῶν ἀξιοῦνται.

Γινώσκειν.) αὐτοὺς τοὺς δοξοσοφοῦντας.

Αποκηρύττοις.) Αἰγυπτιακῶν θείων προσταγμάτων.

Οὐ θυσιῶν.) ἤγουν οὐ χρεία.

Τάδ᾽ ἀθύρματα.) παίγνια γάρ εἰσι.

Οἱ δέ.) οἱ διὰ θυσιῶν καὶ ἐντόμων προφητεύοντες.

Τέχνας μέν.) ταύτας λέγει ἃς μάγων ἴυγγας ἀνωτέρω εἰρήκει, μάγους μὲν καλέσας τοὺς ταύτας ἀξιοῦντας ἐργάζεσθαι. ἴυγγας δὲ τὰς διαφόρους τέχνας, ὅσαι πολυειδῶς διὰ θυσιῶν καὶ ἐντόμων ἐκείνοις ἐπετελοῦντο.

Τί οὖν.) τί οὖν, φησί, ἄτοπον ὅτι σοφὸς ὢν ὁ σοφὸς, καὶ πλέον καὶ ἐπέκεινα ὑπάρχει τῆς κοινότητος, καὶ κατὰ τοῦτο ἂν τὸν τρόπον γένοιτο σοφός;

Ταύτῃ σοφός.) καὶ οὕτως, ἤγουν διὰ τῶν ὀνείρων.

Τοιγάρ τι.) καὶ γάρ.

Θεσπεσιώτερον.) θειότερον.

Δημοσιώτερον.) κοινότερον.

Εὔδαιμον.) ἀλλὰ καὶ ἀδύνατον.

Διὰ φαντασίας.) διὰ γὰρ μόνης φαντασίας ἐγγὺς ἂν εἴη τοῦ δυνατοῦ αὐτὸν πλῆσαι θεὸν ὡς ἐφικτόν.

Πρεσβυτέρας.) ἤγουν τιμιωτέρας.

Αἴσθησις.) ὡς ἄρχουσα τῶν αἰσθήσεων τῶν ὀργανικῶν.

Κοινότατον.) ὡς μετεχόμενον ὑπὸ τῶν διαφόρων αἰσθητηρίων.

Καὶ σῶμα.) σῶμα καὶ τοῦτο, φησί, ὡς συγγενέστερον πρὸς τὸ σῶμα, καὶ μεσιτεῦον ψυχῇ καὶ σώματι· σῶμα δὲ πρῶτον εἶπεν αὐτὸ, ὡς ἀμέσως ὁμιλοῦν τῇ ψυχῇ. τὰ γὰρ σωματικὰ αἰσθητήρια, οὐκ ἀμέσως ὁμιλοῦσι τῇ ψυχῇ, ἀλλὰ διὰ μέσου τοῦ φανταστικοῦ.

Ἀλλά τό.) τὸ φανταστικὸν πνεῦμα ἐν τῇ κεφαλῇ τοῦ ἀνθρώπου κατοικεῖ.

A *subijcere voles, haud minus esse assequi & obtinere, quam discere, ex abundanti dicit plus esse, vt id quod est æquale consequatur.*

In fantastica vita.) *in quibusdam libris scriptum est* ζωήν, *vitam, in aliis* ζωῆς, *vitæ, oportuit enim vtrumque collocari, sed propter insolentiam vnum subticuit: verùm ponitur alterum ex ambobus, quale quis voluerit: sumit autem extrinsecus etiam alterum defectiuè.*

Aduersus eos.) *qui neque ipsis minoribus præclaris rebus digni censentur.*

Si ita intelligant.) *illi ipsi qui opinione tenus sunt sapientes.*

Quæ repudiatæ sunt ab oraculis.) *Diui-*
B *na Aegyptiorum præscripta innuit.*

Non hostiis.) *quod videlicet commoda non sint.*

Ludicra.) *sunt enim ludibria.*

Qui nimirum.) *per victimas & exta vaticinantur.*

Artes quidem.) *eas dicit quas magorum illecebras supra nuncupauit, magos quidem vocans eos qui non grauantur eos illices ad vsum adhibere: Iyngas verò dicit varias & diuersas artes, quæcunque multiplici forma, per victimas & extorum incisionem ab illis perficiebantur.*

Quid igitur.) *quid ergo, inquit, absurdum*
C *est, quod sapiens, quatenus est sapiens, etiam amplius ferat & vltra communitatem progrediatur, atque hunc in modum fiat sapiens?*

In hac ratione doctus.) *& ita, videlicet per insomnia.*

Atqui.) *Etenim, vel enimuero.*

Publicum magis.) *communius.*

Res est beata.) *imo quæ fieri non potest, & nemini datur.*

Per fantasiam assequi.) *non per vnicam fantasiam & imaginationem in propinquo fuerit humanæ facultatis cernere ipsum Deum, quoad eius fieri potest antiquiorem.*

Sensus est sensuum.) *quippe qui princeps*
D *est sensuum organicorum.*

Communissimum.) *vt quod communicat se diuersis sentiendi instrumentis.*

Et corpus primum animæ.) *Ille, inquit, communissimus sensus est quoque corpus, tanquam cognatione ac propinquitate quadam cum corpore coniunctior sit, ac interueniat corpori & animæ. Ipsum porrò primum corpus vocat, velut immediatè cõsuetudinem habẽs cum anima. Corporea enim sentiendi organa haud immediatè commercium habent cum anima, sed per interpositam & interiectam imaginationem.*

Sed ille.) *Spiritus fantasticus in hominis capite habitat.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Animalis.) *Ista quidem noster. At Plato in Timæo dicit*, Verùm cibi potúsque cupiditatem in anima, & quicquid propter corporis naturam defectum inopiámq; continet, in interpositam præcordiorum ac termini ad vmbilicum vergentis partem statuerunt: vbi Deus iecoris formam, *ait*, constituit, & collocauit ad illius domicilium, id quod succi plenum & obesum est, politum, luculentum, dulce & amaritudinem habens molitus est, vt in eadem cogitationum ac sensuum è mente allata potentia, non secus atque in speculo admittente formas & imagines, ac perspicientiam simulachrorum suggerente, timeat quidem quando parte amaritudinis vtens hoc & illud facit: dulcedine autem suæ naturæ coniuncta secum vtens, & omnia quæ in eadem recta, læuia, expedita & libera sunt dirigens, alacrem atque prosperam efficit in domicilio collocatam iuxta hepar mediocre oblectamentum habentem animæ sortem, ac tempore nocturno in somniando diuinatione vtitur: Quandoquidem rationis & intelligentiæ non est particeps. Deus propterea in ea vaticinium reposuit. Sufficiens & idoneum est argumentum à Deo diuinandi artificium humanæ imprudentiæ datum esse. Nullus quippe mentis compos attingit vaticinandi scientiam diuino numine instinctam & veram, sed aut sopore detentus prudentiæ vim, aut propter morbum, aut sapientiam numinis afflatu conceptam immutatus, & à se ipso discrepans. *Et paulò post dicit*, itaque hepatis natura eas ob rationes talis & in eo quem dicimus loco diuinationis indita est causa.

Sed sentiendi instrumenta.) *respectu primi & communis sensus.*

A quibus.) *sensibus.*

Sensus est absolutus.) *vniformis.*

Dispensat.) *consimiliter atque in attracto per fistulam aëre: vniformis enim cùm sit, variatur per tibiæ foramina exiens, acutior effectus, aut grauior, aut intermedius, vel consonans, vel incencinnus.*

Ac sunt veluti.) *De centro ac rectis lineis verba faciens, virtute & potestate simul mentionem fecit circuli aut globi: Si quidem fieri non potest vt centrum consideretur & excogitetur sine circulo & sphæra, quemadmodum circulus aut sphæra sine centro. Asserunt igitur geometricæ definitiones, circulum esse figuram planam & latam sub vnica linea circumactam, quæ vocatur circumferentia,*

Pag. 138. Τοῦ ζώου.) καὶ ταῦτα μὲν ἡμέτερος· ὁ δὲ Πλάτων ἐν τῷ Τιμαίῳ τάδε φησί, Τὸ δὲ δὴ σίτων καὶ ποτῶν ἐπιθυμητικὸν τῆς ψυχῆς, καὶ ὅσον ἐνδείας διὰ τὴν τοῦ σώματος ἴσχει φύσιν, τοῦτο εἰς τὸ μεταξὺ τῶν τε φρενῶν καὶ τοῦ πρὸς τὸν ὀμφαλὸν ὅρου κατῴκισαν· ἔνθα ὁ Θεὸς τὴν τοῦ ἥπατος ἰδέαν, φησί, συνέστησε, καὶ ἔθηκεν εἰς τὴν ἐκείνου κατοίκησιν, πυκνὸν, καὶ λεῖον, καὶ λαμπρὸν, καὶ γλυκὺ, καὶ πικρότητα ἔχον μηχανησάμενος, ἵνα ἐν αὐτῷ τῶν διανοημάτων ἡ ἐκ τοῦ νοῦ φερομένη δύναμις, οἷον ἐν κατόπτρῳ δεχομένῳ τύπους, καὶ κατιδεῖν εἴδωλα παρέχοντι φοβῇ μὲν ὁπότε μέρει τῆς πικρότητος χρωμένη ποιεῖ τόδε καὶ τόδε· γλυκύτητι δὲ τῇ κατ' ἐκεῖνο ξυμφύτῳ πρὸς αὐτὸ χρωμένη, καὶ πάντα ὀρθὰ καὶ λεῖα αὐτοῦ καὶ ἐλεύθερα ἀπευθύνουσα, ἵλεών τε καὶ εὐήμερον ποιῇ τὴν περὶ τὸ ἧπαρ ψυχῆς μοῖραν κατῳκισμένην, ἔν τε τῇ νυκτὶ διαγωγὴν ἔχουσαν μετρίαν, μαντείᾳ χρωμένη καθ' ὕπνον, ἐπεὶ λόγου καὶ φρονήσεως οὐ μετεῖχε. διὸ κατέστησαν ἐν τούτῳ τὸ μαντεῖον· ἱκανὸν δὲ σημεῖον ὡς μαντικὴν ἀφροσύνῃ Θεὸς ἀνθρωπίνῃ δέδωκεν. οὐδεὶς γὰρ ἔννους ἐφάπτεται μαντικῆς ἐνθέου καὶ ἀληθοῦς, ἀλλ' ἢ καθ' ὕπνον τὴν τῆς φρονήσεως πεδηθεὶς δύναμιν, ἢ διὰ νόσον, ἢ τινὰ ἐνθουσιασμὸν παραλλάξας. καὶ μετ' ὀλίγα φησίν, ὅτι ἡ μὲν οὖν φύσις τοῦ ἥπατος διὰ ταῦτα, τοιαύτη τε καὶ ἐν τόπῳ ᾧ λέγομεν πέφυκε χάριν μαντικῆς.

Ἀλλ' αἰσθήσεως.) τῆς πρώτης.

Ὑφ' ὧν.) τῶν αἰσθήσεων.

Αἴσθησις.) μονοειδής.

Διανέμει. ὁμοίως ὥσπερ ἐπὶ τοῦ εἰσπνεομένου ἐν τῷ αὐλῷ ἀέρος. μονοειδὴς γὰρ ὤν, ποικίλλεται διὰ τῶν περὶ τὸν αὐλὸν τρυπημάτων ἐξιὼν, ὀξύτερος γινόμενος, ἢ βαρύτερος, ἢ μέσος, ἢ ἐμμελὴς, ἢ ἐκμελής.

Καὶ οἷον εἰσιν.) περὶ κέντρου καὶ εὐθειῶν λέγων, δυνάμει ἐμνήσθη ἅμα καὶ κύκλου ἢ σφαίρας. ἀδύνατον γὰρ κέντρον ἐπινοηθῆναι δίχα κύκλου ἢ σφαίρας, ὥσπερ οὐδὲ κύκλον, ἢ σφαῖραν ἄνευ κέντρου. φασὶν οὖν οἱ γεωμετρικοὶ ὅροι, ὅτι κύκλος ἐστὶ σχῆμα ἐπίπεδον ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον, ἣ καλεῖται περιφέρεια,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πρὸς ἣν αἱ ἀπὸ τοῦ κέντρου προσπίπτουσαι εὐθεῖαι ἴσαι ἀλλήλαις εἰσί. κέντρῳ οὖν ἐνταῦθα καὶ ῥίζῃ παρεικάζει τὴν φαντασίαν· εὐθείαις δὲ κλάδοις τὰς ἔξωθεν ἐκβαλλομένας δυνάμεις αὐτῆς, ἄχρι τῶν ὀργανικῶν αἰσθητηρίων, ὄψεως λέγω καὶ ἀκοῆς, καὶ τῶν ἄλλων τριῶν, ἃς δὴ πάσας μίαν μέν φησι κατά τε τὸ κέντρον καὶ τὴν ῥίζαν θεωρουμένας· πολλὰς δὲ κατὰ τὴν ἔξωθεν πρόοδον καὶ ἐξάπλωσιν. τὴν μέν τοι φαντασίαν λέγει κοινὴν αἴσθησιν, καὶ κυρίως αἴσθησιν καὶ θειοτέραν, ἅτε ἀμέσως ὁμιλοῦσαν τῇ νοερᾷ ψυχῇ· ζωωδεστάτην δὲ καὶ παχυτέραν καὶ καταχρηστικῶς ὀνομαζομένην αἴσθησιν τὴν ἐνεργοῦσαν διὰ τῶν προβεβλημένων καὶ προκειμένων, καὶ φαινομένων αἰσθητηρίων, ὀφθαλμῶν φημὶ, καὶ ὤτων, καὶ ῥινὸς, καὶ τῶν ἑξῆς.

Ζωωδεστάτη.) διὰ τῆς ὑπερθέσεως ἐδήλωσεν ὅτι παχυτέρα.

A *ad quam quæ à centro ducuntur lineæ rectæ, inter se sunt æquales. Proinde hoc in loco fantasiã seu imaginationem centro atque radici assimilat, rectis autem ramis & lineis emissas & exeuntes illinc ipsius vires, vsque ad sensus organicos, visus, inquam, auditus, & aliorum trium, quas quidem omnes vnam profectò dicit ad centrum radicémque spectare: multas verò quantùm ad progressum illinc explanationem. Atqui imaginationem sensum vocat communem, & propriè diuinius sentiendi organum, nimirum immediatè versantem cum animi parte quæ intelligentiæ & rationis capax est: sed maximè animalem,* B *belluinam, crassiorem, corpulentiorem, & abusiuè nominatam sensum efficiendi vi præditum, propter opposita & exporrecta apparentiáque sentiendi organa, oculorum dico, auricularum, narium ac reliquorum.*

Maximè est animalis.) *ostendit per superlatiuum gradum imaginationem crassiorem ac pinguiorem esse.*



Αἴσθησις.) παχύνεται γὰρ, εἰς τὸ πάχος τῆς ἐν γενέσει καὶ φθορᾷ πραγμάτων χωροῦσα. D

Η θειοτέρα.) τὸ φανταστικὸν πνεῦμα κυρίως εἶπε.

Η ἄμεσος.) ἣν ἀνωτέρω πρώτην εἶπε, νῦν ἄμεσος λέγεται, φαντασία.

Σωματικάς.) ἤγουν τὰ αἰσθητήρια.

Τεθεάμεθα.) καὶ ἃ ἀκηκόαμεν δηλονότι.

Ο δὲ ψεύδεται.) διὰ τρία ταῦτα, φησὶ, ψεύδεται ὁ ὀφθαλμὸς, πρῶτον διὰ τὴν φύσιν τῶν ὁρωμένων, ὥσπερ τὸ ταῶνος πτερὸν κατὰ τὴν ποιὰν θέσιν διάφορα δείκνυσι τὰ χρώματα· δεύτερον δὲ, διὰ τὸν ἀέρα καὶ τὸ ὕδωρ, καὶ τὸ διάστημα. καὶ γὰρ ὁ μὲν ἀὴρ, ποτὲ μὲν ὑγρὸς καὶ παχύς· ποτὲ δὲ ξηρὸς καὶ λεπτός· καὶ τὸ διάστημα τοῦ ὁρωμένου, ποτὲ μὲν βραχὺ, ποτὲ δὲ πολύ· καὶ τρίτον, διὰ τὴν ἑαυτοῦ ἀδυναμίαν.

Ψεύδεται καί.) καὶ γὰρ καὶ αὐτός, φησιν, ὁ ὀφθαλμὸς ψεύδεται.

Sensus.) *nam vsque ad crassitudinem ac pinguedinem saginatur, & sic capax est rerum quæ in generatione & corruptione considerantur.*

Diuinior.) *Quem propriè spiritum fantasticum dixit.*

Immediatus sensus.) *quem supra primum dixit: nunc immediatus sensus dicitur imaginatio.*

Quod si sensus corporeos.) *hoc est, sentiendi organa.*

Vidimus.) *videlicet & quæ audiuimus.*

Decipit.) *propter ista tria, ait, mentitur oculus: in primis ob naturam eorum quæ sub aspectum cadunt, quemadmodum pauonis penna* E *pro certo quodam situ distinctos ostendit colores. Deinde propter aërem & aquam, & interuallum: Etenim aër quidem interdum humidus est & crassus, aliquoties verò siccus ac tenuis. Et spatium eius quod sub aspectum cadit, nonnunquam est exiguum, interdum verò amplum. Tertiò propter suam impotentiam.*

Decipit.) *Etenim, ait, ipsemet oculus fallit, mentitur ac decipit.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A Et per quæ cernuntur.) *ſcilicet per aërem & interiectum ſpatium.*

Spiritus fantaſtici morbo laborat.) *Nam ob prauitatem conſilij homo deducit animam in materiam, & hinc diſponit fantaſiam ad vitium & langorem, ſicut aiunt multis euenire poſt cibum, & potiſſimùm paruulis. Eſt quippe vehemens à cibo ſuffitus vaporúmque emiſſio, & motus confuſus ac inæqualis, & ægrè diſcernitur ab illis ſanè, quibus omnino non eueniunt inſomnia, aut contingunt inæqualia, diſſimilia & coniectu difficilia: qualiter fit in aqua. nam quietæ, puræ, ſynceræque euidentia ac dilucida ſpectra apparent: in commota verò & conturbata vel planè non inſpiciuntur ſimu-* B *lachra, aut inæqualia, diſſimilia & cognitu ardua.*

Luſtratus.) *apud Græcos quidem imaginationem aſſerit expiari & luſtrari ceremoniarum beneficio: At piæ religioſaque noſtræ Eccleſiæ homines eam luſtrant modeſtia, temperantia, vigilantia & ieiunio. Et ita purgatus ille ſenſus capax eſt qui Deum admittat: Nihilominus priuſquam in ſeipſum Deum excipiat & introducat, vrget & extrudit prius antecedentes errorum inſinuationes, quæcunque ingrediuntur* C *& adeunt imaginationem per ſenſuum organa. Et hanc aſſerit vitam ſecundum naturam, aſſeruare puram, ſynceram ac nitidam imaginationem ab iſtiuſmodi peccatorum ingreſſu. Corporis enim & animæ communis eſt, & operæpretium eſt, vt puram habeat cum anima communionem.*

Per expiationes luſtratus.) *quippe qui expiatur & purgatur apud noſtros probos homines ieiuniorum vigiliarum & aliarum virtutum auxilio.*

Inſinuationes.) *ita vt hinc etiam per organicos ſenſus productæ inſinuationes, excurrant* D *& progrediantur, antequam Deus ſuperueniat & illabatur in imaginationem, quatenus comprehendi poteſt. Confeſtim enim properant tales inſinuationes priuſquam Deus admittatur à ſpiritu fantaſtico: Excurrunt autem per ſpiritualem purgationem.*

Secundum eius naturam.) *continentis, temperantis & probi.*

Rurſum ſit.) *non modò corporis, verumetiam animæ rationalis ac mentis.*

Spiritus iſte.) *fantaſticus & imaginandi potentia inſtructus.*

Nec affectibus ſpoliatur.) *non eſt alie-*

A Καὶ δι' ὧν.) ἤγουν τοῦ ἀέρος καὶ τοῦ διαστήματος.

Τὸ φανταστικόν.) διὰ γὰρ μοχθηρίαν προαιρέσεως κατάγει τὴν ψυχὴν εἰς τὴν ὕλην ὁ ἄνθρωπος, κἀντεῦθεν παρασκευάζει νοσεῖν τὸ φανταστικόν, ὥσπερ φασὶ συμβαίνειν μετὰ τὴν τροφὴν τοῖς πολλοῖς, καὶ μάλιστα τοῖς παιδίοις. πολλὴ γὰρ ἡ ἀπὸ τῆς τροφῆς ἀναθυμίασις, καὶ ἡ κίνησις συγκεχυμένη τε καὶ ἀνώμαλος, καὶ δυσδιάκριτος, οἷς δὴ καὶ ἢ παντελῶς οὐ γίνονται ἐνύπνια, ἢ γίνονται ἄνισα καὶ ἀνόμοια καὶ δυσείκαστα· οἷον γὰρ κἀν τῷ ὕδατι. ἠρεμοῦντος γὰρ B καὶ καθαροῦ ὄντος, ἐναργῆ τὰ εἴδωλα φαίνονται· κινουμένου δὲ καὶ ταραττομένου, ἢ οὐδ' ὅλως ἐνορῶνται εἴδωλα, ἢ ἀνόμοια καὶ δυσείκαστα.

Ὑφ' ἧς.) φιλοσοφίας.

Καθαιρόμενον.) παρὰ μὲν τοῖς Ἕλλησι, φησὶ καθαίρεσθαι τὴν φαντασίαν διὰ τελετῶν· οἱ δὲ τῆς καθ' ἡμᾶς εὐσεβοῦς ἐκκλησίας ἄνθρωποι, καθαίρουσιν αὐτὴν διὰ σωφροσύνης καὶ ἀγρυπνίας καὶ νηστείας· οὕτω δὲ καθαιρομένη ἡ αἴσθησις δεκτικὴ γίνεται Θεοῦ· ὅμως πρὶν εἰσκαλέσασθαι καὶ εἰσαγαγεῖν ἐν ἑαυτῇ τὸν Θεὸν ἐξωθεῖ πρότερον τὰς προγεγενημένας ἐφαμάρ- C τους εἰσκρίσεις, ὅσαι εἰσκρίνονται καὶ εἰσπορεύονται εἰς τὴν φαντασίαν διὰ τῶν ὀργανικῶν αἰσθητηρίων· καὶ τοῦτόν φησιν εἶναι κατὰ φύσιν βίον τὸ τηρεῖν τὴν φαντασίαν καθαρὰν ἀπὸ τῶν τοιούτων. κοινὴ γάρ ἐστι ψυχῆς καὶ σώματος, καὶ δεῖ καθαρὰν ἔχειν τὴν πρὸς ψυχὴν κοινωνίαν.

Καθαιρόμενον διὰ τελετῶν.) ὅταν καθαίρεται καὶ παρὰ τῶν καθ' ἡμᾶς σπουδαίων, διὰ νηστείας καὶ ἀγρυπνίας καὶ τῶν ἄλλων ἀρετῶν.

Αἵτε εἰς.) ὡς ἐντεῦθεν καὶ τὰς διὰ τῶν ὀργανικῶν αἰσθητηρίων γινομένας εἰσκρίσεις, ἐκ- D θεῖν καὶ ὑποχωρεῖν πρότερον, πρὶν τὸν Θεὸν ἐπελθεῖν εἰς τὸ φανταστικὸν ὡς ἐφικτόν. φθάνουσι γὰρ ἐκθέουσαι αἱ τοιαῦται εἰσκρίσεις, πρὸ τοῦ εἰσκληθῆναι τὸν Θεὸν παρὰ τοῦ φανταστικοῦ· ἐκθέουσι δὲ διὰ καθάρσεως πνευματικῆς.

Διὰ τοῦ κατὰ φύσιν.) τοῦ ἐγκρατοῦς καὶ σώφρονος καὶ σπουδαίου.

Πάλιν ἐστί.) οὐ μόνον γὰρ σώματος, ἀλλὰ καὶ τῆς λογικῆς ψυχῆς καὶ τοῦ νοῦ.

Τοῦτο.) τὸ φανταστικόν.

P. 139. Οὐκ ἀσύμπ.) οὐκ ἀλλότριοι τῆς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φύσεως τῆς ψυχῆς ἐστὶν, ἀλλὰ καὶ συντρέχει καὶ συμπάσχει αὐτῇ, καὶ οὐ καθ᾽ ἑαυτὸ μένει ἰδιότροπον φύσιν ἔχον καθάπερ τὸ σῶμα, ὅπερ καὶ ὀστρεῶδες περίβλημα λέγει διὰ τὴν σκληρότητα καὶ τὴν ἀντιτυπίαν, ἣν ἔχει πρὸς ψυχήν.

Ὀστρεῶδες.) πολλαχόθεν δείκνυται ὁ σοφὸς οὗτος Συνέσιος αἱρεσιώτης τοῦ Πλάτωνος ἄκρος· οὐ μόνον γὰρ ἐκ τῆς δόξης ὅτι τὰ αὐτὰ καὶ οὗτος ἐκείνῳ δοξάζει, ἀλλὰ καὶ ἐκ τῶν ἐννοιῶν, καὶ ἐκ τῶν μεθόδων, καὶ ἐξ αὐτῶν τῶν λέξεων. τὸ γὰρ λέγειν ὀστρεῶδες περίβλημα τὸ σῶμα, ἐκεῖθεν ἔχει τὴν ἀρχήν. φησὶ γὰρ κἀκεῖνος ἐν τῷ Φαίδρῳ, ἄνωθέν ποθεν ἀρξάμενος, τά τε ἄλλα καὶ ἔτι ἐκεῖνα, Οἳ δή που, φησί, μυούμενοί τε καὶ ἐποπτεύοντες, ἐν αὐγῇ καθαρᾷ καθαροὶ ὄντες καὶ ἀσήμαντοι τούτου, ὃ νῦν δὴ σῶμα περιφέροντες ὀνομάζομεν ὀστρέου τρόπον δεδεσμευμένοι. καὶ τὸ κακυνομένης δὲ, ἐκεῖθεν ἔχει τὴν ἀρχήν. κάκην γὰρ τὴν ἁμαρτίαν ὁ Πλάτων φησὶν οὑτωσί πως, τὰ μὲν θεῶν ὀχήματα ἰσορρόπως εὐήνια ὄντα ῥᾳδίως πορεύεται· τὰ δὲ ἄλλα, μόγις. βρίθει γὰρ ὁ τῆς κάκης ἵππος μετέχων, ἐπὶ τὴν γῆν ῥέπων τε καὶ βαρύνων, ᾧ μὴ καλῶς ἦ τεθραμμένος τῶν ἡνιόχων· ἔνθα δὴ πόνος τε καὶ ἀγὼν ἔσχατος τῇ ψυχῇ πρόκειται, καὶ τὰ ἑξῆς.

Ἀγαθυνομένης.) τουτέστι τὸ φανταστικὸν πνεῦμα τῇ ψυχῇ ἀγαθὴν πολιτείαν μετιούσῃ.

Κακυνομένης δέ.) ὑπὸ τῆς ὕλης καὶ σφαλλομένης.

Τοῦτο.) τὸ φανταστικόν.

Κοινὸς ὅρος.) κοινὸν ὅρον ἀμφοῖν εἶναι φησὶ τὴν φανταστικὴν τῶν ἑκατέρωθεν ἄκρων ἐναντίων, σώματος δηλαδὴ καὶ ἀσωμάτου φύσεως, λόγου καὶ ἀλογίας, ὕλης καὶ ἀϋλίας, καὶ διὰ τούτου μέσου τὰ ἐναντία συγγίνονται καὶ συνάπτονται· θεῖα δέ φησι τὰ ἄϋλα καὶ ἀσώματα· ἔσχατα δὲ τὰ ἔνυλα, καὶ σωματικὰ, καὶ αἰσθητά· διὸ τοῦτο φησὶ χαλεπὸν εἶναι ὁρίσασθαι τὴν φύσιν αὐτοῦ, καὶ ἀποφήνασθαι τί ἐστιν, ὥσπερ ἀποφαινόμεθα περὶ τῆς ψυχῆς ὅτι ἐστὶν οὐσία ἀσώματός τε καὶ ἄϋλος καὶ ὑπὲρ αἴσθησιν· περὶ δ᾽ αὖ τοῦ σώματος ὅτι ἐστὶν οὐσία ὑλικὴ καὶ ῥέουσα, καὶ σύνθετος. ἡ γὰρ φαντασία, οὔτε σῶμά ἐστιν, οὔτε πάντη ἀσώματον, καὶ διὰ τοῦτο οὔτε

nus à natura animæ, sed conuenit & consentit cum ea, similiùmque passionum est particeps, nec per se manet peculiarem habens naturam velut corpus, quod quidem ostreorum inuolucrum dicit, propter duritiem, rigorem & formæ dissidentiam, quam habet aduersus animam.

Ostreorum.) *multis ex partibus ostendit industrius hic Synesius, acer & singularis Platonis æmulator, quia non solùm ex opinione eadem cum illo sentit, sed etiam ex animi conceptione & sensu docendique ratione, immo ex ipsimet dictionibus. Nam quòd corpus integumentum & inuolucrum ostreatum dicitur, hinc habet principium. Ait enim ille in Phædro altius suorum consiliorum rationem repetendo exorsus, & alia, & hæc præterea:* Qui videlicet, *inquit*, sacris initiati sunt & spectandi licentiam obtinent, nitido splendore nitidi, & nullo ipsius signo notati, id nunc corpus nuncupamus, quod vincti & præpediti ostrei more, circumferimus. *Et illud vitiati radij illinc principium habet: vitium enim peccatum hac ratione vocat Plato: & deorum currus ob æqualitatem ponderis atque momenti cum ductiles tractabilésque sint facilè mouentur: reliqui verò magna cum difficultate. Nam deorsum vergit vitiositatis particeps, equus in humum propensus atque offendens aurigam à quo haud conuenienter educatus est: ubi certè labor & summa contentio animæ proponitur: & cætera.*

Bonitate cumulati.) *hoc est spiritus fantasticus, propter animam ad bonum vitæ institutum accedentem.*

Deprauati.) *à succumbente & aberrante materia.*

Is enim.) *spiritus fantasticus.*

Communis terminus.) *Communem terminum amborum esse dicit imaginatricem animæ facultatem, vtrinque collocatus extremis contrariis, corporis videlicet & incorporeæ naturæ, rationis ac dementiæ, materiæ & eiusdem priuationis, & medio eius interuentu opposita coëunt & copulantur. Sed diuina sunt, inquit, materiæ expertia & incorporea, infima verò materialia & corporea atque sub sensum cadentia. Eam ob rem asserit arduum ac difficile esse definiendo eius naturam circumscribere & exprimere quid sit, quemadmodum affirmando enunciamus de anima, eam esse substantiam incorpoream & materiæ expertem, nec non sensuum facultatem excedentem: Rursus de corpore, quod sit substantia materialis, fluens & concreta. Fantasia quippe nec corpus est, nec penitus expers corporis, & ob id neque*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

corporis potest definitionem admittere, nec rei incorporea. Etenim colligit & emendicat aliquid ab vtroque contrario, corpore inquam & incorporeo, quantùm congruit & quadrat suæ ipsius naturæ, & conflatur vna quædam natura ex tam semotis naturis composita.

Amborum.) *animæ rationalis & corporis.*

Diuina.) *imaginationis.*

Designari.) *apprehendi, contineri, definiri & intelligi.*

Imaginatricis essentiæ.) *id est, ipsam imaginationem.*

Verùm ipsa.) *nutritiua, vegetatiua, & sensitiua.*

Pecudis.) *quòd rationis est minimè compos.*

Atqui purgatur.) *Velut araneus, apis & formica natura duce sua opera efficiunt, qualia neque hominum perspicacissimi valeant peragere. At simiarum paruuli fœtus atque vrsarum & complurium aliorum animalium, naturam habentes flexibilem ad disciplinam, docentur ab hominibus, & ad multa humana opera fiunt commodi & idonei.*

Atqui.) *vel naturaliter, vel per humanam informationem & educationem.*

Quidpiam excellentius.) *validius, ac cognatione sublimius.*

Cuncta dæmoniorum.) *Prisci quidem illi Græci deorum ac dæmonum differentiam esse dixerunt: ac deos quidem maiores appellarunt, dæmonas autem inferiores. Sed Synesius aliquando inter illos assignat discrimen, interdum verò indifferenter vtitur istis nominibus.*

Cuncta dæmonum genera.) *Sed omnia dæmonum genera, inquit, quæ in hoc mundo versantur, hanc vitam sortita sunt, quæ nimirum vim sentiendi habeat. Nam vt summatim loquar, illa dæmonum genera solæ sunt imaginationes.*

Secundum totam ipsorum essentiam.) *prout eorum essentia creata est.*

Et imaginaria sunt.) *Idola, inquit, & simulachra quæ sunt corporis expertia, habent vtique quidpiam crassitudinis, alia plus, alia minus: videtur itaque hîc Synesius Democriti & Sexti opinionem & aliorum Græcorum sequi: Asserunt enim illi esse quædam dæmonia circa terram & aërem, crassitiem quidem habentia & coagmentationem affectionémque, humanis oculis inuisibilia, qui quidem sani sint,*

A τοῦ σώματος δύναται δέξασθαι τὸν ὅρον, οὔτε τοῦ ἀσωμάτου. ἐρανίζεται γάρ τι ἀφ' ἑκατέρων ἐναντίων, τοῦτε σώματος καὶ τοῦ ἀσωμάτου, ὅσον ἁρμόζει πρὸς τὴν φύσιν αὐτῆς, καὶ γίνεται μία τις φύσις ἐκ τῶν τοσοῦτον ἀπῳκισμένων φύσεων συγκειμένη.

Ἀμφοῖν.) τῆς τε λογικῆς ψυχῆς καὶ τοῦ σώματος.

Τὰ θεῖα.) τοῦ φανταστικοῦ.

Αἱρεθῆναι.) κρατηθῆναι, συσχεθῆναι, καὶ ὁρισθῆναι, καὶ γνωσθῆναι.

Τῆς φανταστικῆς.) τοῦτ' ἔστι, τὴν φαντασίαν
B αὐτήν.

Ἀλλ' αὐτῇ.) τῇ θρεπτικῇ, τῇ αὐξητικῇ, τῇ αἰσθητικῇ.

Τοῦ ζώου.) τοῦ ἀλόγου.

Καθαίρεται.) ὅτι ὁ ἀράχνης, ἡ μέλιττα, καὶ ὁ μύρμηξ, φυσικῶς ἐνεργοῦσιν ἔργα, οἷα οὐδὲ τῶν ἀνθρώπων οἱ φρονιμώτατοι· τὰ δὲ τῶν πιθήκων παιδία, καὶ τὰ τῶν ἄρκτων, καὶ ἄλλων πλείστων ζώων, εὔπλαστον ἔχοντα φύσιν πρὸς μάθησιν, διδάσκονται παρὰ ἀνθρώπων, καὶ γίνονται πρὸς πολλὰ τῶν ἀνθρωπίνων ἔργων ἐπιτήδεια.

Γέ τοι καί.) ἢ φυσικῶς, ἢ διὰ παιδεύσεως
C ἀνθρωπίνης.

Τί κρεῖττον.) ὑψηλότερον γνῶσιν.

Γένη τέ.) οἱ μὲν πάλαι Ἕλληνες, θεῶν καὶ δαιμόνων ἔλεγον εἶναι διαφοράν, καὶ θεοὺς μὲν ἐκάλουν τοὺς μείζονας· δαίμονας δὲ τοὺς ἥττονας· ὁ δὲ Συνέσιος, ποτὲ μὲν δίδωσι τούτοις διαφοράν, ποτὲ δὲ ἀδιαφόρως κέχρηται τοῖς ὀνόμασιν.

Ὅλως δαιμόνων.) ἀλλὰ καὶ πάντα, φησί, τὰ τῶν δαιμόνων γένη τὰ ἐν τῷδε τῷ κόσμῳ, τοιαύτην ἔλαχον τὴν ζωήν, τοῦτ' ἔστιν αἰσθητι-
D κήν. καθόλου γάρ εἰσι φαντασία μόνη, ἐκεῖνα τὰ γένη.

Καθ' ὅλον.) κατὰ τὴν οὐσίαν αὐτῶν.

Εἰδωλικά τε.) εἴδωλά φησιν ἅ ἐστιν ἀσώματα μὲν, ἔχοντα δ' οὖν πάχος τι, τὰ μὲν ἔλαττον, τὰ δὲ πλέον. ἔοικεν οὖν ὁ Συνέσιος ἐνταῦθα τῇ Δημοκρίτου καὶ Σέξτου δόξῃ, καὶ ἄλλων Ἑλλήνων κατακολουθεῖν. φασὶ γὰρ ἐκεῖνοι δαιμόνιά εἶναί τινα περί τε ἀέρα καὶ γῆν πάχος ἔχοντα μὲν καὶ σύνθεσίν τινα καὶ ἐμπάθειαν· ἀθέατα δὲ ἀνθρώποις ὀφθαλμοῖς ὑγιαίνουσι, ἃ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ εἴδωλα καλοῦσι, διότι ἀποσώζουσιν, οἶμαι, τύπον τινὰ καὶ σκιαγραφίαν καὶ εἰκόνα τῆς ἀγγελικῆς καὶ ἀϋλοτέρας φύσεως, ἀφ' ἧς ἐκπτωτά εἰσι· καὶ διέφθαρτα μὲν, οὐκ ἄφθαρτα δὲ ἀεί, καὶ τὰ μὲν αὐτῶν εἶναι κακοποιά· τὰ δὲ ἀγαθοποιά. προσπελάζειν οὖν φασὶ ταῦτα τοῖς ἀνθρώποις, καὶ μάλιστα ὅταν οὗτοι καθεύδωσι, καὶ προλέγειν πολλὰ τῶν μελλόντων· γίνεσθαι μέντοι τὰς τοιαύτας προρρήσεις, ὑπὸ μὲν τῶν ἀγαθῶν σαφεῖς καὶ προθυμίας κινούσας· ὑπὸ δὲ τῶν κακοποιῶν, τοὐναντίον. ἡ δὲ ἀνθρωπίνη φαντασία, οὐ κύκλος ἐστὶν, ἀλλ' ἀπορρήτως τοὺς τύπους τῶν ἔξωθεν εἰσρεόντων δεχομένη ὑπόκειται, καθάπερ βιβλίον ἀναγινωσκόμενον ὑπὸ τῆς διανοίας, καὶ ἐπὶ μὲν τῶν σαφῶν καὶ ἐκδήλων οἴκοθεν αὐτὴ καθ' αὑτὴν διδάσκει, ἃ χρὴ προσδέχεσθαι· ἐπὶ δὲ τῶν ἀσαφῶν, προσκαλεῖται καὶ τὰς διανοητικὰς δυνάμεις τῆς ψυχῆς, καὶ γίνεται οἱονεὶ βουλευτήριον περὶ τῶν ποιητέων. καὶ γὰρ ἡ διάνοια εἰ μὴ ἀπὸ τῆς φαντασίας λάβοι τὰ σκέμματα, οὐκ ἔχει περὶ τὴν γεννητὴν καὶ τρεπτὴν τῶν πραγμάτων φύσιν ἐνέργειαν τινά.

Αὐτήν.) ἤγουν δύναμιν.

Η μεθ' ἑτέρου.) ἤγουν μετὰ τοῦ διανοίας ὡς ἐπὶ τὸ πλεῖστον.

Οὐκ ἀφαντάστους.) ἀλλὰ συμπεπλεγμένας τῇ φαντασίᾳ.

Εἰ δή τις.) χωρὶς εἰ μή τις.

Εν ἀκαρεῖ.) ὥσπερ οἱ θεῖοι προφῆται, καὶ ὁ θεῖος Παῦλος ἐν ἐκστάσει γινόμενοι. τότε γὰρ ὁ νοῦς τρόπον τινὰ τῆς ὕλης ἔξω γινόμενος, καὶ ὑπερβὰς τὸ σῶμα ἀπορρήτως, ὁρᾷ κατὰ φύσιν τοῦ νοῦ ἀπλανῶς. διὰ τοῦτό φησι καὶ ὁ θεῖος Παῦλος, Οἶδα ἄνθρωπον εἴτε ἐν σώματι, οὐκ οἶδα, εἴτε ἐκτὸς τοῦ σώματος οὐκ οἶδα, καὶ τὰ ἑξῆς.

Εν ἀκαρεῖ ποτέ.) ἐν ἀκαριαίῳ καὶ ἀδιαστάτῳ, καὶ λίαν βραχυτάτῳ.

Εσχεν εἴδους.) ἤγουν θείας ἐλλάμψεως.

Τὸ δὲ ὑπερκύψαι.) ἤγουν τὴν νόησιν ὑπερβῆναι τὴν φαντασίαν.

Χαλεπόν.) ὅσον γάρ ἐστι χαλεπὸν, τοσοῦτον καὶ εὔδαιμον τὸ ὑπερκύψαι.

A *quæ & spectra vocant: propterea quòd incolumem retinent & conseruant, opinor, quandam figuram & inanem speciem ac similitudinem angelicæ & à materia semotioris naturæ, ex qua lapsa sunt: & corrupta quidem difficilia, sed non perpetuo immortalia: eorum nonnulla noxia & maligna sunt, alia verò benefica. Aiunt itaque eadem propius ad homines accedere, eisque se adiungere ipsis potissimùm dormientibus, ac prædicere multa quæ euentura sint: fieri quidem certè huiusmodi prædictiones à bonis dilucidas, & animi alacritatem mouentes, sed à noxiis & infestis contrarias. At hominis fantasia non est circulus, sed laten-*
B *te quadam vi figuras rerum extrinsecus fluentium recipiens subijcitur, haud secus atque liber qui ab intelligentia legitur ac perlustratur, & in rebus apertis & conspicuis domesticè ipsa seipsam docet ea quæ admittere fas est: Sed in obscuris sibi etiam adsciscit intellectuales animæ vires, & fit veluti consilij captandi receptaculum de rebus agendis. Etenim intelligentia nisi ab imaginatione meditationes mutuetur, non obtinent circa genitam ac fragilem rerum naturam vllam efficaciam.*

Per ipsam.) *facultatem vtique vel poten-*
C *tiam.*

Cum alio.) *id est, cum mentis intelligentia vt plurimùm.*

Visionis expertes.) *sed fantasiæ connexas.*

Nisi quispiam.) *hoc excepto.*

In minimo temporis puncto.) *Quemadmodum diuini Prophetæ, ac diuus Paulus, repentino quodam mentis excessu extra se rapti. Tunc enim mens ipsa quodammodo extra materiam posita, & prætergressa corpus, occultè cernit secundum naturam mentis sine vllo errore. Eam ob causam ait diuus Paulus: Scio hominem, siue in corpore, siue extra corpus, nescio,*
D *& reliqua.*

In minimo temporis puncto.) *in modico, continuo, sine vlla intermissione facto & breuissimo.*

Contrectationem habuerit formæ materiæ expertis.) *nempe, doctrinæ diuinitus inspiratæ.*

Super fantas. prospicere. *vt cùm intelligentia transgreditur fantasiam.*

Arduum est.) *Quantò res est difficilior, tanto beatior vltra imaginationis facultatem prospicere.*

Ait.) *Plato scilicet.*

Imaginatione priuatam.) *ratione & intelligentia præditam.*

Obiecta.) *nobis exhibita & in conspectum nostrum veniens.*

Is quippe spiritus.) *imaginationem aliquoties vocat spiritum fantasticum, aliquando animalem spiritum, interdum corpus primum animæ, nonnunquam spiritualem animum, quandoque verò communem terminum corporis & animæ.*

Animalis.) *nempe fantasticus.*

Felices.) *apud Aegyptios sacri scriptores.*

Genius.) *secundum eius habitum.*

Pœnas.) *castigationes, emendationes.*

In eo luit.) *retribuit.*

Oracula.) *prisca.*

Visionibus.) *qualis est enim cuiusque vita, tales etiam inter dormiēdum imaginationes, & consentaneæ eum sequuntur, quæ velati diurnarum curarum reliquiæ extremaq; vestigia sunt. Et cuiusmodi sunt in quiete imagines par & consentaneum quoque est, vt talem pariter constitutionem post migrationem & corporis interitum illic anima reperiat.*

Animi vitam.) *Platonis sermonem inquirit, quem Phædonem inscripsit.*

Et Philosophia.) *Ait enim Plato in illa de animi immortalitate oratione sub Socratis persona: Quoniam magna vehemẽsque spes est cuipiam illuc emitti, quò ego proficiscor, si alicubi, illic etiam affatim ac sufficienter eius rei se compotem fieri, cuius gratia in hac præsenti & caduca vita tam assidua frequentiaque suscipimus negotia. Quocirca hæc migratio in præsentia mihi iniuncta atque præscripta cum bona spe contingit, eámque libenter suscipio, similiter quiuis alius qui putat suam mentem velut expiatam, & vitiorum inquinamentis ac sordibus purgatam. Eius porrò lustratio & expiatio est, vt quàm maximè animum à corpore segregemus, & eum assuefaciamus vndecumque extra corpus colligi & conuocari, tanquam vinculis solutus sit.*

Et philosophia.) *scilicet Platonis, & eorum qui idem cum illo sentiunt, quotquot sunt.*

Secundarum.) *earum quæ post mortem eueniunt.*

Primas viuendi rationes.) *circa quas in huius vitæ caducæ curriculo imaginandi facultas occupatur.*

Eum.) *spiritum fantasticum.*

A Φησί.) ὁ Πλάτων.

Τὴν ἀφαίρετον.) τὴν νοεράν.

Προβεβλημένη.) προτεθειμένη καὶ φαινομένη.

Τό γέ τοι πνεῦμα.) τὴν φαντασίαν ποτὲ μὲν φανταστικόν φησι πνεῦμα, ποτὲ δὲ ψυχικὸν πνεῦμα, ποτὲ δὲ σῶμα πρῶτον ψυχῆς, ποτὲ δὲ πνευματικὴν ψυχήν, ποτὲ δὲ κοινὸν ὅρον ψυχῆς καὶ σώματος.

Ψυχικόν.) ἤγουν τὸ φανταστικόν.

Οἱ εὐδαίμονες.] οἱ τῶν Αἰγυπτίων ἱερο-

B γραμματεῖς.

Καὶ δαίμων.] κατὰ τὴν ἑαυτοῦ προαίρεσιν.

Ποινάς.] κολάσεις.

Ἐν τούτῳ.] ἀνταποδίδωσι.

Χρησμοί τε.) παλαιοί.

Ὄναρ φαντασίαις.] οἷος γὰρ ὁ βίος ἑκάστῳ, τοιαῦται καὶ αἱ ὄναρ φαντασίαι καὶ κατὰ τὸ εἰκὸς αὐτῷ ἕπονται, οἱονεὶ μεθημερινῶν φροντίδων ἀπηχήματα οὖσαι· καὶ οἷαι αἱ ὄναρ φαντασίαι, τοιαύτην εἰκὸς καὶ τὴν κατάστασιν μετὰ τὴν τοῦ σώματος ἀπαλλαγὴν εὑρίσκειν ἐκεῖ τὴν ψυ-

C χήν.

Ἐκεῖ διεξαγωγήν.] ζήτει λόγον τοῦ Πλάτωνος, ὃν ἐπιγράφει Φαίδωνα.

Καὶ ἡ φιλοσοφία.) φησὶ γὰρ ὁ Πλάτων ἐν τῷ περὶ ψυχῆς λόγῳ ἀπὸ προσώπου τοῦ Σωκράτους, ὅτι πολλὴ ἐλπὶς ἀφικομένῳ τινὶ, οἷ ἐγὼ πορεύομαι, ἱκανῶς ἐκεῖ εἴπερ που ἄλλοθι κτήσασθαι τοῦτο, οὗ ἕνεκα ἡμῖν ἡ πολλὴ πραγματεία ἐν τῷ παρόντι βίῳ γέγονεν· ὥστε ἥτε ἀποδημία ἡ νῦν ἐμοὶ προστεταγμένη μετὰ ἀγαθῆς ἐλπίδος γίνεται, καὶ ἄλλῳ ἀνδρὶ ὃς ἡγεῖταί οἱ παρεσκευάσθαι τὴν διά-

D νοιαν ὥσπερ κεκαθαρμένην· κάθαρσις δὲ αὐτῆς τὸ χωρίζειν ὅτι μάλιστα ἀπὸ τοῦ σώματος τὴν ψυχήν, καὶ ἐθίζειν αὐτὴν πανταχόθεν ἐκ τοῦ σώματος συναγείρεσθαί τε, καὶ συναθροίζεσθαι ὥσπερ ἐκ δεσμῶν.

Καὶ ἡ φιλοσοφία.] ἡ τοῦ Πλάτωνος καὶ ὅσοι κατ' ἐκεῖνον σύμφωνοι.

Εἶναι δευτέρων.) τῶν μετὰ θάνατον.

Τοὺς πρώτους.] περὶ οὓς ἐνταῦθα ἡ φαντασία ἐνασχολεῖται.

Αὐτό.] Τὸ φανταστικόν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐναπομοργνυμένης.) καὶ ἔσω τῆς χείρονος A ἕξεως.

Κηλῖδα.) ἀφιείσης εἰς αὐτὸ ῥύπον.

Pag. 140. Αἴρεται.) τὸ φανταστικόν.

Θερμότητα.) ἃ προσγίνεται διὰ νηστείας, καὶ ἀγρυπνίας, καὶ ταπεινώσεως.

Καὶ τοῦτο ἄρα.) αἱ περὶ τὸ σῶμα τῆς ψυχῆς δυνάμεις πλείονες οὖσαι, ἐν μόνῃ τῇ διανοητικῇ κοινωνοῦσι τῷ θείῳ, ἣν δὴ κατὰ τὸ εἰκὸς ὁ Πλάτων καὶ πτερὸν προσηγόρευσεν, ἅτε ἀνάγουσαν ἀπὸ τῶν θνητῶν καὶ ἐπιγείων τὴν ψυχὴν πρὸς τὰ οὐράνια καὶ θειότερα, καὶ οὐκ ἐῶσαν μολύνεσθαι τὸ φανταστικὸν αὐτῆς ταῖς ὑλικαῖς προσπαθείαις. B

Καὶ τοῦτο ἄρα.) τοῦτ' ἔστιν ἡ τοῦ φανταστικοῦ κάθαρσις.

Χηραμοῖς.) τοῖς βυθοῖς.

Τῆς γῆς ἐνδύεται.) ἐπειδὴ γὰρ ὁ σοφὸς οὗτος Συνέσιος, αἱρεσιώτης, ὡς εἰρήκειμεν, ἐστὶ κατὰ πάντα τοῦ Πλάτωνος, κἀνταῦθά τε τῇ πλείοσι τῆς ἐκείνου χρῆται δόξαν, δίκαιον ἂν εἴη καὶ τὰς ἐκείνου ῥήσεις ἐνταῦθα ἐκθεῖναι ἀντ' ἄλλης τινὸς ἑρμηνείας. Φησὶν οὖν ἐκεῖνος ἐν τῷ Φαίδωνι C περὶ τῆς μεμιασμένης καὶ ἀκαθάρτου ψυχῆς, ὅτι διειλημμένη ἐστὶν ὑπὸ τοῦ σωματοειδοῦς, ὃ αὐτῇ ἡ ὁμιλία τε καὶ συνουσία τοῦ σώματος διὰ τὸ ἀεὶ ξυνεῖναι, καὶ διὰ τὴν πολλὴν μελέτην ἐποίησε ξύμφυτον. ἐμβριθὲς δέ γε οἴεσθαι χρὴ τοῦτο εἶναι καὶ βαρὺ, καὶ γεῶδες, καὶ ὁρατόν· ὃ δὴ καὶ ἔχουσα ἡ τοιαύτη ψυχὴ, βαρύνεται καὶ ἕλκεται πάλιν εἰς τὸν ὁρατὸν τόπον, φόβῳ τοῦ ἀειδοῦς τε καὶ ᾅδου, ὥσπερ λέγεται περὶ τὰ μνήματά τε καὶ τοὺς τάφους καλινδουμένη, περὶ ἃ δὴ καὶ ὤφθη ἄττα ψυχῶν σκιοειδῆ φαντάσματα, οἷα παρέχονται αἱ τοιαῦται ψυχαὶ εἴδωλα, δίκην τίνουσαι τοῦ D προτέρου βίου κακοῦ ὄντος· καὶ μέχρι τούτου πλανῶνται, μέχρις ἂν τῇ τοῦ ξυνεπακολουθοῦντος σωματοειδοῦς ἐπιθυμίᾳ, πάλιν ἐνδεθῶσιν εἰς σῶμα· ἐνδοῦνται δὲ ὥσπερ εἰκὸς εἰς τὰ τοιαῦτα ἤθη, ὁποῖα ποτ' ἂν καὶ μεμελετηκυῖαι τυγχάνωσιν ἐν τῷ βίῳ· οἷον τοὺς μὲν γαστριμαργίας τε καὶ ὕβρεις καὶ φιλοποσίας μεμελετηκότας, εἰς τὰ τῶν ὄνων γένη καὶ τῶν ὁμοίων θηρίων εἰκὸς ἐνδύεσθαι· τοὺς δέ γε ἀδικίας τε καὶ τυραννίδας, καὶ ἁρπαγὰς προτετιμηκότας εἰς τὰ τῶν λύκων τε, καὶ ἱεράκων, καὶ ἰκτίνων γένη· τοὺς δὲ

Abstergentis.) *& peioris igitur habitus.*

Squalorem.) *cum emittentis in immūdam illuuiem.*

Eleuatur.) *spiritus fantasticus.*

Propter calorem.) *Quæ interueniunt propter ieiunia, vigilias, necnon humilitatem animíque abiectionem.*

Et is vtique spiritus.) *Potentiæ quæ plures sunt circa corpus animi, in vnica duntaxat intelligendi & ratiocinandi vi cum supremo numine mentéque mundi moderatrice communicant, quam sanè iure optimo Plato quoque alam nuncupauit, nimirum deducentem à fragilibus, & interitui obnoxiis rebus atque terrenis animum ad cœlestes, & diuiniores, neque sinentem labefactari conspurcarique suam imaginationem materialibus affectionibus.*

Et illud rursus.) *nimirum imaginationis purgatio.*

Terræ cauernas.) *imos gurgites.*

Ingreditur.) *Quandoquidem solers hic noster Synesius, sicuti diximus, omnibus in rebus Platonis est acerrimus sectator, hic quoque permultis ab illo desumptis vtitur sententiis: æquum fuerit illius dicta hoc in loco exponere pro alia quauis interpretatione. Ergo, inquit, ille in Phædone, de anima polluta & impura verba faciens, quòd contagione corporea infecta inuolutáque sit, quam ipsa consuetudo congressúsque cum corpore, propter continuam familiaritatem, cultúmque aßiduum congenitam & geminam effecit. Ponderosum verò id putandum est, graue, terrenum & visibile, quò cum præpedita sit talis anima, grauatur atque traditur rursum in locum visibilem formidine tenebrosi, caliginosi & in orco occulti, quemadmodum fertur circa monumenta sepulchráque aßiduè versatur: circa quæ profectò iam nonnulla apparuerunt animarum vmbrosa fantasmata, qualia præferunt & exhibent simulachra tales animæ, pœnas luentes vitæ facinorosæ anteactæ. Itaque tamdiu circumuagantur, quoad cupiditate naturæ corporeæ comitante, rursus induant corpus. Induunt autem, vt verisimile est, eiusmodi mores, quales in vita exercuerunt. Veluti eos qui ventris ingluuiei dediti fuere, & contumeliis, flagitiis, compotationibúsque vacantes inertem atque lasciuam vitam egere, nec quicquam pensi pudorísque habuere, consentaneum est asinorum & similium belluarum corpora subire: Eos verò qui iniurias, tyrannides, rapinas præ cæteris secuti sunt, in luporum, accipitrum, miluorúmque genera migrare par est, neque aliò transire dicendum est: Eos porrò qui*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ciuilem popularémque virtutem, quam temperantiam & iustitiam nominant, ex consuetudine & exercitatione acquisitam absque philosophia mentisque sagacitate exercuere: decens est hos in tale quoddam genus iterum ciuile ac mansuetum demigrare quodammodo, apum, vesparum aut formicarum, deinceps in idem rursus genus humanum, modestósque ex illis homines fieri congruum est. Sed in deorum genus nulli fas est peruenire, nisi illis qui discendi cupiditate flagrantes philosophati sunt, & puri omnino ex hac vita migrarunt. Discendi cupiditate flagrantem vocat philosophum, veluti curiosum & scrutatorem naturæ eorum quæ reipsa sunt.

Infelix.] *misera, calamitosa.*

Labore.] *& castigationibus post longum diuturnúmque tempus.*

Vt animus purgatus emergat.] *scilicet ad fantasticum.*

Exorta enim.] *quia principio in substantiam & vitam accedit anima fantastica.*

Cum peioribus.] *cum materialibus, crassis, & carnalibus.*

Ac melioribus.] *vt intelligendi vi praditis, & à materia seiunctis.*

Quam mutuatur.] *videlicet fantasticam animam.*

E globis cœlestibus.] *Hoc in loco globi cœlestes omnino cernuntur & ratione intelliguntur ab omni prima sphæra astris carente vsque ad lunarem.*

Descendens.] *rationalis & intellectualis animæ potentia.*

Corporeo mundo.] *eo, inquit, mundo qui continetur à lunari circulo ad terram vsque profluente, ortui & interitui obnoxio.*

Sibi conciliet.] *secum imaginariam animæ potentiam.*

Vix enim.] *raro enim istud euenit vt se inuicem dimittant ac deserant.*

Sed fieri possit.] *aliquoties tamen contingere solet vt istud fiat.*

Minimè parentem.] *nempe spiritum fantasticum.*

Haud quippe fas est.] *non enim decorum est homini illas respuere: in primis comperta & cognitæ sunt huiusmodi expiationes. Expiationes porro siue ceremonias dicit mystica, arcana & sacra dogmata.*

Turpis.] *pudore oppressus, iniustus.*

Reditus.] *illis animis rationis compotibus.*

Alienum.] *hoc est, animæ partem quæ in fantasia & imaginatione consideratur.*

Desuper.] *è globis cœlestibus, vt supra dixit.*

A τὴν πολιτικὴν τε καὶ δημοτικὴν ἐπιτετηδευκότας ἀρετήν, ἣν δὴ καλοῦσι σωφροσύνην τε καὶ δικαιοσύνην ἐξ ἔθους καὶ μελέτης γεγονυῖαν ἄνευ φιλοσοφίας καὶ νοῦ. εἰκός ἐστιν εἰς τοιοῦτον πάλιν ἀφικνεῖσθαι πολιτικὸν καὶ ἥμερον γένος, ἤπου μελιττῶν, ἢ σφηκῶν, ἢ μυρμήκων, ἢ καὶ εἰς ταυτό γε πάλιν τὸ ἀνθρώπινον γένος, καὶ γίνεσθαι ἐξ αὐτῶν ἄνδρας μετρίους εἰκός· εἰς δέ γε Θεοῦ γένος μὴ φιλοσοφήσαντι καὶ καθαρῷ παντελῶς ἀπιόντι, οὐ θέμις ἀφικνεῖσθαι ἄλλῳ ἢ τῷ φιλομαθεῖ· φιλομαθῆ δὲ τὸν φιλόσοφον
B λέγει, ὡς φιλοπράγμονα καὶ ἐρευνητικὸν περὶ τὴν φύσιν τῶν ὄντων.

Κακοδαίμων.) δυστυχής.

Πόνῳ.) καὶ κολάσεσι διὰ χρόνου.

Καθηραμένην.) τὴν φαντασίαν.

Γενομένη γάρ.) ἤως ἐξ ἀρχῆς εἰς ὕπαρξιν ἐλθοῦσα ἡ φανταστικὴ ψυχή.

Τοῖς χείροσι.) τοῖς ὑλικοῖς.

Τοῖς κρείττοσιν.) τοῖς νοεροῖς.

Ἣν δανείζεται.) ταύτην τὴν φανταστικὴν ψυχήν.

C Ἀπὸ τῶν σφαιρῶν.) σφαῖραι ἐνταῦθα νοητεύονται ἀπὸ τῆς πρώτης καὶ ἀνάστρου πάσης μέχρι τῆς σεληνικῆς.

Κατιοῦσα.) ἡ λογικὴ καὶ νοερά.

Τῷ σωματικῷ.) τούτῳ τῷ ἀπὸ τῆς σεληνικῆς σφαίρας μέχρι τῆς γῆς τῷ γινομένῳ καὶ φθειρομένῳ.

Ἡ συναγαγεῖν.) μεθ᾽ ἑαυτῆς καὶ τὴν φανταστικὴν ψυχήν.

Μόλις μὲν γάρ.) σπανίως μὲν γὰρ γίνεται τοῦτο τὸ ἀφεῖναι.

D Ἀλλὰ γένοιτ᾽.) ἀλλ᾽ ὅμως ἐγχωρεῖ γενέσθαι ποτὲ καὶ τοῦτο.

Μὴ συνεπομένου.) τὸ φανταστικὸν πνεῦμα.

Οὐ γὰρ θέμις.) οὐ γὰρ πρέπον ἐστὶ τῷ ἀνθρώπῳ ἐκείνοις ἀπιστεῖν, πρώτων ἐγνωσμέναι εἰσὶν αἱ τελεταί. τελετὰς δέ φησι τὰ μυστικὰ, καὶ ἱερὰ δόγματα.

Αἰσχρά.) κατῃσχυμμένη, ἄδικος.

Ἐπανόδους.) ταῖς λογικαῖς ψυχαῖς ἐκείναις.

Τὸ ἀλλότριον.) τοῦτ᾽ ἔστι, φανταστικὴν ψυχήν.

Ἄνωθεν.) ἐκ τῶν σφαιρῶν, ὡς προέφη.

Καὶ

[A] Καὶ τοῦτο.) καὶ τοῦτο μὲν, φησὶ, τὸ δυνηθῆναι λογικὴν ψυχὴν ἀφεῖναι τὸ φανταστικὸν πνεῦμα βαρυνθὲν κάτω, καὶ ἀνελθεῖν ἐλευθέραν τῆς ὑλικῆς σχέσεως αὐτὴν πρὸς τὰ μετέωρα, δῶρον ἂν εἴη Θεοῦ τε συναιρομένου τρόποις ἀρρήτοις, καὶ τελετῆς, τοῦτ᾽ ἔστι μυστικῆς καὶ θειοτέρας διδασκαλίας παιδαγωγούσης καὶ σωφρονιζούσης αὐτήν· πλὴν οὐ πολλαῖς ἂν γένοιτο τοῦτο ψυχαῖς, ἀλλὰ μόλις μιᾷ τινὶ ἢ καὶ δευτέρᾳ· ὅμως καὶ ταύτης τῇ ἀνόδῳ μέμφεται. αἰσχρὰν γὰρ ἔφη, καὶ κατῃσχυμμένην αὐτὴν, ὡς ἄδικον φανεῖσαν, διὰ τὸ μὴ ἀποδιδόναι τὸ ἀλλότριον ὅθεν ἠρανίσατο. [B]

Φύσιν δέ.) τοῦτ᾽ ἔστι, φυσικὸν δὲ ἐστὶ τοῦτο.

Ψυχήν.) λογικήν.

Ὁμορροθεῖν.) ἀκολουθεῖν ἑκουσίως.

Ἕλκειν.) ἄκουσαν.

Ἕλκεσθαι.) ἄκον.

Ὑπὸ κακῆς.) ὑπὸ τῆς ὑλικῆς προσπαθείας.

Ἐφεῖσαν.) ἐνδοῦσαν.

Καὶ τοῦτ᾽ ἔστιν.) παραινοῦσι γὰρ τὰ Χαλδαϊκὰ λόγια, ἄνω τείνειν διηνεκῶς τὸν νοῦν πρὸς Θεὸν, καὶ μὴ παραχωρεῖν αὐτὸν κάτω νεύειν εἰς τὸν περίγειον κόσμον, ἔνθα οὐδὲν πιστὸν, ἢ βέβαιον, ἀλλὰ πάντα μάταια καὶ ψευδῆ· [C] σκοπεῖν δὲ χρὴ πῶς μελαναυγέα ὠνόμασε τὸν περίγειον κόσμον τοῦτον, ὃν εἴρηκε καὶ ἀμφικνεφῆ· οὐ μόνον δὲ, ἀλλὰ καὶ ᾅδην αὐτὸν ὀνομάζει. τὸν γὰρ ᾅδην πολλαχῶς καλοῦσι Χαλδαῖοι. Θεόν τε γὰρ ἡγοῦνται τοῦτον, καὶ τῆς ἐσχάτης καὶ περιγείου λήξεως ἀρχηγόν· ἔστι δ᾽ ὅτε καὶ τὸν ὑπὸ σελήνην κόσμον, ὃν ἀμφικνεφῆ φασὶ, καὶ τοῦτον ᾅδην καλοῦσι· ποτὲ δὲ αὐτὴν τὴν σεληνιακὴν σφαῖραν, ἣν καὶ μεθόριον τίθενται, τοῦ αἰθερίου κόσμου καὶ τοῦ ὑλαίου· [D] βυθὸν δὲ φασὶ τὴν ὕλην, ἣν ἐν τῷ ὑπὸ τὴν σελήνην τόπῳ τάττουσιν.

Ὁ δειδίττεται.) ἐκφοβοῦσι τὰ ἱερὰ τῶν Χαλδαίων λόγια.

Νοερόν.) τὴν ψυχὴν φησὶν ὡς ἐκ Θεοῦ τὴν ὕπαρξιν ἔχουσαν.

Ἄπιστος.) ἀβέβαιος.

Ἀμφικνεφής.) σκοτεινός.

Ῥυπόων εἰδωλοχαρής.) χαίρων τοῖς εἰδώ-

Et istud.) *Istud quidem, inquit, nempe illam animæ partem, quæ intelligentiæ & rationis est particeps, posse missum facere spiritum fantasticum ingrauescentem & immodico pondere ad inferiora loca tendentem, eámque materiali habitu ac mouente affectu liberatam ascendere ad sublimiora domicilia, Dei munus fuerit, abditis & silentio prætermittendis rationibus, ceremoniæque eandem subleuantis ac erigentis, hoc est, mysticæ diuiniorísque disciplinæ ipsam moderantis ac refrænantis. Verùm istud perpaucis contingat animis, imo vix vni cuidam & alteri: verumtamen de eius ascensu conqueritur. Turpem enim ac fœdatam eam dicit, vt quæ iniusta apparet, eò quòd alienum non reddiderit vnde emendicauerat.*

Animo.) *rationali.*

Adiumento sit.) *eum sua sponte comitetur.*

Trahat) *inuitum ac immorigerum spiritum fantasticum.*

Trahatur ab eo.) *inuitus.*

Improbitate.) *à materiæ vehementi affectu.*

Qui indulserit) *concesserit.*

Et istud est.) *Nos quippe adhortantur oracula Chaldaica, vt identidem sursum extendamus mentémque eleuemus ad Deum, ne ipsa prona se recipiat deorsum in mundum terræ propinquiorem, vbi nihil fidum ac stabile est, verùm omnia futilia, vana & fallacia. Sed considerare fas est qua ratione obscurum, atrum, ac nigricantem vocauerit mundum hunc, quem vndecumque caliginosum dixit: nec verò solum ipsum Orcum nominat: Nam Orcum ceu Tartarum vario modo vocant Chaldæi: Deum enim eum existimant, & extremæ terræque adiacentis hæreditatis, quæ ei sorte contigit, principem. Interdum verò mundum qui in concauo lunæ continetur, quem omni ex parte nebulosum asserunt, & hunc infernum vocitant. Interdum autem ipsam lunarem sphæram, quam conterminam & confinem statuunt mundi ætherij & in materia luxuriantis. Materiam porrò profunditatem dicunt, quam in loco sub Luna sito determinant.*

Territant.) *perterrefaciunt sacra Chaldæorum oracula.*

Rationis capax.) *Animam dicit quæ vitam & substantiam à Deo consecuta est.*

Infidus.) *inconstans & instabilis.*

Spectris & imaginibus gestiens.) *ex idolis*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

voluptatem percipiens, vbi dij gentium habitant, & versantur dæmones in materia illuuiem procliuiores: & hunc spiritum fantasticum, pinguem, crassum & obesum dicit.

Vita stolida.) *ceu attonita.*

Simulachro verò.) *simulachrum hoc in loco fantasiam dicit, quæ animalis spiritus ac subtilis cùm sit, nihilominus ob electionis & consilij prauitatem, aliquoties hanc habet crassitiem & obesitatem, aliquoties illam, quam vocant quandam spiritus conspirationem: & tunc profectò ipsa efficitur idolum, id est, compar & similis idolicis ac vmbrosis istis dæmonibus.*

Ima regio.) *quam hactenus mundum caliginosum & tenebrosum dixit.*

Simile quippe.) *Quia enim spiritus fantasticus cùm referre animi imaginem debuerit, & esse eiusdem simulachrum, euasit potius ob deprauationem in idolum simile materialibus dæmonibus, ac meritò horum sodalitio familiaritatéque oblectatur.*

Quod si vnum.) *Si verò mens ruat ac delabatur cum fantasia, & fiat vna quædam ex ambobus.*

Mens etiam.) *mens fortassis ad idolorum naturam propius accedens & obesior, non repudiauerit communem eiusmodi oblectationem.*

Malorum hoc extremum est.) *Non sentire, inquit, præsens malum, sed eo veluti commodo ac facili delectari, malorum omnium fuerit maximum. Nam talibus gratulari, & ea non sentire, eorum est qui neque emergunt ex tenebris, neque emendationem perquirere volunt. Scirrhum porrò in exemplum adducit. Est enim scirrhus illuuies fœda & abstersu difficilis. videtur autem hoc dictum permultis obscurum, propterea quod breuitate concisa vtens Synesius, tale exemplum non dilatauit, sed contexuit & accommodauit proposito. Apertius autem fuisset, si ita dixisset: Quod quemadmodum scirrhus interiores subiecti cuiusdam corporis partes subiens, ablutu atque purgatu difficilis & indelebilis redditur: sic magnus ille & inhærescens affectus mentem in profundum abyssum, vt ita loquar, demergens, eámque detinens, & veluti crassiorem reddens, occultat ac tegit ob suæ ipsius voluptatis consensum, approbationem ac terram: neque permittit recordationem accipere salutis & incolumitatis liberationísque cogitationem ab illa vehementi commotione. Veruntamen inuenitur remedium sublimiori meditationi connexum & salutare, pœnitentia: Pœnitentia enim*

A λοῖς, ἢ θεοὶ οἰκοῦσι καὶ ἐνδιατρίβονται οἱ ὑλικώτεροι δαίμονες, καὶ τὸ φανταστικὸν, φησὶ, πνεῦμα παχυνθέν.

Ἐμπληκτος.] οἱονεὶ ἐμβρόντητος.

Τῷ δ' εἰδώλῳ.] εἴδωλον ἐνταῦθα τὴν φαντασίαν λέγει, ἣ ψυχικὸν πνεῦμα οὖσα καὶ λεπτὸν, ὅμως διὰ μοχθηρίαν προαιρέσεως, ἐνίοτε ἔχει παχύτητα τοιάνδε, ἢ τοιάνδε, ἣν φησι ποιὰν τοῦ πνεύματος σύστασιν· καὶ τότε δὴ γίνεται καὶ αὐτὴ εἴδωλον, τουτέστιν, ὅμοιον τοῖς εἰδωλικοῖς ἐκείνοις δαίμοσιν.

Ἡ κάτω.] ἣν μελαναυγέα κόσμον ἀνωτέρω εἶπεν.

B Ὁμοίῳ γάρ.] ἐπεὶ γὰρ τὸ φανταστικὸν πνεῦμα, ἀντὶ τοῦ φέρειν εἰκόνα ψυχῆς καὶ εἶναι εἴδωλον αὐτῆς, ἐγένετο μᾶλλον ἐκ παρατροπῆς εἴδωλον ὅμοιον δαίμοσιν ὑλαίοις, εἰκότως καὶ συνήδεται τῇ τούτων συνδιατριβῇ.

Εἰ δὲ ἕν.] εἰ δὲ συγκατενεχθῇ τῇ φαντασίᾳ καὶ ὁ νοῦς, καὶ ἐγένοντο ἕν τι πρᾶγμα ἐξ ἀμφοτέρων.

Καὶ ὁ νοῦς.] ἴσως ἂν καὶ ὁ νοῦς εἰδωλικώτερος γενόμενος καὶ παχύτερος, δέξαιτο τὸ συνήδεσθαι.

C Καί τοι τοῦτο κακόν.] τὸ μὴ ἐπαισθάνεσθαι, φησὶ, κακοῦ παρόντος, ἀλλὰ συνήδεσθαι αὐτῷ ὡς χρηστῷ, κακὸν εἴη τὸ μέγιστον. τὸ γὰρ συνήδεσθαι τοῖς τοιούτοις καὶ μὴ αἰσθάνεσθαι, τῶν μηδὲ ἀνακύψαι καὶ διόρθωσιν λαβεῖν ζητούντων ἐστί. τίθησι δὲ εἰς ὑπόδειγμα καὶ τὸν σκίῤῥον· σκίῤῥος γάρ ἐστι ῥύπος δυσέκπλυτος, καὶ δυσαπόνιπτος· δοκεῖ δὲ ἀσαφὲς τοῖς πολλοῖς τὸ ῥητὸν, διότι συντομίᾳ χρώμενος ὁ Συνέσιος, οὐκ ἐπλάτυνε τὸ τοιοῦτον ὑπόδειγμα, ἀλλὰ συνέπλεξε τῷ κειμένῳ. σαφέστερον ἂν ἦν, εἰ οὕτως

D ἔλεγεν· ὅτι ὥσπερ ὁ σκίῤῥος εἰσδυόμενος εἰς βάθος τοῦ ὑποκειμένου τινὸς σώματος, δυσέκπλυτος γίνεται, καὶ δύσσοπτος καὶ δυσαπόνιπτος· οὕτω καὶ ἡ προσπάθεια τῆς ὕλης καταβαπτίσασα τὸν νοῦν καὶ εἰς βάθος εἰπεῖν καταδῦσα τοῦτον, καὶ οἱονεὶ παχύτερον καταστήσασα, κλέπτει διὰ τῆς ἡδονῆς τὴν αὐτοῦ συγκατάθεσιν καὶ τὴν γνῶσιν, καὶ οὐκ ἐᾷ ὑπόμνησιν λαβεῖν ἢ ἐνθύμησιν σωτηρίας καὶ ἀποχῆς τοῦ πάθους· ὅμως εὑρίσκεται φάρμακον ἀναγωγικὸν καὶ σωτήριον, ἡ μετάνοια· ἡ γὰρ μετάνοια

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ μεταμέλεια, δυσχεραίνοντος ἀνθρώπου ἐστὶ καὶ μισοῦντος τὴν καταχοῦσαν κακίαν. τὸ δὲ μισεῖν τὴν κακίαν, ἐκ τῆς βουλήσεως ἔχει τὰς ἀρχάς, ἥ τις βούλησίς ἐστι ῥίζα καὶ θεμέλιος πάντων τῶν δρωμένων καὶ λεγομένων· καὶ πρὸς αὐτὴν ὀρέγουσι καὶ ἐκτείνουσι τὰς αἰτίας καὶ ἀρχάς. ἐὰν γὰρ μὴ συντρέχῃ ἡ βούλησις ἄψυχος μένει πᾶσα διδασκαλία καὶ μάθησις, καὶ ἐλλιπής. ἐὰν γὰρ διδάσκῃ μὲν ὁ διδάσκων, μὴ βούληται δὲ ἡ τοῦ διδασκομένου βούλησις, κολοβὸς γὰρ ἡ διδασκαλία· καὶ διὰ τοῦτο χρειώδης ἐστὶν ὁ βίος ὁ συγκεκραμένος τοῖς λυπηροῖς.

Pag. 141. Καὶ διὰ τοῦτο.) διὰ τοῦτο γοῦν εὑρίσκεται φάρμακον ἀναγωγικὸν καὶ σωτήριον ἡ μετάνοια, τοῦτ' ἔστιν ἡ μεταμέλεια, καὶ ἡ τοῦ πράγματος κατάγνωσις.

Ταύτῃ γάρ.) τοῦτ' ἔστι πρὸς ταῦτα ἁπλοῦσι τὰς χεῖρας αἵ τε πράξεις καὶ οἱ λόγοι, ἤγουν τὰς αἰτίας καὶ τὰς ἀρχάς.

Ἄψυχος.) ἀνίσχυρος.

Κολοβός.) ἐλλιπής.

Συνθήματος.) τῆς σῆς βουλήσεως, συγκαταθέσεως.

Οὕτως αἱ κράσεις.) τὸ συγκεκρᾶσθαι τὰ ἡδέα τοῖς λυπηροῖς.

Ἐμπλήκτου.) παραλόγου.

Χαρᾶς.) ἡδονῆς.

Παρ' ἀξίαν.) παρὰ τὸ εἰκὸς καὶ ἔξω τοῦ δέοντος λεγόμεναι παρὰ τοῖς πολλοῖς.

Συμφοραί.) ὥσπερ ἄλλαι πολλαὶ τῶν λέξεων ἐπ' ἄλλαις τισὶ σημασίαις ἐκλαμβανόμεναι πρότερον, ἄλλως ἐξελήφθησαν παρὰ τοῖς ὕστερον, οὕτω καὶ ἡ συμφορὰ μέση λέξις οὖσα πρότερον, καὶ ἐκλαμβανομένη, καὶ ἐπὶ τοῦ συμφέροντος, ὡς τὸ, ἐπὶ συμφοραῖς γεγηθὸς ἕρπει δάκρυον ὀμμάτων ἄπο, ἐπὶ κακοῦ μόνον παρὰ τοῖς ὕστερον ἐκλαμβάνεται, καὶ κακίζεται παρὰ τὸ εἰκὸς καὶ παρὰ τὴν ἀξίαν. τῇ γὰρ ἀληθείᾳ, οὐ κακῶν αἴτιαί εἰσιν, ἀλλὰ παιδαγωγίας καὶ φρονήσεως· τοὐναντίον δὲ μᾶλλον αἱ θρυλλούμεναι εὐτυχίαι εἰσὶν αἴτιαι κακῶν.

Συμβάλλ.) συνεργοῦσι.

Τὴν σχέσιν.) τὴν προσπάθειαν.

Πρώτη πρόνοια.) γρ. ἡ ἄνω. πρώτην πρόνοιαν φησὶ τὴν τοῦ δημιουργοῦ Θεοῦ δικαίαν διεξαγωγὴν καὶ διοίκησιν, ἀντιδιαστέλλων ἐκ τῶν ἄλλων.

A *consiliíque mutatio hominis est grauiter & iniquo animo ferentis, ac toto corpore perhorrescentis occupantem se improbitatem. Nam vitium odio prosequi à voluntate liberóque arbitrio principium obtinet: voluntas enim omnium dictorum factorúmque radix est ac fundamentum:& ad eam porrigunt atque extendunt causas & primordia. Nisi enim concurrat voluntas, exanimis & irrita manet omnis doctrina & disciplina, atque imperfecta. Etenim si doctor doceat, nolit autem discipuli voluntas, manca & mutila fit disciplina. Et eam ob causam perutilis est vita tristitia & acerbitate temperata.*

B Et ob id.) *Proinde reperitur medicina ac rerum sublimium, & à vulgari sensu remotissimarum indagatrix ac salutaris pœnitentia, hoc est, voluntatis consiliíque mutatio, & facti damnatio.*

Huic enim.) *id est, ad ea pandunt & explicant manus, facta & dicta, tanquam ad causas & principia.*

Ignaua est.) *inualida.*

Mutila.) *imperfecta & manca.*

Fœdere.) *tuæ voluntatis, tui consensus.*

Rerum temperies.) *iucunda tristibus temperari.*

C Temerario gaudio.) *absurdo.*

Gaudio.) *fatua voluptate.*

Vltra meritum.) *quæ dicuntur à multis, vltra id quod decorum est.*

Calamitates.) *Quemadmodum complures aliæ voces in aliis quibusdam significationibus prius elapsisque temporibus acceptæ, aliter vsurpatæ sunt apud subsequentes minores: Ita etiam hæc vox* συμφορὰ, *calamitas, casus, media cùm fuerit dictio prius, vsurpatur etiam in eo quod commodum & conducibile est, vt,*

Ob id quod in suis casibus gestiens lætatur, serpit lachryma ex oculis.) *In ma-*
D *lam partem solum apud posteros vsurpatur, & obiurgatur suprà quàm par sit, & præter meritum. Nam vt verum fatear, calamitates non malorum causæ sunt, sed adhortationis & prudentiæ: contrà, quæ vulgò secundæ fortunæ iactantur, sunt potius malorum causæ.*

Conferunt.) *cooperantur.*

Ad affectum abrogandum.) *magnam & inhærentem animi commotionem.*

Prima prouidentia.) *legitur, in alio codice,* superna prouidentia. *Primam atque supremam prouidentiam vocat Dei mundi opificis iustam dirigendi methodum ac dispensationem, eam ab aliis præclarè distinguens.*

Nam Græci solem, lunam stellásque animata existimantes, è suo domicilio ipsa etiam prouidere dixerunt rebus terrenis.

Earum gratia.) *calamitatum.*

Incautis.) *intelligentiæ expertibus ac desipientibus.*

Vulgares felicitates.) *Cùm enim internecionem ac perniciem nobis concilient, in fraudem complures illecti eas esse prosperas fortunas spargunt in vulgus.*

Insidias.) *dolosas excubias & laqueos aduersus humanos animos.*

Inferorum præsidibus.) *A dæmonibus qui sunt inspectores ac præfecti.*

Ingresso.) *ego verò dico, videlicet.*

Suauitas.) *voluptas & subdola materiæ fraudatio. Quod autem dicit, tale est. Necessitate, ait, exigente, animam mundi naturæ inseruire, è sublimi descendit tanquam mercede quadam conducta, vt ad definitum tempus seruiens emolumentum accipiat veluti præmium quoddam, & ascendat vnde venit. Quæcunque enim ortum & incrementum habent, animam & vitam desiderant. Et illud est animæ obsequium ac ministerium, vt subseruiat generationi & origini rerum quæ in mundo continentur, quousque illi capaci vniuscuiusque corpori vis & facultas adsit gestandi animam, neque eam fatiget senectus aut quæuis tabes & iactura terrigena quales in vita oberrãt versatiles multis modis. Quæ porrò anima vt plurimùm materialibus ac vehementius inhærentibus affectibus voluptatibúsque in errorem & fallaciam deducta est, & quasi inebriata imprudens fallitur, pro veritate mendacium, & vmbram pro substantia & re ipsa amplectens.*

Paupercula siquidem & indotata.) *mercede conducta.*

Primam vitam.) *Primam vitam, inquit, eam distinguens à secunda & tertia, quam dicunt Græci fieri propter metempsychosin, seu in alia subinde atque alia corpora migrationem.*

Seruitutem induit.) *quia hic ordinem & locum mancipij pecunia empti accipit loco mercenarij.*

Adrastiæ.) *fati, sortis, fatalis necessitatis.*

Illusa.) *in errorem à voluptate inducta.*

A materiæ donis.) *quæcunque deliniunt, oblectant ac demulcent visum, gustum, auditum, olfactum & tactum, ea materiæ dona nuncupat.*

Donis) *voluptatum in natura cohærentia.*

A οἱ γὰρ Ἕλληνες ἔμψυχα δοξάζοντες ἥλιον καὶ σελήνην καὶ ἀστέρας, καὶ περιοδεύειν ἔφασκον τῶν ἐπιγείων οἴκοθεν καὶ αὐτούς.

Διὰ τούτων.) τῶν συμφορῶν.

Τοῖς ἔχουσιν.) τοῖς συνετοῖς.

Τοῖς οὐκ ἔχουσιν.) τοῖς ἀσυνέτοις.

Εὐτυχίας.) οὔσας γὰρ ἀπωλείας προξένους, ἀπατώμενοι οἱ πολλοὶ εὐτυχίας αὐτὰς εἶναι θρυλλοῦσιν.

Δὲ λόχον.) ἐνέδρας καὶ παγίδα κατὰ τῶν ψυχῶν.

Τοῖς ἐφόροις.) παρὰ τῶν δαιμόνων οἵ εἰσιν

B ἔφοροι.

Ἄλλος εἰπάτω.) ὁ Ἑλληνικὰ φρονῶν.

Εἰσελθούσῃ) ἐγὼ δὲ φημὶ δηλονότι.

Ὀρέγεται.) δίδοται.

Τὸ τῇδε ἡδύ.) τὸ ἀπατηλὸν τῆς ὕλης.

Μειλίχιον.) ὅ φησι τοιοῦτόν ἐστι· χρείας, φησὶν, ἀπαιτούσης ὑπηρετῆσαι τῇ φύσει τοῦ κόσμου τὴν ψυχὴν, κάτεισιν ἄνωθεν οἷα μισθωτὸς, ἵνα πρὸς ῥητὸν χρόνον ὑπηρετήσασα, λάβῃ τὸν μισθὸν, ὥσπερ τι ἔπαθλον, καὶ ἀνέλθῃ ὅθεν κατῆλθε. πάντα γὰρ ἃ γένεσιν ἴσχει καὶ αὔξησιν,

C χρήζει τῆς ψυχῆς· καὶ τοῦτ᾽ ἔστιν ἡ τῆς ψυχῆς ὑπηρεσία καὶ λειτουργία, ἵνα ὑπηρετήσῃ τῇ γενέσει τῶν ἐν κόσμῳ περιεχομένων, μέχρις ἂν τῷ δεκτικῷ ἐκείνῳ ἑκάστου σώματι δύναμις ἐνυπάρχῃ φέρειν ψυχὴν, καὶ μὴ ἐνοχλῇ γῆρας ἢ μαρασμὸς ὁστισοῦν καὶ φθορὰ γηγενὴς, ὁπόσαι περὶ τὸν βίον πλανῶνται πολύτροποι πολυτρόπως· ἡ δὲ ὡς τὰ πολλὰ ταῖς ὑλικαῖς προσπαθείαις καὶ ἡδοναῖς ἀπατηθεῖσα, καὶ οἱονεὶ μεθυσθεῖσα, ἔλαθε ψεῦδος, ἀντ᾽ ἀληθείας, καὶ σκιὰν ἀντὶ οὐσίας κατέχουσα.

Θῆσσα.) μισθωτός.

D Πρῶτον βίον.) πρῶτον βίον φησὶ, ἀντιδιαστέλλων πρὸς τοὺς δευτέρους καὶ τρίτους, οὕς φασιν Ἕλληνες γίνεσθαι διὰ τὰς μετεμψυχώσεις.

Δουλείᾳ.) ἤγουν ἀργυρωνήτου τάξιν λαμβάνει ἀντὶ μισθωτοῦ.

Ἀδραστείας.) εἱμαρμένης.

Γοητευθ.) πλανηθεῖσα δι᾽ ἡδονῆς.

Τῶν δώρ.) ὅσα θεραπεύουσιν καὶ ἡδύνουσιν ὅρασιν, γεῦσιν, ἀκοὴν, ὄσφρησιν, καὶ ἁφὴν, πάντα δῶρα τῆς ὕλης φησί.

Δώρων.) τῶν ἡδονῶν ἐν τῷ συνεχισμῷ τῆς φύσεως.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐπὶ συγκειμένον.) ὡρισμένον. A

Δουλεύειν.) ὥσπερ ἔγγραφον συμφωνίαν ποιήσαντες.

Ἠθωμένην.) ἀφεαιροθωμένην.

Θυραίων.) νόθων.

Ὁμολογεῖν.) ὑποσυντίθεσθαι ἐγγράφως.

Ἡ δέ.) ἡ Ἀδράστεια· ἡ φύσις.

Ἀπόρρητον.) μυστικὸν, καὶ οὐ διὰ γλώττης προσφερόμενον.

Βουλευσώμεθα.) περὶ τούτων οὐκ ἂν γνοίη τις ἀκριβῶς μὴ προπεπονθὼς καὶ μηδὲ πεῖράν τινα λαβὼν πρότερον· γνοῖεν δ' ἂν μᾶλλον οἱ πόθῳ παίδων καὶ γυναικῶν ἐνεχθέντες. στερούμενοι γάρ ποτε τούτων, ἢ ἑκόντες καταλιπόντες, μυρίας ὑφίστανται ἀλγηδόνας κατατεμνούσας ὡς εἰπεῖν διηνεκῶς τὴν ψυχὴν, νυκτὸς καὶ ἡμέρας, ἃς δὴ καὶ ποινὰς ὑλαίας ὀνομάζει. αὗται γὰρ ἀναπλάττουσι τοῦ στερηθέντος τὸ εἴδωλον, καὶ συχνὰ τῇ μνήμῃ τοῦ ποθοῦντος προσάγουσι. καὶ ὥσπερ ἄγριοι κύνες, ἀλλόθεν ἄλλαι πικρῶς ἕλκουσί τε καὶ περιέλκουσι· πολλοὺς δὲ καὶ πρὸς θάνατον ἤλασαν, μὴ δυνηθέντας ἐγκαρτερῆσαι τῷ πάθει.

Φυγάδας.) δραπέτας.

Ἀντιλαμβάνεται.) διὰ τοῦτο γὰρ καὶ Ἀδράστεια καλεῖται.

Pag. 142. Οὐ φαῦλος.) οὐ μικρός.

Παραγράψασθαι.) διακρούσασθαι.

Ποιναί τε.) ἐμπαθεῖς, τιμωρητικαὶ ἐνθυμήσεις.

Ὑλαῖαι.) πιέζουσαι τὴν ψυχήν.

Τότε δή.) τινὲς διαφέρειν φασὶν ἀνάγκην καὶ Ἀδράστειαν καὶ εἱμαρμένην καὶ φύσιν· τινὲς δὲ ἕν τι δηλοῦσθαι ἐκ τούτων φασί. καὶ γὰρ ὃ οὐ δύναταί τις διαδρᾶσαι, τοῦτο Ἀδράστεια καὶ ἀνάγκη εἴη ἄν· εἱμαρμένη δέ ἐστιν ἡ διὰ τοῦ εἱρμοῦ τῆς τῶν ὄντων συμφυΐας καὶ φυσικῆς συμπλοκῆς τὰ ἐπίγεια κυβερνῶσα. καὶ ὑπὸ εἱμαρμένην μὲν κεῖσθαί φασι τὰ ἐπίγεια, ὅταν σωματικῶς καὶ φυσικῶς ἐνεργῶσιν· ὑπὸ πρόνοιαν δὲ, ὅταν νοερῶς, τοῦτ' ἔστιν ὅταν ἀμέσως ἐκ Θεοῦ τὰς εὐεργεσίας οἱ ἄνθρωποι λαμβάνωσιν.

Εἱμαρμένην.) ἤγουν καὶ μὴ ἐπιταττούσης τῆς εἱμαρμένης.

Τῶν ἀφηνιασάντων.) ἀποσκιρτησάντων.

Αὐτῆς.) τῆς εἱμαρμένης τε καὶ Ἀδραστείας, τῆς φύσεως.

Inseruire.) *quasi ex scripto facta conuentione & conspiratione.*

Fortunæ & externa bona.) *quæ sunt notha & illegitima.*

Consentire.) *cùm scriptis transigere.*

Ea porrò.) *Adrastia seu Nemesis; seu vindicta diuina verborum superborum factorúmque petulantium vltrix: ipsa natura.*

Occultam.) *arcanam, nec linguæ ministerio adminiculóque proferendam.*

Statuimus.) *Nemo his de rebus exactè sentire ac indicare potest, nisi summo affectu eis inhæreat, ac prius experientiam quandam sumpserit, periculúmque fecerit: nouerint potius ij qui mulierum & puerorum amore detinentur. Nam ijsdem aliquando priuari, vel si vltronei & sua sponte eos deseruerint, infinitos angores & cruciatus molestiásque sustinent, animam, vt ita loquar, assiduè dissecantes, diu noctúque quas materiales pœnas nominat. Ipsæ enim effingunt, & oculis subijciunt rei, qua priuati sunt, idolum & simulachrum; frequentérque mememoriæ desiderantis admouent: & veluti canes agrestes, aliunde aliæ trahunt & acerbè circumueniunt: multos porrò ad mortem stimularunt, non valentes huiusmodi affectus constanti & æquo animo perferre.*

C Retinet.] *ob id siquidem Adrastia appellatur.*

Irritum facere.] *manu depellere, artificiosè prosternere, supplantare.*

Pœnæ namque materiales.] *affectibus obnoxiæ, vindices ac seueræ cogitationes.*

Materiales.] *animum vexantes.*

Tum certè.] *nonnulli aiunt inter se differre necessitatem, Adrastiam, fatum, & naturam, quidam verò vnum & idem significare inde asserunt: Etenim quod quis non potest effugere, istud Adrastia & necessitas fuerit: fatum verò est quod per seriem arctæ societatis atque naturalis coniunctionis eorum quæ sunt in rerum* D *natura, res terrenas gubernat. Et in fati potestate terrestria aiunt posita esse, quatenus in corpore naturaliter operantur. Sed sub prouidentia, quatemus intelligentia & ratione, hoc est, quando immediatè à Deo beneficia homines accipiunt.*

Sine fatali necessitate mouentur.] *vel, fato non imperante.*

Ipsius.] *fati, Adrastiæ, nemeseos, & naturæ.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A Atque hæ profectò sunt, quæ ærumnæ vocantur Herculis.) *ab antiquioribus: Inde pericula cum allusione nominantur.*

Sustinuisse.) *contingentia, mæsta perferre.*

Diuina verba.) *Quæ videntur quidem fabulosa, sed mystica ac diuiniora sunt. Nam fabulæ videntur narrare Eurystheum Herculi iniunxisse & imposuisse tales ærumnas, pericula & necessitates: At mystica arcanáque verba altius meditando explicandóque ea quæ dicuntur in aliam transferunt significationem.*

B Si quis alius.) *Herculi compar.*

Constanter.) *fortiter.*

Libertati animum adiecit, & eam aggrediatur.) *injiciat, admoueat manum, & constanter decertet, vt fiat libertatis compos.*

Naturæ manus & vires.) *hoc est, naturalis huius mundi à natura gubernati.*

Tumultus.) *debilis ac languidus insultus.*

Et opus est.) *necessitas est.*

Despicit.) *materia.*

Velut aliena.) *velut reluctantia eius generositati.*

C Doliis.) *Homerus in ω Iliados his de rebus disserit, verba faciens de Priamo filium Hectorem desiderante: his versibus,*

Dolia namque Iouis duo stant in limine, plena
Muneribus, quæ donat: in hoc mala sunt, bona in illo.
Iuppiter huic miscens largitur fulmine lætus,
Nunc mala dispensans ac tristia, nunc bona rursum.
At si cui ex diris infuderit, ille grauatur,
D Et male suada fames agitat vexátque vagantem:
Nec Deus hunc nec mortales dignantur honore.

Latenter.) *obductè, occultè.*

Partes esse duas.) *Omnia enim materialia opera quæcunque sunt in hoc naturali mundo ex generatione & corruptione constituto bifariam diuiduntur. Nam quibusdam sorte adueniunt quæ bona & expetenda præclara sunt, quibusdam verò ex aduerso mala. Præterquam quòd bona rara, mala frequentia sunt.*

Et Iupiter ipsi.) *Homero, in illa versuum Homericorum parte, vbi istud dicit.*

Καλούμεναι.) παρὰ τῶν παλαιοτέρων· ἐντεῦθεν παρονομάζονται πειρασμοί.

Ανατλῆναι.) τὰ συμπίπτοντα, λυπηρὰ ὑπομεῖναι.

Ιεροὶ λόγοι.) οἱ δοκοῦντες μὲν μυθικοὶ, ὄντες δὲ μυστικοὶ καὶ θειότεροι. οἱ μὲν γὰρ μῦθοι Εὐρυσθέα δοκοῦσι φάσκειν ἐπιτάττειν τῷ Ηρακλεῖ, καὶ ἐπιφέρειν τὰς τοιαύτας πείρας καὶ ἀνάγκας· οἱ δὲ μυστικοὶ λόγοι ἀναγωγικῶς ἀναπτύσσοντες τὰ λεγόμενα ἐφ' ἕτερον φέρουσι νοῦν.

Ετερος.) ὁμοίως τῷ Ηρακλεῖ.

Τὸ καρτερόν.) ἰσχυρῶς.

Επεχείρησεν.) ἐπέβαλε χεῖρα καὶ ἠγωνίσατο καρτερῶς, ὥστε ἐλευθερωθῆναι.

Αἱ χεῖρες.) ἤγουν τοῦ φυσικοῦ τούτου κόσμου, τοῦ ὑπὸ φύσεως διοικουμένου.

Τὸ ἅλμα.) τὸ πήδημα ὡς ἀσθενές.

Καὶ δεῖ.) χρεία ἐστί.

Αφειδεῖ.) ἡ ὕλη.

Ως ἀλλοτρίων.) ὡς ἀποσκιρτησάντων ἐκ τῆς γνησιότητος αὐτῆς.

Τῶν πίθων.) Ομηρος περὶ τὸ ω μέγα τῆς Ιλιάδος διαλαμβάνει περὶ τῶν τοιούτων ὁμιλῶν τῷ Πριάμῳ, ὀδυρομένῳ περὶ τοῦ υἱοῦ αὐτοῦ Εκτορος· ἔχει δὲ οὕτως.

Δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει,
Δώρων οἷα δίδωσι κακῶν, ἕτερος δὲ ἑάων.
Ω μὲν καμμίξας δώῃ Ζεὺς τερπικέραυνος,
Αλλοτε μέν τε κακῷ ὅγε κύρεται, ἄλλοτε δ' ἐσθλῷ.
Ω δέ κε τῶν λυγρῶν δώῃ, λωβητὸν ἔθηκε,
Καί ἑ κακὴ βούβρωστις ἐπὶ χθόνα δῖαν ἐλαύνει,
Φοιτᾷ δ' οὔτε θεοῖσι τετιμένος.

Απορρήτ.) κεκαλυμμένως.

Μερίδας.) τὰ γὰρ ὑλικὰ πάντα πράγματα ὅσα ἐν τῷδε τῷ φυσικῷ κόσμῳ τῷ ἐκ γενέσεως καὶ φθορᾶς συνισταμένῳ, εἰς δύο μερίζονται. τὰ μὲν γὰρ αὐτῶν κληροῦνται τὰ καλά· τὰ δὲ τοὐναντίον τὰ κακά· πλὴν τὰ καλὰ σπάνια, τὰ δὲ κακὰ πολλά.

Αὐτῷ κατ.] τῷ Ομήρῳ, κατ' ἐκεῖνο τὸ μέρος τῶν ἐπῶν τῶν Ομηρικῶν ἔνθα τοῦτό φησι.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὑλάρχιος.] ἐπεὶ γὰρ διανομέα ποιεῖται τὸν Δία ὁ Ὅμηρος ἐν τοῖς ἔπεσι τῶν τε ἀγαθῶν καὶ τῶν κακῶν, ὧν εἶχον οἱ πίθοι· τοῦτο δὲ ὑλικῆς ὑπηρεσίας ἐστίν, ὥσπερ ἐπιτατλούσης τῆς εἱμαρμένης ἀφ' ὑψηλοτέρου· ἔοικεν ὅτι ὑλάρχιον καὶ ὕλης ἄρχοντα ποιεῖται τοῦτον.

Τοῦ διπλοῦ.] τοῦ διπλοῦ ὡς τοῦ ἐκ δύο πίθων.

Ἐν πλάνῃ.] ὑπάρχουσι τῇ ψυχῇ.

Ἀναδραμούσῃ.] ἀλλὰ παχυνθείσῃ καὶ μεινάσῃ κάτω πρὸς τὴν ποικιλίαν τῆς ὑλικῆς προσπαθείας. αὕτη γὰρ δὴ ἡ ὑλικὴ προσπάθειά ἐστιν ἡ κωλύουσα ἀναδραμεῖν εἰς τὴν τῶν ὑπερκοσμίων χώραν, ὅθεν καὶ τὴν πρώτην ἐποιήσατο κάθοδον.

Θέα δή.] ὅρα. γράφεται θεῷ, ὃ καὶ κρεῖττον τοῦ θέα, ταυτοσήμαντον ὄν.

Ἐμπολιτεύεται.] ὡς εἰρήσεται.

Ἔλεγεν ὁ λόγος.] ὁ Αἰγυπτιακὸς καὶ ἱερός.

Ἐγκύρσῃ.] ἐμπέσῃ.

Μελαναυγεῖ.] τῷ ἀμφοτέρωθεν σκοτεινῷ.

Ἀμφικνεφεῖ χώρῳ.] ἀμφικνεφῆ χῶρόν φασιν Αἰγύπτιοι, καὶ Χαλδαῖοι, τὸν ὑπὸ τὴν σεληνιακὴν σφαῖραν κόσμον ἀμφοτέρωθεν σκοτεινόν· λέγουσι δὲ τὸν ἐν αὐτῇ τῇ σεληνιακῇ σφαίρᾳ, ἑτεροκνεφῆ καὶ ἑτεροφαῆ, τοῦτ' ἔστι τῷ μὲν ἡμίσει μέρει λάμποντα· τῷ δὲ ἡμίσει ὄντα ἀφώτιστον. καὶ γὰρ καὶ αὐτὴ ἡ σελήνη τοιαύτη ἐστίν, ἔχουσα ἀεὶ τὸ μὲν ἥμισυ τὸ πρὸς ἥλιον τετραμμένον μέρος αὐτῆς πεφωτισμένον, τὸ δ' ἕτερον, ἀφώτιστον ἀναλόγως κατὰ τὰς ἀεὶ μεταβαλλομένας αὐτῆς περιόδους καὶ περιφορὰς, καὶ στροφὰς παντοίας· τὸν δὲ ὑπὲρ τὸν σεληνιακὸν τόπον ἄχρι τῆς ἀνωτάτω καὶ πάντα περιεχούσης σφαίρας, κόσμον φασὶν ἀμφιφαῆ, τοῦτ' ἔστιν ἀμφοτέρωθεν πεφωτισμένον ἀεί.

Χώρῳ.] τῷ περιγείῳ τῇ ψυχῇ.

Συνέπεται.] τὸ φανταστικὸν πνεῦμα.

Εἰς πλεῖστον.] φησὶ δὲ καὶ ὁ Πλάτων ἐν τῷ Φαίδρῳ, ὅτι θεσμὸς Ἀδραστείας ὅδε· ἥ τις ἂν ψυχὴ θεῷ ξυνοπαδὸς γενομένη, κατίδῃ τι τῶν ἀληθῶν, μέχρι τε τῆς ἑτέρας περιόδου εἶναι ἀπήμονα, κἂν ἀεὶ τοῦτο δύνηται ποιεῖν, αἰεὶ ἀβλαβῆ εἶναι· ὅταν δὲ ἀδυνατήσασα ἐπισπέσθαι μὴ ἴδῃ, καί τινι συντυχίᾳ χρησαμένη λήθης τε καὶ κακίας πλησθεῖσα βαρυνθῇ· βα-

A Deus est materiæ princeps.) *Quandoquidem dispensatorem fecit Iouem Homerus in illis versibus bonorum & malorum, quæ dolia continebant. Istud porrò obseruantiæ materialis est, velut imperantis fati ab altiore: videtur materiæ principem ac moderatorem hunc facere.*

Duplicis doni fatalis.) *gemini, velut è duobus doliis emergentis.*

In errore est.) *qui adest animo.*

Post primum lapsum minimè recurrente.) *verùm saginato & permanente in imis partibus iuxta versutiam affectionis in materia tenaciùs inhærentis: ea siquidem materialis ac vehemens affectio est quæ prohibet recurrere in*
B *regionem supra hunc caducum mundum sitam, vnde primum fecerat egressum.*

Θεῖα δή.) *melius scribitur.* θεῷ ἃ θάομαι, *quod commodius est quàm* θέᾳ, *quamuis idem significet.*

Versatur.) *vt dicetur.*

Dicebat oratio.) *Aegyptia & sacra.*

Quousque incidat.) *irruat.*

Tenebrosum.) *omni ex parte vmbrosum.*

Vndique caliginosum.) *Quauis ex parte nebulosum locum inquiunt Aegyptij & Chaldæi mundum sublunari sphæra comprehensum,*
C *ex vtroque latere tenebricosum. Asserunt autem locum in ipso lunari circulo situm, partim obscurum, partímque dilucidum, id est, dimidia parte splendentem, dimidia verò lucis expertem. Ipsa quippe luna talis est, semper habens dimidiam sui ipsius partem ad solem conuersam & illustratam, alteram verò splendore lucis vacuam, facta proportione iuxta ipsius perpetuò mutantes conuersiones, circuitus, & varios flexus. Sed locum supra lunam collocatum vsque ad supremam & omnia vndique amplectentem sphæram, mundum dicunt omni ex parte lucidum, id est, hinc & illinc perpetuo & immortali lumine collu-*
D *stratum.*

Locum.) *terræ proximum quoad animum.*

Comitatur.) *spiritus fantasticus.*

Maximè oppositum.) *Ait Plato in Phædro*, eam esse Adrastiæ ceu numinis ineuitabilis legem: vt quæcunque anima Deum comitata aliquid verorum inspexerit, ea vsque ad alium circuitum sit indemnis: & si semper hoc facere queat, sit semper illæsa, si verò impotens assequendi non aspexerit, & casu aliquo vsa obliuione atque prauitate repleta grauetur, grauata porrò pen-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

nas confregerit & amiserit in terrámque deciderit: tunc prohibet lex hoc & illud. *quære id quod deinceps sequitur.*

Oppositum venerit.) *vsque ad lunarem globum: Quod enim ei opponitur, est vndique tenebrosus mundus, qui vsque ad hunc peruenit: sed oppositum dicit respectu circumlucentis & quauis ex parte fulgentis.*

Non in eminenti atque sublimi loco purgamentum ac sordes materiæ relinquet.) *Materiæ purgamentum vocat, quod fantasia descendens è supernis circulis emendicauerit à naturalibus elementis ignis & aëris. Igitur neque istud, ait, relinquere fas est in loco prærupto & eminenti, nempe in mundo vndique obscuro & tenebricoso, sed sursum trahere oportet temperantiæ, continentiæ ac reliquarum virtutum auxilio, & ad æthereum reducere mundum. Quandoquidem naturæ & idolo pars est in loco vndique fulgente. Idolum autem spiritum fantasticum nominat, veluti congenitum potentiæ animi, quæ rationis est particeps: minor verò illa est. Quemadmodum enim simulachrum & imago Dei quidem est mens, mentis verò anima rationalis: Sic anima rationis expers, hoc est, spiritus fantasticus simulachrum & imago est animi ratiocinandi & intelligendi vi præditi. Ergo quemadmodum huius spiritus fantastici idolum natura est, id est, anima naturalis, & huius rursum corpus, & iterum corporis materia: Proinde etiam proportionem quandam obtinet studiosam ac familiarem, ait, fantasia ad ea quæ sibi ex vtraque parte quadam communione & affinitate sunt copulata, & secum ad eundem finem tendentia. Quocirca non solùm ab anima rationali sursum, verumetiam deorsum à naturalibus, elementis, de quibus loquitur, descendens emendicauit, ignem dico & aërem.*

Purgamentum.) *cum extenuatione ita loquitur.*

Pars est.) *sors.*

Is autem. *vndique luminosus.*

Non enim solam.) *Non enim solam spiritus fantastici naturam reducere in mundum supremum admonet propter congruam ac decentem purgationem: sed etiam si quid è fastigio ignis aut aquæ assumpserit, quod certè materiæ purgamentum dixit, etiam istud vna referendum censet.*

Imaginariam naturam.) *fantasticam.*

Terrenum.) *Quod quidem supra ostreorum vocabat inuolucrum, nunc terrenum dicit integumentum corpus.*

Diuinum corpus.) *Spiritus fantasticus, quod supra corpus primum animæ dixit, nunc autem diuinum corpus istud vocat.*

A ῥωθεῖσα δὲ περιρρυήσῃ τε καὶ ἐπὶ τὴν γῆν πέσῃ, τότε νόμος, τὸ καὶ τό. ζήτει καὶ τὸ ἑξῆς.

Τὸ ἀντικείμενον ἥκει.] Μέχρι τῆς σεληνιακῆς σφαίρας. τὸ γὰρ ἀντικείμενον τοῦτ' ἔστιν ὁ ἀμφικνεφὴς κόσμος, μέχρι τούτου· ἀντικείμενον δὲ λέγει ὡς πρὸς τὸν ἀμφιφαῆ.

Κρημνῷ.] ὕλης σκύβαλον, φησίν, ὅπερ ἡ φαντασία κατιοῦσα ἐκ τῶν ἄνω σφαιρῶν ἠρανίσατο ἐκ τῶν φυσικῶν στοιχείων πυρὸς καὶ ἀέρος. οὐδὲ τοῦτο οὖν, φησί, καταλιπεῖν χρὴ ἐν τῷ κρημνῷ, τοῦτ' ἔστιν ἐν τῷ ἀμφικνεφεῖ τούτῳ κόσμῳ, ἀλλ' ἀνελκύσαι δι' ἐγκρατείας τε
B καὶ τῶν ἄλλων ἀρετῶν, καὶ πρὸς τὸν αἰθέριον ἀναγαγεῖν κόσμον· ἐπεί ἐστι φύσει καὶ εἰδώλῳ μερὶς εἰς τόπον ἀμφιφάοντα. εἴδωλον δέ φησι, τὸ φανταστικὸν πνεῦμα, ὡς συμφυὲς μὲν τῇ λογικῇ· ἧττον δὲ ἐκείνης τυγχάνον. ὥσπερ γὰρ εἴδωλον μὲν εἴη καὶ εἰκὼν τοῦ Θεοῦ μὲν ὁ νοῦς, τοῦ νοῦ δὲ ἡ λογικὴ ψυχή· οὕτω καὶ ἡ ἄλογος ψυχή, τοῦτ' ἔστι τὸ φανταστικὸν πνεῦμα, εἴδωλον καὶ εἰκών ἐστι τῆς λογικῆς ψυχῆς. ὥσπερ οὖν τούτου δὴ τοῦ φανταστικοῦ πνεύματος εἴδωλόν ἐστιν ἡ φύσις, τοῦτ' ἔστιν ἡ φυσικὴ ψυχή, ταύτης δ' αὖ τὸ σῶμα, τοῦ δὲ σώματος αὖθις ἡ ὕλη· καὶ λό-
C γον δ' οὖν ἔχει τινά, φησί, σχετικὸν ἡ φαντασία πρὸς τὰ ἑκατέρωθεν κοινωνοῦντα αὐτῇ, καὶ εἰς ἓν τελοῦντα αὐτῇ, ἤγουν οὐ μόνον πρὸς τὴν λογικὴν ψυχὴν ἄνω, ἀλλὰ καὶ κάτω πρὸς τὰ φυσικὰ στοιχεῖα, ἅπερ, φησίν, ἠρανίσατο κατιοῦσα, πῦρ λέγω καὶ ἀέρα.

Σκύβαλον.] εὐτελίζων οὕτω φησί.

Μερίς.] καὶ κλῆρος.

Οὗτος δέ.] ὁ ἀμφιφαής.

Οὐ γὰρ μόνην.] οὐ γὰρ μόνην τὴν τοῦ φαν-
D ταστικοῦ πνεύματος φύσιν ἀνάγειν παραινεῖ εἰς τὸν ἄνω κόσμον διὰ καθαρμοῦ προσήκοντος, ἀλλὰ καὶ εἴ τι ἐκ τῶν ἄκρων πυρὸς καὶ ὕδατος προσειλήφει, ἃ δὴ καὶ ὕλης σκύβαλον ἔφησε, καὶ τοῦτο συναναφέρειν κελεύει.

Τὴν εἰδωλικήν.] φανταστικήν.

Τὸ γήϊνον.] ὅπερ ἀνωτέρω ὀστρεῶδες ἔφη περίβλημα, νῦν ἔγγειόν φησι κέλυφος τὸ σῶμα.

Τὸ θεσπέσιον.] τὸ φανταστικὸν πνεῦμα, ὃ σῶμα πρῶτον ψυχῆς ἀνωτέρω μὲν εἶπε, νῦν δὲ καὶ θεσπέσιον σῶμα τοῦτό φησι.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A Pag. 143. Καὶ εἰς ἕν.) εἰς μίαν φύσιν συνυπῆρξαντα.

Ἐκ γειτόνων.) καὶ μάλιστα ἐκεῖνα λόγον ἔχοιεν, φησίν, οἷς ἐκ γειτόνων καὶ ἐγγύς ἐστιν ἡ θέσις τῆς χώρας καὶ ἐφεξῆς, καθάπερ ἐστὶν ἐγγὺς, καὶ ἐφεξῆς κατὰ συνέχειαν τὸ στοιχειακὸν πῦρ τῷ κύκλῳ καὶ αἰθερίῳ σώματι, καὶ οὐκ ἀφίστανται ὥσπερ ἀφίσταται τοῦ αἰθέρος ἡ γῆ, ἥτις ἐστὶ τῶν ὄντων τὸ ἔσχατον, ἅτε παχύτερον ὂν τῶν ἄλλων στοιχείων, καὶ κατώτερον.

Πῦρ.) τὸ στοιχειακόν.

B Εἰ δὲ τὰ κρείττω.) Εἰ δὲ ἡ ψυχὴ καί τοι κρείττων οὖσα τοῦ σώματος, ὅμως κατεδέξατο τὴν κοινωνίαν τοῦ σώματος, καὶ συνετέλεσεν αὐτῷ διὰ μέσου τοῦ φανταστικοῦ, καὶ μετέδωκε τῇ ἰλύϊ τοῦ κρείττονος καὶ τῆς ἀκηράτου φύσεως, ὅσον μετέχει τοῦ χείρονος· ἐνδέχοιτο ἂν καὶ τὸ σῶμα, ἐὰν μὴ ἐμποδίζῃ τὴν φαντασίαν, καὶ ἀποσπᾷ ταύτην ἐκ τῆς συμφυΐας τῆς ψυχῆς, ἀλλὰ παρέχῃ καὶ ἑαυτὸ εὐήνιον καὶ καταπειθὲς αὐτῇ, ἀνάγεσθαι πρὸς θειοτέραν καὶ ὑψηλοτέραν κατάστασιν. ὥσπερ γὰρ ἡ φανταστικὴ ψυχὴ ῥέψασα πρὸς τὰς σωματικὰς προσπαθείας, παχύνεται καὶ (C) γίνεται πρὸς σωματικωτέραν κατάστασιν, οὕτω καὶ τὸ σῶμα ῥέψαν πρὸς θεωρίαν διὰ τῆς φαντασίας, λεπτύνοιτο ἂν καὶ συνεξαιθεροῖτο τῇ νοερᾷ ψυχῇ, διαβαῖνον τὴν τῶν στοιχείων ἀκρότητα, ἣν καὶ ἀμφικνεφῆ χῶρον ἔφησεν ἀνωτέρω· λέγει δὲ τὸν ἀπὸ τῆς γῆς διήκοντα μέχρι τῆς σεληνιακῆς σφαίρας, τὸν ἐκ τῶν τεσσάρων στοιχείων συγκείμενον. ἀπὸ γὰρ τῆς σεληνιακῆς σφαίρας ἄρχεται ἡ κυκλικῶς κινουμένη οὐσία καὶ φύσις ἄχρι τῆς ἀνωτάτω καὶ πρώτης σφαίρας τῆς περιεκτικῆς, ἣν καὶ ἀμφιφαῆ κόσμον φησίν. οἱ μέν τοι παλαιότεροι τῶν Ἑλλήνων, καὶ αὐτὰ (D) τὰ τῶν τεθνεώτων τὰ σώματα ἔκαιον, οἱονεὶ τῇ ψυχῇ συνεξαιθεροῦντες ταῦτα.

Εἰ δὲ τὰ κρείττω.) ἅπερ εἰσὶν ἡ λογικὴ ψυχὴ καὶ ἡ αἴσθησις τοῖς ὑλαίοις στοιχείοις ὑποχωρήσαντα.

Συνετέλεσεν.) συνυπῆρξε.

Ἰλύν.) τὴν ψυχὴν καὶ τὸ φανταστικὸν πνεῦμά φησι.

Παραχωρηθέντος.) ὑπὸ τῆς ὕλης.

Τὰ χείρω.) ἤγουν πῦρ καὶ γῆ, καὶ ἐξ ὧν τὸ σῶμα.

Et in vnum tendunt.) *in vnam naturam coalescunt.*

Quibus regio est finitima.) *& potissimum, inquit, illa proportionem habuerint, quibus è finitimis & in propinquo est positio regionis & gradatim: Quemadmodum in propinquo est, & seruato ordine iuxta cohærentiam ignis elementalis circulo & æthereo corpori, neque disiunguntur, sicuti distat ab æthere terra, quæ quidem postrema & infima est eorum quæ sunt in rerum natura, crassior nimirum cùm sit & cæteris elementis inferior.*

Ignis.) *elementalis.*

Quòd si præstantiora.) *Quòd si anima quanquam nobilior est corpore, tamen communionem corporis admiserit, & cum eo peregerit propter intermediam imaginationem, ac distribuerit fæci aliquid melioris & immortalis naturæ, quantùm est particeps deterioris, etiam corpus receperit, nisi imaginationem coerceat, eique sit impedimento, & ipsam euellat à congenita insitáque anima, sed exhibeat seipsum morigerum eidémque obsequens, vt reducatur ad diuiniorem sublimiorémque conditionem. Quemadmodum enim anima fantastica vergens ad corporis vehementioris affectiones, crassescit, ac redigitur in magis corpulentam conditionem: sic etiam corpus vergens ad contemplationem imaginationis beneficio, gracilescit extenuatúrque & æthereum efficitur, propter animam intelligendi vi præditam, descendens per elementorum summitatem ac fastigium, quam vndique nebulosam regionem dixit suprà. Dicit autem eum qui è terra peruenit vsque ad lunarem circulum, ex quatuor elementis compositum esse. Nam à globo lunari exorditur substantia & natura quæ motu orbiculari mouetur vsque ad supremam primámque sphæram omnia complectentem, quam mundum vndique perlucidum asserit: Nam Græci antiquiores, ipsa etiam mortuorum corpora comburebant, haud secus atque si hæc etiam cum anima in ætherea regione collocarent.*

Quod si præstantiora.) *nobiliora excellentioráque illa sunt quæ se subtrahunt declinántque à materialibus elementis, vtpote anima rationalis, & sentiendi vis.*

Confert ad materiam.) *vnà præsto est ad limum & fæcem.*

Ad materiam.) *lege,* cœnum: *animam & spiritum fantasticum in vitiorum cœno, lutóque inuolutum intelligit.*

Velut sibi vendicatum ab eo cui concessum est.) *à materia nimirum.*

Inferiora.) *deteriora, vt ignis ac terra, & ea ex quibus corpus conflatum est.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Sed morem gerentia.) *Hæc ipsa vox est Platonica: Etenim ille deorum plaustra* εὐήνια *freno ductilia, habenásque audientia dicit, ideóque facilè iter ingredi.*

Sequentia.) *comitantia.*

Mediam naturam.) *fantasticam seu imaginatiuam.*

Primæ naturæ.) *animæ rationalis.*

Particulam.) *sortem.*

Ab elementis.) *Ea quæ de Minerua fabulosè diuulgata sunt, sapientiores Græci ita allegoricè explicant, & Mineruam aiunt animam esse. Iouem verò aërem: filiam Iouis esse commemorant generatam ex ipsius capitis vertice, nimirum è summa arce cœli, necnon simplicem & incorpoream. Tritogenian dicunt à triplici eius generatione: propterea quòd ipsa descendens è regione æthera assumit animi fortitudinem, & ante concupiscendi vim à luna: Luna enim sua natura humida est ac diffluens: ea de causa libidinum impostura propter ipsam contingunt. Deinceps ordine seruato ab elementis sibi vendicat corporis compositionem. Ista igitur Græci asserunt: alia verò Aegyptij atque Chaldæi. Sed quoniam eos ita dissidentes animaduertit Synesius, ait fidem illis partim detrahendam, & partim adhibendam esse.*

Corporea substantia.) *vide, rursus spiritum fantasticum corpoream substantiam dicit, quod supra corpus primum animæ, & diuinum corpus dixit, ac denuo corpus integrum & immortale.*

Substantia.) *nimirum spiritus fantasticus.*

Fieri omnino nequit.) *perarduum est pro dignitate illius.*

Simul eleuetur.) *quin simul ascendat.*

Globisque cœlestibus.) *de quibus prius descenderat.*

Extremæ.) *volens etiam de interpositis tractibus loqui, reiterat quæ prius dicta sunt, & refutat. Ait igitur extremas duas sedes, nimirũ huius vniuersi apices esse, vnam inferiorem vndique caliginosam, & alteram superiorem vndique luminosam: illam infelicem, hanc verò beatam. Sed quoniam immediatè opposita simul copulari non possunt, asserit hîc etiam in medio harum duarum sedium esse complures alios tractus inter se dissidentes, quos ex altera parte luminosos nominat, ex altera obscuros, videlicet participes sedium hinc & illinc collocatarum, & infra regionem vndique fulgentem. Verbi causa, quemadmodum intelligentia est in medio*

A Ἀλλ' εὐήνια.) καὶ ἡ λέξις αὕτη πλατωνική. τὰ θεῶν ὀχήματα γὰρ, ἐκεῖνος φησὶ εὐήνια ῥᾳδίως πορεύεσθαι.

Ὀπαδητήσαντα.) ἀκολουθήσαντα.

Τὴν μέσην.) τὴν φανταστικήν.

Τῆς πρώτης.) τῆς λογικῆς ψυχῆς.

Μερίδα.) κλῆρον.

Τῶν στοιχείων.) τὰ περὶ τῆς Ἀθηνᾶς μυθολογούμενα ἀλληγοροῦσιν οἱ σοφώτεροι τῶν Ἑλλήνων οὑτωσί, καὶ τὴν μὲν Ἀθηνᾶν φασὶν εἶναι τὴν ψυχήν, Δία δὲ τὸν ἀέρα· παῖδα λέγουσιν αὐτὴν εἶναι τοῦ Διός, γεννηθεῖσαν ἐκ τῆς αὐτοῦ κορυφῆς, ἤτοι ἐκ τῆς ἀκρότητος τοῦ οὐρανοῦ, καὶ ἁπλῆν οὖσαν καὶ ἀσώματον· B τριτογένειάν φασι, διότι κατιοῦσα, λαμβάνει μὲν ἐκ τοῦ αἰθέρος τὸ θυμικόν· τὸ δὲ ἐπιθυμητικὸν ἐκ τῆς σελήνης· ὑγρὰ τὴν φύσιν καὶ ἡ σελήνη καὶ διαρρέουσά ἐστι. διὰ γὰρ τοῦτο καὶ αἱ περὶ ἐρώτων μαγγανεῖαι πρὸς αὐτὴν γίνονται. εἶτα ἐφεξῆς ἐκ τῶν στοιχείων λαμβάνει τὴν τοῦ σώματος σύνθεσιν. ταῦτα μὲν οὖν φασὶν Ἕλληνες, ἄλλα δὲ Αἰγύπτιοι καὶ Χαλδαῖοι· ἐπεὶ δὲ διαφωνοῦντας οὕτω τούτους ὁ Συνέσιος ὁρᾷ, καὶ ἀπιστεῖν φησὶ καὶ πιστεύειν.

C Σωματικήν.) ὅρα, πάλιν τὸ φανταστικὸν πνεῦμα σωματικὴν οὐσίαν φησίν, ὃ ἀνωτέρω σῶμα πρῶτον ψυχῆς, καὶ θεσπέσιον αὖ σῶμα εἰρήκει, καὶ πάλιν σῶμα ἀκήρατον.

Οὐσίαν.) ἴσως τὸ φανταστικὸν πνεῦμα.

Οὐδεμία.) ἴσως ἀμήχανόν ἐστι κατὰ τὸ προσῆκον.

Συνεξαρθῆναι.) μὴ συνανελθεῖν.

Καὶ ταῖς σφαίραις.) ἀφ' ὧν πρότερον κατῆλθε.

Ἔσχαται.) βουλόμενος καὶ περὶ τῶν μεταξὺ χωρῶν εἰπεῖν. ἐπαναλαμβάνει τὰ εἰρημένα D καὶ ἀποτίθησι. φησὶν οὖν ὅτι ἔσχαται μὲν οὖν δύο λήξεις ἤτοι ἀκρότητες τοῦ παντός αὗταί εἰσιν, ἥ τε κάτω ἡ ἀμφικνεφής, καὶ ἡ ἄνω ἡ ἀμφιφαής· ἡ μὲν κακοδαίμων οὖσα, ἡ δὲ εὐδαίμων. ἐπεὶ δὲ ἐναντία ἀμέσως συνάπτεσθαι οὐ δύναται, φησὶν ὅτι κἀνταῦθα μεταξὺ τῶν δύο τούτων λήξεων, εἰσὶν ἕτεραι χῶραι πολλαὶ καὶ διάφοροι, ἃς ἑτεροφαεῖς ὀνομάζει καὶ ἑτεροκνεφεῖς, ἤτοι μετεχούσας τῶν ἑκατέρωθεν λήξεων καὶ πρὸ ἀμφιφαοῦς, οἷον ὥσπερ ἐστὶ μεταξὺ μὲν τοῦ νοῦ

καὶ τῆς ψυχῆς ἡ διάνοια· μεταξὺ δὲ ψυχῆς καὶ φαντασίας ἡ δόξα· μεταξὺ δὲ φαντασίας καὶ σώματος, ἡ αἴσθησις· καὶ εἰσὶν αὗται μεσότητες διήκουσαι δι' ἀλλήλων, ἀπὸ τοῦ σώματος ἄχρι τοῦ νοῦ, καὶ μετέχουσί πως ἅπασαι τῶν γειτνιούντων ἑκατέρωθεν, ὥσπερ καὶ ὁ ἀὴρ δύο ἔχων ἑκατέρωθεν ἀκρότητας, καὶ λήξεις, κατὰ μὲν τὴν ἄνω λῆξιν τὴν τῷ στοιχειακῷ πυρὶ πλησιάζουσαν, ἐστὶ θερμός, κατὰ δὲ τὴν κάτω καὶ περὶ τῷ ὕδατι, ὑγρός.

Τὰ ἄκρα.] τὰ χείρια.

Χώρας.] ἑτέρας λήξεις καὶ τόπους.

Τοῦ κόσμου.] περὶ τὴν σεληνιακὴν σφαῖραν.

Ψυχή.] ἐμοὶ δοκεῖ ἔτι ἐν τῷ σώματι οὖσα.

Τοῦ πνεύματος.] τοῦ φανταστικοῦ.

Εἴδη τε καί.] ὅπερ ἤδη γινόμενον φαίνεται ἐπὶ τῶν καθαρῶς καὶ ἀμέμπτως καὶ κατ' ἀρετὴν ζώντων ἀνθρώπων, καὶ νοερῶς. οὗτοι γὰρ κἂν τῇ γῇ ὄντες, αἰθεροδρομοῦντα κέκτηνται νοῦν.

Ἐπὶ τὴν οἰκείαν.] ἤγουν ἐπὶ τὴν οἰκείαν λῆξιν τὴν ἀμφιφαῆ.

Καταπεσοῦσα.] εἰς τὴν κάτω τὴν ἀμφικνεφῆ.

Καὶ ἀοριστ.] διαχέεται καὶ πλατύνεται εἰς τὴν ποικιλίαν τῆς ὕλης.

Μεταξὺ δέ.] ἤγουν τῇ μέσῃ λήξει καὶ χώρᾳ, τῇ ἑτεροκνεφεῖ καὶ ἑτεροφαεῖ.

Τῶν μέν.] τῆς τε εὐδαίμονος καὶ κακοδαίμονος λήξεως.

Τῶν δέ.] μέσων.

Γνωματεύσαις.] ἤγουν ἀποφήναις ἂν αὐτὴν τὴν ψυχὴν καὶ δαιμονίαν τινὰ φύσιν, τοῦτ' ἔστι παρὰ τοσοῦτον μετέχουσαν τοῦ κρείττονος, παρ' ὅσον ὑπερέχει τοῦ ὑλικοῦ χείρονος.

Pag. 144. Τάξει.] μεσότητος.

Παντῶς.] τελέως.

Θεῖον ἐστι.] τὸ τελέως.

Τοῦ θείου.] τὸ παραμικρόν.

Τὸ δέ γε πλεῖον.] τὸ γὰρ φανταστικὸν ἐκεῖνο τὸ πλανώμενον καὶ ψευδόμενον ἐν ταῖς προρρήσεσιν, ἀλήκτόν ἐστι, τοῦτ' ἔστι, λῆξιν οὐκ ἔχει, οὐδὲ τόπον· ὥστε ἀλήκτεον τὸ ἄτοπον, ἐμπαθῆ ἔχον καὶ φιλοτιμίαν ἀγεννῆ, καὶ τῶν ἀλινδουμένων εἰς τὴν ὕλην ἤτοι κυλιομένων· καὶ

A *mentis & animæ, in medio verò animæ & fantasiæ opinio: At in medio fantasiæ seu imaginationis & corporis, sensus est. Et ista sunt media mutuò inter se penetrantia & exporrecta à corpore ad mentem vsque, & participia sunt quodammodo omnia vicinorum ex vtroque latere. Quemadmodum aër vtrinque duas habens extremitates, & sedes, quoad supremum tractum elementari igni adiacentem calidus est, sed quoad inferiorem, iuxta aquam, humidus.*

Postrema.) *opportuna.*

Regiones.) *alios tractus & locos.*

B In mundi latitudine.) *circa lunarem globum.*

Viuit animus.) *opinor adhuc in corpore degens.*

Cum hoc spiritu.) *fantastico.*

Formas & mores. *Quod quidem iam contigisse videtur in purè, inculpatè & secundum virtutem & intelligentiam viuentibus hominibus: illi quippe etsi in terra sunt, mentem posident in cœlo vagantem.*

Ad propriam generositatem.) *velut ad propriam ac domesticam sortem, omni ex parte luminosam.*

Delapsus.) *in hæreditatem inferiorem vndique tenebrosam.*

C Inordinatus efficitur.) *diffluit ac dilatatur in materiæ varietatem.*

In medio verò cùm sit.) *nimirum in media sorte & regione ex altera parte obscura & ex altera luminosa.*

In luminosam.) *felicis & inauspicatæ sortus.*

Illa verò assequitur.) *quæ media & interposita sunt.*

Discernere potueris.) *videlicet affirmaueris ipsam animam miram esse quandam naturam, quasi dicat, vsque adeo præstantioris est particeps, vt etiam eatenus exsuperet id quod in*

D *materia deterius est.*

In quolibet ordine.) *medij interiecti.*

Aut prorsus.) *absolutè.*

Diuinum est.) *perfectè, integrè.*

Quod autem est fallax.) *fantasticum illud, seu vis animi quæ citò imaginatur & apprehendit, fallax & mendax, in vaticiniis & oraculis, nunquam quiescit, id est, sortem non habet, neque locum: quocirca quiete & otio caret, quod absurdum est, affectu ignobili necnon sordida ambitione vexatum: & eorum est qui in materia voluuntur & euoluuntur.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Hinc Aristophanes poëta comicus ait in fabula Nubium, sub Phidippidæ somniorum coniectoris persona dicentis, Abige equum domum eiiciens. *quasi dicat, equum in tuas ædes abducito, vbi ipsum ad volutandum disposueris.*

Quod autem fallax est.) *vt genus dæmonum vaga errantiáque reddens vaticinia.*

Nunquam quiescit.) *Non habens sortem neque locum.*

Inuolutis in materia rebus indulgens.) *In materia terráque se volutantes dæmonas, terræ belluas vocant Chaldæi: sed in vita nostra affectibus plena, aiunt huiusmodi feras domicilij sedem habituras: Etenim naturæ & substantiæ vim sibi vendicant in affectibus talia dæmoniorum genera, & subsellium habent ordinémque materialem. Idcirco affectibus indulgentes ad talia dæmonum genera se conferunt, ac veluti iisdem conglutinantur, simile ad simile pertrahentes, mouendi atque concitandi vi præditi propter affectus.*

Inuolutis in materia rebus indulgens.) *genus dæmoniorum intelligit se in luto & materiæ sordibus volutantium.*

Ita enim.) *propter pœnitentiam.*

Ita subrepit & induit subterraneum deum.) *subterraneam dicit intermediam felicis & infelicis sortis naturam, quam etiam inauspicatam paulò ante dixerat. Ait igitur infelicem & miseram illam naturam ita subrepere ac se insinuare in Dei & antiquioris dæmonis fauorem, qui sibi vicinus sit: sed sublimiora euolant & apprehendunt in superiore hæreditate instructam & apparatam puræ ac diuiniori naturæ regionem.*

Naturæ capaciori.) *Ista quidem Platonis opinioni proxima sunt, nec minus Plotini. Ait enim Plotinus*, Omnes mortales à principio prius sensu quàm mente & intelligentia vsos fuisse, & cum rebus sub sensum cadētibus prius commerciū habuisse, prima & extrema eadem reputauisse, & quod in ipsis molestum & suaue esset, illud quidem malum, hoc verò bonum suspicātes, sufficere opinati sunt, si hoc consectarentur, illud autem euitarent & auerterent: Et hęc industria eis legitima solemnísque fuit, imitatis auibus grauibus & onerosis, quæ multa accipientes è terra, & pondere oppressæ, in altum euolare nequeunt. Qui porrò aliquantum pendent ab inferioribus ac terrenis rebus, seipsos erigentes à suauitate ac deliciis ad id quod melius & præstantius est in anima: cùm saltem minimè possunt cernere quod supernum ac cœleste est, rursum delapsi

A Ἀριστοφάνης ὁ κωμικός φησιν ἐν τῷ δράματι τῶν Νεφελῶν, ὡς ἐκ τοῦ Φειδιππίδου ὀνειροπολοῦντος καὶ λέγοντος, ἄπαγε τὸν ἵππον ἐξαλίσας οἴκαδε, τοῦτ᾽ ἔστιν, ἄπαγε τὸν ἵππον οἴκαδε, κυλιεθῆναι παρασκευάσας αὐτόν.

Τὸ δέ γε πλάνον.) γένος τῶν δαιμόνων πλανητικὰς ποιούμενον τὰς παρρήσεις.

Ἀληκτικόν ἐστι.) οὐκ ἔχον λῆξιν καὶ τόπον.

Τῶν ἀλινδουμένων.) τοὺς εἰς ὕλην καὶ γῆν καλινδουμένους δαίμονας, θῆρας χθονὸς Χαλδαῖοί φασι· τὴν δὲ ζωὴν ἡμῶν πλήρη γενομένην παθῶν, φασίν, οἱ τοιοῦτοι θῆρες οἰκήσουσι. B καὶ γὰρ οὐσίωνται ἐν τοῖς πάθεσι τὰ τοιαῦτα τῶν δαιμόνων γένη, καὶ τὴν ἕδραν ἔχει καὶ τὴν τάξιν ὑλικήν. διὸ καὶ οἱ ἐμπαθεῖς πρὸς ταῦτα ἔρχονται καὶ οἱονεὶ συγκολλῶνται τῷ ὁμοίῳ τὸ ὅμοιον ἐφελκόμενοι, κινητικὴν ἔχοντες δύναμιν ἐκ τῶν παθῶν.

Ἀλινδουμένων.) κυλιομένων δαιμόνων.

Ταύτη γάρ.) οὕτως διὰ μετανοίας.

Τὸ σίρραιον.) σίρραιον λέγει τὴν μεταξὺ τῆς εὐδαίμονος καὶ κακοδαίμονος μοίρας φύσιν, ἣν C καὶ δαιμονίαν φύσιν μικρῷ πρόσθεν εἰρήκει. Φησὶν οὖν ὅτι οὕτως ὑποδύεται ἡ δαιμονία αὕτη φύσις, καὶ Θεὸν καὶ πρεσβύτερον δαίμονα, γείτονα μὲν ὄντα, ὑψηλότερα δὲ, καὶ ἵπταται καὶ καταλαμβάνει τὴν ἐν τῇ ἀνωτέρᾳ λήξει εὐτρεπισθεῖσαν τῇ καθαρᾷ φύσει καὶ θειοτέρᾳ χώραν.

Τῇ φύσει.) ταῦτα μὲν τῆς Πλάτωνος ἔχεται δόξης, οὐχ ἧττον δὲ καὶ τῆς τοῦ Πλωτίνου. Φησὶ γὰρ ὁ Πλωτῖνος, ὅτι πάντες ἄνθρωποι ἐξ ἀρχῆς αἰσθήσει πρὸ νοῦ χρησάD μενοι, καὶ τοῖς αἰσθητοῖς πρῶτον ὁμιλήσαντες, πρῶτα καὶ ἔσχατα ταῦτα ἐνόμισαν, καὶ τὸ ἐν αὐτοῖς λυπηρόν τε καὶ ἡδὺ, τὸ μὲν κακὸν, τὸ δὲ ἀγαθὸν ὑπολαβόντες, ἀρκεῖν ᾠήθησαν, εἰ τὸ μὲν διώκοιεν, τὸ δὲ ἀποτρέποιεν. καὶ σοφὸν τοῦτο αὐτοῖς ἐνομίσθη, κατὰ τοὺς βαρεῖς τῶν ὀρνίθων, οἱ πολλὰ λαβόντες ἐκ γῆς καὶ βαρυθέντες, ὕψου πτῆναι ἀδυνατοῦσιν· οἱ δὲ ἤρθησαν μὲν ὀλίγον ἐκ τῶν κάτω, κινοῦντες αὐτοὺς ἀπὸ τοῦ ἡδέος πρὸς τὸ βέλτιον τοῦ τῆς ψυχῆς κρείττονος, ἀδυνατήσαντες δ᾽ οὖν ἰδεῖν τὸ ἄνω, κατηνέχθησαν αὖθις

ἐπεὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐπὶ πράξεις σὺν τῷ τῆς ἀρετῆς ὀνόματι· A τρίτον δὲ γένος θείων ἀνθρώπων, δυνάμει τε κρείττονι καὶ ὀμμάτων ὀξύτητι εἶδε τὴν ἄνω αἴγλην, καὶ ἤρθη ἐκεῖ, οἷον ὑπὲρ νεφῶν τῆς ἐνταῦθα ἀχλύος, καὶ ἔμεινεν ἐκεῖ, τὰ τῇδε ὑπεριδὼν πάντα, ἡσθεὶς τῷ τόπῳ ἀληθινῷ καὶ οἰκείῳ ὄντι, ὥσπερ ἐκ πολλῆς τινὸς πλάνης εἰς πατρίδα εὔνομον ἀφικόμενος ἄνθρωπος.

Τάξιν αὐ.) τὴν κατάστασιν αὐτοῦ ὁποία ἐστὶ στοχασαίμεθα, ᾧ γὰρ ἀνθρώπῳ ἐστὶν ὑπονοήσαιμεν καὶ καταλάβοιμεν.

Τὸ φανταστικόν.) καθαρὸν τὸ φανταστικὸν B βλέπει τινὰ τῶν ἐσομένων.

Ὑπόσχεσιν.) ἤγουν εἰκασίαν καὶ ἐπαγγελίαν ἀπὸ στοχασμοῦ.

Τῆς ψυχῆς.) ὅσον ἐκ τοῦ σχήματος καὶ τοῦ ἤθους τῆς ψυχῆς.

Βελτίονος.) ὅτι εἰς εὐδαίμονα μοῖραν καταλήξει.

Οὐχ ἥκιστα.) μάλιστα δέ, φησί, θηρώμεθα καὶ καταλαμβανόμεθα ἀπὸ τῶν φαντασμάτων, ἅπερ ἐν τοῖς ὕπνοις προβάλλει τὸ φανταστικὸν πνεῦμα, ἤγουν περὶ ἃ καταγίνεται, καὶ στοχαζόμεθα ἐν ὁποίᾳ C καταστάσει καὶ διαθέσει τυγχάνει, ὥσπερ καὶ πρόσθεν εἰρήκει, ὅτι χρησμοί τε ὁμοφωνοῦσι περὶ αὐτοῦ τῇ ὄναρ φαντασίαις τὴν ἐκεῖ διεξαγωγὴν τῆς ψυχῆς προσεικάζοντες· στοχαζόμεθα δὲ ἀπλανῶς περὶ τούτων ὅτε, φησί, μὴ ἔξωθεν ὑφ᾽ ἑτέρου τινὸς κινεῖται, ἤγουν μὴ ὑπό τινος ἀσθενείας σώματος ἢ συμφορᾶς τινὸς λυπηρᾶς. καὶ γὰρ ὥσπερ οἱ διψῶντες ἐν ὕπνοις δοκοῦσι περὶ ποταμοὺς καὶ πηγὰς ὑδάτων ἐμφιλοχωρεῖν, οὕτω καὶ οἱ ῥιγῶντες περὶ πυρὰ καὶ θερμὰ λουτρά, καὶ οἱ ὑγροτέραν ἔχοντες τὴν κοιλίαν, περὶ ἰλυώδεις καὶ τελματώδεις καὶ καθύγρους D τόπους. ὁμοίως καὶ οἱ θανάτῳ στερηθέντες παῖδα ἢ σύζυγον, δοκοῦσιν ὁρᾶν αὐτοὺς ἐν τοῖς ὕπνοις, τῆς ἀδολεσχίας τοῦ λογισμοῦ πρὸς τὰ τοιαῦτα διατρίβειν πειθούσης τὸ φανταστικόν.

Ὑφ᾽ ἑτέρου.) ἤγουν ὅταν μὴ ὑπὸ πάθους τινὸς ἐπισυμβαίνοντος ἐνοχλῆται τὸ φανταστικόν, οἷον ὑπὸ ἔρωτος δηλαδὴ ἢ ὑπὸ δειλίας ἢ ὑπὸ πυρετοῦ, ἢ ἄλλης τινὸς ἀσθενείας. οἱ γὰρ τοιοῦτοι καὶ ἐγρηγορότες ἀπατῶνται καὶ καθεύδοντες. ὁ γὰρ ἐραστὴς ἀπό τινος σμικρᾶς ὁμοιότητος, δοκεῖ τὸν ἐρώμενον προ-

sunt ad actiones vna cum virtutis nomine. Tertium verò genus est hominum diuinorum, quod potentia meliori & oculorum acumine cognouit cœlestem splendorem, & illuc attollitur, veluti supra nubes eius quæ hîc est caliginis, illicque permanet, omnia quæ hîc in terris sunt despiciens, oblectatione delinitum, & voluptatem non mediocrem percipiens ex amœnitate genuini ac domestici loci, tanquam ex vehementi & assiduo quodam errore in patriam bonis ac sinceris legibus temperatam homo perueniens.

Constitutionem & situm.) *conditionem ipsius qualis sit conectura consequeremur.*

Cui spiritus fantasticus.) *pura & sincera imaginatio rerum futurarum nonnullas cernit.*

Is homo pollicitationem.) *habuerit à coniectura.*

Ad animi habitum.) *Quantum coniectari licet ex animi cultu & moribus.*

Melioris sortis.) *propterea quod felici parte ac sorte clauditur.*

Ac potissimum.) *Maximè, inquit, venamur & assequimur à spectris, quæ quidem in somniis promunt & obijciunt fantasticum spiritum, videlicet circa quæ versatur, & spectamus in quali statu & conditione est, vt supra dixit, quia oracula consentiunt in ipsius imaginationibus inter dormiendum apparentibus, illic animi pacificationem institutionémque æquiparantia. Conijcimus porrò citra aliquam elusionē ac imposturam his de rebus, ait, quando minimè extrinsecus ab altero quodam incitatur, vt à quadam corporis imbecillitate, aut acerba calamitate. Quemadmodum enim illi qui sitim explere cupiunt in quiete sibi videntur circum fluuios fontésque aquarum habitare: sic etiam rigentes prope ignem & calida balnea, & qui aluum humidiorem, in palustribus, lutosis & humidis locis. Consimili modo qui puero aut coniuge morte extinctis orbati sunt, in somniis ipsos videre sibi videntur, propter ambages & petulantiam cogitationis imaginationem in huiusmodi rebus commorari persuadentis.*

Ab alio extrinsecus minimè turbatur.) *vtpote quando propter aliquam occurrentem & insuper aduenientem animi commotionem non fatigatur vis animi imaginatrix, verbi gratia, ob libidinosum amorem, aut præ metu, aut febri, vel alia quauis imbecillitate & infirmitate naturæ. Nam huiusmodi homines à somno excitati in errorem inducuntur falluntúrque, etiam dormientes. Siquidem amator ob exiguam quandam similitudinem, videtur cernere vultum illius, cuius amore*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

captus est: Ac timidus similiter opinatur se cursu concitato impelli ab hostibus: simili ratione febricitantes in conturbatione & angustia commoti aspectus existimant animalia picta in parietibus videre. Tales igitur commotiones nunc prohibet, neque eas in imaginationis purum ac sincerum iudicium admittit.

Animalis spiritus.) *fantasticus seu imaginatiuus.*

Suggerente philosophia.) *philosophica, continenti & sobria viuendi ratione.*

Iuxta facultatem conuenienti speculatione intelligentem.) *scopum pertingente, & congruente.*

Procinctum.) *progressum.*

Pro viribus.) *quantum humanæ naturæ vires efficere possunt.*

Præueniendo.) *palmam illis præripiendo & præcidendo.*

Tolerare non posse.) *inuictum esse.*

Deterius.) *scilicet corpus.*

Quatenus.) *innuit somnum mediocrem, aquam, & panem angustum.*

Mentis conceptus.) *contrectatio, comprehensio, vt contemplatio.*

Quæ conspirant.) *instigantur.*

Aduersus spiritum.) *aduersus id quod maxime destruit & euertit imaginationem.*

Diuinum spiritum.) *spiritum Dei viuentis.*

Veluti quando.) *quemadmodum enim resoluta quædam & extenuata, producuntur & extenduntur, & ampliorem locum occupant, vt solida ea corpora quæ in vaporem facto nidore ac suffitu incensa sunt, si certè contingit contrariis in vnum adductis & crassioribus effectis. Cernuntur enim & contrahuntur in minutiorem pauciorémque aceruum, ac tenent minorem locum quàm prius, veluti etiam aër crassior & spissior in aquam vertitur, & in cumulum pauciorem contractiorémque adducitur. Et rursus aqua frigore concreta in glaciem. Sic igitur ait, spiritus fantasticus à mundi conditore formatus alioqui sufficiens & idoneus ad implendos cerebri sinus, si à contingente quadam pinguedine contrahatur in minorem aceruum, dicuntur esse quædam partes sinuum cerebri vacuæ. Deinde quoniam hoc non est in naturæ viribus, vt aliquid sit vacuum & inane in his quæ reuera supersunt & existunt, sequitur necessario vt nequam aliquis spiritus ingrediatur in eiusmodi loca inania & euacuata, à quo necessarium est animal vna cum imaginatione incommodo affici.*

In arctum simul redigitur.) *contrahitur in minorem aceruum.*

A σωπον ὁρᾷν, καὶ ὁ δειλὸς ὁμοίως δοκεῖ διώκεσθαι ὑπὸ πολεμίων, καὶ οἱ πυρέττοντες ὁμοίως, ἐν συγχύσει κινουμένης τῆς ὄψεως δοκοῦσι ζῶα γεγραμμένα ἐν τοῖς τοίχοις ὁρᾷν. τὰς γοῦν τοιαύτας κινήσεις ἀπαγορεύει νῦν καὶ οὐ παραλαμβάνει εἰς τὴν τοῦ φανταστικοῦ καθαρὰν κρίσιν.

Ψυχικόν.) φανταστικόν.

Φιλοσοφίας.) φιλοσόφου καὶ ἐγκρατοῦς διαίτης.

Ως.) ὅπως.

Επιβλητικήν.) τὴν ἐπιβάλλουσαν καὶ ἁρμόζουσαν.

B Προβολήν.) πρόοδον.

Δύναμις.) κατὰ δύναμιν.

Προλαμβάνοντας.) νικῶντας, προεκτέμνοντας.

Αχετον.) ἀληπτον.

Χείρονος.) ὑπὸ τοῦ σώματος.

Οσα.) ὕπνον μέτριον, ὕδωρ καὶ ἄρτον ὀλίγον.

Επιβολή.) ἐπαφή, κατάληψις, ἤως θεωρία.

Συνισαμένων.) ἤως τῶν ἐπανισαμένων.

Επὶ τὸ πνεῦμα.) κατὰ τοῦ φανταστικοῦ καταλυτικώτατον.

C Πνεῦμα.) τὸν Θεόν.

Ωσπερ ὅταν.) ὥσπερ γὰρ ἀναλυόμενά τινα καὶ λεπτυνόμενα, μηκύνονται καὶ πλατύνονται, καὶ πλείονα τόπον καταλαμβάνουσιν, ὡς καὶ τὰ εἰς ἀτμὸν ἐκθυμιώμενα τῶν στερεῶν σωμάτων, οὕτω δὴ τῶν ἐναντίων γὰρ συναγομένων καὶ παχυνομένων. συστέλλονται γὰρ εἰς ἐλάττονα ὄγκον, καὶ κατέχουσιν ἥττονα τόπον ἢ πρότερον, ὡς καὶ ὁ ἀὴρ παχυνόμενος καὶ γινόμενος ὕδωρ, εἰς ἐλάττονα τοῦ προτέρου ὄγκον συνάγεται, καὶ αὖ τὸ ὕδωρ πηγνύμενον εἰς κρύσταλλον. οὕτω τοίνυν, φησί, καὶ τὸ φανταστικὸν πνεῦμα διαπλασθὲν ὑπὸ τοῦ δημιουργοῦ αὔταρκες εἰς τὸ πληροῦν τὰς τοῦ ἐγκεφάλου κοιλίας, ἐὰν ὑπὸ συμβάσης τινὸς παχύτητος συσταλῇ εἰς ἐλάττονα ὄγκον, λέγεται εἶναι μέρη τινὰ τῶν κοιλιῶν τοῦ ἐγκεφάλου κενά. εἶτα ἐπεὶ οὐκ ἔστι τοῦτο τῇ φύσει δυνατὸν τὸ εἶναι κενόν τι ἐν τοῖς οὖσιν, ἕπεται ἐξ ἀνάγκης εἰσκρίνεσθαι ἐν τοῖς τοιούτοις κενώμασι πονηρόν τι πνεῦμα, ὑφ' οὗ πάσχει
D ἀνάγκη μετὰ τῆς φαντασίας τὸ ζῶον.

Συνεσταλθῇ.) συσταλῇ εἰς μείονα ὄγκον.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τοῖς οὖσι.) δόγμα γάρ ἐστι φιλόσοφον, ὅτι A οὐ κενόν.

Πλήρεις.) πεπληρωμένας.

Δίκη.) καταδίκη.

Ἐκεῖνο.) ὃ ἔφη νοερὰν ἐπιβολήν.

Εὐσεβείας.) τελειότης θεότητος.

Pag. 145. Ἡμεῖς μέν.) ἐνταῦθα ἐπανάληψιν ποιούμενος τῶν λεχθέντων ἀναφαίνει καὶ τὸν σκοπὸν τοῦ βιβλίου, ὅτι περὶ τῆς καθ᾽ ὕπνους μαντικῆς μὲν προεθέμεθα λέγειν, ὅμως ἀναγκασθέντες πολλήν τινα λόγον ἐποιησάμεθα καὶ περὶ τοῦ φανταστικοῦ πνεύματος ὡς ἡγουμένου καὶ ἀναγκαίου πράγματος ὄντος λεχθῆναι. B

Ἐπιβαλόμενοι.) ἐπιχειρήσαντες.

Ἐπὶ τούτῳ.) ἐπέκεινα τούτου.

Περιειργασάμεθα.) περιεργότερον διεξήλθομεν.

Τοῦ λόγου.) τῆς ἀποδείξεως.

Ἐνθάδε.) περὶ τὴν μαντικήν.

Ἐναπέφηνεν.) ἀπεφάνθη.

Πνεύματος.) φανταστικοῦ.

Εὐσεβείας.) ἐνθέου πολιτείας.

Αὐτὸ εἶναι.) τὸ φανταστικὸν πνεῦμα.

Διὰ τὸ τοιοῦτο.) διὰ τὴν μαντικήν.

Ἀπὸ φλεγμαινούσης.) τρυφώσης.

Ἄτυφον.) εὐτελῆ, ἐγκρατῆ.

Πυθοῖ.) ἐν.

Δεῖ.) ἐλλείπει.

Ὁ δέ.) οὗτος.

Καὶ τό.) τὸ διὰ τὴν ἔφεσιν τῆς μαντικῆς.

Ἐρασθῆναι.) εἰς τό.

Συναφθῆ.) αὐτῷ τῷ θεῷ.

Παρυφισάμενον.) ἑπόμενον.

Οὐδὲ γὰρ διά.) οὐδὲ γὰρ διὰ τὴν πρὸς Θεὸν οἰκείωσιν τῆς ψυχῆς, ἐλάττων ἂν ἔπειτα εἴη καὶ ἀτιμίας ἀξία ἡ ἐν τῇ μαντικῇ χρεία· ἀλλὰ μέχρις ἂν ἄνθρωπος διαμένῃ, χρήζει καὶ ταύτης.

Τῶν κρειττόνων.] ὥσπερ ἡ σελήνη παρὰ τοῦ ἡλίου φωτιζομένη τὸ προεστηκὸς πρόσωπον αὐτῆς ἐπιπολαιότερον ἔχει τὸ φῶς, καὶ οὐ συνανακιρνᾶται αὐτῷ διὰ τὸ πλεῖστον τῆς ἀποχῆς· ὅταν δ᾽ ἄρξηται

In ipsis rebus.) *dogma istud philosophicum est, scilicet, nihil inane & vacuum esse.*

Plena sint.] *completa.*

Pœna.] *condemnatio, mulcta.*

Hoc verò.] *quod vocauit intellectuale propositum & institutum.*

Pietatis.] *integritas & perfectio diuinæ prouidentiæ.*

Manes elicientium.) *Manium educendorum ars, euocandarum animarum scientia, & mortuorum euocatio, idem sonant. Sic porrò effertur vna eadémque res multis nominibus apud Græcos, quemadmodū ex aliis non pauca. Quod autem significatur tale est: nonnulli quibusdam imposturis & incantationibus vtentes, etiam alia monstrosa & prodigiosa faciunt, contendúntque defunctorum quorumcunque voluerint animas educere: itaque videntur per magica carmina & quasdam abiurationes animas adigere. Apparent enim, & ad interrogata respondent, sed ea quæ in conspectum veniunt non sunt defunctorum animæ, at dæmonia quædam, quæ certè priùs erant agmina angelica & lucida, deinde propter tumorem, fastum, eleuationem, superbiam & nequitiam in perpetuum disiecta ex illo cælesti ac diuino choro cœtúque, circa hunc terræ adiacentem tractum fallunt, hominésque seducunt, splendorem, lucem ac subtilitatem illam cùm semel repudiarint, eam cum obscuritate ac ignobilitate, & cum dissentienti crassitudine necnon versatili astutáque spissitate commutarunt. Ergo asserunt Græcorum & Chaldæorum sapientes ex ipsis nonnulla aëria esse, alia aquea & marina, alia terrena, alia verò subterranea: & quædam eorum nidore ac sacrificiorum vstura fumóque delectari, alia sanguine fuso, alia fœditate & quibusdam inquinamentis, alia denique aliis ac talibus magis. Nam eam ob causam fatidicus Apollo iubet, vt hi qui ad mortuorum euocationem accedunt, aliis sacrificiis vtantur, aliis verò qui ex aqua artes magicas exercent, aliis denique qui aëris vaticinandi artificium adhibent, & alij aliis superstitionibus vtantur. Nos quidem certè ista & permulta alia missa facientes, ad sermones nos conferamus eorum duntaxat veneficorum qui animas defunctorum eliciunt. Illi siquidem magica diuinandi arte circa mortuorum cadauera vtuntur.*

Ἡ δέ.) αὕτη.

Τὸ μέν τι.) ὅτι πρᾶξιν ἢ ἕκαστον.

Τί ἐστιν εἰπόντος.) προσθέντος καὶ τὴν ποιότητα ὅτι καλόν.

Ἐκπεφυκότας.) ὑπερανέχοντας.

Εἰς κυρίαν.) ὡρισμένην ἡμέραν.

Θυραυλῆσαι.) προσμεῖναι τῇ θύρᾳ· ἀπὸ τοῦ αὐλίζομαι.

Ἡ τύχη.) εὐθύς.

Πεπρέσβευκα.) εἰ μὴ διέκοψέ ποτε ἡ B πρεσβεία ἡ πρὸς τὸν βασιλέα Ἀρκάδιον.

Καὶ μέν.) ὅμως καὶ τότε.

Ψυχοπομπῶν.) ψυχοπομπία καὶ ψυχαγωγία καὶ νεκυομαντεία, τὸ αὐτό ἐστι. λέγεται δὲ οὕτω πολλοῖς ὀνόμασι πρᾶγμα ἓν παρὰ τοῖς Ἕλλησιν, ὥσπερ καὶ οὐκ ὀλίγα τῶν ἄλλων· ἔστι δὲ τὸ σημαινόμενον τοιοῦτον, μαγγανείαις τισὶ χρώμενοί τινες, καὶ ἄλλα μὲν τερατώδη ποιοῦσι, διατείνονται δὲ καὶ ψυχὰς ἀνάγειν νεκρῶν ὧν ἂν αὐτοὶ βούλωνται. δοκοῦσι μὲν οὖν ἀνάγειν ψυχὰς δι' ἐπῳδῶν, καὶ ἀφορκισμῶν τινῶν· φαίνονται γὰρ καὶ ἀποκρί- C νονται περὶ τῶν ἐρωτωμένων· ἀλλ' οὐκ εἰσὶ τὰ φαινόμενα ψυχαί, ἀλλὰ δαιμόνιά τινα, ἃ δὴ καὶ ἀγγελικὰ μὲν τάγματα ἦσαν τὸ πρότερον καὶ φωτεινά, εἶτα δι' ἔπαρσιν καὶ κακίαν ἅπαξ τοῦ θείου ἐκείνου ῥιφέντα χοροῦ, κατὰ τὸν περίγειον τοῦτον πλανῶνται χῶρον, τήν τε λαμπρότητα ἅμα καὶ τὴν λεπτότητα ἀποβεβληκότα ἐκείνην, καὶ μεταθέμενα πρός τε τὸ ἀμαυρόν, καὶ πρὸς πάχος διάφορον καὶ πολύτροπον. φασὶν οὖν Ἑλλήνων τε καὶ Χαλδαίων σοφοί, τὰ μὲν αὐτῶν εἶναι ἀέρια, D τὰ δὲ ὑδραῖα καὶ ἐνάλια, τὰ δὲ χθόνια, τὰ δὲ ὑποχθόνια· καὶ τὰ μὲν αὐτῶν χαίρειν κνίσσαις, τὰ δὲ αἵμασι, τὰ δὲ μολυσμοῖς τισί, τὰ δὲ ἄλλοις, καὶ ἄλλα ἄλλοις. διὰ γὰρ τοῦτο καὶ χρησμῳδὸς Ἀπόλλων, ἄλλαις μὲν χρῆσθαι θυσίαις τοὺς νεκυομαντείαν μετιόντας, ἄλλαις δὲ τοὺς ὑδρομαντείαν, ἄλλαις δὲ τοὺς ἀερομαντείαν, καὶ ἄλλως ἄλλους· ἡμεῖς μέντοι τὰ πολλὰ χαίρειν ἀφέντες, ἐπὶ τοὺς λόγους μετίωμεν μόνων τῶν ψυχοπομπῶν γοήτων. οὗτοι γὰρ καὶ τῇ νεκυομαντείᾳ χρῶνται.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τούτοις μὲν τοι καὶ ὁ χρησμῳδὸς Ἀπόλλων παρακελεύεται τάδε ποιεῖν. θυσίας, φησὶν, ἐναγίζων Νερτερείων κατάθαπτε, καὶ εἰς βόθρον αἷμα ἴαλλε· χεῦε μέλι νύμφαισι Διωνύσοιό τε δῶρα. οἷα δὴ καὶ ἡ τοῦ Ὁμήρου παρακελεύεται Κίρκη τὸν Ὀδυσσέα ποιεῖν, ἤτοι εἰς ᾅδην κατιόντα.

Βόθρον ὀρύξαι, ὅσον τε πυγούσιον ἔνθα καὶ ἔνθα.
Ἀμφ' αὐτῷ δὲ χοὴν χεῖσθαι πᾶσι νεκύεσσι·
Πρῶτα μελικρήτῳ, μετέπειτα δ' ἡδέϊ οἴνῳ·
Τὸ τρίτον αὖθ' ὕδατι, ἐπὶ δ' ἄλφιτα λευκὰ παλύνειν.
Αὐτὰρ ἐπὴν εὐχῇσι λίσῃ κλυτὰ ἔθνεα νεκρῶν,
Ἔνθ' ὄϊν ἀρνειὸν ῥέζειν, θῆλύν τε μέλαιναν·
Αὐτὸς δὲ ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ,
Ἧσθαι, μηδὲ ἐᾶν νεκύων ἀμενηνὰ κάρηνα,
Αἵματος ἆσσον ἴμεν, πρὶν Τειρεσίαο πυθέσθαι.

Λόγον δὲ ἔχει ταῦτα τοιόνδε. μέλι μὲν, διὰ τὸ ἀντίπαλον τῆς τοῦ θανάτου πικρότητος· γάλα δὲ, διὰ τὸ μέλαν τοῦ σκότους· οἶνον δὲ διὰ τὴν λύπην· ὕδωρ δὲ, διὰ τὸ ἐκ τεσσάρων στοιχείων συγκεῖσθαι τὸν ἄνθρωπον. ὄϊν δὲ, ὅτι, φησὶ, κοινὰ πέλει χθονίων καὶ ἐπιχθονίων τὰ τετράποδα· μέλαιναν δὲ, διὰ τὸ τοῦ τόπου σκοτεινόν· ξίφος δὲ, διότι ἔθος ἐστὶ τοῖς χρωμένοις δαιμονικαῖς μαγγανείαις, ξίφη κρατεῖν ὁποῖά τινα, μήπως βιαζόμενοι τοῖς ἀφορκισμοῖς καὶ ταῖς ἐπικλήσεσιν οἱ δαίμονες, κακόν τι δράσωσιν ἐξαίφνης εἰσπηδήσαντες ἐπὶ τὸν ἀφορκίζοντα καὶ ἐπικαλούμενον. διὰ τοῦτο τοίνυν ξίφη βαστάζειν ἀναγκάζονται, ἵνα δι' αὐτῶν

A *Et hos quidem sortilegus Apollo exhortatur ista peragere:* victimas, *inquit*, occidens, inferorum gratia desodito, & in scrobem sanguinem immittito. Funde mel nymphis ac Dionysij munera. *qualia iubet Homerica Circe Vlyssem facere, nimirum ad inferos descendentem.*

Cúmque huc appuleris, tunc heros siste carinam,
Effodiásque scrobem iubeo, cubitóque remensus,
In longum ducas, tantum quoque lata feratur.
B Omnibus hic fundas vmbris libamina supplex:
Primò mellitos succos, mulsúmque liquescens:
Dulcia deinde sacri feruentia vina Lyæi:
Tertia fac illis accedat & æquoris vnda.
His etiam canas addens confunde farinas,
Imbellésque vmbras genibus reflexus adora,
Et vanescentes animas in vota vocato:
C Si liceat patrios Ithacæ repetisse penates,
Te mactaturum sterilem promitte iuuencam,
Quæcunque excellat, quam tota armenta sequantur.
Extructámque pyram fructu cumulare benigno.
Te velle, æquoreæque Ithacæ Laërtis in arce.
Tiresiæ fac lætus ouem cum vellere pullo
Deuoueas, quicunque greges per pascua vincat.

Talem verò sensum hæc continent : Mel quidem, eò quòd veluti æmulum se ex aduerso obijcit mortis amaritudini: lac autem propter fuscum & nigricantem tenebrarum colorem : vinum ob angores & molestias: denique aquam, D *quandoquidem ex quatuor elementis homo constitutus est. ouem porrò dixit, quia communia fiunt subterraneorum terrestriúmque ea animalia quæ quatuor pedibus incedunt: nigram propter loci caliginem. gladium, propterea quòd mos est his qui incantationes dæmonicas adhibent, quoslibet gladios sub imperio tenere, ne fortè dæmones abiurationibus & inuocationibus violati repentino impetu quidpiam mali adferāt irruentes in abiurantem & euocantem. Eam ob rem gladios gestare coguntur, vt eorum*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

adminiculo illos perterrefaciant, neque sinant prope se accedere, sed à longe interrogati respondeant. Quoniam enim viuaces sunt spiritus, habéntque crassitudinem ac spissitatem, sicuti diximus, ipsi quoque formidant sectionem ac diuisionem: etiam offenduntur si vexantur, feriuntur & verberantur. Etenim inter homines pœnas luentes ac dolore vexatos, non caro est quæ laborem & ægritudinem sustinet, sed animalis spiritus. Nónne cruciaretur ac doleret etiam separata ab anima viuificante spiritúsque vitales producente? Nihilominus qui manes eliciunt, & mortuorum animas ab inferis excitant, à nobis enumeratis veneficiis & euocationibus vtentes, quasi internuncios quosdam adducunt & alliciunt huiusmodi dæmonas, ad retrahendas quorundam mortuorũ animas quas voluerint: sed cùm non valeant animas adducere, ex necessitate reliquum est vt in illorum defunctorum formas transmutentur tales dæmones, & cernantur agnoscantúrque ab amicis & ad interrogata respondeant, & iussa exequantur. In iacturam enim ac dispendium quorundam sæpenumero impetum facere iubentur, ac sese morigeros præbent. Tale profectò incommodum circunspectus ille Synesius dum aliquando pati periclitaretur à quibusdam inimicis præstigiatoribus mortuorum animas elicientibus, præuidit inter somniandum, & illinc periculum statim euitauit. Huius itaque nunc meminit in laudem diuinandi industriæ quæ in somniorum interpretationes suas vires exerit.

A ἐκφοβῶσιν ἐκείνους, καὶ οὐκ ἐῶσιν ἐγγὺς αὐτῶν
προσελθεῖν, ἀλλὰ πόῤῥωθεν ἐρωτώμενοι ἀπο-
κρίνονται. ἐπεὶ γὰρ ζωτικὰ μέν εἰσι πνεύματα,
ἔχουσι δὲ καὶ πάχος, ὡς ἔφημεν, δεδίασι καὶ αὐ-
τὰ τομὴν καὶ διαίρεσιν, καὶ ἀλγοῦσι πληττόμενα,
καὶ τυπτόμενα. καὶ γὰρ ἐν τοῖς τυπτομένοις καὶ ἀλ-
γοῦσιν ἀνθρώποις, οὐχ ἡ σάρξ ἐστιν ἡ τὸν πόνον
ὑπομένουσα, ἀλλὰ τὸ ζωτικὸν πνεῦμα. ἢ γὰρ
ἂν ἤλγει καὶ χωρισθεῖσα τῆς ζωογονούσης ψυ-
χῆς; οἱ μέντοι ψυχοπομποὶ καὶ ψυχαγωγοὶ ταῖς
εἰρημέναις χρώμενοι μαγγανείαις καὶ ἐπικλή-
B σεσιν, οἱονεί τινας μεσίτας ἄγουσι τοὺς τοιούτους
δαίμονας, εἰς τὸ ἀνελκύσαι τινῶν τεθνεώτων
ψυχὰς, ἃς ἂν βούλωνται· μὴ δυνάμενοι δὲ ψυ-
χὰς ἀναγαγεῖν, ἐξ ἀνάγκης λοιπὸν εἰς τὰς
τῶν τεθνεώτων ἐκείνων μετασχηματίζονται οἱ
τοιοῦτοι δαίμονες μορφὰς, καὶ ὁρῶνται καὶ γνωρί-
ζονται τοῖς φίλοις καὶ συγγενέσι, καὶ ἀποκρίνον-
ται πρὸς τὰ ἐρωτώμενα, καὶ πράττουσι τὰ κε-
λευόμενα. ἐπιτάττονται γὰρ πολλάκις εἰς βλά-
βην χωρῆσαι τινῶν, καὶ χωροῦσι. τοιαύτην δὴ
βλάβην καὶ ὁ σοφὸς οὗτος Συνέσιος παθεῖν κε-
κινδυνευκὼς ποτε παρά τινων ἐχθρῶν ψυχο-
C πομπῶν γοήτων, προτεθέαται δι' ὀνείρων, καὶ
τὸν ἐκεῖθεν κίνδυνον ἔφθη φυλαξάμενος. τού-
του τοίνυν μέμνηται νῦν εἰς ἔπαινον τῆς καθ'
ὕπνον μαντικῆς.

Ψυχοπομπῶν.) ἀναγόντων ψυχὰς νεκύων.

Η δέ.) καὶ αὕτη.

Εγρηγορόσι.) ἀνθρώποις.

Quas enim obtinet.) *Anima siquidem fantastica species continet iuxta domesticam & peculiarem naturam, eas nimirum quas supra dixit: quia animus species eorum quæ fiunt & eueniunt, habet, vt mens species eorum quæ reuera existunt.*

A, τε γάρ.) τὰ εἴδη γὰρ ἔχει οἴκοθεν ἡ φαν-
ταστικὴ, ἥως ἂν προεῖπεν, ὅτι τὰ εἴδη τῶν γινομένων
ἔχει ἡ ψυχὴ, ὡς ὁ νοῦς τὰ εἴδη τῶν ὄντων.

Iis qui vergunt.) *Cùm hactenus duos mundos assignauerit; vnum, qualibet ex parte lucidum, alterum vndique caliginosum; & omni ex parte fulgentem præstantiorem esse, simúlq; ordines qui sunt in ipso ac diuinas potestates, quos more Chaldaico deos nuncupat: ex consequenti hæc etiam dicit, quæ certè erunt manifesta, si prius exposuerimus Aegyptiacas & Chaldaicas opiniones, quas idem obseruat & imitatur. Quemadmodum enim Moses ad similitudinem & imaginem Dei hominem factum dicit, ita Chaldæi necnon Aegyptij mundi parentem & creatorem dictitant symbola quædam & indicia suæ ipsius proprietatis animis inseuisse. Haud enim animæ tantum, vt aiunt, à paternis seminibus principium habent,*

Τοῖς ἐστραμμένοις.] δύο κόσμους ἀνωτέρω
D φήσας, ἀμφιφαῆ καὶ ἀμφικνεφῆ, καὶ κρείττο-
να τὸν ἀμφιφαῆ, καὶ ἅμα τὰς ἐν αὐτῷ τάξεις
καὶ θείας δυνάμεις, οὓς καὶ Θεοὺς Χαλδαϊκῶς
ὀνομάζει, ἀκολούθως καὶ τάδε φησὶν, ἃ δὴ καὶ
ἔσται δῆλα, εἰ προεκθείημεν τὰς Αἰγυπτια-
κὰς καὶ Χαλδαϊκὰς δόξας, αἷς οὗτος ἀκολουθεῖ.
ὥσπερ γὰρ ὁ Μωϋσῆς κατ' εἰκόνα Θεοῦ γενέσθαι
λέγει τὸν ἄνθρωπον, οὕτω καὶ Χαλδαῖοι καὶ
Αἰγύπτιοι τὸν πατέρα τοῦ κόσμου καὶ ποιητὴν
φάσκουσι σύμβολά τινα τῆς ἑαυτοῦ ἰδιότητος, ταῖς
ψυχαῖς ἐγκαταστεῖραι. οὐ γὰρ αἱ ψυχαὶ μό-
νον ἀπὸ τῶν πατρικῶν φασὶ σπερμάτων, ἀλ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λαὶ καὶ ὑπερκείμεναι πᾶσαι τάξεις ἐβλάστησαν, A ὅθεν καὶ παραινοῦσιν, ὡς ἐπειδήπερ οὐκ ἐκ σωματικῶν ὑφέστηκε κράσεων, ἀλλ᾽ ἄνωθεν ἔσχε τὴν ὕπαρξιν ἐκ Θεοῦ, καὶ συγγένειαν ἔχει πρὸς τὰς ὑπερκειμένας τάξεις, πρὸς ἐκείνας ἐπιτετράφθαι χρὴ, καὶ διὰ τὴν ἀναμνήσεων τῶν θειοτέρων λήξεων, ἃς παρὰ τοῦ ποιητοῦ καὶ πατρὸς ἐλάμβανε κατιοῦσα, ἐκεῖσε αὖθις ἀνέρχεσθαι. τούτοις ἀκολουθῶν καὶ ὁ Συνέσιός φησιν, ὅτι ἡ ψυχὴ σχολάσασα τοῦ θορύβου τῶν ἀγοραίων καὶ παχυτέρων αἰσθήσεων, τὰ εἴδη, τοῦτ᾽ ἔστι, τὰς ἀναμνήσεις, ἃς ἄνωθεν κατιοῦσα B δέχεται καὶ ἔχει, ταῦτα χαρίζεται τοῖς θεωρητικοῖς ἀνθρώποις. ὁμιλεῖ γὰρ ἤδη καὶ ταῖς θειοτέραις καὶ ὑπερκειμέναις τάξεσι, καὶ συγγίνεται αὐτῇ καὶ δύναμίς τις ἐκεῖθεν θειοτέρα, ἐξ ἐκείνου δηλαδὴ τοῦ κόσμου, ὃν καὶ Θεὸν ἐγκόσμιον λέγει.

Ομόθεν.] ἀπὸ τοῦ ὁμοῦ.

Pag. 151. Τὰ μὲν δή.] εἴδη.

Εἴτε φρονήσει.] φρόνησιν πεποιωμένην ἀρετὴν φησι, τὴν ἐξ ἐμπειρίας ἐγγινομένην· ἔθεσι δ᾽ ἐγγινομένην λέγει, τὴν ἠθικὴν ἀρετὴν, τὴν ἐξ ἔθους καὶ διδασκαλίας ἐπιγινομένην· ὁ μέν τοι Ἀριστοτέλης ὥσπερ ἐτυμολογῶν, C ἠθικὴν καλεῖ αὐτὴν ἀπὸ τοῦ ἔθους. ἔθος δέ ἐστιν, ἐνέργεια, ἦθος δὲ ἡ ποιότης, ἡ διὰ τῆς ἐνεργείας ἐγγινομένη τῇ παθητικῇ ψυχῇ, τοῦτ᾽ ἔστι τὸ τέλος καὶ τὸ ἔργον τοῦ ἔθους. οὐδεμίαν δὲ τῶν ἠθικῶν ἀρετῶν φύσει ἡμῖν ἐγγίνεσθαι. οὐδὲν γὰρ τῶν φύσει ὄντων ἄλλως ἐθίζεται· οἷον τὸ πῦρ, ἀνωφερὲς ὂν φύσει, οὐκ ἂν ποτε ἐθισθείη κάτω φέρεσθαι, καὶ τὰ ἄλλα ὁμοίως.

Εἴτ᾽ ἔθεσιν.] τὴν ἠθικὴν φησι τὴν ἀπὸ D διδασκάλου καὶ ἔθους.

Αλλῳ τῳ.] μὴ σπουδαίῳ ἀνθρώπῳ.

Οὐκ ἐπί.] ἀλλ᾽ ἐπὶ μεγάλῳ καὶ ἀναγκαίῳ πράγματι.

Αρίστων.] ὥσπερ τῷ Βαλαὰμ ποτε τῷ ἀλλοφύλῳ.

Γένος.] ἐνυπνίων.

Γενομένων.] παρελθόντων.

Επεὶ καὶ τοῦτο.] τὸ μέλλον ποτὲ εἰς ὕπαρξιν ἐλεύσεσθαι.

sed etiam omnes ordines præcedentes exorti sunt, suámque prius originem habuerunt. Vnde nos hortantur & commonefaciunt, vt quoniam non è corporeis temperamentis in rerum naturam productus est, sed ex altiori antiquioríque origine substantiam vitámque habuit, videlicet ex Deo, etiam cognationem & affinitatem habet cum supereminentibus ordinibus, ad illos vt conuertatur idem homo, operæprecium est, propter reminiscentiam diuinioris sortis ac hæreditatis, quam à creatore atque rerum omnium parente descendens accepit, vt illuc rursus ascendat. Hæc verba è vestigio sequens Synesius ait, animam quiescentem & immunem à tumultu vulgarium & crassiorum sensuum, species, id est, recordationes, quas de superna cœlestique regione descendens admittit ac tenet, easdem condonare hominibus qui rerum diuinarum ac æternarum contemplationi dant operam. Iam enim commercium habet cum diuinioribus ac supereminentibus ordinibus, atque illinc quædam vis & facultas diuinior ipsi familiariter adhæret, ex illo scilicet mundo: eam porrò Deum mundanum vocat.

Siue intelligentia.) *virtutem intelligentia seu prudentia comparatam dicit, quæ ex vsu experientiáque innascitur, sed ex moribus euenientem & ingenitam ait moralem virtutem, quæ ex consuetudine doctrinaq́ exoritur. Arist. quidem certè quasi veram dictionis originē discutiens, moralem nuncupat ipsam à more. Sed* ἔθος *assuefactio efficacia est, at* ἦθος *indoles seu natura, qualitas est, quæ propter efficaciam in animo affectibus obnoxio ingenerata est, ceu finis & opus assuefactionis. Nullam verò è moralibus virtutibus à natura nobis ingeneratam esse idem ait: nihil enim ex ijs quæ sunt secundum naturam aliam ac diuersam assuefactionem induit, vt ignis natura sursum tendit, nec vnquam potest assuefieri, vt deorsum feratur, & sic de aliis.*

Siue moribus ingenita.) *Ethicen seu moralem scientiam dicit à monitore, vsu consuetudinéque contingentem.*

Cuipiam alij.) *minimè studioso homini, neque industrio ac virtute prædito.*

Non exigua aliqua causa.) *sed propter magnum ac necessarium quoddam opus.*

Optimi generis.) *Quemadmodum elapsis temporibus euenit Balaam homini peregrino & alienigenæ.*

Quæ fuerunt.) *eorum quæ in medium prodierunt, & præterita sunt.*

Quandoquidem.) *futurum aliquando & in substantiam ac naturam venturum est.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Subsistentiæ.) *Sapientes hunc præsentem mundum simulachrum & effigiem æternitatis esse dicunt: Sequitur ergo opera quæ in eo sunt simulachra esse eorum quæ re ipsa subsistunt & in illo continentur: non solùm hoc, verumetiam imagines & simulachra quæ inuicem vltro citróque alia ex aliis fiunt & contingunt, idola & ipsa nominant. Horum autem omnium subiectum aërem capacem esse asserunt: veluti exempli causa, sermonem enunciatiuè & articulatim pronunciatum miniméque truncatum aër excipiens, & seipsum, tanquam speculum quoddam, occultè partiens in multiplices transfert auditiones, quia simili ratione affectus est cum articulorum vocísque iuncturarum constantia. Istud ipsum facit etiam ad omnes colores, cunctósque vapores, & ad omnia quæ in mundo facultatibus vim sentiendi obtinentibus subiacent. Ista igitur ac talia etiam hîc Synesius effluentia idola rerum sub sensum cadentium appellat, & concretorum fluenta. Etenim primæ primogeniæque secundum Græcos materiæ, à qua elementa orta sunt, solo mentis conceptu creatæ atque compositæ, quidam fuerit meatus. Consideramus autem ipsius lapsum ex his quæ sunt secundum coagmentationem compositionémque rerum particularium hoc in mundo suam speciem constituentium: hæ siquidem semper nascuntur, alterantur, in aliamque naturam vertuntur, & corrumpuntur. Nec verò duntaxat secundum ipsius materiæ fluxionem, verumetiam, vt ita loquar, eiusmodi species fructum simul hauriunt eiusdem affectionis & corruptionis: & ita, ait, res quæ in mundo continentur recusant ac repellũt dignitatem eius quod reuera est, verámque habet substantiam. Entis autem dignitas est semper esse. Hæ contrà species rerum non semper existunt, nec ab vno perstare possunt, sed quædam fuerunt, quædam nascuntur, quædam verò esse debent. Quocirca ex his omnibus effluentia simulachra omnia perlustrant, vagantur, & effugiunt per aërem oberrantia: sed ad aliquid applicantur, huicque incumbunt, & vnicam laborum relaxationem in animæ spiritu fantastico inueniunt, quiquidem est idolum ac simulachrum animæ. Mentis quidem idolum est anima, rursus animæ simulachrum spiritus est fantasticus. Quæcunque igitur, inquit, idola effluunt ex his quæ fuerunt, & ex his quæ nascuntur oriuntúrque perspicuè ac dilucidè pereunt: quæ verò futurorum sunt, ista incerta, coniectu ardua, obscura, & ænigmaticis velamentis obtecta sunt. Quemadmodum enim si quis viator præteriens amygdali florem conspexerit, nouit continuò quia fructus amygdali florem subsequitur: qualitatem certè, magnitudinem & frugum perfectionem opportu-*

A Ὑπάρξεως.] οἱ σοφοὶ τὸν παρόντα κόσμον, εἴδωλόν φασι τοῦ αἰῶνος· ἀκολούθως δὲ καὶ τὰ ἐν τούτῳ πράγματα, εἴδωλα τῶν ἐνυπαρχόντων ἐκείνῳ. οὐ μόνον δὲ, ἀλλὰ καὶ τὰ ἐξ ἀλλήλων πρὸς ἄλληλα γινόμενα ἐκμαγεῖα, εἴδωλα καὶ αὐτὰ ὀνομάζουσι· πάντων δὲ τούτων εἶναί φασι δεκτικὸν ὑποκείμενον τὸν ἀέρα· οἷον ὡς ἐν ὑποδείγματι, τὸν προφορικὸν καὶ ἔναρθρον λόγον διαδεξάμενος ὁ ἀὴρ ἀκολόβωτον, καὶ τυπῶν ἑαυτὸν ἀπορρήτως ὥσπερ κάτοπτρον εἰς μυρίας διαπορθμεύει μερίζων ἀκοάς, τῶν ἄρθρων ὁμοίως κατὰ τὸ ἀπαράλλακτον ἔχοντα· τὸ δ᾽ αὐτὸ ποιεῖ καὶ πρὸς πάντα
B χρώματα, καὶ πρὸς πάσας ἀτμούς, καὶ πρὸς ὅσα τῶν ἐν κόσμῳ ταῖς αἰσθητικαῖς δυνάμεσιν ὑπόκεινται. ταῦτα γοῦν καὶ τὰ τοιαῦτα καὶ ταῦθ᾽ ὁ Συνέσιος, ἀπορρέοντα εἴδωλα τῶν αἰσθητῶν ὀνομάζει καὶ ἐκροὰς τῶν συνθέτων. ἀπὸ μὲν γὰρ τῆς καθ᾽ Ἕλληνας πρώτης καὶ ἀρχεγόνου ὕλης, ἀφ᾽ ἧς τὰ στοιχεῖα, τίς ἂν εἴη ἐκροὴ μόνῃ τῇ ἐπινοίᾳ πλαττομένης. καταμανθάνομεν δὲ τὴν αὐτῆς ἐκροὴν ἐκ τῶν κατὰ σύνθεσιν εἰδοπεποιημένων μερικῶν τοῦ κόσμου πραγμάτων. ταῦτα γὰρ ἀεὶ γίνονται, ἀλλοιοῦνται,
C καὶ φθείρονται. οὐ κατὰ μόνον δὲ τὸ τῆς ὕλης ῥευστόν, ἀλλ᾽ οἷον εἰπεῖν συναπολαύουσι καὶ ταῦτα τὰ εἴδη τοῦ πάθους τῆς φθορᾶς ταύτης, καὶ οὕτως ἀπαρνοῦνται, φησί, τὰ ἐν τῷ κόσμῳ πράγματα, τὴν τοῦ ὄντος ἀξίαν. ἀξία δὲ τοῦ ὄντος ἐστὶ τὸ ἀεὶ εἶναι· ταῦτα δὲ τοὐναντίον ἀεὶ οὐκ εἰσίν, οὐκ ἐφ᾽ ἑνὸς ἵστασθαι δυνάμενα, ἀλλὰ τὰ μὲν ἐγένοντο, τὰ δὲ γίνονται, τὰ δὲ μέλλουσιν ἔσεσθαι. τὰ γοῦν ἐκ τούτων ἁπάντων ἀπορρέοντα εἴδωλα, περινοστοῦσι καὶ διολισθαίνουσι πλανώμενα περὶ τὸν ἀέρα· προσαπερείδονται, καὶ μονήν τινα καὶ
D ἀνάπαυσιν εὑρίσκουσιν ἐν τῷ φανταστικῷ τῆς ψυχῆς, εἰδώλῳ ὄντι καὶ αὐτῷ τῆς ψυχῆς. νοῦ μὲν εἴδωλον ἡ ψυχή· ψυχῆς δ᾽ αὖ εἴδωλον τὸ φανταστικὸν πνεῦμα. ὅσα μὲν οὖν, φησίν, εἴδωλα ἀπορρέουσιν ἔκ τε τῶν γενομένων, ἔκ τε τῶν γινομένων, (σαφῆ καὶ ἀείδηλα ἀπόλλυνται), ὅσα δ᾽ ἐκ τῶν μελλόντων, ταῦτα δ᾽ ἀόριστα καὶ δυσείκαστα καὶ αἰνιγματώδη. ὥσπερ γὰρ εἴ τις που παριὼν θεάσαιτο ἄνθος ἀμυγδαλῆς, γνοίη μὲν αὐθύς ὅτι καρπὸς ἀμυγδαλῆς ἐπακολουθήσει τῷ ἄνθει. τὰς μέντοι ποιότητας καὶ τὸ μέγεθος καὶ τὸ τελε-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σφόρημα τοῦ καρποῦ οὐκ ἀεὶ ὡρισμένως γίνεται· οὕτω καὶ ὅσα ἐκ τῶν μελλόντων ἀπορρέουσιν εἴδωλα, παραδηλοῦσι μὲν ὅτι ἔσται τόδε τι· οὐ μήν τοι ὡς ἐπὶ τὸ πλεῖστον τὴν τοῦ πράγματος ποιότητα σαφῶς.

Εἴδωλα.) ἤγουν χαρακτῆρες καὶ ἐκμαγεῖα καὶ τύποι.

Ὑποστάσεως.) οὐσίας.

Τῆς ὕλης.) ἤγουν ἐκ τῶν συνθέτων γίνεσθαι· ἐκ τοῦ ἀπορρεῖν ἐποίησε τὴν ἔκρευσιν.

Αἱρεῖ.) ἤγουν κρατεῖ καὶ δέχεται.

Ἐξοχετεύεσθαι.) ἐκρεῖν ἐκ τῶν συνθέτων κατὰ τὴν ὕλην, καὶ τὸ εἶδος, ἅπερ ἄμφω σαθρά.

Τοῦ ὄντος.) τοῦ κυρίως ὄντος.

Τὰ γινόμενα.) τὰ σαθρά.

Τούτων.) ἐκ.

Διολισθαίνοντα.) ἀστοχοῦντα.

Τῇ τε ἀοριστίᾳ.) τύποι γὰρ ὄντων καὶ σκιαί, οὐ μὴν ὄντα.

Τῶν ὄντων.) τῶν κυρίως ὄντων.

Ἐπιγινώσκεσθαι.) ὡς ἀλλότρια τῆς φύσεως ἐκείνων.

Τοῖς ψυχικοῖς.) τοῖς φανταστικοῖς.

Εἰδώλοις.) ἣ καὶ πρόσθεν ἔφη.

Τὴν φύσιν.) τὴν ἀνθρωπίνην.

Τὰ μὲν οὖν.) ὥσπερ ἡ ἤδη γινομένη οἰκία οὐκ ἔστιν ὄν· οὐδὲ γὰρ εἰς τελείαν ἦλθεν ὕπαρξιν· οὕτως εἰκάζει ἐνταῦθα καὶ ὁ Συνέσιος, καὶ διεξέρχεται ἅ φησιν. οἷον τὸν ἄνθρωπον δηλαδὴ μέχρις ἂν ζῇ, γινόμενον πρᾶγμα λογίζεται· ὅταν δὲ τελευτήσῃ, τότε λογίζεται αὐτὸν ἀπηρτισμένον ὂν ἐνεργείᾳ ἤδη, ὡς παυσάμενον τοῦ γίνεσθαι, καὶ τέλος λαβόντα τοῦ δυνάμει ὄντος πρότερον.

Ἔμβια.) ζῶντα.

Ἀτελοῦς.) ἀτελὲς γὰρ τὸ μέλλον, διότι τὸ μήπω εἰς γένεσιν ἐλθεῖν.

Pag. 152. Ἐξαλλόμενα.) ἀπὸ μεταφορᾶς τῶν ἀνθέων ἃ πρὸ τῶν καρπῶν ἐξάλλονται.

Ἀπ' αὐτοῦ.) γρ. ἐπ' αὐτοῦ.

Ἀλλ' ἤδη.) ἐντεῦθεν ἄρχεται διδάσκειν πῶς δεῖ παρασκευάζειν ἑαυτοὺς εἰς ὑποδοχὴν τῆς τέχνης τῆς δι' ὀνείρων μαντικῆς.

Τὸ πνεῦμα.) τὸ φανταστικόν.

A nitatémque haud definitè nouit. *Hunc in modum, quæcunque simulachra è rebus futuris fluunt, prænunciant quidem quidpiam euenturum, non tamen vt plurimùm apertè rei qualitatem.*

Imagines.) *vt sunt characteres, simulachra & typi.*

Hypostasi.) *è sua essentia & natura.*

Materia.) *hoc est, ex compositis fieri. Eò quòd decidit ac dilabitur, lapsum facit.*

Conuincit.) *quasi superior euadit, & admittit.*

Transferri.) *effluere ex compositis quantùm ad materiam, & speciem, quæ quidem ambo fragilia sunt & caduca.*

B Eius quod est.) *rei quæ propriè est in rerum natura.*

Quæ eueniunt.) *quæ sunt interitui obnoxia, fragilia, mutabilia.*

Effugientes.) *à scopo aberrantes.*

Et incertitudine substantiæ.) *Cùm sint typi ac formæ eorum quæ sunt in rerum natura, & vmbræ, non tamen existunt.*

Eorum quæ sunt.) *quæ reipsa & per se existunt.*

Agnoscantur.) *tanquam alienæ & abhorrentes ab illorum natura.*

In animales.) *in spiritus imaginationis.*

C In natura.) *humana.*

Atqui ab his quæ.) *Quemadmodum domus quæ iamiam exoritur & emergit, non est ens: neque enim in perfectam suisque omnibus partibus absolutam naturam venit: Ita hîc etiam comparat Synesius & recenset ea quæ dicit. Exēpli causa, haud dubiè hominem quandiu viuit, vt rem consistentem considerat: sed posteaquam mortem cum vita commutarit, tunc illum perpendit consummatum, & iam est ens vi occulta, veluti cesset ac desistat ab essentia, & consummationem sumat eius quod prius potentia erat.*

D Viuaciores.) *viuentes, superstites.*

Naturæ imperfectæ.) *imperfectum est enim id quod futurum est, propterea quòd nondum in originem venit.*

Exilientia.) *à floribus deprompta est hæc metaphora, qui ante fructus exiliunt & erumpunt.*

Inde proficiscuntur.) *ab eo spiritu fantastico.*

Sed iam aliquid de arte dicēdum.) *Hinc exorditur docere quo pacto nosmet ipsos præparare oporteat ad susceptionem artis diuinandi quæ fit per somnia.*

Spiritum.) *fantasticum.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Pastus.) *Docet qua methodo operæprecium est enutrire & augere artem diuinationis somniorum. Asserit autem id fieri debere per philosophiam, quippe quæ mortis meditatio est, & per modestum & frugale vitæ institutum. Ista enim sunt veluti fræna affectuum & appetituum, atque immobilitas quædam. At incomposita, proterua & libidinosa viuendi ratio, fluctuationem, ait, ac tempestatem in extremo corpore ingenerat: Quod quidem ille Platonem imitatus, innolucrum ostrei instar nuncupauit. Hoc rursum corpus per vicißitudinem mouet sensitiuas facultates, quæ violentiam vsque ad imaginationem transmittunt: vt quando quispiam aquam & aërem turbat & commouet, & rursus quod turbatum est aliud commouerit: & illud aliud, atque seruata serie istud diu vicißim fiat. Vide autem quo pacto primum corpus fantasiam ceu imaginatricem animæ facultatem nominauit: primum corpus, propter extremum & concharium integumentum: corpus verò, eò quòd craßius, corpulentiúsque sit, & propius ad materiæ naturam accedat.*

Pastus.) *educatio.*

Et per moderatum victum.) *philosophia, necnon ingenuæ simplicísque vitæ beneficio.*

Cum corpore extremo.) *carnali & belluino, quod concharium vocauit operimentum.*

Eos qui mare peragant.) *Maritimus dicitur qui in ponto vel mari nauigat.*

Sunt enim ipsa veluti præuij præcursores eorum & similia similium.) *Similia facta nobis plerunque sortito adueniunt.*

Repentinas pluuias.) *hyemes, procellas, imbres, fulmina.*

Circulos.) *tres, vel duos, vel vnum.*

Sidereos circulos.) *de circulis instar areæ circa lunam apparentibus verba facit.*

Ex vno quidem.) *Aratus in libro qui inscribitur* φαινόμενα, *de his quæ in cœlo conspiciuntur & apparent, multa alia de luna commemorat, atque etiam ab antiquiori superiorique principio exorsus.*

Vna, duplex, triplex, si cinxerit area Lunam,
Vnica ventorum præsagia, signa sereni
Et feret: abruptos subitò prænunciat Euros
Marcescens tenui sensim caligine, & æthra
Digestus patula, docet vndis adfore pacem.

A Τροφὴ δὲ.) διδάσκει πῶς δεῖ τρέφειν καὶ αὔξειν τὴν τέχνην τῆς καθ' ὕπνον μαντικῆς. λέγει δὲ ὅτι διὰ φιλοσοφίας ἤτοι μελέτης θανάτου, καὶ διὰ μετρίας διαίτης. ταῦτα γάρ ἐστι χαλινὸς τῶν παθῶν καὶ ἀκινησία τις. ἡ δὲ ἀσωφρόνιστος καὶ ἀκόλαστος δίαιτα, κλύδωνα, φησὶ, καὶ ζάλην ἐμποιεῖ τῷ ἐσχάτῳ σώματι, ὅπερ καὶ οὗτος ἀκολουθῶν τῷ Πλάτωνι ὀστρεῶδες ἔφη περίβλημα. τὸ δὲ αὖ σῶμα κατὰ διαδοχὴν κινεῖ τὰς αἰσθητικὰς δυνάμεις· αἱ δὲ αἰσθητικαὶ δυνάμεις παραπέμπουσι τὸν κλόνον μέχρι τῆς φαντασίας· ὥσπερ ὅταν τις ὕδωρ ἢ ἀέρα κινήσῃ, καὶ τὸ κεκινημένον αὖ ἕτερον κινήσῃ κἀκεῖνο ἕτερον, καὶ κατὰ διαδοχὴν τοῦτο γίνηται μέχρι πολλοῦ. ὅρα δὲ πῶς πρῶτον σῶμα προσηγόρευσε τὴν φαντασίαν· πρῶτον, διὰ τὸ ἔσχατον καὶ ὀστρεῶδες περίβλημα· σῶμα δὲ, διὰ τὸ παχύτερον καὶ ὑλικώτερον εἶναι τῆς ψυχῆς.

Τροφὴ δέ.) ἀνατροφή.

Ὑφ' ὧν.) παθῶν.

Τὸ πνεῦμα.) τὸ φανταστικόν.

Διὰ μετρίας.) διά τε φιλοσοφίας καὶ ἁπλῆς διαίτης.

Τὸ ἔσχατον.) τὸ σάρκινον, ὃ καὶ ὀστρεῶδες ἔφη περίβλημα.

Τοῦ πρώτου.) τοῦ φανταστικοῦ. καὶ δεύτερον γὰρ πρῶτον ψυχῆς σῶμα ὠνόμασε τὸ φανταστικόν.

Διαποντίων.) διαπόντιος πλεῖ τις αὐτοῦ ἐν τῷ πόντῳ.

Σημαίνονται.) σημειοῦνται.

Τῶν αὐτῶν.) τῶν ὁμοίων πολλάκις ἐτυχομένων περὶ ἡμᾶς.

Διοσημείας.) χειμῶνας, ὑετοὺς, κεραυνούς.

Περιέχοντος.) ἀέρος.

Ἅλως.) τρεῖς, ἢ δύο, ἢ μίαν.

Ἅλως.) τοὺς ἅλωνος δίκην φαινομένους κύκλους φησὶ, περὶ τὴν σελήνην.

Τῇ μὲν ἰῇ.) ὁ Ἄρατος ἐν τοῖς Φαινομένοις, ἄλλα τε πολλὰ διέξεισι περὶ τῆς σελήνης, καὶ δὴ καὶ τάδε φησὶν ἄνωθέν ποθεν ἀρξάμενος.

Εἰ δέ κέ μιν περὶ πᾶσαν ἁλωαὶ κυκλώσωνται,
Ἢ τρεῖς, ἠὲ δύω περικείμεναι, ἠὲ μί' οἴη,
Τῇ μὲν ἰῇ, ἀνέμοιο γαληναίης τε δοκεύειν·
Ῥηγνυμένῃ ἀνέμοιο· μαραινομένῃ δὲ γαλήνης.
καὶ τὰ ἑξῆς.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἔστι δὲ τὸ λεγόμενον τοιοῦτον· ἐὰν μία γένηται ἅλως, εὐδίαν προσδόκα. διαλύεται γὰρ καὶ ὀλίγον ἡ πύκνωσις· εἰ δὲ ῥήγνυται, ἄνεμον προσδόκα ἐξ ἐκείνου τοῦ μέρους, ὅθεν τὴν ῥῆξιν λαμβάνει· εἰ δὲ δύο ἅλωαι γένοιντο, χειμῶνα προσδόκα, καὶ ἔτι μείζονα, ἐὰν τρεῖς.

Pag. 153. Τῇ μὲν ἦ.) τῇ μὲν μιᾷ.

Ὁ λόγος.) τῆς ἐπιστήμης.

Τὸ σῶμα.) τὸ σάρκινον.

Τὸ ἔσχατον.) ἀνωτέρω πολλάκις τὸ φανταστικὸν πνεῦμα, ὁ Συνέσιος πρῶτον σῶμα ψυχῆς ὠνόμασε, καὶ ἀκήρατον σῶμα, καὶ θεσπέσιον· ἔσχατον δὲ σῶμα καὶ ὀστρεῶδες περίβλημα, τὴν σάρκα μετὰ τῶν νεύρων καὶ ὀστῶν καὶ τῶν συντρόφων· ὃ δὴ καὶ σύνοδόν φησι τῶν καθωμιλημένων στοιχείων, τοῦτ' ἔστι τῶν παρὰ πᾶσιν οὕτως ὀνομαζομένων· εἰσὶ δὲ τό, τε θερμὸν καὶ ψυχρὸν, καὶ ξηρὸν καὶ ὑγρόν. φησὶν οὖν ὅτι οὐχ οὕτως ἐστὶ δυνατὸν ἐπὶ τοῦ φανταστικοῦ πνεύματος, ὥσπερ ἐστὶ περὶ τοῦ σαρκίνου τούτου καὶ ἐσχάτου σώματος τῆς ψυχῆς καθόλου τέχνην παραδοῦναι, καὶ ἕνα κανόνα τῶν παμπόλλων καὶ παντοδαπῶς φαινομένων ὀνείρων. τὸ μὲν γὰρ σῶμα ἢ ὑπὸ ψύξεως, ἢ ὑπὸ θέρμης τρεπόμενον πάσχει ὡς ἐπιτοπλεῖστον· τὸ δὲ φανταστικὸν πνεῦμα, μυρίας ἔχει τὰς διαφορὰς καὶ τὰς ἀλλοιώσεις, περὶ ὧν οὐκ ὀλίγα καὶ ἡμεῖς ἀνωτέρω εἰρήκειμεν. τὸ μὲν γὰρ παχυνθὲν, ὁμοιοῦται τῇ φύσει τῆς γῆς· τὸ δὲ τῷ ὕδατι. τὸ δὲ τῷ προσγείῳ ἀέρι κατὰ τὴν λεπτότητα· τὸ δὲ τῷ ὑπερνεφέλῳ ἀέρι· τὸ δὲ τῇ τοῦ στοιχειακοῦ πυρὸς σφαίρᾳ· τὸ δὲ τῇ αἰθερώδει. καὶ τὸ μὲν τῇ σφαίρᾳ· τὸ δὲ τῇ ἡλιακῇ, καὶ ἑξῆς ὁμοίως ἄλλο ἄλλῃ, καὶ ἕτερον ἑτέρᾳ, ὡς ἕκαστον ἔχει πάχους ἢ λεπτότητος, ἢ κουφότητος, κατὰ τὸ ἀνάλογον.

Σῶμα ἔσχατον.) ἤπερ ἐσχάτη σύνοδός ἐστι τῶν στοιχείων.

Ἡ σύνοδος.) οὐχ οὕτως ἐπὶ τοῦ φανταστικοῦ.

Καὶ λόγον.) τεχνικὸν ἰατρικὸν τῶν ἀνεπιγινομένων ἀνθρώπων.

Ὡς γὰρ ἐπὶ τό.) μεσεμβόλημα τοῦτο μέχρι τοῦ οὐχ οὕτως ὑπὸ θέρμης καὶ ψύξεως.

Ὁμοφυέσι.) σώμασι.

Τὸ παρὰ φύσιν.) ἔξω τῆς συνηθείας.

A *Huius loci sensus hic est: Si vna fiat area, serenitatem expecta: densitas enim exiguo momento dilabitur quòd si erumpat, ventum præstolare ex illa parte vnde fracturam sumit: sin autem duæ fuerint areæ, hyemem ac tempestatem sperato, & adhuc maiorem si sunt tres.*

Infimum.) *Synesius multoties supra spiritum fantasticum primum animæ corpus nominauit, & corpus intemeratum, ac diuinum:*
B *infimum verò corpus concharium integumentum, carnem cum neruis & ossibus, reliquisque corporis partibus quæ simul aluntur. Quòd certè etiam elementorum familiaritate coniunctorum congressum vocat: hoc est, eorum quæ ab omnibus ita nominantur: sunt autem calidum, frigidum, siccum, & humidum. Ait igitur non ita fieri posse de spiritu fantastico, quemadmodum licet de hoc carnali & infimo corpore animæ generatim artem tradere, atque vnam regulam vniuersorum, & quibuslibet modis apparentium somniorum. Corpus siquidem vel à frigore, vel calore incitatum frequenter ita*
C *afficitur. At spiritus fantasticus infinitas habet differentias ac transmutationes, alterationésque, de quibus non pauca suprà diximus: hîc quidem qui spissus & crassus est, assimilatur naturæ terræ, ille verò aquæ, alius aëri terræ propinquiori quantum ad tenuitatem: alius autem aëri super nebulas collocato. Ille porrò elementalis ignis circulo, alius æthereo: & alius quidem sphæra solari, ac deinceps similiter alius alij: & alter alteri, pro vt vnusquisque animatus & affectus est ad crassitudinem, tenuitatem aut lenitatem, iuxta congruam mensuram.*

D

Corpus infimum.) *quæquidem elementorum est congressio ac societas.*

Congressio.) *non ita se res habet de spiritu fantastico.*

Et rationem.) *solertem artis medendi peritiam hominum qui nondum procreati sunt, nec adhuc vitales auras carpunt.*

Nam plerumque.) *& ista est intermedia percussio quousque non ita calore & frigore afficiantur elementa.*

Vltra naturam.) *extra familiaritatem & consuetudinem.*

Non occulto corripitur morbo.) *Quibusdam enim aliquoties contingit imbecillitas recentior & insueta.*

Veruculum.) *hanc regulam adhibemus.*

Alius ab alio.) *fantasticus à fantastico.*

Coagmentatæ materiæ.) *crassitudinis, spissitatis materiæ.*

Ænigmaticè innuit Timæus.) *Ait Plato in Timæo*: Qui hanc vniuersitatem constabiliuit, totidem astris animas diuisit, & singulas singulis distribuit, ac veluti in currum inducens vniuersi naturam demonstrauit, ipsisque leges fatales narrauit: fore quidem vt vnica prima origo omnibus imponatur, statuatúrque ne aliqua detrimentum percipiat, & quæ sequuntur.

Ei quidem.) *spiritui.*

A seipso.) *à domestico & familiari instituto.*

Nihil enim.) *Neque enim quicquam aliud tam lubricum, procax & admotum tam procliue quàm spiritus ille fantasticus.*

Ita versatile.) *tam motui & perturbationi obnoxium.*

Ab iisdem.) *spectris & imaginibus.*

Sed quonam modo euenire potest.) *Obstaculum, inquit, versatile est, & error accuratæ imaginis in rebus qua imaginatione continentur. Etenim diuersum in corporibus humanis temperamentum distincta quoque ostendit ea quæ apparent, necnon diuersum vitæ institutum, & studium, atque differens educatio, dissidens est etiam ætatis vigor, varia est item commotio rerum quæ imaginatione comprehenduntur & affinguntur. Nam aqua liquida, inquit, euidentiora rerum apparentium demonstrat simulachra, quàm aliquo colore imbuta turbatáque: & ipsa turbida iuxta varietatis colorum & inquinamenti, varias ostendit imagines: Et rursus eadem aqua manente, ipsa quoque diuersa commotio differentiam efficiet apparentium idolorum. Aut enim non omnino spectrum apparebit, aut vix tandem præposterum. Nam eiusmodi commotio concussit somniorum rectitudinem & veritatem. Propterea, inquit, arduum est in tam versatilibus discrepantibúsque rebus, simile spectrum commonstrari, arduum præterea regulam tradere.*

A Οὐ λανθάνει.) συμβαίνει γάρ ποτε τισὶ καὶ καινότερον ἀσθένημά τι ἀσυνήθες.

Γνώμονι.) κανόνι.

Ἄλλο ἄλλου.) φανταστικὸν φανταστικοῦ.

Τῷ πλείονι.) διὰ τοῦ.

Φυράματος.) τοῦ πάχους.

Ἠνίξατο Τίμαιος.) φησὶν ἐν Τιμαίῳ ὁ Πλάτων, ὅτι ὁ ξυστήσας τὸ πᾶν διεῖλε ψυχὰς ἰσαρίθμους τοῖς ἄστροις, ἔνειμέ τε ἑκάστην πρὸς ἕκαστον, καὶ ἐμβιβάσας ὡς εἰς ὄχημα τὴν τοῦ παντὸς φύσιν ἔδειξε· νόμους τε τοὺς εἱμαρμένους
B εἶπεν αὐταῖς, ὅτι γένεσις πρώτη μὲν ἔσοιτο τεταγμένη μία πᾶσιν, ἵνα μή τις ἐλαττοῖτο, καὶ τὰ ἑξῆς.

Αὐτῷ μέν.) τῷ πνεύματι.

Pag. 154. Τῷ ζώῳ.) τῷ ἀνθρώπῳ.

Καὶ αὐτῷ.) τῷ πνεύματι.

Ὑφ' ἑαυτοῦ.) ἀπὸ οἰκείας προαιρέσεως.

Οὐδὲν γάρ.) οὐδὲ γὰρ ἕτερον οὕτως εὐκίνητον ὡς πνεῦμα.

Εὐτράπελον.) εὐκίνητον.

Ἀνομοίοις.) πνεύμασι.

Ταυτά.) ὅμοια.

C Τῶν αὐτῶν.) εἰδώλων.

Πῶς δ' ἂν γένοιτο.) πολύτροπός ἐστι, φησίν, ὁ ἐμποδισμὸς καὶ ἡ ἀποτυχία τῆς ἀκριβοῦς εἰκόνος τῶν πραγμάτων ἐν τῷ φανταστικῷ. καὶ γὰρ καὶ αἱ διάφοροι ἐν τοῖς σώμασι κράσεις, διάφορα δείκνυσι καὶ τὰ φαινόμενα· καὶ ἡ διάφορος διαγωγή, καὶ διατριβή, καὶ ἡ διάφορος τροφή, καὶ ἡ διάφορος ὥρα, καὶ ἡ διάφορος κίνησις τῶν εἰκονιζομένων. καὶ γὰρ καὶ τὸ διαφανές, φησίν, ὕδωρ ἐναργέστερα δείξει τῶν φαινομένων τὰ εἴδωλα,
D ἢ τὸ κεχρωσμένον καὶ τεθολωμένον· καὶ αὐτὸ τεθολωμένον κατὰ τὰς διαφορὰς τῶν χρωμάτων, καὶ τῆς θολώσεως, διάφορα δείξει τὰ εἴδωλα, καὶ αὖ τοῦ αὐτοῦ μένοντος ὕδατος, ἡ διάφορος κίνησις, διαφορὰν καὶ αὐτὴ ποιήσει τῶν φαινομένων εἰδώλων. ἢ γὰρ οὐδ' ὅλως ἂν φανείη εἴδωλον, ἢ διάστροφον καὶ μόλις. ἡ γὰρ τοιάδε κίνησις ἐκκρούει τὴν εὐθυονειρίαν. διὰ τοῦτο, φησί, δυσχερές ἐστιν ἐν τοῖς οὕτω πολυτρόποις ἀνομοίοις, ὅμοιον ἐμφαντασθῆναι εἴδωλον, δυσχερὲς δ' ἔτι καὶ ἐμπαραδοῦναι κανόνα.

Δια-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

A Διαφανές.) ἀθόλωτον.

Τὸ μένον.) μὴ κινούμενον.

Διατεθῆναι.) τυπωθῆναι, εἰδωλοποιηθῆναι.

Καὶ ὁ θολός.) ὁ τεθολωμένος, ἢ μᾶλλον ἡ θόλωσις. ἄλλη γὰρ ἡ θόλωσις τοῦ λευκοῦ, καὶ ἀλλοία τοῦ δοκοῦντος μέλανος, καὶ ἀλλοία τοῦ δοκοῦντος ἐρυθροῦ.

Ἐν ἄλλῳ.) ὕδατι.

Ἐν σχηματισμοῖς.) τοῦ ὕδατος ἢ ἑλικοειδέσιν ἢ εὐθυπορικοῖς.

Εἴτ' οὖν.) ἔοικεν ἐντυχεῖν καὶ τοῖς τούτων περὶ φανταστικῆς καὶ περὶ μαντικῆς ὁ Συνέσιος.

B Μελάμπους.) Ὁ Μελάμπους Αἰγύπτιος ἦν ἱερογραμματεὺς, καὶ ἱεροφάντης, καὶ μάντις ἄριστος· οὗτος ἐξέδωκεν, ὥς φασι, καὶ τὰ ἐν Αἰγύπτῳ ἱερὰ τοῖς Ἕλλησιν, ὡς μιμήσασθαι καὶ ἐπιτηδεῦσαι καὶ αὐτοὺς ἐξ ἐκείνου ταῦτα. ἡ δὲ Φημονόη προφῆτις ἦν τοῦ Ἀπόλλωνος, ἑξαμέτροις χρωμένη χρησμοῖς.

Ἀξιώσει.) δογματίσει.

Πυθώμεθα.) ἐρωτήσωμεν.

Ἐξ ἀνομοίων.) εἰσὶ γὰρ καὶ ἐξ ὑέλων κάτοπτρα, καὶ ἐκ σιδήρου, καὶ ἐξ ἄλλης ὕλης.

C Περὶ τοῦ πνεύματος.) πῶς οὐ περὶ διαφορᾶς πνεύματος εἰρήκασιν, ἀλλ' ὡς μιᾶς φύσεως ὂν ἁπλῶς, εἶναι μαντικὸν τοῦ μέλλοντος ἀπεφήναντο, ὅτι μαντικόν ἐστι τῷ πνεύματι.

Εἶναι κανόνα.) διδάσκαλον τοῦ μέλλοντος.

Καὶ γνώμονα.) ὁδηγὸν ὀρθόν.

Διαφερόντων ἐμφέρειαν.) πολλοὶ γὰρ ὄναρ γάλακτος πιόντες, ὕπαρ γαλήνην ἔσχοντο* ἐπικειμένων θορύβων πάντες ὁμοίως, καίπερ διάφοροι ὄντες· οἴνου δὲ αὖ πιόντες, ἐλυπήθησαν ὁμοίως διάφοροι ὄντες, καὶ μυρία ἕτερα. οὐ D μὴν ἐν ἅπασι τοῦτο καὶ ἀεὶ, ἀλλ' ἐν ἄλλοις καὶ ἄλλοις, ἄλλως καὶ ἄλλως.

Ἐμφέρειαν.) ὁμοιότητα.

Ἀσαφές.) οἴκοθεν.

Διασπώμενον.) εἰς ἄλλα ἀντ' ἄλλων.

Τὸ τοῦ προεκθορ.) τὸ μετὰ δύο ἐνιαυτοὺς ὑποθετέον γενησόμενον πρᾶγμα, εἰ φανείη σήμερον ἐν τῷ φανταστικῷ, προεξέθορε τῆς οἰκείας τάξεως, καὶ γέγονε προκυλίνδημα μήπω παρόντος πράγματος, καὶ φύσεως ἀτελοῦς ἐξάνθημα.

In statu permanens.) *non commota.*

Disponebatur.) *informetur, & effigies suscipiat.*

Crassitudo.) *inquinata & turbida, vel potius inquinamentum. Aliud est enim inquinamentum albi, aliud eius quod nigrum videtur, aliud denique eius quod puniceum apparet.*

Motus in plurimis figuris.) *aquæ, aut tortuosis, aut recto tramite directis.*

Siue.) *videtur consuetudinem & colloquium habuisse cum quibusdam horum artificum de imaginatione ac diuinandi arte Synesius.*

Melampus.) *hic Melampus Aegyptius erat rerum sacrarum, & apud eos augustarum scriptor, ac ceremoniarum antistes, necnon augurio clarißimus. Is, vt aiunt, Græcis tradidit Aegyptiorum sacra, vt ea imitarentur, & ipsi ab illo informati iisdem operam darent. Sed Phemonoë vates erat Apollinis in edendis oraculis versibus hexametris vtens.*

Censebit.) *dogmata tradet, præcepta dabit.*

Ex dispari materia.) *sunt enim ex vitro specula, & ex chalybe, & alia materia.*

Circa spiritum.) *vel de varietate spiritus non locuti sunt, sed quasi vniuersi sit vnius naturæ: fatidicum enim esse in rebus affirmarunt, quod sit fatidicus in imaginandi facultate.*

Esse regulam.) *magistram futuri.*

Per omnia discrepantia similitudinem.) *Compluribus enim inter somniandum lac bibentibus, inter vigilandum imminentium tumultuum serenitatem ac tranquillitatem omnes pariter habuêre, quamuis inter se dissentientes essent. Rursum vino epoto molestiam perceperunt simili ratione inter se discrepantes, & infinita alia, non tamen in omnibus istud semper fit, sed in aliis atque aliis aliter atque secus.*

Si dissipetur.) *in alia aliorum loco.*

Prius exilientis.) *supponenda res est duobus peractis annis euentura, si hodie in imaginatione apparuerit, prius aufugit ex ordine domestico & peculiari, fitque prouolutio rei nondum præsentis, ac naturæ imperfectæ efflorescens pustula.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Difficilius est.) *Praeterea verò, ait, magis arduum est assequi & colligere communem methodum in singulis hominum moribus. Nam hominum vnusquisque peculiarem quendam consuetudinis habitum, quoad consilium, voluntatem & cognitionem, habet: idcirco vario modò phantasmata singulis demonstrantur, & alia aliis aliorum fiunt significatiua, nec ipsa ipsorum omnibus: Res est igitur plena laboris visa phantasmata colligere, & nosse quae singulis hominibus distinctè eueniunt, & communi spectro compar atque aequale exprimere, hoc est, aliis simile, necnon communem vnicuique omnibus particulatim hominibus horum dare doctrinam, quemadmodum fortassis sigillatim & separatim animantibus communis animalis rationem ac definitionem assignamus, quod sit substantia animata vi sentiendi praedita: quod porrò iuxta vniuscuiusque voluntatem, cognitionem, considerationem ac dispositionem, interdum verò iuxta eam artem, cuius vnusquisque sit particeps vigilando dormiendóque demonstrentur praecognitiones, hinc patet. Nam Assyriorum regi Nabuchodonosor nimirum strenuè & alacriter occupato circa variarum pecuniarum inuentionem ac possessionem, ostendit Deus futurum per simulachrum auro argentóque exornatum & instructum, & ex illa materia confectum, quae eidem familiaris erat. Magis praeterea toto animo & studio omni in astra eorúmque motus & collocationes incumbentibus, per stellam incarnatae diuinae dispensationis mysterium demonstrauit. Et ipsi Abraham in Aegyptum profecturo res futuras indicauit, quae ipsi euenturae erant per artem sibi familiarem & assuetam: ea autem erat Chaldaica diuinatio ex hominum natiuitate desumpta, & praescientia è sectione fibrarum hostiarum.* Iuuencam enim, *dicit illi Deus*, triennem, & capram trimam mihi sumito, ac duas in partes diuidito, & partes bifariam diuisas in anteconspectu ponito: quod sanè vbi fecisset, *praesciuit semen suum peregrinum & accolam fore in terra aliena, & seruitutis iugo detentum iri annos quadringentos: & quae sequuntur.*

Phantasmati.) *scribitur etiam*, phantasma quoddam, *in quibusdam libris, in aliis verò*, phantasmati: *oportuit enim vtrumque poni, sed propter insolentiam locutionis, vnum ex ambobus positum est, quale quis voluerit: attamen extrinsecus sumit, defectiuè & alterum.*

Ars.) *cognitio à familiari & contubernali.*

A Ἔτι δὲ χαλεπ.) ἔτι δέ, φησί, χαλεπώτερόν ἐστιν ἑλεῖν καὶ συναγαγεῖν κοινὴν μέθοδον ἐν ἑκάστῳ ἀνθρώπων τρόπῳ. ἰδιοτροπίαν γάρ τινα γνώμης καὶ γνώσεως ἕκαστος τῶν ἀνθρώπων ἔχει· διὸ καὶ τὰ φαντάσματα δείκνυνται διαφόρως ἑκάστοις, καὶ ἄλλα ἄλλοις, γίνονται δηλωτικά, καὶ οὐ ταὐτὰ τῶν αὐτῶν ἅπασι. χαλεπὸν οὖν ἐστι συναγαγεῖν καὶ νοῆσαι τὸ ἐν ἑκάστῳ διαφόρως γινόμενον φάντασμα, καὶ παραπλήσιον ἀποφῆναι κοινῷ φαντάσματι, τοῦτ' ἔστι τοῖς ἄλλοις ὅμοιον, καὶ κοινὴν καὶ μίαν δοῦναι τούτων διδασκαλίαν ἅπασι τοῖς κατὰ μέρος ἀνθρώποις,
B ὥσπερ ἀποδίδομεν ἴσως τοῖς κατὰ μέρος καὶ καθ' ἕκαστα ζῴοις τὸν λόγον τοῦ κοινοῦ ζῴου, ὅτι οὐσία ἔμψυχος αἰσθητική· ὅτι δὲ κατὰ τὴν ἑκάστου γνώμην καὶ γνῶσιν καὶ διάθεσιν, ἔστι δ' ὅτε καὶ καθ' ἣν ἕκαστος μετέρχεται τέχνην, αἱ ὕπαρ τε καὶ ὄναρ δείκνυνται προγνώσεις, δῆλον ἐντεῦθεν. τῷ γὰρ τῶν Ἀσσυρίων βασιλεῖ Ναβουχοδονόσωρ ἅτε φιλοπόνως ἀσχολουμένῳ περὶ χρημάτων πολυτίμων εὑρέσεις καὶ κτήσεις, ἔδειξεν ὁ Θεὸς τὸ μέλλον δι' εἰκόνος ἐκ χρυσοῦ καὶ ἀργύρου κατεσκευασμένης, καὶ συνήθους αὐτῷ ὕλης. ἔτι δὲ τοῖς μάγοις, ἅτε
C περὶ ἀστέρας, καὶ τὰς τούτων κινήσεις καὶ στάσεις ἐνδιατρίβουσιν, ἔδειξε τὸ μυστήριον τῆς ἐνσάρκου οἰκονομίας δι' ἀστέρος· καὶ αὐτῷ Ἀβραὰμ μέλλοντι πρὸς Αἴγυπτον ἀπαίρειν, ἔδειξε τὰ μέλλοντα τούτῳ συμβήσεσθαι διὰ τῆς συνήθους αὐτῷ τέχνης, αὕτη δ' ἦν ἡ Χαλδαϊκὴ γενεθλιαλογία, καὶ πρόγνωσις ἔντομος. λάβε μοι γάρ, φησὶν αὐτῷ ὁ Θεός, δάμαλιν τριετίζουσαν καὶ αἶγα τριετίζουσαν, καὶ διχοτόμησον, καὶ τὰ διχοτομήματα θὲς ἀντιπρόσωπον· ὃ δὴ καὶ ποιήσας προέγνω, ὅτι πάροικον ἔσται τὸ σπέρ-
D μα αὐτοῦ ἐν γῇ οὐκ ἰδίᾳ, καὶ δουλεύσει ἔτη τετρακόσια, καὶ τὰ ἑξῆς.

Φαντάσματι.) γράφεται καὶ φάντασμά τι ἐν τισὶ βιβλίοις· ἐν τισὶ δὲ φαντάσματι. ἔδει γὰρ ἀμφότερα κεῖσθαι· διὰ δὲ τὸ φορτικὸν τῆς φράσεως κεῖται ἓν ἐξ ἀμφοῖν, ὅπερ ἂν βούλοιτό τις· λαμβάνει δ' οὖν ὅμως ἔξωθεν ἐλλειπτικῶς καὶ τὸ ἕτερον.

Παραπλήσιον.) ὅμοιον φάντασμα.

Ἕξις.) ἀπὸ συνήθους γνῶσις.

Α καί.) ἐνύπνια.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Pag. 155. Σοφὸν δ' ἄν.) καὶ ἀλλοτρόπως σοφὸν ἂν εἴη.

Καινόν.) τὸ καινότερον.

Αγροικίζεται.) μωρῶς διατεθείη.

Εφημερίσι.) δῆλον ἐντεῦθεν, ὅτι καὶ ὁ Συνέσιος ποτὲ ἔγραψε βιβλίον ὀνείρους περιέχον ἑαυτοῦ, καὶ ὅσα ἐπηκολούθησε τοῖς τοιούτοις ὀνείροις αὐτοῦ. ταῦτα γὰρ καλεῖ ἐπινυκτίδας, τουτέστι παρασημειώσεις τῶν ἐν νυκτὶ γινομένων ὀνείρων, καὶ τῶν τούτοις ἐπακολουθησάντων καὶ ἐπισυμβάντων περαιτέρω.

Εν ἑκατέρᾳ.) ἡμερινῇ καὶ νυκτερινῇ.

Τῆς μέσης.) τῆς μήτε πρὸς τὸ βέλτιον, μήτε πρὸς τὸ χεῖρον.

Υφ' ἧς.) παρατηρήσεως.

Εγρηγορότα τε.) ὥσπερ καὶ Ἀριστείδης ὁ ῥήτωρ ἐποίησε. σὺν γὰρ τοῖς ἄλλοις βιβλίοις αὐτὸς συνεγράψατο καὶ βιβλίον ἕτερον περιέχον κατὰ λεπτὸν τοὺς ὀνείρους αὐτοῦ, οὓς ἐν τῇ νόσῳ ἑώρα αὐτοῦ. Φιλόστρατος μέν τοι ὁ Λήμνιος τοὺς βίους τῶν σοφιστῶν ἀναγράφων, μέμνηται καὶ τοῦ τοιούτου ῥήτορος, καὶ φησὶ περὶ αὐτοῦ τάδε· Ἀριστείδην δὲ τὸν εἴτε εὐδαίμονος εἴτε εὐδαίμονα, Ἀδριανοὶ μὲν ἤνεγκαν· οἱ δὲ Ἀδριανοὶ πόλις οὐ μεγάλη ἐν Μυσοῖς· Ἀθῆναι δὲ ἤσκησαν κατὰ τὴν Ἡρώδου ἀκμὴν, καὶ τὸ ἐν τῇ Ἀσίᾳ Πέργαμον, κατὰ τὴν Ἀριστοκλέους γλῶτταν· νοσώδης δὲ ἐκ μειρακίου γενόμενος, οὐκ ἠμέλησε τοῦ πονεῖν. τὴν μὲν οὖν ἰδέαν τῆς νόσου, καὶ ὅτι τὰ νεῦρα αὐτῷ ἐπεφρίκει, ἐν ἱεροῖς βιβλίοις αὐτὸς φράζει· τὰ βιβλία ταῦτα ἐφημερίσιν ἐπέχει τινὰ αὐτῷ λόγον· αἱ δὲ ἐφημερίδες ἀγαθαὶ διδάσκαλοι τοῦ περὶ παντὸς εὖ διαλέγεσθαι. ὅγε μὴν Συνέσιος ἐνταῦθα προτρέπων ἅπαντας τοὺς δυναμένους γράφειν μὴ καταναλίσκειν τὴν γλῶτταν εἰς ἑτέρας ἀνοήτους ὑποθέσεις, ἀλλὰ γυμνάσιον ποιεῖσθαι καὶ ἐπίδειξιν τὰ περὶ τῶν ὀνείρων, καὶ τοιαύταις χρῆσθαι ἐφημερίσιν. ἐμνήσθη καὶ τῶν τοιούτων, ὁποῖα δηλαδὴ διέξεισιν ὁ Λήμνιος Φιλόστρατος περὶ Ἀριστείδου τοῦ ῥήτορος, προθυμοτέρους διὰ τῆς τοιαύτης μαρτυρίας ποιῶν τοὺς ἀκροατάς.

Ο Λήμνιος.) ὁ Φιλόστρατος.

Εἰς ἑρμηνείας.) εἰς φράσεως ἀφορμὴν καὶ λογογραφίαν.

A

Scitum porrò.) *alio etiam modo scitum & industrium fuerit.*

Morosa fuerit.) *fatuè, insolenter ac stupidè constituta fuerit.*

Acta diurna.) *Hinc manifestum est Synesium scripsisse librum sua somnia & quæcunque eadem subsequuta sunt continentem: ea quippe vocat nocturna commentaria, siue somniorum annotationes, quæ nocturno tempore eueniunt, & facta quæ eadem consequuta sunt, & insuper accesserunt.*

B

In vtraque.) *diurna & nocturna.*

Media.) *quæ neque ad id quod melius, nec ad id quod peius est, vergit.*

Inter vigilandum.) *Vt Aristides orator fecit. Nam cum aliis voluminibus ipse composuit, etiam alterum, quod iuxta subtilitatem complectebatur sua somnia, quæ valetudine aduersa obrutus viderat. Philostratus quidem certè Lemnius, Sophistarum vitam describens, mentionem huius oratoris facit, atque ista de eo dicit:* Aristidem, siue beati filium, siue beatum, Adriani produxerunt. *Est autem*, Adriani.) *exigua Mysiorum ciuitas.*

C

" *Athenæ verò eum instruxerunt quo temporis Herodis florebat ætas, & Pergamum in Asia, iuxta Aristoclis vocum obscuriorum interpretationem. Cùm iam inde ab ineunte ætate incommodo infirmáque valetudine vexaretur, laborem non neglexit, nec detrectauit. Igitur morbi speciem, & quòd nerui eidem horrore torpescerent, ipsemet in diuinis libris asserit. Sed eos diurnorum actorum libros scripturus sibi quendam sermonem applicat & accommodat: hæ porrò ephemerides bonæ atque vtiles sunt magistræ bene disserendi de qualibet re.* "

D

hòc vtique in loco omnes in quorum viribus situm est scribere cohortatur Synesius, ne linguæ ac styli laborem impendant in alia absurda quædam argumenta, verùm exercitationem ac specimen adhibeant circa ea quæ inter somniandum videntur, ac talibus vtantur pro diurnis commentariis: meminit quoque talium, qualia videlicet commemorat Lemnius Philostratus de Aristide oratore, alacriores promptioresque tali testimonio reddens auditores.

Ad elocutionis argumentum.) *ad polita orationis facultatem, historiam, solutúmque sermonem.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Cum natura.) *Etenim naturali succo à melle seiuncta ac separata est amaritudo, sicuti natura dulcedo melli inest. Quòd si quis cernat in somnis se mel comedere, dolori & amaritudini acerbitatique insuper fiet obuius: & contrà si quis absinthium.*

Oratione.) *secundum imaginationem rudem omníque experientia carentem.*

Fingat.) *doceat quod prodie è sua phantasia.*

Ex natura.) *vt è melle dulcedo.*

Nullatenus.) *acerbitas & amaritudo.*

Qui nihil apud se simile cogitarint) *Imperitis hominibus.*

Cum tempore.) *At phantasia, inquit, ista adferens citra omnem temporis mensuram ostendit, non tanquam multas species, hoc est, velut distinctam habentes varietatem, sed omnes simul vt in vnam.*

Atque porrigit.) *ipsi phantasiæ largitur.*

Suspicione ducimur.) *imaginamur.*

De quacunque re voluerit.) *Nam sæpenumero ostendit diuitias, gloriam, aut mulierem speciosam, ita indicans prout vnusquisque, quoad voluntatem & immodicam affectionem, animatus est circa res materiales.*

Voluerit.) *phantasia.*

Absolutissimæ.) *Perfectissimam dicit rhethoricam antiquam captiosam & cauillationem sophistarum artem, quam rhetoricen philosophantem Philostratus Lemnius vocat in Sophistarum vita. Disputat enim, inquit, priscus sophista his de rebus in quibus occupantur ij qui philosophiæ studio indulgent, cum animi fiducia sicuti peritus. Orationum verò prooemia facit:* Hoc scio, &, illud noui, istud pridem consideraui. &, nihil homini stabile ac certum est *Talis exordiorum species & verborum generositatem resonare facit, & intellectum, vímque animi ac dilucidam rei comprehensionem & inuentionem. Adhæc similis est fatidicæ & in exprimendis oraculis peritæ diuinationi. Etenim Pythius Apollo permulta ita exprimit,*

Mensuram pelagi teneo, numeros & arenæ. *Et,*

Iupiter ex ligno multis Tritonida donat.

Differebat quidem vetus sophistarum peritia de fortitudine, de iustitia, de dijs & heroibus, & quemadmodum composita figuratáque est mundi species.

A Τὰ φύσει.) φύσει γὰρ κεχώρισται τοῦ μέλιτος ἡ πικρότης. ὥσπερ φύσει σύνεστιν ἡ γλυκύτης τῷ μέλιτι, ἀλλ' ἐάν τις ἐν ὀνείροις ἴδῃ ὅτι ἐσθίει μέλι, παρεντυγχάνει λύπῃ καὶ πικρίᾳ, καὶ τοὐναντίον, ἐάν τις ἀψίνθιον.

Τῷ λόγῳ.) κατὰ λόγον τὸν ἀπείρως ἔχοντα φαντασίας.

Φαντάσαι.) διδάξαι περὶ φαντασίας.

